και τοτ' επειτ' αναγοντο μετα στρατον ευρυν αχαιFων.
τοισιν δ' ͱικμενον ουρον ͱιͱεεν ͱεκαFεργος απολλων.
ͱοι δ' ͱιστον στησαντ', ανα θ' ιστια λεFκ' επετασσαν·
εν δ' ανεμος πρηθσεν μεσον ͱιστιον, αμφι δε κυFμα
στειρῆ πορφυρεον μεγ' εFιFαχε, ναFος ιοντσης·
ͱη δ' εθεFεν κατα κυFμα διαπρῆσσοντσα κελευθον.
αFταρ επει ρ' εͱικοντο κατα στρατον ευρυν αχαιFων,
ναFα μεν ͱοιγε μελαιναν επ' ηπειροFι εFερυσσαν
αFτοι δ' εσκιδναντο κατα κλισιας τε ναFας τε.
αFταρ ͱο μηνιFε, ναFσι παρͱημενος ὠκυποροισιν,
διFογενης πηλεFος ͱυις ποδας ὠκυς αχιλλεFς,
ουτε ποτ' εις αγορην πωλεσκετο κυFδιανειραν,
ουτε ποτ' ες πολεμον· αλλα φθινυθεσκε φιλον κεαρ
αFθι μενων, ποθεεσκε δ' αͱυFτην τε πτολεμον τε.
αλλ' ͱοτε δη ρ' εκ τοFο δυωδεκατη γενετ' ῆως,
και τοτε δη προς ολυμπον ισαν θεοι αιFεν εοντες
παντες ͱαμα, δσεFς δ' ῆρχε· θετις δ' ου ληθετ' εφετμεων

παιδος ͱεϝοϝ, αλλ' ͱηγ' ανεδυϝσατο κυϝμα θαλασσης, A
ἠεριη δ' ανεβη μεγαν ουρανον, ολυνπον τε·
ͱευρεν δ' ευρυοπα κρονιδην ατερ ͱημενον αλλων
ακροτατῃ κορυφῃ πολυδειραδος ολυνποϝο.
και ρα παροιθ' αϝτοϝο καθεδσετο, και λαβε γουϝων
σκαιῇ· δεχσιτερῇ δ' αρ' ͱυπ' ανθερεῶνος ͱελοντσα,
λισσομενη προσεϝεσπε δια κρονιϝῶνα ϝανακτα·
δσεϝ πατερ, ει ποτε δη σε μετ' αθανατοισιν ονησα,
η ϝεπει, η ϝεργῳ, τοδε μοι κραϝῆνον εελδωρ·
τιϝμῆσον μοι ͱυιον, ͱος ὠκυμορωτατος αλλων
επλετ'· αταρ μιν νῦν γε ϝανακς ανδρων αγαμεμνων
ἠτιϝμῆσεν· ͱελων γαρ εχει γερας, αϝτος απαϝρανς.
αλλα συ περ μιν τιϝσον, ολυνπιε, μητιετα δσεϝ·
τοφρα δ' επι τροϝεσι τιθεε κρατος, ͱοφρ' αν αχαιϝοι
ͱυιον εμον τιϝσωντιν, οφελλωντιν τε ͱε τιϝμῇ.
ͱως φατο· την δ' ουτι προσεφη νεφεληγερετα δσεϝς,
αλλ' ακεων δην ͱηστο· θετις δ', ͱως ͱαπτσατο γουϝων,
ͱως ͱεχετ' ενπεφυϝυια, και ειρετο δεϝτερον αϝτις·
νημερτες μεν δη μοι ͱυποσχεο, και κατανευσον,
η' αποϝεσπ'· επει ου τοι επι δδεος· ͱοφρ' ͱεῢ ϝειδω,
ͱοσον εγω μετα παντσιν ατιϝμοτατη θεος ἠμι.
την δε μεγ' οχθησανς προσεφη νεφεληγερετα δσεϝς·
η δη λοιγια ϝεργ', ͱοτ' εμ' εχθοδοπησαι εφησεις
ͱηρῃ, ͱοτ' αν μ' ερεθητιν ονειδειοισι ϝεπεσσιν.
ͱη δε και αϝτως μ' αιϝει εν αθανατοισι θεοισιν
νεικεῖ, και τε με φητι μαχῃ τροϝεσιν αρηγεεν.
αλλα συ μεν νῦν αϝτις αποστιχε, μη σε νοησῃ
ͱηρη· εμοι δε κε ταϝτα μελησεται, ͱοφρα τελεσσω.
ει δ' αγε, τοι κεφαλῇ κατανευσομαι, ͱοφρα πεποιθῃς.
τοϝτο γαρ εκς εμεθεν γε μετ' αθανατοισι μεγιστον
τεκμωρ· ου γαρ εμον παλιναγρετον, ουδ' απατηλον,
ουδ' ατελεϝτητον, ͱο τι κεν κεφαλῇ κατανευσω.
ἠ, και κυϝανεῇσιν επ' οφρυσι νευσε κρονιϝων·
ανβροσιαι δ' αρα χαιται επεροϝσαντο ϝανακτος
κρᾶτος απ' αθανατοϝο· μεγαν δ' ελελικσεν ολυνπον.
τωγ' ͱως βουλεϝσαντε διετμαγεν· ͱη μεν επειτα
εις ͱαλ' εͱαλτο βαθυιαν απ' αιγλῆεντος ολυνποο,
δσεϝς δε ͱεϝον προς δῶμα. θεοι δ' ͱαμα παντες ανεσταν
εκς ͱεδεων, σφοϝο πατρος εναντιον· ουδε τις ετλῃ
μῆναι επερχομενον, αλλ' αντιοι ασταν ͱαπαντες.
ͱως ͱο μεν ενθα καθεδσετ' επι θρονοϝ'· ουδε μιν ͱηρη
ἠγνῶησε ϝιδοντσ', ͱοτι ͱοι γσυνφρασσατο βουλας
αργυροπεδσα θετις, θυγατηρ ͱαλιοϝο γεροντος·
αϝτικα κερτομιοισι δια κρονιϝωνα προσηῦϝδα·
τις δ' αϝ τοι, δολομητα, θεων γσυνφρασσατο βουλας;
αιϝει τοι φιλον εστιν εμεϝ' απο νοσφιν εοντα,

κρυπταδια φρονεοντα δικαδσεμεν· ουδε τι πῷ μοι
προφρων τετλῆκας ϝεσπεεν ϝεπος, ͱο τι νοησεις.
την δ' ἦμειβετ' επειτα πατηρ ανδρων τε θεων τε·
ͱηρη, μη δη παντας εμοϝς επιͱελπεο μυϝθοϝς
ϝειδησεεν· χαλεποι τοι εσονθ', αλοχῷ περ εοντσῇ.
αλλ' ͱον μεν κ' επιϝεικες ακοϝεμεν, ουτις επειτα
ουτε θεων προτερος τον ϝειδσεται, ουτ' ανθρωπων·
ͱον δ' αν εγων απανευθε θεων εθελοιμι νοησαι,
μη τι συ ταϝτα ͱεκαστα διειρεο, μηδε μεταλλα.
τον δ' ἦμειβετ' επειτα βοϝῶπις ποτνια ͱηρη·
αινοτατε κρονιδη, ποιον τον μυϝθον εϝεσπες;
και λιϝην σε παρος γ' ουτ' ειρομαι, ουτε μεταλλῶ
αλλα μαλ' ͱευκηλος τα φραδσεαι, ͱασ' εθελῇσθα.
νῦν δ' αινως δεδδοιδκα κατα φρενα, μη σε παρϝεσπῇ
αργυροπεδσα θετις, θυγατηρ ͱαλιοϝο γεροντος·
ἦεριη γαρ σοιγε παρͱεδσετο, και λαβε γουϝων.
τῇ σ' οἶϝω κατανευσαι ͱετητυμον, ͱως αχιλεϝα
τιϝμῆσῃς, ολεσῃς δε πολυας επι ναϝσιν αχαιϝων.
την δ' απαμειβομενος προσεφη νεφεληγερετα δσεϝς·
δαιμονιη, αιϝει μεν οἴϝεαι, ουδε σε ληθω·
πρῆγσαι δ' ενπης ουτι δυνῆσεαι, αλλ' απο θυϝμοο
μαλλον εμοι εσεαι, το δε τοι και ρ̃ιγιον εσται·
ει δ' ͱοϝτῷ τοϝτ' εστιν, εμοι μελλει φιλον εεναι.
αλλ' ακεοντσα καθησο, εμῷ δ' επιπειθεο μυϝθῷ·
μη νυ τοι ου χραϝσμωντιν, ͱοσοι θεοι εντ' εν ολυνπῷ,
ασσον ιονθ', οτε κεν τοι ααπτοϝς χειρας εφειω.
ͱως εφατ'· εδδειδσεν δε βοϝῶπις ποτνια ͱηρη,
και ρ' ακεοντσα καθηστο, επιγναμπσαντσα φιλον κεαρ.
ὦχθησαν δ' ανα δῶμα διος θεοι ουρανιϝωνες.
τοισιν δ' ͱηφαιστος κλυτοτεχνης ἦρχ' αγορεϝεεν,
μητρι φιλῇ επιῆρα φερων λεϝκωλενῷ ͱηρῇ·
η δη λοιγια ϝεργα ταδ' εσσεται, ουδ' ετ' ανͱεχτα,
ει δη σφοϝ' ͱενεκα θνῆτων εριδαινετον ͱῷδε,
εν δε θεοισι κολοϝον ελαϝνετον· ουδε τι δαιτος
εσθλης εσσεται ͱηδος, επει τα χερειονα νικᾷ.
μητρι δ' εγω παραφημι, και αϝτῇ περ νοεοντσῇ,
πατρι φιλῷ επιῆρα φερεεν διϊ, ͱοφρα μη αϝτε
νεικειητι πατηρ, γσυν δ' ͱημῖν δαιτα ταραχσῃ.
ειπερ γαρ κ' εθελητιν ολυνπιος αστεροπητης
εκς ͱεδεων στυφελικσαι· ͱο γαρ πολυ φερτατος εστιν.
αλλα συ τονγε ϝεπεσσι καθαπτεσθαι μαλακοισιν·
αϝτικ' επειθ' ιλαϝος ολυνπιος εσσεται ͱημῖν.
ͱως αρ' εφη, και αναͱικσανς, δεπας αμφικυπελλον
μητρι φιλῇ εν χερσ' ετιθεε, και μιν προσεϝεσπεν·
τετλαθι, μητερ εμη, και ανασχεο, κηδομενη περ,
μη σε, φιλην περ εοντσαν, εν οφθαλμοισι ϝιδωμαι

θεινομενην· τοτε δ' ουτι δυνῆσομαι, αχνυμενος περ, A
χραϝσμεεν· αργαλεος γαρ ολυνπιος αντιφερεσθαι.
ηδη γαρ με και αλλοτ' αλεκσεμεναι μεμαϝῶτα
ριπτσε, ποδος τεταγων, απο βηλοϝο θεσπεσιοϝο·
παν δ' ͱημαρ φερομην, ͱαμα δ' ηελιῳ̃ καταδῦντι
καττπεσον εν λημνῳ· ολιγος δ' ετι θυϝμος ενῆεν·
ενθα με σιντιες ανδρες ͱαφαρ κομισαντο πεσοντα.
ͱως φατο· μειδῆσεν δε θεα λεϝκωλενος ͱηρη·
μειδῆσαντσα δε, παιδος εδεχσατο χειρι κυπελλον.
αϝταρ ͱο τοισ' αλλοισι θεοισ' ενδεχσια παντσιν
ϝοινοχοϝεε, γλυκυ νεκταρ απο κρῆτηρος αφυσσων·
ασβεστος δ' αρ' ενῶρτο γελος μακαρεσι θεοισιν,
ͱως ϝιδον ͱηφαιστον δια δῶματα ποιπνυϝοντα.
ͱως τοτε μεν προπαν ͱημαρ ες ῆελιον καταδῦντα
δαινῦντ'· ουδε τι θυϝμος εδεϝετο δαιτος ϝεϊσης,
ου μεν φορμιγγος περικαλλεος, ͱην ͱεχ' απολλων,
μοϝσαϝων θ', αι αϝειδον, αμειβομεναι ϝοπι καλῇ.
αϝταρ επει κατεδῦ λαμπρον φαϝος ῆελιοϝο,
ͱοι μεν κατκειοντες εβαν ϝοικονδε ͱεκαστος,
ͱηχι ͱεκαστῳ̃ δῶμα περικλυτος αμφιγυῆεις
ͱηφαιστος ποιησε ϝιδυιῇσι πραπιδεσιν·
δσεϝς δε προς ͱον λεχος ηϊ' ολυνπιος αστεροπητης,
ενθα παρος κοιμᾶθ', οτε μιν γλυκυς ͱυπνος ͱικανοι.
αλλοι μεν ρα θεοι τε και ανερες ͱιπποκορυσται B
ͱευδον παννυχιοι, δια δ' ουχ εχεν ͱηδυμος ͱυπνος·
αλλ' ͱογε μερμηριδσε κατα φρενα, ͱως αχιλεϝα
τιϝμῆσῃ̃, ολεσῃ̃ δε πολυας επι ναϝσιν αχαιϝων.
ͱηδε δε ͱοι κατα θυϝμον αριστη εφαινετο βουλη,
πεμπσαι επ' ατρεϝιδῃ̃ αγαμεμνον' ολοϝον ονειρον·
και μιν φῶνησανς ϝεπεα πτεροεντα προσῆυϝδα·
βασκ' εϊθ' ολοϝ' ονειρε, θοϝας επι ναϝας αχαιϝων·
ελθων ες κλισιην αγαμεμνονος ατρεϝιδαϝο
παντα μαλ' ατρεκεως αγορεϝεμεν, ͱως επιτελλω·
θωρηκσαι ͱε κελεϝε καρηκομαοντας αχαιϝοϝς
πανσυδιῇ̃· νῦν γαρ κεν ͱελοι πολιν ευρυαγυιαν
τροϝων· ου γαρ ετ' αμφις ολυνπια δῶμαθ' εχοντες
αθανατοι φραδσονται· επεγναμπτσεν γαρ ͱαπαντας
ͱηρη λισσομενη· τροϝεσι δε κηδε' εφαπται.
ͱως φατο· βη δ' αρ' ονειρος, επει τον μυϝθον ακοϝσεν·
καρπαλιμως δ' εͱικανε θοϝας επι ναϝας αχαιϝων·
βη δ' αρ' επ' ατρεϝιδην αγαμεμνονα· τον δ' εκιχανεν
ͱευδοντ' εν κλισιῇ̃, περι δ' ανβροσιος κεχυθ' υπνος.
στη δ' αρ' ͱυπερ κεφαλης, νηλεϝιῳ̃ ͱυιϊ ϝεϝοικως,
νεστορι, τον ρα μαλιστα γεροντων τιϝ' αγαμεμνων·
τῳ̃ μιν ϝειδσαμενος προσεφωνε' ολοϝος ονειρος·
ͱευδεις, ατρεϝος ͱυιε δαϝιφρονος, ͱιπποδαμοϝο;

ου χρη παννυχιον ͱευδεεν βουληφορον ανδρα, B
ͱῷ λαϝοι τ' επιτετραφαται, και τοσα μεμῆλεν. 25
νῦν δ' εμεθεν γσυνϝες ῶκα· διος δε τοι ανγελος ῆμι. 26
θωρηκσαι σ' εκελεϝσε καρηκομαοντας αχαιϝοϝς 28
πανσυδιῇ· νῦν γαϼ κεν ͱελοις πολιν ευρυαγυιαν
τροϝων· ου γαρ ετ' αμφις ολυνπια δῶμαθ' εχοντες 30
αθανατοι φραδσονται· επεγναμπτσεν γαρ ͱαπαντας
ͱηρη λισσομενη· τροϝεσι δε κηδε' εφαπται
εκ διος· αλλα συ σῇσιν ͱεχε φρεσι, μηδε σε ληθη
ͱαιρεετω, ευτ' αν σε μελιφρων ͱυπνος ανͱῇῃ.
ͱως αρα φῶνησανς απεβησατο· τον δ' ελιπ' αϝτοο 35
τα φρονεοντ' ανα θυϝμον, ͱα ρ' ου τελεεσθαι εμελλεν.
φη γαϼ ͱογ' ͱαιρησεεν πριαμοο πολιν ͱηματι κεινῷ,
νηπιος! ουδε τα ϝοιδε', ͱα ρα δσεϝς μηδετο ϝεργα.
θησεεν γαρ ετ' εμελλεν επ' αλγεα τε στοναχας τε
τϼοϝσι τε και δαναοισι δια κρατερας ͱυσμινας. 40
εγρετο δ' εκς ͱυπνοο· θειη δε μιν αμφεχυτ' ομφη·
ͱεδσετο δ' ορθωθενς· μαλακον δ' ενδυϝνε χιτῶνα,
καλον, νηγατεον· περι δ' αϝ μεγ' εβαλλετο φαϝρος·
ποδσι δ' ͱυπο λιπαροισιν εδησατο καλα πεδιλϝα·
αμφι δ' αρ' ωμοισιν βαλετο χσιφος αργυροͱηλον· 45
ͱελλετο δε σκηπτρον πατροϝιον αφθιτον αιϝει,
γσυν τῷ εβη κατα ναϝας αχαιϝων χαλκοχιτῶνων.
ῆως μεν ρα θεα πϼοσεβησατο μακρον ολυνπον,
δσηνι φαϝος ϝεϼεοντσα και αλλοισ' αθανατοισιν·
αϝταϼ ͱο κηϼῦκεσι λιγυφθονγοισ' εκελεϝσεν 50
κηρυσσεεν αγορηνδε καρηκομαοντας αχαιϝοϝς·
ͱοι μεν εκηρυσσον, τοι δ' ῆγειροντο μαλ' ῶκα.
βουλην δε πρῶτον μεγαθυϝμων ͱιδσε γεροντων,
νεστοϼεῇ παρα ναϝι πυλοιγενεος βασιλεϝος·
τοϝς ͱογε συνκαλεσανς, πυκινην ῆρτυϝνετο βουλην· 55
κλῦτε, φιλοι, θειος μοι ενͱυπνιον ηλθεν ονειρος
ανβροσιην δια νυκτα· μαλιστα δε νεστορι διϝῷ,
ϝειδος τε, μεγαθος τε, φυϝην τ', ανχιστ' εϝεϝοικεεν.
στη δ' αρ' ͱυπερ κεφαλης, και με προς μυϝθον εϝεσπεν·
ͱευδεις, ατρεϝος ͱυιε δαϝιφρονος, ͱιπποδαμοϝο ; 60
ου χρη παννυχιον ͱευδεεν βουληφορον ανδϼα,
ͱῷ λαϝοι τ' επιτετραφαται, και τοσα μεμῆλεν.
νῦν δ' εμεθεν γσυνͱες ῶκα· διος δε τοι ανγελος ῆμι, 63
θωρηκσαι σ' εκελεϝσε καρηκομαοντας αχαιϝοϝς 65
πανσυδιῇ· νῦν γαρ κεν ͱελοις πολιν ευρυαγυιαν
τροϝων· ου γαρ ετ' αμφις ολυνπια δωμαθ' εχοντες
αθανατοι φραδσονται· επεγναμπτσεν γαρ ͱαπαντας
ͱηρη λισσομενη· τροϝεσι δε κηδε' εφαπται
εκ διος· αλλα συ σῇσιν ͱεχε φρεσιν. ͱως ͱο μεν ϝεσπων 70
ῴχετ' αποπταμενος· εμε δε γλυκυς ͱυπνος ανͱηκεν.

αλλ' αγετ', αι κεν πως θωρηκσομεν ͱυιας αχαιϝων· B
πρῶτα δ' εγω ϝεπεσιν πειρῆσομαι, ͱῇ θεμις εστιν,
και φευγεεν γσυν ναϝσι πολυκληϝιεσι κελεϝσω·
ͱυμεες δ' αλλοθεν αλλος ερητυϝεμεν ϝεπεεσιν.
ͱως αρα φωνησανς βουλης εκς ἦρχε νεεσθαι.
ͱοι δ' επανεστησαν, πειθοντο τε ποιμενι λαϝων,
σκηπτοͱοχοι βασιληϝες· επεσσεϝοντο δε λαϝοι.
ηΰτε ϝεθνε' ιαντι μελισσαϝων ͱαδιναϝων,
πετρης εκ γλαφυρης αιϝει νεϝον ερχομεναϝων,
βοτρῦδον δε πετονται επ' ανθεσι ϝεαρινοισιν.
ͱως των ϝεθνεα πολλα ναϝων απο και κλισιαϝων
ηϊονος προπαροιθε βαθυιης εστιχαοντο
ϝιλϝαδον εις αγορην· μετα δε σφισι ϝοσσ' εδεδῆεεν,
οτρυϝνοντσ' ιμεναι, διος ανγελος· ͱοι δ' αγεροντο·
τετρῆχεε δ' αγορη, ͱυπο δε στοναχιδσετο γαια,
λαϝων ͱιδσοντων, ͱομαδος δ' ἦν· ͱεννεα δε σφεας
κηρῦκες βοαοντες ερητυϝον, ει ποτ' αͱυϝτης
σχοιατ', ακοϝσειαν δε διοτρεφεων βασιληϝων.
σπουδῇ δ' ͱεδσετο λαϝος, ερητυϝθεν δε καθ' εδρας,
παϝσαμενοι κλανγης· ανα δε κρεϝων αγαμεμνων
εστη, σκηπτρον ͱεχων, το μεν ͱηφαιστος καμε τευχων.
ͱηφαιστος μεν εδῶκε διϊ κρονιϝῶνι ϝανακτι·
αϝταρ αρα δσεϝς δῶκε διακτορῳ αργεϊφοντῃ·
ͱερμειας δε ϝανακς δῶκεν πελοπι πληγσιͱιππῳ·
αϝταρ ͱογ' αϝτε πελοπς δῶκ' ατρεϝι, ποιμενι λαϝων·
ατρεϝς δε θνῄσκων ελιπεν πολυϝαρνι θυϝεστῃ·
αϝταρ ͱογ' αϝτε θυεστ' αγαμεμνονι λειπε φορηναι,
πολλῇσιν νησοισι και αργεϊ παντι ϝανασσεεν·
τῷ ͱογ' ερειδσαμενος, ϝεπεα πτεροεντα προσηϋϝδα·
ω φιλοι, ͱηροϝες δαναοι, θεραποντες αρεϝος,
δσεϝς με μεγα κρονιδης αϝατῃ ενεδησε βαρυιῃ·
σχετλιος, ͱος πριν μεν μοι ͱυπεσχετο και κατενευσεν,
ϝιλϝιον εκπερθσανθ' εΰτειχεον απονεεσθαι·
νῦν δε κακην απατην βουλεϝσατο, και με κελεϝει
δυσκλεε' αργος ͱικεσθαι, επει πολυν ὤλεσα λαϝον.
ͱοϝτῳ που διϊ μελλει ͱυπερμενεϊ φιλον εεναι,
ͱος δη πολλαϝων πολιων κατελυϝσε καρηνα,
ηδ' ετι και λυϝσει· τοϝο γαρ κρατος εστι μεγιστον.
αισχρον γαρ τοδε γ' εστι και εσσομενοισι πυθεσθαι,
μαπς ͱοϝτῳ τοιονδε τοσονδε τε λαϝον αχαιϝων
απρῆκτον πολεμον πολεμιδσεμεν, ηδε μαχεσθαι
ανδρεσι παϝροτεροισι· τελος δ' ου πω τι πεφανται.
ειπερ γαρ κ' εθελοιμεν αχαιϝοι τε τρωϝες τε
τρωϝας μεν λεγσασθαι, εφεστιοι ͱοσοι εασιν,
ͱημεας δ' ες δεκαδας διακοσμηθημεν' αχαιϝοϝς,
τρωϝων δ' ανδρα ͱεκαστοι ͱελοιμεθα ϝοινοχοϝεϝεεν,

πολλαι κεν δεκαδες δεϝοιατο ϝοινοχοϝοϝο. B
τοσον εγω φημι πλεας εσμεναι ͱυιας αχαιϝων. 129
ͱεννεα δη βεβααντι διος μεγαλοϝ' ενιαϝτοι, 134
και δη δορϝα σεσηπε ναϝων, και σπαρτα λελῦνται· 135
ͱαι δε ποϝ' ͱημετεραι ͱαλοχοι, και νηπια τεκνα,
ͱηαται εν μεγαροις ποτιδεχμεναι· αμμι δε ϝεργον
αϝτως ακραϝαντον, ͱοϝ' ͱεινεκα δευρ' ͱικομεσθα.
αλλ' αγεθ', ως αν εγω ϝεσπω, πειθωμεθα παντες·
φευγωμεν γσυν ναϝσι φιλην ες πατριδα γαιαν· 140
ου γαρ ετι τροϝιην ͱαιρησομεν ευρυαγυιαν.
ͱως φατο· τοισι δε θυϝμον ενι στηθεσσιν ορῖνεν. 142
κινηθη δ' αγορη, ͱως κυϝματα μακρα θαλασσης 144
ποντοϝο ϝικαριοϝο, τα μεν τ' ευρος τε νοτος τε 145
ορορ', επαͱιξσανς πατερος διος εκ νεφελαϝων.
ͱως δ' ͱοτε κινητι δσεφυρος βαθυ λεϝιον ελθων,
λαβρος επαιγιδσων, επι τ' ημυϝει ασταχυεσιν·
ͱως των παντσ' αγορη κινηθη· τοι δ' αλαλητῷ
ναϝας επ' εσσεϝοντο· ποδων δ' ͱυπενερθε κονιϝη 150
ͱισταт' αͱειρομενη· τοι δ' αλληλοισ' εκελεϝον
ͱαπτεσθαι ναϝων, ηδ' ͱελκεμεν εις ͱαλα διϝαν,
ουροϝς τ' εκσεκαθαιρον· αͱυϝτη δ' ουρανον ͱικεν
ϝοικαδε ͱιͱεμενων· ͱυπο δ' ͱαιρεον ͱερματα ναϝων.
ενθα κεν αργειϝοισιν ͱυπερμορα νοστος ετυχθη, 155
ει μη αθηναιην ͱηρη προς μυϝθον εϝεσπεν·
ω ποποι! αιγιͱοχοϝο διος τεκος ατρυτωνη,
ͱοϝτῷ δη ϝοικονδε, φιλην ες πατριδα γαιαν,
αργειϝοι φευγσονται επ' ευρυα νωτα θαλασσης; 159
αλλ' ιθι νῦν μετα λαϝον αχαιϝων χαλκοχιτῶνων, 163
μηδ' εϝαε ναϝας ͱαλαδ' ͱελκεμεν αμφιϝελισσας. 165
ͱως εφατ'· ουδ' απιθησε θεα γλαϝκῶπις αθηνη·
βη δε κατ' ολυμποϝο καρηνων αͱιξσαντσα,
καρπαλιμως δ' εͱικανε θοϝας επι ναϝας αχαιϝων·
ͱευρεν επειθ' οδυσεϝα, διϊ μητιν ͱαταλαντον,
ͱεσταοτ'· ουδ' ͱογε ναϝος ͱεϋσελμοϝο μελαινης 170
ͱαπτετ', επει μιν αχος κραδιην και θυϝμον ͱικανεν.
ανχοϝο δ' ͱισταμενη προσεφη γλαϝκῶπις αθηνη·
διϝογενες λαϝερτιαδη, πολυμηχαν ͱοδυσσεϝ,
ͱοϝτῷ δη ϝοικονδε, φιλην ες πατριδα γαιαν,
φευγσεσθ', εν ναϝεσι πολυκλεϝιεσι πεσοντες; 175
κατ δε κεν ευχωλην πριαμῷ και τροϝσι λιποιτε
αργειϝην ͱελενην, ͱης ͱεινεκα πολλοι αχαιϝων
εν τροϝιῃ απολοντο, φιλης απο πατριδος αιης;
αλλ' ιθι νῦν μετα λαϝον αχαιϝων, μηδε τ' εροϝε·
σοις δ' αγανοισι ϝεπεσσιν ερητυϝε φῶτα ͱεκαστον, 180
μηδ' εϝαε ναϝας ͱαλαδ' ͱελκεμεν αμφιϝελισσας.
ͱως φαθ'· ο δε γσυνεͱῆκε θεας ϝοπα φωνησαντσης·

βη δε θεFεεν, απο δε χλαιναν βαλε· την δ' εκομισσεν B
κηρυκς ευρυβατης ιθακησιος, hος hοι οπηδεεν.
αFτος δ' ατρεFιδαF' αγαμεμνονος αντιος ελθων,
δεχσατο hοι σκηπτρον πατρoFιον, αφθιτον αιFει·
γσυν τῷ εβη κατα ναFας αχαιFων χαλκοχιτῶνων.
hοντινα μεν βασιλεFα και εκσhοχον ανδρα κιχειη,
τον δ' αγανοισι Fεπεσσιν ερητυFσᾶσκε παραστανς·
δαιμονι', ου σε FεFοικε, κακον hως, δειδισσεσθαι·
αλλ' αFτος τε καθησο, και αλλοFς hιδρυFε λαFοFς.
ου γαρ πῷ σαφα Fοιδσθ', hοιος νοος ατρεFιδαFο.
hον δ' αF δημοFο τ' ανδρα Fιδοι, βοαοντα τ' εφευροι,
τον σκηπτρῷ ελασᾶσκεν, hομοκλησᾶσκε τε μυFθῷ·
δαιμονι', ατρεμας hησο, και αλλων μυFθον ακοFε,
hοι σεFο φερτεροι εντι· συ δ' απτολεμος και ααλκις,
ουτε ποτ' εν πολεμῷ εναριθμιος, ουτ' ενι βουλῇ.
ου μεν πως παντες βασιλεFσομεν ενθαδ' αχαιFοι·
ουκ αγαθον πολυκοιρανιη· hενς κοιρανος εστω,
hενς βασιλεFς, hῷ εδῶκε κρονοο παϊς ανκυλομητεο·
hως hογε κοιρανεων διhεπε στρατον· hοι δ' αγορηνδε
αFτις επεσσεFοντο, ναFων απο και κλισιαFων,
Fηχῇ· hως hοτε κυFμα πολυφλοισβοFο θαλασσης
αιγιαλῷ μεγαλα βρεμεται, σμαραγεῖ δε τε ποντος.
αλλοι μεν ρ' hεδσοντ', ηρητυFθεν δε καθ' εδρας.
θερσῖτης δ' ετι μουνος αμετροFεπης εκολοFα,
hος Fεπεα φρεσιν hῇσιν ακοσμα τε πολλα τε Fοιδεεν,
μαπς, αταρ ου κατα κοσμον, εριδσεμεναι βασιλεFσιν,
αλλ' hο τι hοι Fειδσαιτο γελοFιον αργειFοισιν.
εχθιστος δ' αχιλεFι μαλιστ' ην, ηδ' hοδυσεFι·
τω γαρ νεικειεσκε. τοτ' αF αγαμεμνονι διFῳ
hοκσυα κεκληγως λεγ' ονειδεα· τῷ δ' αρ' αχαιFοι
εκπαγλως κοτεοντο, νεμεσσῆθεν τ' ενι θυFμῷ.
ατρεFιδη, τεο δ' αFτ' επιμεμφεαι, ηδε χατιδσεις;
πλεεαι τοι χαλκοο κλισιαι, πολλαι δε γυναικες
εντιν ενι κλισιῇσ' εκσhαιρετοι, hας τοι αχαιFοι
πρῶτιστῳ διδομεν, ευτ' αν πτολιεθρον hελωμεν.
η' ετι και χρυσοF επιδεFεαι, hον κε τις hοισει
τροFων hιπποδαμων εκς FιλFιοF, hυιος αποινα,
hον κεν εγω δησανς αγαγω, η' αλλος αχαιFων;
ω πεπονες, κακ' ελεγχε', αχαιFιδες, ουκ ετ' αχαιFοι,
Fοικαδε περ γσυν ναFσι νεωμεθα· τον δ' εFαωμεν
αFτοF ενι τροFιῃ γερα πεσσεμεν, hοφρα Fιδηται
η ρα τι hοι χ' ημεες προσαμυFνομεν, ηε και ουκι·
hος και νῦν αχιλεFα, hεFο μεγ' αμεινονα φῶτα,
ῆτιFμῆσεν· hελων γαρ εχει γερας, αFτος απαFρανς.
αλλα μαλ' ουκ αχιλεFι χολος φρεσιν, αλλα μεθημων·
η γαρ αν, ατρεFιδη, νῦν hυστατα λωβησαιο.

ͱως φατο νεικειων αγαμεμνονα, ποιμενα λαϝων,
θερσῖτης· τῷ δ' ὦκα παρͱιστατο διϝος ͱοδυσσεϝς,
και μιν ͱυποδρα ϝιδων χαλεπῷ ηνιπαπε μυϝθῳ·
θερσῖτ' ακριτομυϝθε, λιγυς περ εων αγορεϝτης,
ͱισχεο, μηδ' εθελ' οιος εριδσεμεναι βασιλεϝσιν·
ου γαρ εγω σεϝο φημι χερειοτερον βροτον αλλον
εσμεναι, ͱοσοι ͱαμ' ατρεϝιδῃσ' ͱυπο ϝιλϝιον ηλθον.
τῷ ουκ αν βασιλεϝας ανα στομ' ͱεχων αγορεϝοις,
και σφιν ονειδεα τε προφεροις, νοστον τε φυλασσοις.
αλλ' εκ τοι ϝερεω, το δε και τετελεσμενον εσται·
ει κ' ετι σ' αφραινοντα κιχησομαι, ͱως νυ περ ͱῷδε,
μηκετ' επειθ' οδυσεϝι καρῃ ωμοισιν επειη,
μηδ' ετι τηλεμαχοϝο πατηρ κεκλημενος ειην,
ει μη εγω σε λαβων απο μεν φιλα ϝεσματα δυϝσω,
χλαιναν τ' ἠδε χιτῶνα, τατ' αιδοι' αμφικαλυπτει,
αϝτον δε κλαϝοντα θοϝας επι ναϝας αφησω
πεπληγγως αγορηθεν αϝεικεσσι πληγῇσιν.
ͱως αρ' εφη· σκηπτρῷ δε μεταφρενον ηδε και ωμω
πληγσεν· ͱο δ' ιδνωθη, θαλερον δε ͱοι εκπεσε δακρυ.
σμωδινγς δ' ͱαιματοεντσα μεταφρενοϝ' εκσͱυπανεστη
σκηπτροϝ' ͱυπο χρυσεοϝ'· ͱο δ' αρ' ͱεδσετο, ταρβησεν τε·
αλγησανς δ', αχρεϝον ϝιδων, απεμοργσατο δακρυ.
ͱοι δε, και αχνυμενοι περ, επ' αϝτῷ ͱηδυ γελασσαν·
ͱῷδε δε τις ϝεσπεσκε, ϝιδων ες πλησιον αλλον·
ω ποποι! η δη μυϝρι' ͱοδυσσεϝς εσθλα ϝεϝοργεν,
βουλας τ' εκσαρχων αγαθας, πολεμον τε κορυσσων.
νῦν δε το δη μεγ' αριστον εν αργειϝοισιν ερεκσεν,
ͱος τον λωβητῆρα ϝεπεσβολον εσχ' αγοραϝων.
ου θην μιν παλιν αϝτις ανͱησει θυϝμος αγηνωρ
νεικειεεν βασιλεϝας ονειδειοισι ϝεπεσσιν.
ͱως φασαν ͱη πληθυς· ανα δ' ͱο πτολιπορθος ͱοδυσσεϝς
εστη σκηπτρον ͱεχων· παρα δε, γλαϝκῶπις αθηνη,
ϝειδομενη κηρῦκι, σιωπᾶν λαͱον ανωγεν,
ͱως ͱαμα θ' οι πρῶτοι τε και ͱυστατοι ͱυιες αχαιϝων
μυϝθον ακοϝσειαν, και επιφρασσαιατο βουλην·
ͱο σφιν ͱεϋφρονεων αγορεϝσατο, και μετεϝεσπεν·
ατρεϝιδη, νῦν δη σε, ϝανακς, εθελοντιν αχαιϝοι
παντσιν ελενχιστον θεμεναι μεροπεσι βροτοισιν·
ουδε τοι εκτελεοντιν ͱυποσχεσιν, ͱηνπερ ͱυπεσταν,
ενθαδ' ετι στειχοντες απ' αργεος ͱιπποβοτοϝο,
ϝιλϝιον εκπερθσανθ' εϋτειχεον απονεεσθαι.
ͱωστε γαρ η παιδες νεϝαροι, χηραι τε γυναικες,
αλληλοισιν οδυϝρονται ϝοικονδε νεεσθαι.
η μην και πονος εστιν ανιϝηθεντα νεεσθαι.
και γαρ τις ͱενα μηνα μενων απο ͱης ͱαλοχοϝο
ασχαλαει γσυν ναϝι πολυδσυγῷ, ͱηνπερ αϝελλαι

χειμεριαι ϝελϝεωντιν, οϱινομενη τε θαλασσα· Β
ͱημῖν δ' ͱεννατος εστι περιτροπεων ενιαϝτος
ενθαδε μιμνοντεσι· τῷ ου νεμεσιδσομ' αχαιϝοϝς
ασχαλαεεν παρα ναϝσι κοϱωνισιν· αλλα και ενπης
αισχρον τοι δηρον τε μενεεν, κενεον τε νεεσθαι.
τλῆτε, φιλοι, και μῆνατ' επι χϱονον, ͱοφρα δαωμεν
ει ͱετεον καλχανς μαντεϝεται, ηε και ουκι.
ͱευ γαρ δη τογε ϝιδμεν ενι φρεσιν, εστε δε παντες
μαρτυροι, ͱοϝς μη κηρες εβαν θανατοϝο φερουσαι
χθιδσα τε και πρῶιδσ', ͱοτ' ες αϝλιδα ναϝες αχαιϝων
ῆγερεθοντο, κακα πριαμῷ και τροϝσι φερονσαι,
ͱῆμεες δ' αμφι περι κϱῆνην ͱιεροϝς κατα βωμοϝς
ερδομεν αθανατοισι τελῆεντσας ͱεκατονβας,
καλῇ ͱυπο πλατανιστῷ, ͱοθεν ρεϝεν αγλαϝον ͱυϝδωρ·
ενθ' εφανη μεγα σημα· δρακων επι νωτα δαφοινος,
σμερδαλεος, τον ρ' αϝτος ολυνπιος ͱῆκε φαϝοσδε,
βωμοϝ' ͱυπαͱιξσανς προς ρα πλατανιστον οροϝσεν·
ενθα δ' εσαν στρουθοϝο νεϝοσσοι, νηπια τεκνα,
οδσῷ επ' ακροτατῷ, πεταλοισ' ͱυποπεπτῆῶτες,
ͱοκτω· αταρ μητηρ ͱενατη ῆν, ͱη τεκε τεκνα.
ενθ' ͱογε τοϝς ελεεινα κατησθιε τετρῖγῶτας·
μητηρ δ' αμφεποτᾶτο οδυϝρομενη φιλα τεκνα·
την δε ϝελιξσαμενος πτερυγος λαβεν αμφιϝαχυιαν·
ͱημεες δ' ͱεσταοτες θαϝμαδσομεν, ͱοιον ετυχθη.
καλχανς δ' αϝτικ' επειτα θεοπϱοπεων αγοϱεϝεν·
τιπτ' ααϝοι εγενεσθε, καϱῆκομαοντες αχαιϝοι;
ͱημῖν μεν τοδ' εφῆνε τερας μεγα μητιετα δσεϝς,
οπσιμον, οπσιτελεστον, ͱοͱο κλεος ου ποτ' ολεεται.
ͱως ͱοϝτος κατα τεκν' εφαγε στρουθοϝο, και αϝτην,
ͱοκτω, αταρ μητηρ ͱενατη ην, ͱη τεκε τεκνα·
ͱως ͱημεες τοσαϝτα ϝετεα πτολεμιξσομεν αϝθι,
τῷ δεκατῷ δε πολιν ͱαιρησομεν ευρυαγυιαν.
κεινος τως αγορεϝε· τα δη νῦν παντα τελεεται.
αλλ' αγε, μιμνετε παντες, ͱεϋκνημῖδες αχαιϝοι,
αϝτοϝ', εις ͱο κε ϝαστυ μεγα πριαμοϝο ͱελωμεν.
ͱως εφατ'· αϱγειϝοι δ' επ' εϝιϝαχον, αμφι δε ναϝες
σμερδαλεον κοναβησαν, αͱυϝσαντων ͱυπ' αχαιϝων.
τοισι δε και μετεϝεσπε γερηνιος ͱιπποτα νεστωρ·
ω ποποι! η δη παιδσι ϝεϝοικοτες αγορεϝεσθε
νηπιαχοισ', ͱοισ' ουτι μελει πολεμῆϊα ϝεργα.
πῇ δη γσυνθεσιαι τε και ͱορκια βησεται ͱημῖν;
εν πυρι δη βουλαι τε γενοιατο, μηδεα τ' ανδρων,
σπονδαι τ' ακρῆτοι, και δεχσιαι, ͱῇσ' επεπιθμεν·
αϝτως γαρ ρα ϝεπεσσ' εϱιδαινομεν, ουδε τι μηχος
ͱευρεμεναι δυναμεσθα, πολυν χρονον ενθαδ' εοντες.
ατρεϝιδη, συ δ' εθ', ως πριν, ͱεχων αστεμφεα βουλην,

αρχεF' αργειFοισι κατα κρατερας hυσμινας· B
τοFς δ' εFαε φθινυθεεν, hενα και δυο, τοι κεν αχαιFων
νοσφιν βουλεFωντ', ανυσις δ' ουκ εσσεται αFτων,
πριν γ' αργοσδ' ιμεναι, πριν και διος αιγιhοχοFο
γνῶμεναι ειτε πσευδος hυποσχεσις, ηε και ουκι.
φημι γαρ ὦν κατανευσαι hυπερμενεα κρονιFῶνα
hηματι τῷ, hοτε ναFσιν εν ὦκυποροισιν εβαινον
αργειFοι, τροFεσι φονον και κηρα φεροντες·
αστραπτων επιδεχσι', εναισιμα σηματα φαινων.
τῷ, μη τις πριν επειγεσθω Fοικονδε νεεσθαι,
πριν τινα παρ τροFων hαλοχῷ κατακοιμῆθηναι,
τιFσασθαι δ' hελενης hορμῆματα τε στοναχας τε.
ει δε τις εκπαγλως εθελει Fοικονδε νεεσθαι,
hαπτεσθω hης ναFος hεϋσελμοFο μελαινης,
hοφρα προσθ' αλλων θανατον και ποτμον εφεσπῇ.
αλλα, Fανακς, αFτος θ' εϋ μηδεο, πειθεο τ' αλλῷ.
ουτοι αποβλητον Fεπος εσσεται, hο τι κε Fεσπω.
κριν' ανδρας κατα φυFλα, κατα φρῆτρας, αγαμεμνον,
hως φρῆτρη φρῆτρηφιν αρηγῇ, φυFλα δε φυFλοις·
ει δε κεν hως ερκσῇς, και τοι πειθωνται αχαιFοι,
γνῶσε' επειθ', ος θ' ηγεμονων κακος, hος τε νυ λαFων,
ηδ' hος κ' εσθλος εητι· κατα σφεας γὰρ μαχεονται.
γνῶσεαι δ' ει και θεσπεσιῃ πολιν ουκ αλαπακσεις,
η' ανδρων κακοτητι, και αφραδιῇ πολεμοFο.
τον δ' απαμειβομενος προσεφη κρεFων αγαμεμνων·
η μαν αFτ' αγορῇ νικᾷς, γερον, hυιας αχαιFων·
αι γαρ, δσεF τε πατερ, και αθηναιη, και απολλον,
τοιοFτοι δεκα μοι γσυνφραδμονες ειεν αχαιFων·
τῷ κε ταχ' ημυFσειε πολις πριαμοFο Fανακτος,
χερσιν hυφ' ημετερῇσιν hαλοντσα τε περθομενη τε.
αλλα μοι αιγιhοχος κρονιδης δσεFς αλγε' εδῶκεν,
hος με μετ' απρῆκτοFς εριδας και νεικεα βαλλει.
νῦν δ' ερχεσθ' επι δειπνον, hινα γσυναγωμεν αρεFα.
hευ μεν τις δορυ θηγσασθω, hευ δ' ασπιδα θεσθω,
hευ δε τις hιπποισιν δειπνον δοτω ὦκυποδεσιν,
hευ δε τις hαρματος αμφι Fιδων πολεμοFο μεδεσθω·
hως κε πανhημεριοι στυγερῷ κρινωμεθ' αρεFι.
ου γαρ παFσωλη γε μετεσσεται, ουδ' ηβαιον.
hιδρῶσει μεν τεο τελαμων αμφι στηθεσσιν
ασπιδος αμφιβροτης, περι δ' ενχεϊ χειρα καμεεται·
hιδρῶσει δε τεο hιππος hεϋχσυFον hαρμα τιταινων.
hον δ' αν εγων απανευθε μαχης εθελοντα νοησω
μιμναδσεεν παρα ναFσι κορωνισιν, ου hοι επειτα
αρκιον εσεεται φυγεεεν κυνας ηδ' οιFωνοFς.
hως εφατ'· αργειFοι δ' επ' εFιFαχον, hως hοτε κυFμα
ακτῇ εφ' υπσηλῇ, hοτε κινητιν νοτος ελθων

προβλῆτι σκοπελῷ· τον δ' ου ποτε κυϝματα λειπει, B
παντοιων ανεμων, ͱοτ' αν ενθ' η' ενθα γενωνται.
ανσταντες δ' ορεοντο, κεδασθεντες κατα ναϝας,
καπνισσαν τε κατα κλισιας, και δειπνον ͱελοντο·
αλλος δ' αλλῳ ερεδσε θεων αιϝειγενεταϝων,
ευχομενος θανατον τε φυγεεν και μῶλον αρεϝος.
αϝταρ ͱο βοϝν ͱιερεϝσε ϝανακς ανδρων αγαμεμνων
πιϝονα, πενταϝετηρον, ͱυπερμενεϊ κρονιϝῶνι·
κικλῆσκεν δε γεροντας αριστεϝας παναχαιϝων·
νεστορα μεν πρῶτιστα, και ιδομενεϝα ϝανακτα,
αϝταρ επειτ' αιϝαντε δυω, και τυϝδεϝος ͱυιον·
ͱεκτον δ' αϝθ' οδυσεϝα, διϊ μητιν ͱαταλαντον.
αϝτοματος δε ͱοι ηλθε βοην αγαθος μενελαϝος.
βοϝν δε περιστησαντο, και ολϝοχυτας ανͱελοντο.
τοισιν δ' ευχομενος μετεφη κρεϝων αγαμεμνων·
δσεϝ κυϝδιστε, μεγιστε, κελαινεφες, αιθερι ναιων,
μη πριν επ' ῆελιον δυϝναι, και επι κνεφας ελθεεν,
πριν με κατα πρηνες βαλεεεν πριαμοϝο μελαθρον
αιθαλοεν, πρηθσαι δε πυρος δαϝιοϝο θυρετρα·
ͱεκτορεον δε χιτῶνα περι στηθεσσι δαϊκσαι
χαλκῷ ϝρῶγαλεον· πολυες δ' αμφ' αϝτον ͱεταιροι
πρηνεες εν κονιϝῃσιν οδακς λαδσοιατο γαιαν.
ͱως εφατ'· ουδ' αρα πῳ ͱοι επεκραϝαινε κρονιϝων·
αλλ' ͱογ' εδεχτο μεν ͱιερα, πονον δ' αμεγαρτον οφελλεν.
αϝταρ επει ρ' ευχσαντο, και ολϝοχυτας προβαλοντο,
αϝ ϝερυσαν μεν πρῶτα, και εσφαγσαν και εδερϝαν,
μηροϝς τ' εκσεταμον, κατα τε κνισσῃ εκαλυπτσαν
διπτυχα ποιησαντες, επ' αϝτων δ' ωμοθετησαν·
και τα μεν αρ σχιδσῇσιν αφυλλοισιν κατεκαϝον·
σπλανχνα δ' αρ' ανπῆραντες ͱυπερͱεχον ͱηφαιστοϝο.
αϝταρ επει κατα μηρ' εκαϝη, και σπλανχν' επασαντο,
μιστυλλον τ' αρα τ' αλλα, και αμφ' οβελοισιν επῆραν,
ῶπτῆσαν τε περιφραδεως, ϝερυσαντο τε παντα.
αϝταρ επει παϝσαντο πονοο, τετυκοντο τε δαιτα,
δαινῦντ', ουδε τι θυϝμος εδεϝετο δαιτος ϝεϊσϝης.
αϝταρ επει ποσιος και εδητυος εκς ερον ͱεντο,
τοισ' αρα μυϝθων ῆρχε γερηνιος ͱιπποτα νεστωρ·
ατρεϝιδη κυϝδιστε, ϝανακς ανδρων, αγαμεμνον,
μηκετι νῦν δηθ' αϝθι λεγωμεθα, μηδ' ετι δηρον
ανβαλλωμεθα ϝεργον, ͱο δη θεος ενγυαλιδσει.
αλλ' αγε, κηρῦκες μεν αχαιϝων χαλκοχιτῶνων
λαϝον κηρυσσοντες αγειροντων κατα ναϝας·
ͱημεες δ' ͱαθροϝοι ͱῶδε κατα στρατον ευρυν αχαιϝων
ιομεν, ͱοφρα κε θασσον εγῆρομεν ͱοκσυν αρεϝα.
ͱως εφατ'· ουδ' απιθησε ϝανακς ανδρων αγαμεμνων·
αϝτικα κηρῦκεσι λιγυφθονγοισ' εκελεϝσεν

κηρυσσεεν πολεμονδε καρῆκομαοντας αχαιϝοϝς. B
ͱοι μεν εκηρυσσον, τοι δ' ἦγειροντο μαλ' ὦκα.
ͱοι δ' αμφ' ατρεϝιϝῶνα διοτρεφεες βασιλεϝες 445
θυϝνον κρινοντες· μετα δε, γλαϝκωπις αθηνη
αιγιδ' ͱεχοντσ' εριτιϝμον, αγηραον, αθανατην τε·
της ͱεκατον θυσανοι πανχρυσεοι ῆͱερεθοντο,
παντες ͱεϋπλεκεες· ͱεκατονβοϝιος δε ͱεκαστος.
γσυν τῇ παιφασσοντσα διεσσυτο λαϝον αχαιϝων, 450
οτρυνοντσ' ιμεναι· εν δε σθενος ὦρσεν ͱεκαστῳ· 451
τοισι δ' ͱαφαρ πολεμος γλυκιων γενετ', ηε νεεσθαι 453
εν ναϝεσι γλαφυρῇσι φιλην ες πατριδα γαιαν.
ηΰτε πυρ αϝιδηλον επιφλεγει ασπετον ͱυλϝην 455
ορεος εν κορυφῇσ'· ͱεκαθεν δε τε φαινεται αϝγη·
ͱως των ερχομενων, απο χαλκοϝο θεσπεσιοϝο
αιγλη πανφαναοντσα δι' αιθερος ουρανον ͱικεν.
των δ', ͱωστ' ορνιχθων πετεηνων ϝεθνεα πολλα,
χηνων, η γερανων, η κυκνων δολιχοδειρων, 460
ασιῳ εν λειμωνι, καϋστριοϝ' αμφι ρεϝεθρα,
ενθα και ενθα ποτῶνται αγαλλομενα πτερυγεσιν,
κλαγγηδον προκαθιδσοντων, σμαραγεῖ δε τε λειμων·
ͱως των ϝεθνεα πολλα ναϝων απο και κλισιαϝων
ες πεδιον προχεϝοντο καμανδριον· αϝταρ ͱυπο χθων 465
σμερδαλεον κοναβιδσε ποδων αϝτων τε και ͱιππων.
εσταν δ' εν λειμωνι καμανδριῳ ανθεμοεντι
μυϝριοι, ͱοσα τε φυλλα και ανθεα γιγνεται ͱωρῇ.
ηΰτε μυιαϝων ͱαδιναϝων ϝεθνεα πολλα,
ͱαιτε κατα σταθμον ποιμνῆϊον ηλασκοντιν, 470
ͱωρῇ ϝεαρινῇ, ͱοτε τε γλαγος ανγεα δευει·
τοσοι επι τροϝεσι καρῆκομαοντες αχαιϝοι
εν πεδιῳ ͱισταντο, διαϝραισαι μεμαϝῶτες.
τοϝς δ', ͱωστ' αιπολια πλατυ' αιγων αιπολοι ανδρες
ρεϝα διακρινεωντιν, επει κε νομῳ μιγεωντιν· 475
ͱως τοϝς ͱηγεμονες διεκοσμεον ενθα και ενθα,
ͱυσμινηνδ' ιμεναι· μετα δε, κρεϝων αγαμεμνων,
ομματα και κεφαλην ϝικελος διϊ τερπικεραυνῳ,
αρεϝι δε δσωνην, στερνον δε ποσειδαϝωνι.
ηΰτε βως αγεληφι μεγ' εκσͱοχος επλετο παντων 480
ταυρος· ͱο γαρ τε βοϝεσι μεταπρεπει αγρομενῇσιν·
τοιον αρ' ατρεϝιδην θῆκε δσεϝς ͱηματι κεινῳ,
εκπρεπε' εν πολλοισι και εκσͱοχον ͱηροϝεσιν.
ϝεσπετε νῦν μοι, μοϝσαι, ολυνπια δῶματ' εχοντσαι·
ͱυμεες γαρ θεαι εστε, παρεστε τε, ϝιδστε τε παντα, 485
ͱημεες δε κλεος οιον ακοϝομεν, ουδε τι ϝιδμεν·
ͱοιτινες ͱηγεμονες δαναων και κοιρανοι ῆσαν.
πληθυν δ' ουκ αν εγω μυϝθησομαι, ουδ' ονομῆνω,
ουδ' ει μοι δεκα μεν γλωσσαι, δεκα δε στοματ' ειεν,

φῶνη δ' αϝρῆγτος, χαλκεον δε μοι ητορ ενειη. B
βοιωτων μεν πηνελαϝος και λεϝιτος ῆρχον, 494
αρκεσιλαϝος τε, προθοϝῆνωρ τε, κλονιος τε· 495
ͱοι θ' υριην ενεμοντο, και αϝλιδα πετρῆεντσαν,
σχοινον τε, σκωλον τε, πολυκνημον τ' ετεωνον,
θεσπειαν, γραιαν τε, και ευρυχορον μυκαλησσον·
ͱοι τ' αμφ' ͱαρμ' ενεμοντο, και ειλεσιον, και ερυθρας,
ͱοι τ' ελεῶν' εσχον, ηδ' ͱυλϝην, και πετεῶνα, 500
ωκαλεην, μεδεῶνα θ', εϋκτιμενον πτολιεθρον,
κωπας, ͱεϋτρησιν τε, πολυτρηρῶνα τε θισβην·
ͱοι τε κορωνειαν, και ποιῆενθ' αλιαρτον,
ͱοι τε πλαταιαν ͱεχον, ηδ' ͱοι γλισσαντ' ενεμοντο,
ͱοι θ' υποθηβας εσχον, ͱεϋκτιμενον πτολιεθρον, 505
ογχηστον θ', ιερον ποσιδῆϊον, αγλαϝον αλσος·
ͱοι τε πολυσταφυλον ϝαρνην ͱεχον, ͱοι τε μιδειαν,
νισσαν τε δσαθεην, ανθηδονα τ' εσχαταοντσαν·
των μεν πεντηκοντα ναϝες κιον· εν δε ͱεκαστῃ
κοϝροι βοιωτων ͱεκατον και ϝεικοσ' εβαινον. 510
ͱοι δ' ασπληδον' εναιον, ιδ' ορχομενον μινυαιον·
των ῆρχ' ασκαλαφος και ιαλμενος, ͱυιες αρεϝος,
ͱοϝς τεκε ϝαστυͱοχη, δομῳ ακτορος αδσεϝιδαϝο,
παρθενος αιδοιη, ͱυπεροϝιον εισαναβαντσα,
αρεϝι κρατερῳ· ͱο δε ͱοι παρελεχσατο λαθρῃ· 515
τοις δε τριηκοντα γλαφυραι ναϝες εστιχαοντο.
αϝταρ φωκεϝων σχεδιος και επιστροφος ῆρχον,
ͱυιες ϝιφιτοϝο μεγαθυϝμοϝο ναϝβολιδαϝο·
ͱοι κυπαρισσον ͱεχον, πυθῶνα τε πετρῆεντσαν,
κρισσαν τε δσαθεην, και δαϝλιδα, και πανοπεϝα, 520
ͱοι τ' ανεμωρειαν, και ͱυϝαμπολιν αμφ' ενεμοντο,
ͱοι τ' αρα παρ ποταμον κηφισσον διϝον εναιον,
ͱοι τε λιλαιαν ͱεχον, πηγης επι κηφισσοϝο·
τοις δ' ͱαμα τεσσαρακοντα μελαιναι ναϝες ͱεποντο.
ͱοι μεν φωκεϝων στιχας ͱεστασαν αμφι ͱεποντες, 525
βοιωτων δ' ενπλῆν επ' αριστερα θωρησσοντο.
λοκρων δ' ͱηγεμονεϝεν ͱο ϝιλϝεϝος ταχυς αιϝανς, 527
ͱοι κυϝνον τ' ενεμοντ', οποεντα τε, καλλιαρον τε, 531
βησσαν τε, σκαρφην τε, και αϝγειας ερατεινας,
ταρφην τε, θρονιον τε, βοϝαγριοϝ αμφι ρεϝεθρα·
τῳ δ' ͱαμα τεσσαρακοντα μελαιναι ναϝες ͱεποντο. 534
ͱοι δ' ͱευβοιαν ͱεχον μενεα πνεϝοντες αβαντες, 536
χαλκιδα τ', ερετριαν τε, πολυσταφυλον θ' εστιαιαν,
κηρινθον τ' εφαλον, διϝοο τ' αιπυ πτολιεθρον,
ͱοι τε καρυστον ͱεχον, ηδ' ͱοι στυρα ναιεταεσκον·
των δ' αϝθ' ηγεμονεϝ' ελεφῆνωρ, οδσος αρεϝος, 540
χαλκωδοντιαδης, μεγαθυϝμων αρχος αβαντων·
τῳ δ' ͱαμ' αβαντες ͱεποντο θοϝοι, οπιθεν κομαοντες,

αιχμῆται, μεμαϝῶτες ορεγτῆσιν μελιῃσιν B
θωρηκας ϝρηγσεεν δαϝιων αμφι στηθεσσιν·
τῷ δ' ͱαμα τεσσαρακοντα μελαιναι ναϝες ͱεποντο. 545
ͱοι δ' αρ' αθηνας εσχον, ͱεϋκτιμενον πτολιεθρον· 546
των αϝθ' ηγεμονεϝ', ͱυϊος πετεοϝο, μενεσθεϝς. 552
τῷ δ' ͱαμα πεντηκοντα μελαιναι ναϝες ͱεποντο. 556
αιϝανς δ' εκ σαλαμῖνος αγεν δυο και δεκα ναϝας. 557
ͱοι δ' αργος τ' εσχον, τιρυνθα τε τειχιοεντσαν, 559
ͱερμιονην, ασινην τε, βαθυν κατα κολπον ͱεχοντσας, 560
τροιδσην', ηϊονας τε, και αμπελοεντ' επιδαϝρον,
ͱοι θ' εχον αιγιναν, μασητα τε, κοϝροι αχαιϝων·
των δ' αϝθ' ηγεμονεϝε βοην αγαθος διομηδης,
και σθενελος, καπανεϝος αγακλειτοο φιλος ͱυιος·
τοισι δ' ͱαμ' ευρυͱαλος τριτατος κιε, ϝεισϝοθεος φῶς, 565
μηκιστεϝος ͱυις ταλαϊϝονιδαϝο ϝανακτος.
γσυνπαντων δ' ͱηγεετο βοην αγαθος διομηδης·
τοισι δ' ͱαμ' ͱογδωκοντα μελαιναι ναϝες ͱεποντο.
ͱοι δε μυκηνας εσχον, ͱεϋκτιμενον πτολιεθρον,
ͱαφνειον τε κορινθον, ͱεϋκτιμενας τε κλεῶνας, 570
ορνειας τ' ενεμοντο, παραιθυρεην τ' ερατεινην,
και σικυῶν', ͱοθ' αρ' αδρηστος πρῶτ' ενβασιλεϝεν·
ͱοι θ' υπερησειην τε, και αιπεινην γονοεντσαν,
πελληνην τ' εσχον, ηδ' αιγιον αμφ' ενεμοντο,
αιγιαλον τ' ανα παντα, και αμφ' ͱελικην ευρυιαν· 575
των ͱεκατον ναϝων ῆρχε κρεϝων αγαμεμνων
ατρεϝιδης· ͱαμα τῷ γε πολυ πλειστοι και αριστοι
λαϝοι ͱεποντ'· εν δ' αϝτος εδυϝσατο νωροπα χαλκον,
κυϝδιαων, ͱοτι παντσι μετεπρεπεν ͱηροϝεσιν. 579
ͱοι δ' εσχον κοιλην λακεδαιμονα καιεταεντσαν, 581
φαριν τε, σπαρτην τε, πολυτρηρῶνα τε μεσσην,
βρυσειας τ' ενεμοντο, και αϝγειας ερατεινας,
ͱοι τ' αρ' αμυκλας εσχον, ͱελος τ', εφαλον πτολιεθρον,
ͱοι τε λαϝαν εσχον, ηδ' οιτυλον αμφ' ενεμοντο· 585
τῶν ͱοι ͱαδελφεϝος ῆρχε, βοην αγαθος μενελαϝος,
ͱεκσηκοντα ναϝων, απατερθε δε θωρησσοντο. 587
ͱοι δε πυλον τ' ενεμοντο, και αρηνην ερατεινην, 591
και θρυϝον, αλφειοϝο πορον, και ͱεϋκτιτον αιπυ,
και κυπαρισσῆεντα, και αμφιγενειαν εναιον,
και πτελεον, και ͱελος, και δωριον· ενθα τε μοϝσαι
αντομεναι θαμυριν τον θρεϝικα παϝσαν αϝοιδης, 595
οιχαλιηθεν ιοντα, παρ' ευρυτοϝ' οιχαλιεϝος·
στεϝτο γαρ ευχομενος νικῆσεμεν, ειπερ αν αϝται
μοϝσαι αϝειδοιεν, κοϝραι διος αιγιͱοχοϝο·
ͱαι δε χολῶσαμεναι πηρον θεσαν, αϝταρ αϝοιδην
θεσπεσιην αφελοντο, και εκλελαθον κιθαριστυν. 600
τῶν αϝθ' ηγεμονεϝε γερηνιος ͱιπποτα νεστωρ·

τῷ δ' ͱενενηκοντα γλαφυραι ναϝες εστιχαοντο.
ͱοι δ' ͱεχον αρκαδιην, ͱυπο κυλληνης ορος αιπυ,
αιπυτιον παρα τυμβον, ͱιν' ανερες αγχιμαχῆται,
ͱοι φενεον τ' ενεμοντο, και ορχομενον πολυμηλον,
ριπην τε, στρατιην τε, και ανεμοεντσαν ενισπην,
και τεγεην εσχον, και μαντινεην ερατεινην,
στυμφηλον τ' εσχον, και παρρασιην ενεμοντο·
τῶν ἦρχ' αγκαιοϝο παϊς, κρεϝων αγαπῆνωρ,
ͱεξηκοντα ναϝων· πολυες δ' εν ναϝι ͱεκαστῃ
αρκαδες ανδρες εβαινον επισταμενοι πολεμοϝο.
αϝτος γαρ σφιν εδωκε ϝαναξ ανδρων αγαμεμνων
ναϝας ͱεϋσελμοϝς, περαεεν επι ϝοινοπα ποντον,
ατρεϝιδης· επει ου σφι θαλασσια ϝεργ' εμεμηλεεν.
ͱοι δ' αρα βοϝπρασιον τε και ηλιδα διϝαν εναιον,
ͱοσον εφ' υρμινη και μυρσινος εσχαταοντσα,
πετρη τ' ωλενιη, και αλεισιον εντος εεργει·
τῶν αϝ τεσσαρες αρχοι εσαν, δεκα δ' ανδρι ͱεκαστῳ
ναϝες ͱεποντο θοϝαι, πολυες δ' ενβαινον επειοι.
τῶν μεν αρ' αμφιμαχος και θαλπιος ͱηγησασθην,
ͱυιες, ͱο μεν κτεατοϝ', ͱο δ' αρ' ευρυτοϝ', ακτοριϝῶνε·
τῶν δ' αμαρυγκεϝιδης ἦρχε κρατερος διϝωρης·
τῶν δε τεταρτων ἦρχε πολυχσεινος θεοϝειδης,
ͱυιος αγασθενεος αϝγεϝιαδαϝο ϝανακτος.
ͱοι δ' εκ δουλιχιοϝο, εχιναϝων θ' ιεραϝων·
τῶν αϝθ' ηγεμονεϝε μεγης, ͱαταλαντος αρεϝι,
φυϝλεϝιδης, ͱον ετικτε διϊ φιλος ͱιπποτα φυϝλεϝς,
ͱος ποτε δουλιχιονδ' απενασσατο πατρι χολῶθεις·
τῷ δ' ͱαμα τεσσαρακοντα μελαιναι ναϝες ͱεποντο.
ͱοι δ' ιθακην εσχον και νηριτον εννοσιφυλλον,
και κροκυλει' ενεμοντο, και αιγιλιπα τρῆχυιαν,
ͱοι τε δακυνθον ͱεχον, ηδ' ͱοι σαμον αμφ' ενεμοντο,
ͱοι τ' ηπειρον ͱεχον, ηδ' αντιπεραι' ενεμοντο·
τῶν μεν ͱοδυσσεϝς ἦρχε, διϊ μητιν ͱαταλαντος·
τῷ δ' ͱαμα ναϝες ͱεποντο δυωδεκα μιλτοπαρῃοι.
αιτωλων δ' ͱηγεετο θοϝανς, ανδραιμονος ͱυιος,
ͱοι πλευρῶν' ενεμοντο, και ωλενον, ηδε πυληνην,
χαλκιδα τ' αγχιαλον, καλυδῶνα τε πετρῆεντσαν·
τῷ δ' ͱαμα τεσσαρακοντα μελαιναι ναϝες ͱεποντο.
κρητων δ' ιδομενεϝς δορϝικλυτος ͱηγεμονεϝεν,
ͱοι κνωσον τ' εσχον, γορτῦνα τε τειχιοεντσαν,
λυκτον, μιλητον τε, και αργινοεντα λυκαστον,
φαιστον τε, ϝρυτιον τε, πολιας ͱεῦ ναιεταοντσας,
αλλοι θ', οι κρητην ͱεκατονπολιν αμφ' ενεμοντο.
τῶν μεν αρ' ιδομενεϝς δορϝικλυτος ͱηγεμονεϝεν·
τῷ δ' ͱαμα ͱογδωκοντα μελαιναι ναϝες ͱεποντο.
τληπολεμος δ' ͱηρακλεϊδης, ἦυς τε μεγας τε,

εκ ϝροδοϝ' ͱεννεα ναϝας αγεν ϝροδιων αγερωχων· B
ͱοι ϝροδον αμφ' ενεμοντο διατριχα κοσμηθεντες, 655
λινδον, ιηλυσσον τε, και αργινοεντα καμειρον·
τῶν μεν τλῆπολεμος δορϝικλυτος ͱηγεμονεϝεν,
ͱον τεκε ϝαστυͱοχεια βιῆ ͱηρακλεεϊϝῆ,
την αγετ' εκς εφυρης ποταμοϝ' απο σελλῆεντος,
περθσανς ϝαστυα πολλα διοτρεφεων αιδσηων. 660
τλῆπολεμος δ', επει ῶν τραφη εν μεγαρῳ̃ ͱεϋπηγτῳ̃,
αϝτικα πατρος ͱεϝοϝο φιλον μητροϝα κατεκτα
ηδη γηρασκοντα λικυμνιον, οδσον αρεϝος·
αιπσα δε ναϝας επηγσε· πολυν δ' ͱογε λαϝον αγῆρανς
βῆ φευγων επι ποντον· απειλησαν γαρ ͱοι αλλοι 665
ͱυιες, ͱυιϝωνοι τε βιης ͱηρακλεεϊϝης.
αϝταρ ͱογ' ες ϝροδον ͱικσεν αλῶμενος, αλγεα πασχων·
τριχθα δ' εϝοικηθεν καταφυϝλαδον, ηδ' εφιληθεν
εκ διος, ͱοστε θεοισι και ανθρωποισι ϝανασσει. 669
νιρεϝς δ' αϝ συμηθεν αγεν τρεας ναϝας ϝεϊσϝας, 671
νιρεϝς, αγλαϝιης θ' υϊος χαροποο τε ϝανακτος,
νιρεϝς, ͱος καλλιστος ανηρ ͱυπο ϝιλϝιον ηλθεν
των αλλων δαναων, μετ' αμυϝμονα πηλεϝιϝῶνα·
αλλ' αλαπαδνος εῆν, παϝρος δε ͱοι ͱεσπετο λαϝος. 675
ͱοι δ' αρα νισσυρον τ' εσχον, κραπαθον τε, κασον τε,
και καϝον, ευρυπυλοϝο πολιν, νησοϝς τε καλυδνας·
των αϝ φειδͱιππος τε και αντιφος ͱηγησασθην,
θεσσαλοϝ' υιε δυω, ͱηρακλεϊδαϝο ϝανακτος·
τοις δε τριηκοντα γλαφυραι ναϝες εστιχαοντο. 680
ͱοι δ' αλον, ͱοι τ' αλοπην, ͱοι τε τρῆχῖν' ενεμοντο, 682
ͱοι τ' εσχον φθιϝην, ηδ' ͱελλαδα καλλιγυναικα· 683
των αϝ πεντηκοντα ναϝων ῆν αρχος αχιλλεϝς. 685
αλλ' ͱοιγ' ου πολεμοϝο δυσϝηχεος εμναϝοντο·
ου γαρ εῆν, ͱοστις σφιν επι στιχας ͱηγησαιτο·
κειτο γαρ εν ναϝεσι ποδαρκης διϝος αχιλλεϝς,
κοϝρης χωομενος βρισεϝιδος ῆϋκομοϝο,
την εκ λυρνησσοϝ', εκσͱελλετο πολλα μογησανς, 690
λυρνησσον διαπορθησανς, και τειχεα θηβης·
κατ δε μυνητ' εβαλεν και επιστροφον ενχεσιμωροϝς,
ͱυιας ͱευͱηνοϝο, σεληπιαδαϝο ϝανακτος. 693
ͱοι δ' εσχον φυλακην, και πυρασον ανθεμοεντα, 695
δημητρος τεμενος, σῖτῶνα τε, μητερα μηλων,
ανχιͱαλον τ' αντρῶν', ηδε πτελεον λεχεποιην·
των αϝ πρῶτεσιλαϝος αρεϝιος ͱηγεμονεϝεν,
δσαϝος εων· τοτε δ' ηδη ͱεχεν κατα γαια μελαινα.
τοο δε και αμφιδρυφης ͱαλοχος φυλακῆ ελελειπτο, 700
και δομος ͱημιτελης· τον δ' εκτανε δαρδανος ανηρ,
ναϝος αποθρῶσκοντα πολυ πρῶτιστον αχαιϝων.
ουδε μεν ουδ' ͱοι ααρχοι εσαν, ποθεον γε μεν αρχον,

αλλα σφεας κοσμησε ποδαρκης, οδσος αρεϝος, B
ϝιφικλοϝ ͱυἳος πολυμηλοϝο φυλακιδαϝο,
αϝτοκασιγνῆτος μεγαθυϝμοϝο πρωτεσιλαϝοο,
ͱοπλοτερος γενεῇ· ͱο δ' αρα προτερος και αρειων.
τῷ δ' ͱαμα τεσσαρακοντα μελαιναι ναϝες ͱεποντο.
ͱοι δε φερας ενεμοντο παραι βοιβηΐδα λιμνην,
βοιβην, και γλαφυρας, και ͱεϋκτιμενην ϝιαϝολκον·
των ἦρχ' αδμῆτοϝο φιλος παῒς ͱενδεκα ναϝων
ͱευμηλος, τον ͱυπ' αδμῆτῳ τεκε διϝα γυναικων
αλκηστις, πελιαϝο θυγατρων ϝειδος αριστη.
ͱοι δ' αρα μηθωνην και θαϝμακιην ενεμοντο,
και μελιβοιαν ͱεχον, και ολιδσῶνα τρῆχυιαν·
τωνδε φιλοκτῆτης ἦρχεν, τοκσων ͱεῢ ϝειδως,
ͱεπτα ναϝων· ερεται δ' εν ͱεκαστῃ πεντηκοντα.
αλλ' ͱο μεν εν νησῳ κειτο κρατερ' αλγεα πασχων,
λημνῳ εν αγαθεῇ, ͱοθι μιν λιπον ͱυιες αχαιϝων,
ͱελκεϊ μοχθιδσοντα κακῷ ολοϝοφρονος ͱυϝδροο.
ουδε μεν ουδ' ͱοι ααρχοι εσαν, ποθεον γε μεν αρχον,
αλλα μεδων κοσμησεν, ͱο ϝιλϝεϝος νοθος ͱυιος,
τον ρ' ετεκεν ρηνη ͱυπο ϝιλϝεϝι πτολιπορθῳ.
ͱοι δ' εσχον τρικκην, και ιθωμην κλωμακοεντσαν,
ͱοι θ' εχον οιχαλιην, πολιν ευρυτοϝ οιχαλιεϝος·
των αϝθ' ηγεεσθην ασκληπιοϝο δυο παιδε,
ϝιϝητηρ' αγαθω, ποδαλειριος ηδε μαχαϝων·
τοις δε τριηκοντα γλαφυραι ναϝες εστιχαοντο.
ͱοι δ' ͱεχον ορμενιον, ͱοι τε κρῆνην ͱυπερειαν,
ͱοι θ' εχον αστεριον, τιτανοϝο τε λεϝκα καρῆνα·
των ἦρχ' ευρυπυλος, ͱεϋͱαιμονος αγλαϝος ͱυιος·
τῷ δ' ͱαμα τεσσαρακοντα μελαιναι ναϝες ͱεποντο.
ͱοι δ' αργισσαν ͱεχον, και γυρτωνην ενεμοντο,
ορθην, ηλωνην τε, πολιν τ' ολοϝοσσονα λεϝκην·
των αϝθ' ηγεμονεϝε μενεπτολεμος πολυποιτης,
ͱυιος πειριθοϝοϝο, τον αθανατος τεκετο δσεϝς·
ουχ οιος· ͱαμα τῷγε λεϝοντεϝς, οδσος αρεϝος,
ͱυιος ͱυπερθυϝμοϝο κορωνοϝο καινεϝιδαϝο·
τοις δ' ͱαμα τεσσαρακοντα μελαιναι ναϝες ͱεποντο.
γουϝεϝς δ' εκ κυφοϝ ἦγε δυω και ϝεικοσι ναϝας·
τῷ δ' ενιηνες ͱεποντο, μενεπτολεμοι τε περαιβοι,
ͱοι περι δωδωνην δυσχειμερον ϝοικι' εθεντο,
ͱοι τ' αμφ' ͱιμερτον τιταρησιον ϝεργ' ενεμοντο,
ͱος ρ' ες πηνειον προͱιͱει καλλιροϝον ͱυϝδωρ·
ουδ' ͱογε πηνειῳ γσυνμισγεται αργυροδινῃ,
αλλα τε μιν καθυπερθεν επιρεϝει, ηΰτ' ελαιον·
ͱορκοϝο γαρ δδεινοο στυγος ͱυϝδατος εστιν αποϝρῶγς.
μαγνητων δ' ἦρχε προθοϝος, τενθρηδονος ͱυιος,
ͱοι περι πηνειον και πηλιον εννοσιφυλλον

ναιεσκον· των μεν προθοϝος θοϝος ͱηγεμονεϝεν·
τῷ δ' ͱαμα τεσσαρακοντα μελαιναι ναϝες ͱεποντο.
ͱοϝτοι αρ' ͱηγεμονες δαναων και κοιρανοι ἦσαν.
τις τ' αρ των ͱοχ' αριστος εῆν, συ μοι ενεπε, μοϝσα,
αϝτων, ηδ' ͱιππων, ͱοι ͱαμ' ατρεϝιδῃσιν ͱεποντο.
ͱιπποι μεν μεγ' αρισται εσαν φηρητιαδαϝο,
τας ͱεϋμηλος ελαϝνε, ποδωκεας, ορνιχθας ͱως,
ͱοτριχας, ͱοϝετεας, σταφυλῃ επι νῶτον ϝεϊσϝας·
τας εν πιϝεριῃ τρεφσ' αργυροτοκσος απολλων,
αμφω θηλυιας, φοβον αρεϝος φορεοντσας.
ανδρων δ' αϝ μεγ' αριστος εῆν τελαμωνιος αιϝανς,
ͱοφρ' αχιλεϝς μηνιϝεν· ͱο γαρ πολυ φερτατος ἦεν,
ͱιπποι θ', οι φορεεσκον αμυϝμονα πηλεϝιϝωνα.
αλλ' ͱο μεν εν ναϝεσι κορωνισι ποντοποροισιν
κειτ', απομηνιϝσανς αγαμεμνονι, ποιμενι λαϝων,
ατρεϝιδῃ· λαϝοι δε παρα ϝρῆγμῖνι θαλασσης
δισκοισιν τερποντο και αιγανεῃσιν ͱιϝεντες,
τοκσοισιν θ'· ιπποι δε, παρ' ͱαρμασιν ͱοισιν ͱεκαστος,
λωτον ερεπτομενοι, ϝελεοθρεπτον τε σελινον,
ͱεστασαν· ͱαρματα δ' ͱευ πεπυκασμενα κειτο ϝανακτων
εν κλισιῃσ'· ͱοι δ' αρχον αρεϊφιλον ποθεοντες
φοιταον ενθα και ενθα κατα στρατον, ουδ' εμαχοντο.
ͱοι δ' αρ' ισαν, ͱως ει τε πυρι χθων παντσα νεμοιτο·
γαια δ' ͱυπεστοναχιδσε, διϊ ͱως τερπικεραυνῷ
χωομενῷ, ͱοτε τ' αμφι τυφαϝεϝι γαιαν ͱιμασσῃ
ειν αριμοισ', ͱοθι φαντι τυφαϝεϝος εσμεναι ευνας·
ͱως αρα των ͱυπο ποδσι μεγ' εστοναχιδσετο γαια
ερχομενων· μαλα δ' ὦκα διεπρῆσσον πεδιοϝο.
τροϝεσι δ' ανγελος ηλθε ποδῆνεμος ὦκυα ϝιρις,
παρ διος αιγιͱοχοϝο, συν ανγελιῃ αλεγεινῃ.
ͱοι δ' αγορας αγορεϝον επι πριαμοϝο θυρῃσιν
παντες ͱομῆγερεες, ημεν νεϝοι, ηδε γεροντες.
ανχοϝο δ' ͱισταμενη προσεφη ποδας ὦκυα ϝιρις·
ω γερον, αιϝει τοι μυϝθοι φιλοι ακριτοι εντιν,
ͱως ποτ' επ' ειρηνης· πολεμος δ' αλιϝαστος ορῶρεν.
η μεν δη μαλα πολλα μαχας εισηλυθον ανδρων,
αλλ' ουπῷ τοιονδε τοσονδε τε λαϝον οπῶπα·
λιϝην γαρ φυλλοισι ϝεϝοικοτες, η πσαμαθοισιν,
ερχονται πεδιοϝο, μαχησομενοι περι ϝαστυ.
ͱως εφαθ'· εκτωρ δ' ουτι θεας ϝεπος ῆγνῶησεν,
αιπσα δ' ελυϝσ' αγορην· επι τευχεα δ' εσσεϝοντο.
παντσαι δ' ῶϊγνυντο πυλαι, εκ δ' εσσυτο λαϝος,
πεδσοι θ', ιππεϝες τε· πολυς δ' ορυμαγδος ορῶρεεν.
εστι δε τις προπαροιθε πολιος αιπυια κολωνη,
εν πεδιῷ απανευθε, περιδρομος ενθα και ενθα·
την ητοι ανδρες βατιειαν κικλῆσκοντιν,

αθανατοι δε τε σημα πολυσκαρθμοϝο μυρινης·
ενθα τοτε τροϝες τε διεκριθεν ηδ' επικουροι.
τροϝσι μεν hηγεμονεϝε μεγας κορυθαιϝολος hεκτωρ
πριαμιδης· hαμα τῷγε πολυ πλειστοι και αριστοι
λαϝοι θωρησσοντο, μεμαϝοτες ενχειῇσιν.
δαρδανιων αϝτ' ῆρχεν, hεῢς παῖς ανχισαϝο,
αινειας· τον hυπ' ανχισῇ τεκε διϝ' αφροδῖτη,
ιδης εν κνημοισι θεα βροτῷ ευνηθεντσα·
ουκ οιος· hαμα τῷγε δυω αντῆνορος hυιε,
αρχελοχος τ', ακαμανς τε, μαχης hεῢ ϝειδοτε παντσης.
hοι δε δελειαν εναιον hυπαι ποδα νεϝατον ιδης,
hαφνειοι, πιϝνοντες hυδωρ μελαν αισηποϝο,
τροϝες· των αϝτ' ῆρχε λυκαϝονος αγλαϝος hυιος,
πανδαρος, hῷ και τοκσον απολλων αϝτος εδῶκεν.
hοι δ' αδρηστειαν τ' εσχον και δημον απαισοο,
και πιτυειαν hεχον, και τηρειης ορος αιπυ·
των ῆρχ' αδρηστος τε και αμφιhος λινοθωρηκς,
hυιε δυω μεροπος περκωσιοϝ, hος περι παντων
ϝοιδεε μαντοσυνας, ουδ' hεϝοϝς παιδας εϝᾶσκεν
στειχεμεν ες πολεμον φθῖσῆνορα· τω δε hοι ουτι
πειθεσθην· κηρες γαρ αγον μελανος θανατοϝο.
hοι δ' αρα περκωτην και πρακτιον αμφ' ενεμοντο,
και σηστον και αβυϝδον hεχον, και διϝαν αρισβην·
των αϝθ' υρτακιδης ῆρχ' ασιος, ορχαμος ανδρων,
ασιος hυρτακιδης, hον αρισβηθεν φερον hιπποι
αιθῶνες, μεγαλοι, ποταμοϝ' απο σελλῆεντος.
hιπποθοϝος δ' αγε φυϝλα πελασγων ενχεσιμῶρων,
των, hοι λαϝρισσαν εριβῶλακα ναιεταεσκον·
των ῆρχ' hιπποθοϝος τε, πυλαιος τ', οδσος αρεϝος,
hυιε δυω ληθοϝο πελασγοϝο τευταμιδαϝο.
αϝταρ θρεϝικας ῆγ' ακαμανς, και πειροϝος hηρως,
hοσοϝς hελλησποντος αγανροϝος εντος εεργει.
hευφημος δ' αρχος κικονων ῆν αιχμῆταϝων,
hυιος τροιδσηνοϝο διοτρεφεος κεαδαϝο.
αϝταρ πυραιχμης αγε παιονας ανκυλοτοκσοϝς,
τηλοθεν εκς αμυδῶνος, απ' αγσιοϝ ευρυ ρεϝοντος.
παφλαγονων δ' hηγεετο πυλαιμενεος λασιον κεαρ,
εκς ϝενετων, hοθεν hημιονων γενος αγροτεραϝων·
hοι ρα κυτωρον hεχον, και σησαμον αμφ' ενεμοντο,
αμφι τε παρθενιον ποταμον κλυτα δῶματ' εναιον,
κρωμναν τ', αιγιαλον τε, και hυψηλοϝς ερυθινοϝς.
αϝταρ hαλιδσῶνων hοδιος και επιστροφος ῆρχον,
τηλοθεν εκς αλυβης, hοθεν αργυροϝ' εστι γενεθλη.
μυσων δε χρομιος τε, και εννομος οιϝωνιστης·
αλλ' ουκ οιϝωνοισιν ερυϝσατο κηρα μελαιναν.
φορκυνς αϝ φρυγας ῆγε, και ασκαν[illegible] θεοϝειδης,

τηλ᾽ εκς ασκανιης· μεμασαν δ᾽ ͱυσμῖνι μαχεσθαι. B
μῆοσιν αϝ μεσθλης τε και αντιφος ͱηγησασθην,
ͱυιε πυλαιμενεος, τω γυϝγαιη τεκε λιμνη, 865
ͱοι και μῆονας ῆγον ͱυπο τμωλῷ γεγαῶτας.
ναστης αϝ καρων ͱηγησατο βαβαροφῶνων,
ͱοι μιλητον ͱεχον, φθειρων τ᾽ ορος ακριτοφυλλον,
μαιανδροϝ᾽ τε ροϝας, μυκαλης τ᾽ αιπυινα καρῆνα·
των μεν αρ᾽ αμφιμαχος και ναστης ͱηγησασθην, 870
ναστης, αμφιμαχος τε, νομιϝονος αγλαϝα τεκνα,
ͱος και χρυσον ͱεχων πολεμονδ᾽ ιεν, ηΰτε κοϝρη,
νηπιος! ουδε τι ͱοι τογ᾽ επῆρκεσε λυγρον ολεθρον. 873
σαρπηδων δ᾽ ῆρχεν λυκιων, και γλαϝκος αμυϝμων, 876
τηλοθεν εκ λυκιης, χσανθοϝ᾽ απο δινεϝεντος.
αϝταρ επει κοσμηθεν ͱαμ᾽ ͱηγεμονεσιν ͱεκαστοι, Γ
τροϝες μεν κλαγγῆ τ᾽, ενοπῆ τ᾽ ισαν, ορνιχθες ͱως·
ηΰτε περ κλαγγη γερανων πελει ουρανοθι προ,
ͱαιτ᾽ επει ῶν χειμῶν᾽ εφυγον και αθεσφατον ομβρον,
κλαγγῆ τοι ποταονται επ᾽ ωκεανοϝο ροϝαϝων. 5
ͱοι δ᾽ αρ᾽ ισαν σιγῆ μενεα πνεϝοντες αχαιϝοι, 8
εν θυϝμῷ μεμαϝῶτες αλεκσεμεν αλληλοισιν.
ηυτ᾽ ορεος κορυφῆσι νοτος κατεχεϝεν ͱομιχλην, 10
ποιμεσιν ουτι φιλην, κλεπτῆ δε τε νυκτος αμεινῶ,
τοσον τις τ᾽ επι λεϝσσει, ͱοσον τ᾽ επι λαϝαν ͱιͱητιν·
ͱως αρα των ͱυπο ποδσι κονισσαλος ῶρνυτ᾽ αͱελλης
ερχομενων· μαλα δ᾽ ῶκα διεπρῆσσον πεδιοϝο.
ͱοι δ᾽ ͱοτε δη σχεδον ῆσαν επ᾽ αλληλοισιν ιοντες, 15
τροϝεσι μεν προμαχιδσεν αλεκσανδρος θεοϝειδης,
παρδαλεην ωμοισιν ͱεχων και καμπυλα τοκσα. 17
τον δ᾽ ͱως ῶν ενοησεν αρεϝιφιλος μενελαϝος 21
ερχομενον προπαροιθεν ͱομιλϝοϝο, μακρα βιβῶντα,
ͱωστε λεϝων εχαρη μεγαλῷ επι σωματι κυρσανς,
ͱευρων η᾽ ελαφον κεραον, η᾽ αγριον αιγα,
πειναϝων· μαλα γαρ τε κατεσθιει, ειπερ αν αϝτον 25
σσεϝωνται ταχυες τε κυνες, θαλεροι τ᾽ αιδσηοι·
ͱως εχαρη μενελαϝος αλεκσανδρον θεοϝειδεα
οφθαλμοισι ϝιδων· φατο γαρ τιϝσασθαι αλῖτην·
αϝτικα δ᾽ εκς ͱοχεων γσυν τευχεσ᾽ εͱαλτο χαμαδσε.
τον δ᾽ ͱως ῶν ενοησεν αλεκσανδρος θεοϝειδης 30
εν προμαχοισι φανεντα, κατεπληγη φιλον ητορ·
απς δ᾽ ͱεταρων εις ϝεθνος εχαδσετο κηρ᾽ αλεϝεινων.
ͱως δ᾽ ͱοτε τις τε δρακοντα ϝιδων παλινορσος απεστη
ορεος εν βησσῆσ᾽, ͱυπο τε τρομος ελαβε γυια,
απς τ᾽ ανεχῶρησεν, ωχρος τε μιν ͱελλε παρειας· 35
ͱως αϝτις καθ᾽ ομιλϝον εδῦ τροϝων αγερωχων
δδειδσανς ατρεϝος ͱυιον αλεκσανδρος θεοϝειδης.
τον δ᾽ ͱεκτωρ νεικεσσε ϝιδων αισχροισι ϝεπεσσιν·

Γ

δυσπαρι, ϝειδος αριστε, γυναιμανες, ηπεροπεϝτα!
αιθ' οφελες αγονος τ' εμεναι, αγαμος τ' απολεσθαι.
και κε το βουλοιμην, και κεν πολυ κερδιον ῆεν,
ῆ' ͱοϝτῷ λωβην τ' εμεναι και ͱυποπσιον αλλων.
η ποϝο καγχαλαοντι καρῆκομαοντες αχαιϝοι,
φαντες αριστεϝα προμον εσμεναι, ͱοονεκα καλον
ϝειδος επ'· αλλ' ουκ εστι βιη φρεσιν, ουδε τις αλκη.
η τοιος δη εων, εν ποντοποροισι ναϝεσιν
ποντον επιπλῶσανς, ͱεταροϝς εριῆρας αγῆρανς,
μιχθενς αλλοδαποισι, γυναιχ' εὐϝειδε' ανῆγες
εκς απιης γαιης, νυον ανδρων αιχμῆταϝων;
πατρι τε σῷ μεγα πημα, πολιστι τε, παντι τε δημῷ,
δυσμενεσιν μεν χαρμα, κατῆφειην δε σοι αϝτῷ;
ουκ αν δη μῆνειας αρεϊφιλον μενελαϝον;
γνοιης χ', οιοϝο φῶτος ͱεχεις θαλερην παρακοιτιν.
ουκ αν τοι χραιϝσμῇ κιθαρις, τα τε δῶρ' αφροδῖτης,
ͱη τε κομη, το τε ϝειδος, οτ' εν κονιϝῇσι μιγειης.
αλλα μαλα τροϝες δδειδημονες· η τε κεν ηδη
λαϝινον ϝεσσο χιτῶνα, κακῶν ͱενεχ' οσα ϝεϝοργας.
τον δ' αϝτε προσεϝεσπεν αλεκσανδρος θεοϝειδης·
ͱεκτορ, επει με κατ' αισαν ενεικεσας, ουδ' ͱυπερ αισαν·
αιϝει τοι κραδιη, πελεκυς ͱως, εστιν ατειρης,
ͱος ειτιν δια δορϝος, ͱυπ' ανερος, ͱος ρα τε τεχνῇ
ναϝιον εκταμνητιν, οφελλει δ' ανδρος εροϝην·
ͱως τοι ενι στηθεσσιν αταρβητος νοος εστιν.
μη μοι δῶρ' ερατα προφερε χρυσεης αφροδῖτης·
ουτοι αποβλῆτ' εστι θεων ερικυϝδεα δῶρα.
νυν δ' αϝτ' ει μ' εθελεις πολεμιδσεμεν ηδε μαχεσθαι,
αλλοϝς μεν καθισον τροϝας και παντας αχαιϝοϝς,
αϝταρ εμ' εν μεσσῷ και αρεϊφιλον μενελαϝον
γσυνβαλετ' αμφ' ͱελενῇ και κτημασι παντσι μαχεσθαι·
ͱοποτερος δε κε νικῆσῃ, κρεισσων τε γενηται,
κτημαθ' ελων ͱεὺ παντα, γυναικα τε, ϝοικαδ' αγεσθω·
ͱοι δ' αλλοι, φιλοτητα και ͱορκια πιθτα ταμοντες,
ναιοιτε τροϝιην εριβῶλακα· τοι δε νεεσθων
αργος ες ͱιπποβοτον και αχαιϝιδα καλλιγυναικα.
ͱως εφαθ'· εκτωρ δ' αϝτ' εχαρη μεγα μυϝθον ακοϝσανς,
και ρ' ες μεσσον ιων, τροϝων ανεϝεργε φαλανγας.
τῷ δ' επετοκσαδσοντο καρῆκομαοντες αχαιϝοι,
ͱιϝοισιν τε τιτυσκομενοι λαϝεσσι τ' εβαλλον·
αϝταρ ͱο μακρον αϝυϝσε ϝαναкς ανδρων αγαμεμνων·
ͱισχεσθ', αργειϝοι, μη βαλλετε, κοϝροι αχαιϝων·
στεϝται γαρ τι ϝεπος ϝερεεεν κορυθαιϝολος ͱεκτωρ.
ͱως εφαθ'· οι δ' εσχοντο μαχης, ααϝοι τ' εγενοντο
εσσυμενως· ͱεκτωρ δε μετ' αμφοτεροισιν εϝεσπεν·
κεκλυτε μεο, τροϝες, και ͱεὺκνημιδες αχαιϝοι,

μυϝθον αλεκσανδροϝο, τοϝ ͱεινεκα νεικος ορωρεν. Γ
αλλοϝς μεν κελεται τροϝας και παντας αχαιϝοϝς
τευχεα καλ᾽ αποθεσθαι επι χθονι πολυβοτειρῃ·
αϝτον δ᾽ εν μεσσῳ και αρεϝιφιλον μενελαϝον
οιοϝς αμφ᾽ ͱελενῃ και κτημασι παντσι μαχεσθαι·
ͱοποτερος δε κε νικησῃ, κρεισσων τε γενηται,
κτημαθ᾽ ελων ͱεῢ παντα, γυναικα τε, ϝοικαδ᾽ αγεσθω·
ͱοι δ᾽ αλλοι φιλοτητα και ͱορκια πιθτα ταμωμεν.
ͱως εφαθ᾽· οι δ᾽ αρα παντες ακην εγενοντο σιωπῃ.
τοισι δε και μετεϝεσπε βοην αγαθος μενελαϝος·
κεκλυτε νῦν και εμεϝο· μαλιστα γαρ αλγος ͱικανει
θυϝμον εμον, φρονεω δε διακρινθῆμεναι ηδη
αργειϝοϝς και τροϝας, επει κακα πολλα πεποσθε
ͱεινεκ᾽ εμης εριδος, και αλεκσανδροϝ ͱενεκ᾽ αρχης·
ͱημεων δ᾽ οποτερῳ θανατος και μοιρα τετυχται,
τεθναιη· αλλοι δε διακρινθειτε ταχιστα.
ͱοισετε ϝαρν᾽, ͱετερον λεϝκον, ͱετερην δε μελαιναν,
γῃ τε και ηελιῳ· διϊ δ᾽ ͱημεες ͱοισομεν αλλον.
αγσετε δε πριαμοϝο βιην, ͱοφρ᾽ ͱορκια ταμνῃ
αϝτος, επει ͱοι παιδες ͱυπερφιαλοι και απιθτοι·
μη τις ͱυπερβασιῃ διος ͱορκια δηλησηται. 107
ͱως εφαθ᾽· οι δ᾽ εχαρησαν αχαιϝοι τε τροϝες τε, 111
ͱελπομενοι παϝσεσθαι οϊδσυϝροο πολεμοϝο.
και ρ᾽ ͱιπποϝς μεν ερυκσαν επι στιχας, εκ δ᾽ εβαν αϝτοι,
τευχεα τ᾽ εκσεδυϝοντο, τα μεν κατεθεντ᾽ επι γαιῃ
πλησιον αλληλων, ολιγη δ᾽ ῆν αμφις αροϝρα.
ͱεκτωρ δε προτι ϝαστυ δυω κηρῦκας επεμπεν
καρπαλιμως, ϝαρνας τε φερεεν, πριαμον τε καλεσσαι.
αϝταρ ͱο ταλθυβιον προϝιͱεε κρεϝων αγαμεμνων
ναϝας επι γλαφυρας ιμεναι, και ϝαρν᾽ εκελεϝεν
ͱοισεμεναι· ͱο δ᾽ αρ᾽ ουκ απιθησ᾽ αγαμεμνονι διϝῳ.
ϝιρις δ᾽ αϝθ᾽ ελενῃ λεϝκωλενῳ αγγελος ηλθεν,
ϝειδομενη γαλαϝῳ, αντῆνοριδαϝο δαμαρτι,
την αντῆνοριδης εσχε κρεϝων ͱελικαϝων,
λαϝοδικην, πριαμοϝο θυγατρων ϝειδος αριστην.
την δ᾽ ͱευρ᾽ εν μεγαρῳ· ͱη δε μεγαν ͱιστον ͱυφαινεν,
διπλακα, μαρμαρεην· πολυας δ᾽ ενεπασσεν αϝεθλοϝς
τροϝων θ᾽ ιπποδαμων, και αχαιϝων χαλκοχιτῶνων,
ͱοϝς ͱεθεν ͱεινεκ᾽ επασχον ͱυπ᾽ αρεϝος παλαμαϝων.
αγχοϝο δ᾽ ͱισταμενη προσεφη ποδας ῶκυα ϝιρις·
δευρ᾽ ιθι, νυμφα φιλη, ͱινα θεσκελα ϝεργα ϝιδηαι
τροϝων θ᾽ ιπποδαμων, και αχαιϝων χαλκοχιτῶνων·
ͱοι πριν επ᾽ αλληλοισ᾽ εφερον πολυδακρυν αρεϝα
εν πεδιῳ, ολοϝοϝο λιλαιϝομενοι πολεμοϝο·
ͱοι δη νῦν ͱεαται σιγῃ, πολεμος δε πεπαϝται,
ασπισι κεκλιμενοι, παρα δ᾽ ενχεα μακρα πεπηγεν.

αϝταρ αλεκσανδρος και αρεϝιφιλος μενελαϝος Γ
μακρῇσ᾽ ενχειῇσι μαχησονται περι σεϝο·
τῷ δε κε νικῆσαντι φιλη κεκλησε᾽ ͱακοιτις.
ͱως ϝεσποντσα θεα γλυκυν ͱιμερον ενβαλε θυϝμῷ
ανδρος τε προτεροο, και ϝαστυος, ηδε τοκεϝων.
αϝτικα δ᾽ αργεννῇσι καλυπτσαμενη ϝοθονῇσιν
ͱορμαετ᾽ εκ θαλαμοϝο, τερεν κατα δακρυ χεϝοντσα·
ουκ οιη, ͱαμα τῇγε και αμφιπολοι δυ᾽ ͱεποντο.
αιπσα δ᾽ επειτ᾽ εͱικανον ͱοθι σκαιϝαι πυλαι ῆσαν.
ͱοι δ᾽ αμφι πριαμον, και πανθοϝον, ηδε θυμοιτην,
λαμπον τε, κλυτιον θ᾽, ικεταϝονα τ᾽, οδσον αρεϝος,
ουκαλεγων τε και αντῆνωρ, πεπνυμενω αμφω,
ͱηατο δημογεροντες επι σκαιϝῇσι πυλῇσιν,
γηραϊ δη πολεμοϝο πεπαϝμενοι· αλλ᾽ αγορεϝται
εσθλοι, τεττινγεσι ϝεϝοικοτες, ͱοιτε καθ᾽ υλϝην
δενδρε᾽ εφεδσομενοι ϝοπα λειριοεντσαν ͱιͱεντιν·
τοιοι αρα τροϝων ͱηγητορες ͱηντ᾽ επι πυργῷ.
ͱοι δ᾽ ͱως ῶν ϝειδον ͱελενην επι πυργον ιοντσαν,
ͱηκα προς αλληλοϝς ϝεπεα πτεροεντ᾽ αγορεϝον·
ου νεμεσις, τροϝας και ͱεϋκνημῖδας αχαιϝοϝς
τοιῇδ᾽ αμφι γυναικι πολυν χρονον αλγεα πασχεεν·
αινως αθανατῇσι θεῇσ᾽ εις ῶπα ϝεϝοικεν.
αλλα και ͱως, τοιη περ εοντσ᾽, εν ναϝσι νεεσθω,
μηδ᾽ ͱημῖν τεκεεσι τ᾽ οπισσῷ πημα λιποιτο.
ͱως αρ᾽ εφαν· πριαμος δ᾽ ͱελενην εκαλεσσατο φωνῇ·
δευρο παροιθ᾽ ελθοντσα, φιλον τεκος, ͱιδσε᾽ εμεϝο,
ͱοφρα ϝιδῇς προτερον τε ποσιν, πηοϝς τε, φιλοϝς τε·
ουτι μοι αιτιη εσσι, θεοι νυ μοι αιτιοι εντιν,
ͱοι μοι εφορμῆσαν πολεμον πολυδακρυν αχαιϝων·
ͱως μοι και τονδ᾽ ανδρα πελωριον εκσονομῆνῇς,
ͱοστις ͱοδ᾽ εστιν αχαιϝος ανηρ ῆϋς τε μεγας τε.
ητοι μεν κεφαλῇ και μειδσονες αλλοι εαντιν·
καλον δ᾽ ͱοϝτῷ εγων ου πῷ ϝιδον οφθαλμοισιν,
ουδ᾽ ͱοϝτῷ γεραρον· βασιλεϝι γαρ ανδρι ϝεϝοικεν.
τον δ᾽ ͱελενη μυϝθοισιν αμειβετο, διϝα γυναικων·
αιδοιος τε μοι εσσι, φιλε ͱεκυρε, δδεινος τε·
ͱως μοι οφελλε ϝαδεεν θανατος κακος, ͱοποτε δευρο
ͱυιιϊ σῷ ͱεπομην, θαλαμον γνῶτοϝς τε λιποντσα,
παιδα τε τηλυγετην, και ͱομηλικιην ερατεινην.
αλλα ταγ᾽ ουκ εγενοντο· το και κλαϝοντσα τετηκα.
τοϝτο δε τοι ϝερεω, ͱο μ᾽ ανειρεαι ηδε μεταλλᾷς·
ͱοϝτος γ᾽ ατρεϝιδης, ευρυ κρεϝων αγαμεμνων,
αμφοτερον, βασιλεϝς τ᾽ αγαθος, κρατερος τ᾽ αιχμῆτης·
δαͱηρ αϝτ᾽ εμος εσκε κυνῶπιδος, ει ποτ᾽ εῆν γε.
ͱως φατο· τον δ᾽ ͱο γερων ῆγασσατ᾽, εφωνησεν τε·
ω μακαρ ατρεϝιδη, μοιρηγενες, ολβιοδαιμον!

ἠ ϱα νυ τοι πολλόι δεδμῆατο κοϝροι αχαιϝων. Γ
ηδη και φρυγιην εισηλυθον αμπελοεντσαν,
ενθ' εϝιδον πλειστοϝς φρυγας, ανερας αιϝολοπωλοϝς, 185
λαϝοϝς οτρεϝος και μυγδονος αντιθεοϝο,
ͱοι ρα τοτ' εστραταοντο παρ' ͱοχθας σανγαριοϝο.
και γαρ εγων επικουρος εων μετα τοισιν ελεχθην. 188
αλλ' ουδ' ͱοι τοσοι ῆσαν, ͱοσοι ϝελικῶπες αχαιϝοι. 190
δεϝτερον αϝθ', οδυσεϝα ϝιδων, ερεειν' ͱο γεραϝος·
ϝεσπ' αγε μοι και τονδε, φιλον τεκος, ͱοστις ͱοδ' εστιν·
μειων μεν κεφαλην αγαμεμνονος ατρεϝιδαϝο,
ευρυτερος δ' ωμοισιν ιδε στερνοισι ϝιδεσθαι.
τευχεα μεν ͱοι κειται επι χθονι πολυβοτειρῃ, 195
αϝτος δε, κτιλος ͱως, επιπωλεεται στιχας ανδρων. 196
τον δ' ῆμειβετ' επειθ' ελενη, διος εκγεγαυια· 199
ͱοϝτος δ' αϝ' λαϝερτιαδης, πολυμητις ͱοδυσσεϝς, 200
ͱος τραφη εν δημῳ ιθιακης κραναης περ εοντσης,
ϝειδως παντοιοϝς τε δολοϝς και μηδεα πυκνα.
την δ' αϝτ' αντῆνωρ πεπνῦμενος αντιον ῆυϝδα·
ω γυναι, η μαλα τοϝτο ϝεπος νημερτες εϝεσπες.
ηδη γαρ και δευρο ποτ' ηλυθε διϝος ͱοδυσσεϝς, 205
σεϝ' ͱενεκ' ανγελιης, γσυν αρεϝιφιλῳ μενελαϝῳ.
τοϝς δ' εγω εχσεινισσα, και εν μεγαροισ' εφιλησα·
αμφοτερων δε φυϝην εδαην και μηδεα πυκνα.
αλλ' ͱοτε δη τροϝεσιν εν αγρομενοισιν εμιχθεν,
σταντων μεν, μενελαϝος ͱυπερͱεχεν ευρυας ωμοϝς, 210
αμφω δ' ͱεδσομενω, γεραρωτερος ῆεν ͱοδυσσεϝς.
αλλ' ͱοτε δη μυϝθοϝς και μηδεα παντσιν ͱυφαινον,
ητοι μεν μενελαϝος επιτροχαδην αγορεϝεν,
παϝρα μεν, αλλα μαλα λιγυως, επει ου πολυμυϝθος. 214
αλλ' ͱοτε δη πολυμητις αναϝικσειεν ͱοδυσσεϝς, 216
στᾶσκεν, ͱυπαι δε ϝιδεσκε κατα χθονος ομματα πηγσανς,
σκηπτρον δ' ουτ' οπισῳ, ουτε προπρηνες, ενωμα,
αλλ' αστεμφες ͱεχεσκεν, αϝιδριϊ φῶτι ϝεϝοικως· 219
αλλ' ͱοτε δη ϝοπα τε μεγαλην εκ στηθεος ͱιͱεεν, 221
και ϝεπεα νιφαδεσι ϝεϝοικοτα χειμεριῇσιν,
ουκ αν επειθ' οδυσεϝι γ' ερισσειε βροτος αλλος. 223
το τριτον αϝτ', αιαντα ϝιδων, ερεειν' ͱο γεραϝος· 225
τις τ' αρ' ͱοδ' αλλος αχαιϝος ανηρ ῆυς τε μεγας τε,
εκσͱοχος αργειϝων κεφαλην ηδ' ευρυας ωμοϝς;
τον δ' ͱελενη τανυπεπλος αμειβετο, διϝα γυναικῶν·
ͱοϝτος δ' αιϝανς εστι πελωριος, ͱερκος αχαιϝων·
ιδομενεϝς δ' ͱετερωθεν ενι κρητεσι, θεος ͱως, 230
ͱεστηκ'· αμφι δε μιν κρητων αγοι αγερεθονται.
πολλακι μιν χσεινισσεν αρεϝιφιλος μενελαϝος
ϝοικῳ εν ͱημετερῳ, ͱοποτε κρητηθεν ͱικοιτο.
νῦν δ' αλλοϝς μεν παντας ͱορῶ ϝελικῶπας αχαιϝοϝς· 234

δοιω δ' ου δυναμαι Fιδεεεν κοσμητορε λαFων,
καστορα θ' ιπποδαμον, και πυγς αγαθον πολυδευκεα, Γ
αFτοκασιγνητω, τω μοι μια γῆνατο μητηρ.
η' ουχ εσπεσθην λακεδαιμονος εκς ερατεινης;
η δευρο μεν ͱεποντο ναFεσ' ενι ποντοποροισιν,
νῦν δ' αFτ' ουκ εθελοντι μαχην καταδυFμεναι ανδρων,
αισχεα δεδδιοτες και ονειδεα πολλ', ͱα μοι εστιν;
ͱως φατο· τοFς δ' ηδη καθεχεν φυσιδσαFος αια.
κηρῦκες δ' ανα Fαστυ θεων φερον ͱορκια πιθτα,
Fαρνε δυω, και Fοινον ͱεῦφρονα, καρπον αροFρης,
ασκῷ εν αιγειῷ· φερε δε κρῆτηρα φαFεινον
κηρυκς ιδαιος, ηδε χρυσεια κυπελλα·
ὦτρυνεν δε γεροντα παρͱισταμενος Fεπεεσιν·
ορσεο, λαFομεδοντιαδη· καλεοντιν αριστοι
τροFων θ' ιπποδαμων, και αχαιFων χαλκοχιτῶνων,
ες πεδιον καταβηναι, ͱιν' ͱορκια πιθτα ταμηται·
αFταρ αλεκσανδρος και αρεFιφιλος μενελαFος
μακρῇσ' ενχειῇσι μαχησοντ' αμφι γυναικι·
τῷ δε νικῆσαντι γυνη και κτημαθ' εποιτο·
ͱοι δ' αλλοι, φιλοτητα και ͱορκια πιθτα ταμοντες,
ναιοιμεν τροFιην εριβῶλακα· τοι δε νεωνται
αργος ες ͱιπποβοτον και αχαιFιδα καλλιγυναικα.
ͱως φατο· ρῖγησεν δ' ͱο γερων, εκελεFσε δ' ͱεταιροFς
ͱιπποFς δσευγνυμεναι· τοι δ' ͱοτραλεως επιθοντο.
αν δ' αρ' εβη πριαμος, κατα δ' ͱηνι' ετεινεν οπισσῷ·
παρ δε ͱοι αντῆνωρ περικαλλε' εβησατο διφρον.
τω δε δια σκαιFεων πεδιονδ' ͱεχον ὦκυας ͱιπποFς.
αλλ' ͱοτε δη ρ' εͱικοντο μετα τροFας και αχαιFοFς,
εκς ͱιππων αποβαντες επι χθονα πολυβοτειραν,
ες μεσσον τροFων και αχαιFων εστιχαοντο.
ὦρνυτο δ' αFτικ' επειτα Fανακς ανδρων αγαμεμνων,
αν δ' ͱοδυσεFς πολυμητις· αταρ κηρῦκες αγαFοι
ͱορκια πιθτα θεων γσυναγον, κρῆτηρι δε Fοινον
μισγον· αταρ βασιλεFσιν ͱυδωρ επι χειρας εχεFον·
ατρεFιδης δε Fερυσσαμενος χειρεσι μαχαιραν,
ͱη ͱοι παρ χσιφεος μεγα κουλεον αιFεν αͱορτο,
Fαρνων εκ κεφαλεων ταμνε τριχας· αFταρ επειτα
κηρῦκες τροFων και αχαιFων νῆμαν αριστοις.
τοισιν δ' ατρεFιδης μεγαλ' ευχετο, χειρας ανασχων·
δσεF πατερ, ιδηθεν μεδεων, κυFδιστε, μεγιστε,
ῆελιος θ', ος παντ' εφορᾳς, και παντ' επακοFεις,
και ποταμοι, και γαια, και ͱοι ͱυπενερθε καμοντας
ανθρωποFς τιFνυσθ', ͱοστις κ' επιͱορκον ομοσσῃ!
ͱυμεες μαρτυροι εστε, φυλασσετε δ' ͱορκια πιθτα·
ει μεν κεν μενελαFον αλεκσανδρος καταπεφνῃ,
αFτος επειθ' ελενην ͱεχετω και κτηματα παντα,

ͱημεες δ᾽ εν ναϝεσι νεώμεθα ποντοποροισιν·
ει δε κ᾽ αλεκσανδρον κτεινῇ χσανθος μενελαϝος,
τροϝας επειθ᾽ ελενην και κτηματα παντ᾽ αποδῶναι.
ῆ, και επι στομαχοϝς ϝαρνων ταμε νηλεϊ χαλκῷ·
και τοϝς μεν κατεθῆκεν επι χθονος ασπαιροντας.
ϝοινον δ᾽ εκ κϙῆτηρος αφυσσαμενοι δεπάεσιν
εκχεϝον, ηδ᾽ ευχοντο θεοισ᾽ αιϝειγενετῃσιν·
ͱῷδε δε τις ϝεσπεσκεν αχαιϝων τε τροϝων τε·
δσεϝ κυϝδιστε, μεγιστε, και αθανατοι θεοι αλλοι,
ͱοποτεροι προτεροι ͱυπερ ͱορκια πημῆνειαν,
ͱῷδε σφ᾽ εγκεφαλος χαμαδις ρεϝοι, ͱως ͱοδε ϝοινος,
αϝτων, και τεκεων· ͱαλοχοι δ᾽ αλλοισι μιγειεν.
ͱως εφαν· ουδ᾽ αρα πῷ σφιν επεκραϝαινε κϙονιϝων.
τοισι δε δαρδανιδης πριαμος μετα μυϝθον εϝεσπεν·
κεκλυτε μεο, τροϝες, και ͱεϋκνημῖδες αχαιϝοι·
ητοι εγων ειμι προτι ϝιλϝιον ανεμοεντσαν
αψ, επει ου πῷ τλῆσομ᾽ εν οφθαλμοισιν ͱορᾶσθαι
μαρναμενον φιλον ͱυιον αρεϝιφιλῳ μενελαϝῳ.
δσεϝς μεν ποο τογε ϝοιδε και αθανατοι θεοι αλλοι,
ͱοποτερῳ θανατοϝο τελος πεπρῶμενον εστιν.
ῆ ρα, και ες διφρον ϝαρνας θετο ϝεισϝοθεος φῶς·
αν δ᾽ αρ᾽ εβαιν᾽ αϝτος, κατα δ᾽ ͱηνι᾽ ετεινεν οπισσῳ·
παρ δε ͱοι αντῆνωρ περικαλλε᾽ εβησατο διφρον·
τω μεν αρ᾽ αψσορροϝοι προτι ϝιλϝιον απονεοντο.
ͱεκτωρ δε πριαμοϝο παϊς και διϝος ͱοδυσσεϝς,
χῶϙον μεν πρῶτον διεμετρεον, αϝταρ επειτα
κλῆροϝς εν κυνεῃ χαλκηρει επαλλον ͱελοντες,
ͱοποτερος δη προσθεν αφειη χαλκεον ενχος.
λαϝοι δ᾽ ῆρῆσαντο, θεοισι δε χειρας ανεσχον·
ͱῷδε δε τις ϝεσπεσκεν αχαιϝων τε τροϝων τε.
δσεϝ πατερ, ιδηθεν μεδεων, κυϝδιστε, μεγιστε,
ͱοποτεϙος ταδε ϝεργα μετ᾽ αμφοτεροισιν εθῆκεν,
τον δος αποφθιμενον δυϝναι δομον αϝιδος εισῷ,
ͱημῖν δ᾽ αϝ φιλοτητα και ͱορκια πιθτα γενεσθαι.
ͱως αρ᾽ εφαν· παλλεν δε μεγας κορυθαιϝολος ͱεκτωρ,
αψ ͱορων· παριος δε θοϝως εκ κλῆρος οροϝσεν.
ͱοι μεν επειθ᾽ ιδσοντο κατα στιχας, ͱῆχι ͱεκαστῳ
ͱιπποι αͱερσιποδες και ποικιλα τευχε᾽ εκειτο.
αϝταϙ ͱογ᾽ αμφ᾽ ωμοισιν εδυϝσατο τευχεα καλα
διϝος αλεκσανδρος, ͱελενης ποσις ῆϋκομοϝο.
κνημῖδας μεν πρῶτα περι κνημῇσιν εθῆκεν
καλας, αργυρεοισιν επισφυριοισ᾽ αραρυιας·
δεϝτερον αϝ θωϙηκα περι στηθεσσιν εδυϝνεν
ͱοϝο κασιγνητοϝο λυκαϝονος· ῆρμοσε δ᾽ αϝτῷ·
αμφι δ᾽ αρ᾽ ωμοισιν βαλετο χσιφος αργυροͱηλον,
χαλκεον· αϝταρ επειτα σακος μεγα τε στιβαρον τε·

κρᾶτι δ' επ' ἶφθἶμῳ κυνεην ͱεΰτυχτον εθῆκεν, Γ
ͱιππουριν· δδεινον δε λοφος καθυπερθεν ενευεν·
ͱελλετο δ' αλκιμον ενχος, ͱο ͱοι παλαμηφιν αρῆρεεν.
ͱως δ' αFτως μενελαFος αρεFιος εντε' εδυFνεν.
ͱοι δ' επει ῶν ͱεκατερθεν ͱομιλFοFο θωρηχθησαν,
ες μεσσον τροFων και αχαιFων εστιχαοντο,
δδεινον δερκομενοι· θαμβος δ' ͱεχεν εισͱοραοντας·
και ῥ' ενγυς στητην διαμετρητῷ ενι χῶρῳ,
σειοντ' ενχειας, αλληλοισιν κοτεοντε.
προσθε δ' αλεκσανδρος προͱιͱεε δολιχοσκιον ενχος,
και βαλεν ατρεFιδαFο κατ' ασπιδα παντοσε FεισFην,
ουδ' εFρῆγσεν χαλκον, ανεγναμφθη δε ͱοι αιχμη
ασπιδ' ενι κρατερῇ· ͱο δε δεFτερος ῶρνυτο χαλκῷ
ατρεFιδης μενελαFος, επευχσαμενος διϊ πατρι·
δσεF Fανα, δος τιFσασθ', ͱος με προτερος κακα Fοργεν,
ͱοφρα τις αν ρῖγητι και οπσιγονων ανθρωπων
χσεινοδοχον κακα ρεκσαι, ͱος αν φιλοτητα παρασχῇ.
ῆ ρα, και ανπεπαλων προͱιͱεε δολιχοσκιον ενχος,
και βαλε πριαμιδαFο κατ' ασπιδα παντοσε FεισFην·
δια μεν ασπιδος ηλθε φαFεινης οβριμον ενχος,
και δια θωρηκος πολυδαιδαλοF' ηρηρειδστο·
αντικρυς δε παραι λαπαρην διαμῆσε χιτῶνα
ενχος· ͱο δ' εκλινθη, και αλεFσατο κηρα μελαιναν·
ατρεFιδης δε Fερυσσαμενος χσιφος αργυροͱηλον
πληγσεν ανασχομενος κορυθος φαλον· αμφι δ' αρ' αFτῷ
τριχθα τε και τετραχθα διατρυφεν εκπεσε χειρος·
ατρεFιδης δ' ῴμωγσε, Fιδων εις ουρανον ευρυν·
δσεF πατερ, ουτις σεFο θεων ολοFωτερος αλλος!
ῆ τ' εφαμην τιFσασθαι αλεκσανδρον κακοτητος·
νῦν δε μοι εν χειρεσ' εFαγη χσιφος· εκ δε μοι ενχος
ῆͱιχθη παλαμηφι Fετωσιον, ουδ' εβαλον μιν.
ῆ, και επαͱικσανς κορυθος λαβεν ͱιπποδασυιης,
ͱελκε δ' επιστρεφσανς μεθ' εΰκνημῖδας αχαιFοFς·
ανχε δε μιν πολυκεστος ͱιμανς ͱαπαλην ͱυπο δειρην,
ͱος ͱοι ͱυπ' ανθερεῶνος ͱοχεFς τετατο τρυφαλειης.
και νυ κεν εFερυσεν τε, και ασπετον ͱῆρατο κυFδος,
ει μη αρ' ͱοκσυ νοησε διος θυγατηρ αφροδῖτη,
ͱη ͱοι Fρηγσεν ͱιμαντα βοFος Fῖφι κταμενοFο·
κῆνη δε τρυφαλεια ͱαμ' ͱεσπετο χειρι παχυιῇ.
την μεν επειθ' ηρως μεθ' εΰκνημῖδας αχαιFοFς
ριπτσ' επιδινεFσανς, κομισαν δ' εριῆρες ͱεταιροι.
αFταρ ͱογ' απς εποροFσε κατακταμεναι μενεαινων
ενχεϊ χαλκειῷ· τον δ' εκσͱαρπακσ' αφροδῖτη
ρεFα μαλ', ͱωστε θεος· εκαλυπτσε δ' αρ' ῆερι πολλῇ,
κατ δ' ͱεσσ' εν θαλαμῷ, ͱεΰωδεϊ, κηῶεντι.
αFτη δ' αFθ' ελενην καλεοντσ' ιε· την δ' εχιχανεν

πυργῷ εφ' υπσηλῷ· περι δε τροϝιδες ͱαλις ῆσαν· Γ
χειρι δε νεκταρεοο ϝεανοϝ' ετινακσε λαβοντσα·
γραϝι δε μιν ϝεϝικυια παλαιγενεϊ προσεϝεσπεν
ειροκομῳ, ͱη ͱοι λακεδαιμονι ναιεταοντσῇ
ῆσκεεν ειρια καλα, μαλιστα δε μιν φιλεεσκεν·
τῇ μιν ϝειδσαμενη προσεφῶνεε διϝ' αφροδῖτη·
δευρ' ιθ'· αλεκσανδρος σε καλεῖ ϝοικονδε νεεσθαι·
κεινος ͱοϝ' εν θαλαμῷ και δινῶτοισι λεχεσσιν,
καλλεϊ τε στιλβων και ϝεσμασιν, ουδε κε φαιης
ανδρι μαχησαμενον τονγ' ελθεμεν, αλλα χορονδε
ερχεσθ', ηε χοροϝο νεϝον ληγοντα καθιδσεεν.
ͱως φατο· τῇ δ' αρα θυϝμον ενι στηθεσσιν ορινεν·
βη δε κατασχομενη ϝεανῷ αργητι φαϝεινῷ,
σιγῇ· παντσας δε τροϝιδας λαθεν· ῆρχε δε δαιμων.
ͱαι δ' ͱοτ' αλεκσανδροϝο δομον περικαλλε' ͱικοντο,
αμφιπολοι μεν επειτα θοϝως επι ϝεργ' ετραποντο,
ͱη δ' εις ͱυπσοροφον θαλαμον κιε διϝα γυναικων.
τῇ δ' αρα διφρον ͱελοντσα φιλομειδης αφροδῖτη
αντι' αλεκσανδροϝο θεα κατεθῆκε φεροντσα·
ενθα καθιδσ' ͱελενη, κοϝρη διος αιγιͱοχοϝο,
οσσε παλιν κλῖναντσα· ποσιν δ' ηνιπαπε μυϝθῳ·
ηλυθες εκ πολεμοϝ'· ͱως ῶφελες αϝτοθ' ολεσθαι,
ανδρι δαμενς κρατερῷ, ͱος εμος προτερος ποσις ῆεν!
η μεν δη πριν γ' ευχε' αρεϝιφιλοο μενελαϝοο
σῇ τε βιῇ, και χερσι, και ενχεϊ, φερτερος εεναι·
αλλ' ιθι νῦν προκαλεσσαι αρεϝιφιλον μενελαϝον
εκσαϝτις μαχεσασθαι εναντιον! αλλα σ' εγωγε
παϝσασθαι κελομαι, μηδε χσανθῷ μενελαϝῳ
αντιβιον πολεμον πολεμιδσεμεν, ηδε μαχεσθαι
αφραδεως, μη πως ταχ' ͱυπ' αϝτοϝο δορϝι δαμειης.
την δε παρις μυθοισιν αμειβομενος προσεϝεσπεν·
μη με, γυναι, χαλεποισιν ονειδεσι θυϝμον ενισπε.
νῦν μεν γαρ μενελαϝος ενικῆσε γσυν αθηνῇ·
κεινον δ' αϝτις εγω· παρα γαρ θεοι εντι και ͱημῖν.
αλλ' αγε δη φιλοτητι τραπειομεν ευνῆθεντε·
ου γαρ πῷ ποτε μ' ͱῶδε φρενας ερος αμφεκαλυπτσεν,
ουδ' ͱοτε σε προτερον λακεδαιμονος εκς ερατεινης
επλεϝον ͱαρπακσανς εν ποντοποροισι ναϝεσιν,
νησῳ δ' εν κραναῇ εμιγην φιλοτητι και ευνῇ,
ͱως σεϝο νῦν εραμαι, και με γλυκυς ͱιμερος ͱαιρεῖ.
ῆ ρα, και ῆρχε λεχοσδε κιων, ͱαμα δ' ͱεσπεθ' ακοιτις·
τω μεν αρ' εν τρῆτοισι κατευνασθην λεχεεσιν.
ατρεϝιδης δ' αν ͱομιλϝον εφοιταε, θηρι ϝεϝοικως,
ει ποϝ' εσαθρησειεν αλεκσανδρον θεοϝειδεα.
αλλ' ουτις δυνατο τροϝων κλῆτων τ' επικουρων
δεικσαι αλεκσανδρον τοτ' αρεϝιφιλῳ μενελαϝῳ.

ͱοι δε θεοι παρ δσῆνι καθημενοι ῆγορεϝοντο Δ
χρυσεῷ εν δαπεδῷ, μετα δε σφισι ποτνια ͱηβη
νεκταρ εϝοινοχοϝεε· τοι δε χρυσεοισι δεπασσιν
δεδεχατ' αλληλοϝς, τροϝων πολιν εισͱοραοντες.
αϝτικ' επειραετο κρονιδης ερεθιδσεμεν ͱηρην,
κερτομιοισι ϝεπεσσι παραβλῆδην αγορεϝων·
δοιαι μεν μενελαϝῳ αρηγονες εντι θεαϝων. 7
αλλ' ητοι ται νοσφι καθημεναι εισͱοραονσαι 9
τερπεσθον· τῷ δ' αϝτε φιλομειδης αφροδῖτη
αιϝει παρμεμολῶκε, και αϝτοϝο κηρας αμυϝνει·
και νῦν εκσεσαῶσεν οἴϝομενον θανεεσθαι.
αλλ' ητοι νικη μεν αρεϝιφιλοο μενελαϝοο·
ͱημεες δε φραδσωμεθ', ͱοπως εσται ταδε ϝεργα·
η ρ' αϝτις πολεμον τε κακον και φυϝλϝοπιν αινην
ορσομεν, η φιλοτητα μετ' αμφοτεροισι βαλωμεν.
ει δ' αϝτως τοδε παντσι φιλον και ͱηδυ γενοιτο,
ητοι μεν ϝοικεοιτο πολις πριαμοϝο ϝανακτος,
αϝτις δ' αργειϝην ͱελενην μενελαϝος αγοιτο.
ͱως εφαθ'· αι δ' επεμυκσαν αθηναιη τε και ͱηρη·
πλῆσιαι ͱαιγ' ͱησθην, κακα δε τροϝεσ' εμεδεσθην.
ητοι αθηναιη ακεων ῆν, ουδε τι ϝεσπεν,
σκυδσομενη διϊ πατρι, χολος δε μιν αγριος ͱαιρεεν·
ͱηρη δ' ουκ εχαδε στηθος χολον, αλλα προσῆυϝδα·
αινοτατε κρονιδη, ποιον τον μυϝθον εϝεσπες;
πῶς εθελεις ͱαλιον θεμεναι πονον, ηδ' ατελεστον
ͱιδροα, ͱον ͱιδρῶσα μογῳ; καμετην δε μοι ͱιπποι
λαϝον αγειροντσῃ, πριαμῳ κακα, τοϝο τε παιδσιν.
ερδ'· αταρ ου τοι παντες επαινεομεν θεοι αλλοι.
την δε μεγ' οχθησανς προσεφη νεφεληγερετα δσεϝς·
δαιμονιη, τι νυ σε πριαμος πριαμοϝο τε παιδες
τοσα κακα ρεδσοντιν, ͱοτ' ασπερχες μενεαινεις
ϝιλϝιοϝ εκσαλαπακσαι ͱεϋκτιμενον πτολιεθρον;
ει δε συγ', εισελθοντσα πυλας και τειχεα μακρα,
ωμον βεβρωκοις πριαμον, πριαμοϝο τε παιδας,
αλλοϝς τε τροϝας, τοτε κεν χολον εκσακεσαιο.
ερκσον ͱοπως εθελεις, μη τοϝτο γε νεικος οπισσῳ
σοι και εμοι μεγ' ερισμα μετ' αμφοτεροισι γενηται.
αλλο δε τοι ϝερεω, συ δ' ενι φρεσι βαλλεο σῇσιν·
ͱοποτε κεν και εγω μεμαϝως πολιν εκσαλαπακσαι
την εθελω, ͱοθι τοι φιλοι ανερες ενγεγααντιν,
μη τι διατριβεμεν τον εμον χολον, αλλα μ' εϝᾶσαι·
και γαρ εγω σοι εδῶκα ͱεκων αϝεκοντι γε θυϝμῳ.
ͱαι γαρ ͱυπ' ῆελιῳ τε και ουρανῳ αστεροεντι
ναιεταοντι πολιστες επιχθονιων ανθρωπων,
ταϝων μοι περι κεαρι τιϝεσκετο ϝιλϝιος ͱιερη. 46
ου γαρ μοι ποτε βωμος εδεϝετο δαιτος ϝεϊσϝης, 48

λοιβης τε, κνισσης τε· το γαρ λαχομεν γερας ͱημεες. Δ
τον δ' ἠμειβετ' επειτα βοϝῶπις ποτνια ͱηρη·
ητοι εμοι τρεες μεν πολυ φιλταται εντι πολιστες,
αργος τε, σπαρτη τε, και ευρυαγυια μυκηνη·
τας διαπερθσαι, ͱοτ' αν τοι απεχθωνται περι κεαρι·
ταϝων ουτοι εγω προσθ' ͱισταμαι, ουδε μεγαιρω.
ειπερ γαρ φθονεω τε, και ουκ εϝαω διαπερθσαι,
ουκ ανυω φθονεοντσ'· επει η πολυ φερτερος εσσι.
αλλα χρη και εμον θεμεναι πονον ουκ ατελεστον·
και γαρ εγω θεος ἠμι, γενος δε μοι ενθεν, ͱοθεν σοι·
και με πρεσβυτατην τεκετο κρονος ανκυλομητης,
αμφοτερον, γενεῃ τε, και ͱοονεκα ση παρακοιτις
κεκλῆμαι· συ δε παντσι μετ' αθανατοισι ϝανασσεις.
αλλ' ητοι μεν ταϝθ' υποϝεικσομεν αλληλοισιν,
σοι μεν εγω, συ δ' εμοι· επι δ' ͱεπσονται θεοι αλλοι
αθανατοι· συ δε θᾶσσον αθηναιῃ επιτῆλαι,
ελθεμεν ες τροϝων και αχαιϝων φυϝλϝοπιν αινην,
πειρᾶν θ', ως κεν τροϝες ͱυπερκυϝδαντας αχαιϝοϝς
αρχσωντι προτεροι ͱυπερ ͱορκια δηλησασθαι.
ͱως εφατ'· ουδ' απιθησε πατηρ ανδρων τε θεων τε·
αϝτικ' αθηναιην ϝεπεα πτεροεντα προσηῦϝδα·
αιπσα μαλ' ες στρατον ελθε μετα τροϝας και αχαιϝοϝς,
πειρᾶν δ', ͱως κεν τροϝες ͱυπερκυϝδαντας αχαιϝοϝς
αρχσωντι προτεροι ͱυπερ ͱορκια δηλησασθαι.
ͱως ϝεσπων ὤτρυϝνε παρος μεμαϝυιαν αθηνην·
βη δε κατ' ολυνποϝο καρηνων αϝικσαντσα.
ͱοιον δ' αστερ' εϝῆκε κρονοο παϊς ανκυλομητεο,
η ναϝτῇσι τερας, ηε στρατῷ ευρυϊ λαϝων,
λαμπρον· τοο δε τε πολλοι απο σπινθηρες ͱιϝενται·
τῷ ϝεϝικυι' ἠϝικσεν επι χθονα παλλας αθηνη,
κατ δ' εθορ' ες μεσσον· θαμβος δ' ͱεχεν εισͱοραοντας.
ͱῶδε δε τις ϝεσπεσκε ϝιδων ες πλῆσιον αλλον·
η ρ' αϝτις πολεμος τε κακος και φυϝλϝοπις αινη
εσσεται, η φιλοτητα μετ' αμφοτεροισι τιθητιν
δσεϝς, ͱοστ' ανθρωπων ταμιης πολεμοϝο τετυχται.
ͱως αρα τις ϝεσπεσκεν αχαιϝων τε τροϝων τε.
ͱη δ' ανδρι ϝικελη τροϝων κατεδυϝσαθ' ομιλϝον,
λαϝοδοκῷ αντῆνοριδῃ, κρατερῷ αιχμῆτῃ,
πανδαρον αντιθεον διδσημενη, ει ποϝ' εφευροι.
ͱευρε λυκαϝονος ͱυιον αμυϝμονα τε, κρατερον τε,
ͱεσταοτ'· αμφι δε μιν κρατεραι στιχες ασπισταϝων·
ανχοϝο δ' ͱισταμενη ϝεπεα πτεροεντα προσηῦϝδα·
η ρα νυ μοι τι πιθοιο, λυκαϝονος ͱυιε δαϝιφρον;
τλαίης κεν μενελαϝῷ επιπροϝεμεν ταχυν ͱιϝον·
παντσι δε κε τροϝεσι χαριν και κυϝδος ͱαροιο.
αλλ' αγ', οϊστεϝσον μενελαϝοϝο κυϝδαλιμοϝο·

ευχεο δ' απολλω̃νι λυκηγενεϊ, κλυτοτοκσω̨̃, Δ
ϝαρνω̃ν πρω̃τογονων ρεκσεεν κλειτην ͱεκατονβην,
ϝοικαδε νοστησανς ͱιερης εις ϝαστυ δελειης.
ͱως φατ' αθηναιη· τω̨̃ δε φρενας αφρονι πειθεν.
αϝτικ' εσυλϝαε τοκσον ͱεϋχσυϝον, ͱικσͱαλοϝ' αιγος 105
αγριοϝ', ͱον ρα ποτ' αϝτος, ͱυπο στερνοϝο τυχησανς,
πετρης εκβαινοντα δεδεχμενος εν προδοκη̨̃σιν,
βεβληκεε προς στηθος· ͱο δ' ͱυπτιος ενπεσε πετρη̨̃·
τοο κερα' εκ κεφαλης ͱεκ και δεκα ͱωρ' επεφυϝκεεν·
και τα μεν ασκησανς κεραοχσυϝος η̃ραρε τεχτων, 110
παν δ' ͱεϋ λεϝη̃νανς χρυσεην επεθηκε κορωνην·
και το μεν ͱευ κατεθη̃κε τανυσσαμενος, ποτι γαιη̨̃
ανκλι̃νανς· προσθεν δε σακεα σχεθον εσθλοι ͱεταιροι,
μη πριν αναͱικσειαν αρεϝιοι ͱυιες αχαιϝων, 114
αϝταρ ͱο συλϝαε πωμα φαρετρης, εκ δ' ͱελεθ' ιϝον· 116
αιπσα δ' επι νευρη̨̃ κατεκοσμεε πικρον οϊστον, 118
ευχετο δ' απολλω̃νι λυκηγενεϊ, κλυτοτοκσω̨̃,
ϝαρνω̃ν πρω̃τογονων ρεκσεεν κλειτην ͱεκατονβην, 120
ϝοικαδε νοστησανς ͱιερης εις ϝαστυ δελειης.
ͱελκε δ' ͱομοο γλυφιδας τε λαβων και νευρα βοϝεια·
νευρην μεν μαδσω̨̃ πελασεν, τοκσω̨̃ δε σιδηρον.
αϝταρ επειδη κυκλοτερες μεγα τοκσον ετεινεν,
λινγσε βιος, νευρη δε μεγ' εϝιϝαχ', ͱαλτο δ' οϊστος 125
ͱοκσυβελης, καθ' ομιλϝον επιπτεσθαι μενεαινων.
ουδε σεθεν, μενελαϝε, θεοι μακαρες λελαθοντο
αθανατοι, πρω̃τη δε διος θυγατηρ αγελαϝη,
ͱη τοι προσθεν σταντσα, βελος ͱεχεπευκες αμυϝνεν.
ͱη δε τοσον μεν εϝεργεν απο χροος, ͱως ͱοτε μητηρ 130
παιδος εεργει μυιαν, ͱοθ' ηδυϊ λεχσεται ͱυπνω̨̃.
αϝτη δ' αϝτ' ιθυϝνεν, ͱοθι δσωστηρος ͱοχεϝες
χρυσειοι γσυνͱεχον, και διπλοϝος η̃ντετο θωρηκς· 133
δια μεν αρ δσωστηρος εληλατο δαιδαλεοϝο, 135
και δια θωρηκος πολυδαιδαλοϝ' ηρηρειδστο,
μιτρης θ', ην εφορεε, ρυϝμα χροος, ͱερκος ακοντων,
ͱη ͱοι πλειστον ερυϝτο, δια προ δ' εεισατο και της·
ακροτατον δ' αρ' οϊστος επεγραπτσε χροα φω̃τος. 139
ͱως δ' ͱοτε τις τ' ελεφαντα γυνη φοινι̃κι μιη̃νη̨̃ 141
μη̃ονις, ηε καειρα, παρηϊον εσμεναι ͱιππων·
κειται δ' εν θαλαμω̨̃, πολυες τε μιν η̃ρη̃σαντο
ͱιππεϝες φορεεεν· βασιλεϝι δε κει̃ται αγαλμα· 144
τοιοι τοι, μενελαϝε, μιανθην ͱαιματι μηροι 146
ͱευφυϝεες, κνημαι τ', ηδε σφυρα καλ' ͱυπενερθεν.
ρι̃γησεν δ' αρ' επειτα ϝανακς ανδρων αγαμεμνων· 148
ρι̃γησεν δε και αϝτος αρεϝιφιλος μενελαϝος. 150
ͱως δ' εϝιδεν νευρον τε και ονκοϝς εκτος εοντας,
απσορροϝον ͱοι θυϝμος ενι στηθεσσιν αγερθη.

τοις δε βαρυ στοναχων μετεφη κρεϝων αγαμεμνων, Δ
χειρος ͱεχων μενελαϝον· επεστοναχοντο δ' ͱεταιροι·
φιλε κασιγνῆτε, θανατον νυ τοι ͱορκι' εταμνον, 155
οιον προστησανς προς αχαιων τροϝσι μαχεσθαι·
ͱως σ' εβαλον τροϝες, κατα δ' ͱορκια πιθτ' επατησαν.
ου μεν πως ͱαλιον πελει ͱορκιον, ͱαιμα τε ϝαρνων,
σπονδαι τ' ακρῆτοι, και δεχσιαι, ͱῇσ' επεπιθμεν.
ειπερ γαρ τε και αϝτικ' ολυνπιος ουκ ετελεσσεν, 160
εκ τε και οπσε τελεῖ· γσυν τε μεγαλῳ̃ απετιϝσαν,
γσυν σφῇσιν κεφαλῇσι, γυναικσι τε, και τεκεεσιν.
ͱευ γαρ εγω τοδε ϝοιδα κατα φρενα και κατα θυϝμον,
εσσεται ͱημαρ, ͱοτ' αν ποτ' ολωλῇ ϝιλϝιος ͱιερη,
και πριαμος, και λαϝος ͱεϋμελιεο πριαμοϝο· 165
δσεϝς δε σφιν κρονιδης, ͱυπσιδσυγος, αιθερι ναιων,
αϝτος επισειητιν ερεμνην αιγιδα παντσιν,
τησδ' απατης κοτεων· τα μεν εσσεται ουκ ατελεστα·
αλλα μοι αινον αχος σεθεν εσσεται, ω μενελαϝε,
αι κε θανῇς, και μοιραν αναπλησῇς βιϝοτοϝο· 170
και κεν ελενχιστος πολυδιπσιον αργος ͱικοιμην·
αϝτικα γαρ μνῆσονται αχαιϝοι πατριδος αιης,
κατ δε κεν ευχωλην πριαμῳ̃ και τροϝσι λιποιμεν
αργειϝην ͱελενην· σεϝο δ' οστεα πυθσει αροϝρα
κειμενοϝ' εν τροϝιῃ, ατελεϝτῆτῳ̃ επι ϝεργῳ̃· 175
και κεν τις ϝερεει τροϝων ͱυπερῆνορεοντων,
τυμβῳ̃ επιθρωσκων μενελαϝοϝο κυϝδαλιμοϝο·
αιθ' ͱοϝτως επι παντσι χολον τελεσει' αγαμεμνων! 178
τον δ' επιθαρσυϝνων προσεφη χσανθος μενελαϝος· 183
θαρσεε, μηδε τι πῳ̃ δειδισσεο λαϝον αχαιϝων·
ουκ εν καιριῳ̃ ͱοκσυ παγη βελος, αλλα παροιθεν 185
ηρυϝετο δσωστηρ τε παναιϝολος, ηδ' ͱυπενερθεν
δσωμα τε, και μιτρη, την χαλκεϝες καμον ανδρες.
τον δ' απαμειβομενος προσεφη κρεϝων αγαμεμνων·
αι γαρ δη ͱοϝτως ειη, φιλος ω μενελαϝε!
ϝιϝητηρ δ' ͱελκος επιμασσεται, ηδ' επιθησει 190
φαρμαχ', α κεν παϝσητι μελαιναϝων οδυναϝων.
ῆ, και ταλθυβιον, θειον κηρῦκα, προσῆυϝδα·
ταλθυβι', ͱοτι ταχιστα μαχαϝονα δευρο καλεσσον, 193
ͱοφρα ϝιδῇ μενελαϝον αρεϝιον, αρχον αχαιϝων, 195
ͱον τις οϊστεϝσανς εβαλεν, τοκσων ͱεϋ ϝειδως. 196
ͱως εφατ'· ουδ' αρα ͱοι κηρυκς απιθησεν ακοϝσανς· 198
βη δ' ιμεναι κατα λαϝον αχαιϝων χαλκοχιτωνων,
παπταινων ͱηροϝα μαχαϝονα· τον δ' ενοησεν 200
ͱεσταοτ'· αμφι δε μιν κρατεραι στιχες ασπισταϝων. 201
ανχοϝο δ' ͱισταμενος ϝεπεα πτεροεντα προσῆυϝδα· 203
ορσ', ασκληπιαδη· καλεει κρεϝων αγαμεμνων,
ͱοφρα ϝιδῇς μενελαϝον αρεϝιον, ατρεϝος ͱυιον, 205

ϝον τις οἴστεϝσανς εβαλεν, τοκσων ϝεῢ ϝειδως.
ϝως φατο· τῷ δ' αρα θυϝμον ενι στηθεσσιν ορινεν·
βαν δ' ιμεναι καθ' ομιλϝον ανα στρατον ευρυν αχαιϝων. Δ
αλλ' ϝοτε δη ρ' εϝικανον, ϝοθι χσανθος μενελαϝος
βλῆμενος ῆν, περι δ' αϝτον αγηγεραθ', οσοι αριστοι,
κυκλοσ', ϝο δ' εν μεσσοισι παρϝιστατο ϝεισϝοθεος φως·
αϝτικα δ' εκ δσωστηρος αρῆροτος ϝελκεν οἴστον·
τοο δ' εκσελκομενοϝο, παλιν ϝαγεν ϝοκσυες ογκοι·
λυϝσε δε ϝοι δσωστηρα παναιϝολον, ηδ' ϝυπενερθεν
δσωμα τε, και μιτρην, την χαλκεϝες καμον ανδρες.
αϝταρ επει ϝιδεν ϝελκος, ϝοθ' ενπεσε πικρος οἴστος,
ϝαιμ' εκμυδσησανς, επ' αρ' ηπια φαρμακ' επασσεν.
ϝοφρα τοι αμφ' επενοντο βοην αγαθον μενελαϝον,
ϝοι δ' αϝτις κατα τευχε' εδῦν, μνησαντο δε χαρμης.
ενθ' ουκ ανβριδσοντα ϝιδοις αγαμεμνονα διϝον,
ουδε καταπτῶσσοντ', ουδ' ουκ εθελοντα μαχεσθαι·
αλλα μαλα σπευδοντα μαχην ες κυϝδιανειραν.
ϝιπποϝς μεν γαρ εϝᾶσε και ϝαρματα ποικιλα χαλκῷ·
και τοϝς μεν θεραπων απανευθ' ϝεχε φυϝσιαοντας
ευρυμεδων, ϝυιος πτολεμαιοϝο πειραΐδαϝο·
τῷ μαλα πολλ' επετελλε παρϝισχεμεν, ϝοποτε κεν μιν
γυια λαβῃ καματος πολυας διακοιρανεοντα·
αϝταρ ϝο πεδσος εων επεπωλεετο στιχας ανδρων·
και ρ' ϝοϝς μεν σπευδοντας ϝιδοι δαναων ταχυπωλων,
τοϝς μαλα θαρσυϝνεσκε παρϝισταμενος ϝεπεεσιν·
αργειϝοι, μη πῷ τι μεθιϝετε θοϝριδος αλκης·
ου γαρ επι πσευδεσσι πατηρ δσεϝς εσσετ' αρωγος·
αλλ' ϝοιπερ προτεροι ϝυπερ ϝορκι' εδηλησαντο,
των ητοι αϝτων τερενα χροα γυϝπες εδεοντι·
ϝημεες δ' αϝθ' αλοχοϝς τε φιλας, και νηπια τεκνα
αγσομεν εν ναϝεσιν, επην πτολιεθρον ϝελωμεν.
ϝοϝστινας αϝ μεθιϝεντας ϝιδοι στυγεροο πολεμοϝο,
τοϝς μαλα νεικειεσκε χολῶτοισιν ϝεπεεσιν·
αργειϝοι, ϝιϝομωροι, ελενχεες, ου νυ σεβεσθε;
τιφθ' οϝτως ϝεστητε τεθῆποτες, ηΰτε νεβροι;
ϝαι τ' επει ὦν εκαμον πολυος πεδιοϝο θεϝονται,
ϝεσταντ', ουδ' αρα τις σφι μετα φρεσι γιγνεται αλκη·
ϝως ϝυμεες ϝεστητε τεθῆποτες, ουδε μαχεσθε.
η μενετε τροϝας σχεδον ελθεμεν, ενθα τε ναϝες
ϝερυαθ' ευπρυμνοι πολιης επι θινι θαλασσης,
ϝοφρα ϝιδητ', αικ' υμμιν ϝυπερσχῃ χειρα κρονιϝων;
ϝως ϝογε κοιρανεων επεπωλεετο στιχας ανδρων·
ηλθε δ' επι κρητεσι, κιων ανα ϝολϝαμον ανδρων.
ϝοι δ' αμφ' ιδομενεϝα δαϊφρονα θωρησσοντο·
ιδομενεϝς μεν ενι προμαχοις, συϊ ϝεικελος αλκην,
μηριονης δ' αρα ϝοι πυματας ὦτρυϝνε φαλαγγας.

τοϝς δε ϝιδων γηθησε ϝανακς ανδρων αγαμεμνων·
αϝτικα δ' ιδομενεϝα προσηῦϝδαε μειλιχιοισιν· Δ
ιδομενεϝ, περι μεν σε τιϝω δαναων ταχυπωλων,
ημεν ενι πτολεμῳ, ηδ' αλλοιῳ επι ϝεργῳ.
ειπερ γαρ κ' αλλοι γε καρῆκομαοντες αχαιϝοι
δαιτρον πιϝνωντιν, σον δε πλεεον δεπας αιϝει
ͱεστηχ', ωσπερ εμοι, πιϝεεεν, ͱοτε θυϝμος ανωγοι.
αλλ' ορσεο πολεμονδ', ͱοιος παρος ευχεο εεναι.
τον δ' αϝτ' ιδομενεϝς, κρητων αγος, αντιον ηῦϝδα·
ατρεϝιδη, μαλα μεν τοι εγων εριῆρος ͱεταιρος
εσσομαι, ͱως το πρῶτον ͱυπεστην και κατενευσα·
αλλ' αλλοϝς οτρυϝνε καρῆκομαοντας αχαιϝοϝς,
ͱοφρα ταχιστα μαχωμεθ'· επει γσυν γ' ͱορκι' εχεϝσαν
τροϝες· τοισιν δ' αϝ θανατος και κηδε' οπισσῳ
εσσετ', επει προτεροι ͱυπερ ͱορκι' εδηλησαντο.
ͱως εφατ'· ατρεϝιδης δε παρῴχετο γηθοσυνος κεαρ.
ηλθε δ' επ' αιϝαντεσι, κιων ανα ϝολϝαμον ανδρων·
τω δε κορυσσεσθην· ͱαμα δε νεφος ͱεσπετο πεδσων.
ͱως δ' ͱοτ' απο σκοπιης ϝειδεν νεφος αιπολος ανηρ
ερχομενον κατα ποντον ͱυπο δσεφυροϝο ͱιϝῶης,
τῳ δε τ', ανευθεν εοντι, μελαντερον, ηΰτε πισσα,
φαινετ' ιον κατα ποντον, αγει δε τε λαιλαπα πολλην·
ρῖγησεν τε ϝιδων, ͱυπο τε σπεϝος ηλασε μηλα·
τοιαι ͱαμ' αιϝαντεσιν αρεϝιθοϝων αιδσηων
δαϝιον ες πολεμον πυκιναι κινῦντο φαλαγγες
κυϝανεαι, σακεσιν τε και ενχεσι πεφρικκυιαι.
και τοϝς μεν γηθησε ϝιδων κρεϝων αγαμεμνων,
και σφεας φῶνησανς ϝεπεα πτεροεντα προσηῦϝδα·
αιϝαντ', αργειϝων ͱηγητορε χαλκοχιτῶνων,
σφοϝι μεν, ου γαρ ϝεϝοικ' οτρυϝνεμεν, ουτι κελεϝω·
αϝτω γαρ μαλα λαϝον ανωγετον ϝῖφι μαχεσθαι.
αι γαρ, δσεϝ τε πατερ, και αθηναιη, και απολλον!
τοιος παντσιν θυϝμος ενι στηθεσσι γενοιτο·
τῳ κε ταχ' ημυϝσειε πολις πριαμοϝο ϝανακτος,
χερσιν ͱυφ' ημετερῃσιν ͱαλουτσα τε, περθομενη τε.
ͱως ϝεσπων τοϝς μεν λιπεν αϝτοϝ, εβη δε μετ' αλλοϝς·
ενθ' ͱογε νεστορ' ετετμε, λιγυν πυλιων αγορεϝτην,
ͱοϝς ͱεταροϝς στελλοντα, και οτρυϝνοντα μαχεσθαι.
ͱιππεϝας μεν πρῶτα συν ͱιπποισιν και ͱοχεσσιν,
πεδσοϝς δ' εκσοπιθ' εστησεν πολυας τε και εσθλοϝς,
ͱερκος εμεν πολεμοϝο· κακοϝς δ' ες μεσσον ελασσεν,
ͱοφρα και ουκ εθελων τις αναγκαιῃ πολεμιδσῃ.
ͱιππεϝσιν μεν πρῶτ' επετελλετο· τοϝς γαρ ανωγεν
σφοϝς ͱιπποϝς ͱεχεμεν, μηδε κλονεεσθαι ͱομιλϝῳ.
μηδε τις, ͱιπποσυνῃ τε και ηνορεηφι πεποιθως,
οιος προσθ' αλλων μεματω τροϝεσι μαχεσθαι,

μηδ' αναχῶρεετω· αλαπαδνοτεροι γαρ εσεσθε.
hος δε κ' ανηρ αφ' εFων hοχεων hετερ' hαρμαθ' ικηται, Δ
ενχει ορεγσασθω· επειη πολυ φερτερον hοFτως.
hῶδε και hοι προτεροι πολιας και τειχε' επορθεον,
τονδε νοον και θυFμον ενι στηθεσσιν hεχοντες.
hως hο γερων ῶτρυFνε, παλαι πολεμων hεϋ Fειδως·
και τον μεν γηθησε Fιδων κρεFων αγαμεμνων,
και μιν φῶνησανς Fεπεα πτεροεντα προσῆυFδα·
ω γερον, ειθ', hως θυFμος ενι στηθεσσι φιλοισιν,
hως τοι γουFαθ' εποιτο, βιη δε τοι ενπεδος ειη!
αλλα σε γηρας τειρει hομοιϊον· hως οφελεν τις
ανδρῶν αλλος hεχεεν, συ δε κοFροτεροισι μετεεναι.
τον δ' ῆμειβετ' επειτα γερηνιος hιπποτα νεστωρ·
ατρεFιδη, μαλα μεν κεν εγων εθελοιμι και αFτος
hως εμεν, hως hοτε διFον ερευθαλιFῶνα κατεκτᾶν·
αλλ' ουπως hαμα παντα θεοι δοσαν ανθρωποισιν·
ει τοτε κοFρος εα, νῦν αFτε με γῆρας hικανει·
αλλα και hως hιππεFσι μετεσσομαι, ηδε κελεFσω
βουλῇ και μυFθοισι· το γαρ γερας εστι γεροντων.
αιχμας δ' αιχμασσοντι νεFωτεροι, hοιπερ εμεFο
hοπλοτεροι γεγααντι, πεποιθαντιν τε βιηφιν.
hως εφατ'· ατρεFιδης δε παρῶχετο γηθοσυνος κεαρ.
hευρ' hυιον πετεοFο, μενεσθεFα πληγσιππον,
hεσταοτ'· αμφι δ' αθηναιοι, μηστωρες αhυFτης·
αFταρ hο πλῆσιον hεστηκεε πολυμητις hοδυσσεFς·
παρ δε κεφαλληνων αμφι στιχες ουκ αλαπαδναι
hεστασαν· ου γαρ πῶ σφιν ακοFετο λαFος αhυFτης,
αλλα νεFον γσυνορινομεναι κινῦντο φαλαγγες
τροFων θ' ιπποδαμων και αχαιFων· hοι δε μενοντες
hεστασαν, hοποτε πυργος αχαιFων αλλος επελθων
τροFων hορμῆσειε, και αρχσειαν πολεμοFο.
τοFς δε Fιδων νεικεσσε Fανακς ανδρων αγαμεμνων,
και σφεας φῶνησανς Fεπεα πτεροεντα προσῆυFδα·
ω hυιε πετεοFο, διοτρεφεος βασιλεFος,
και συ, κακοισι δολοισι κεκασμενε, κερδαλεοφρον!
τιπτε καταπτῶσσοντες αφεστατε, μιμνετε δ' αλλοFς;
σφοFιν μεν τε FεFοικε μετα πρῶτοισιν εοντας
hεσταμεν, ηδε μαχης καFστειρης αντιβολησαι.
πρῶτω γαρ και δαιτος ακοFαδσεσθον εμεFο,
hοποτε δαιτα γεροντσιν εφοπλιδσοιμεν αχαιFοι·
ενθα φιλ', οπταλεα κρεα' εδμεναι, ηδε κυπελλα
FοινοFο πιFνεμεναι μελιhηδεος, hοφρ' εθελητον·
νῦν δε φιλως χ' οραοιτε, και ει δεκα πυργοι αχαιFων
hυμεFων προπαροιθε μαχοιατο νηλεϊ χαλκῷ.
τον δ' αρ' hυποδρα Fιδων προσεφη πολυμητις hοδυσσεFς·
ατρεFιδη, ποιον σε Fεπος φυγεν hερκος οδοντων;

πῶς δη φῆς πολεμοϝο μεθιͱεμεν; ͱοποτ' αχαιϝοι Δ
τροϝσιν εφ' ιπποδαμοισιν εγῆρομεν ͱοκσυν αρεϝα,
οπτσεαι, ην εθελησθα, και αι κεν τοι τα μεμῆλῃ,
τηλεμαχοϝο φιλον πατερα προμαχοισι μιγεντα
τροϝων ͱιπποδαμων· συ δε ταϝτ' ανεμωλια βαδσεις. 355
τον δ' επιμειδησανς προσεφη κρεϝων αγαμεμνων. 356
διϝογενες λαϝερτιαδη, πολυμηχαν' ͱοδυσσεϝ, 358
ουτε σε νικειω περιωσιον, ουτε κελεϝω.
ϝοιδα γαρ, ͱως τοι θυϝμος ενι στηθεσσι φιλοισιν 360
ηπια δηνεα ϝοιδε· τα γαρ φρονεεις, ͱα τ' εγω περ.
αλλ' ιθι· ταϝτα δ' οπισθεν αρεσσομεθ', ει τι κακον νῦν
ϝεϝερται· τα δε παντα θεοι μεταμωνια θειεν.
ͱως ϝεσπων τοϝς μεν λιπεν αϝτοϝ, εβη δε μετ' αλλοϝς.
ͱευρε δε τυϝδεϝος ͱυιον, ͱυπερθυϝμον διομηδεα, 365
ͱεσταοτ' εν θ' ιπποισι και ͱαρμασι κολλητοισιν·
παρ δε ͱοι ͱεστηκεε σθενελος, καπανεϝιος ͱυιος.
και τον μεν νεικεσσε ϝιδων κρεϝων αγαμεμνων,
και μιν φῶνησανς ϝεπεα πτεροεντα προσῆυϝδα·
ω μοι, τυϝδεϝος ͱυιε δαϝιφρονος, ͱιπποδαμοϝο! 370
τι πτῶσσεις, τι δ' οπιπτεϝεις πολεμοϝο γεφυϝρας;
ου μεν τυϝδεϝι γ' ͱῶδε φιλον πτῶσκαδσεμεν ῆεν,
αλλα πολυ προ φιλων ͱεταρων δαϝιοισι μαχεσθαι. 373
ͱως φατο· τον δ' ουτι προσεφη κρατερος διομηδης, 401
αιδεσθενς βασιλεϝος ενῖπην αιδοιοϝο.
τον δ' ͱυϊος καπανεϝος αμειβσατο κυϝδαλιμοϝο·
ατρεϝιδη, μη πσευδε', επισταμενος σαφα ϝεσπεεν·
ͱημεες τοι πατερων μεγ' αμεινονες ευχομεθ' εεναι· 405
ͱημεες και θηβης ͱεδος ͱελλομεν ͱεπταπυλοϝο,
παϝροτερον λαϝον αγαγονθ' υπο τειχος αρειον,
πειθομενοι τεραεσι θεων και δσῆνος αρωγῇ·
κεινοι δε σφετερῇσιν ατασθαλιῇσιν ολοντο.
τῷ μη μοι πατερας ποθ' ομοιῇ ενθεο τιϝμῇ. 410
τον δ' αρ' ͱυποδρα ϝιδων προσεφη κρατερος διομηδης·
τεττα, σιωπῇ ͱησο, εμῷ δ' επιπειθεο μυϝθῳ.
ου γαρ εγω νεμεσαω αγαμεμνονι, ποιμενι λαϝων,
οτρυϝνοντι μαχεσθαι ͱεϋκνημῖδας αχαιϝοϝς·
τοϝτῷ μεν γαρ κυϝδος ͱαμ' ͱεπσεται, ει κεν αχαιϝοι 415
τροϝας δαϝιωσωντιν, ͱελωντι τε ϝιλϝιον ͱιερην·
τοϝτῷ δ' αϝ μεγα πενθος, αχαιϝων δαϝιωθεντων.
αλλ' αγε δη, και νοϝι μεδωμεθα θοϝριδος αλκης!
ῆ ρα, και εκς ͱοχεων γσυν τευχεσ' εϝαλτο χαμαδσε·
δδεινον δ' εβραχε χαλκος επι στηθεσσι ϝανακτος. 420
ͱως δ' ͱοτ' εν αιγιαλῷ πολυϝηχεϊ κυϝμα θαλασσης 422
ορνυτ' επασσυτερον, δσεφυροϝ ͱυπο κινησαντος,
ποντῷ μεν τα πρῶτα κορυσσεται, αϝταρ επειτα
χερσῷ ϝρῆγνυμενον μεγαλα βρεμετ', αμφι δε τ' ακρας 425

κυρτον ιον κορυφῶται, αποπτυϝει δ' ͱαλος αχνην· Δ
ͱως τοτ' επασσυτεραι δαναων κινῦντο φαλαγγες
νωλεμεως πολεμονδε· κελεϝε δ' ͱεϝοισιν ͱεκαστος
ͱηγεμονων· ͱοι δ' αλλοι ακην ισαν, ουδε κε φαιης
τοσον λαϝον ͱεπεσθαι ͱεχοντ' εν στηθεσιν αυδην,
σιγῇ δεδδιοτες σημαντορας· αμφι δε παντσιν
τευχεα ποικιλ' ελαμπε, τα ϝεσμενοι εστιχαοντο.
τροϝες δ', ͱωστ' οϝιες πολυπασμονος ανδρος εν αϝλῇ
μυϝριαι ͱεστηκαντιν αμελγομεναι γαλα λεϝκον,
αδσηχες μεμακυιαι, ακοϝσαντσαι ϝοπα ϝαρνων·
ͱως τροϝων αλαλητος ανα στρατον ευρυν ορῶρεεν.
ου γαρ παντων ῆεν ͱομος θροος, ουδ' ια γηρυς,
αλλα γλωσσ' εμεμικτο, πολυκλῆτοι δ' εσαν ανδρες.
ῶρσε δε τοϝς μεν αρεϝς, τοϝς δε γλαϝκῶπις αθηνη,
δδειμος τ', ηδε φοβος, και ερις αμοτον μεμαϝυια,
αρεϝος ανδροφονοϝο κασιγνῆτη, ͱεταιρη τε,
ͱη τ' ολιγη μεν πρῶτα κορυσσεται, αϝταρ επειτα
ουρανῷ εστηρικσε καρῆ, και επι χθονι βαινει.
ͱη σφιν και τοτε νεικος ͱομοιϊον ενβαλε μεσσῷ,
ερχομενη καθ' ομιλϝον, οφελλοντσα στονον ανδρων.
ͱοι δ', ͱοτε δη ρ' ες χῶρον ͱενα γσυνιοντες ͱικοντο,
γσυν ρ' εβαλον ϝρῖνοϝς, γσυν δ' ενχεα, και μενε' ανδρων
χαλκεοθωρηκων· αταρ ασπιδες ομφαλοεντσαι
επλῆντ' αλληλῇσι, πολυς δ' ορυμαγδος ορῶρεεν.
ενθα δ' ͱαμ' οιμωγη τε και ευχωλη πελεν ανδρων,
ολϝῦντων τε, και ολϝυμενων· ρεϝε δ' ͱαιματι γαια.
ͱως δ' ͱοτε χειμαροϝοι ποταμοι, κατ' ορεσφι ρεϝοντες,
ες μισγανκειαν γσυνβαλλετον οβριμον ͱυϝδωρ.
κροϝνων εκ μεγαλων, κοιλης εντοσθε χαραδρης,
των δε τε τηλοθι, δουπον εν ορεσιν, εκλυϝε ποιμην·
ͱως των μισγομενων γενετο ϝιϝαχη τε φοβος τε.
πρῶτος δ' αντιλοχος τροϝων ͱελεν ανδρα κορυστην,
εσθλον ενι προμαχοισι, θαλυσιαδην ͱεχεπωλον,
τον ρ' εβαλε πρῶτος κορυθος φαλον ͱιπποδασυιης,
εν δε μετωπῳ πηγσε, περῆσε δ' αρ' οστεον εισῳ
αιχμη χαλκειη· τον δε σκοτος οσσ' εκαλυπτσεν·
ηριπε δ', ͱως ͱοτε πυργος, ενι κρατερῇ ͱυσμινῇ.
τον δε πεσοντα ποδων ελαβε κρεϝων ελεφῆνωρ
χαλκωδοντιαδης, μεγαθυϝμων αρχος αβαντων·
ͱελκε δ' ͱυπ' εκ βελεων λελιϝημενος, ͱοφρα ταχιστα
τευχεα συλϝῆσειε· μινυνθα δε ͱοι γενεθ' ορμη.
νεκρον γαρ ϝερυοντα ϝιδων μεγαθυϝμος αγῆνωρ,
πλεϝρα, τα ͱοι κυπτσαντι παρ' ασπιδος εκσεφαϝενθη,
ουτῆσε χσυστῷ χαλκηρει, ελυϝσε δε γυια. 469
ενθ' εβαλ' ανθεμιος ͱυϊον τελαμωνιος αιϝανς 473
ηϊθεον θαλερον, σιμοεντιον· ͱον ποτε μητηρ

ιδηθεν κατιουσα παρ' ͱοχθῃσιν σιμοεντος
γῃνατ', επει ρα τοκεϝσιν ͱαμ' ͱεσπετο μηλα ϝιδεσθαι· Δ
τοονεκα μιν καλεον σιμοεντιον· ουδε τοκεϝσιν
τρεφτρα φιλοισ' απεδῶκε, μινυνθαδιος δε ͱοι αιϝων
επλεθ', υπ' αιϝαντος μεγαθυϝμοϝο δορϝι δαμεντι.
πρῶτον γαρ νιν ιοντα βαλε στηθος, παρα μαδσον
δεχσιον· αντικρυς δε δι' ωμοϝο χαλκεον ενχος
ηλθεν· ͱο δ' εν κονιϝῃσι χαμαι πεσεν, αιγειρος ͱως,
ͱη ρα τ' εν ͱιͱαμενῃ ϝελεος μεγαλοϝ' επεφυϝκεεν
λεϝη, αταρ τε ͱοι οδσοι επ' ακροτατῃ πεφυϝαντιν·
την μεν θ' αρματοπηγος ανηρ αιθῶνι σιδηρῷ
εκσεταμ', ͱοφρα ϝιτυν καμπτσῃ περικαλλεϊ διφρῷ,
ͱη μεν τ' αδσομενη κειται ποταμοϝο παρ' ͱοχθας·
τοιον αρ' ανθεμιδην σιμοεντιον εκσεναρικσεν
αιϝανς διϝογενης· τοϝο δ' αντιφος αιϝολοθωρηκς
πριαμιδης καθ' ομιλϝον ακοντισεν ͱοκσυϊ δορϝι.
τοο μεν αμαρθ'· ο δε λεϝκον, ͱοδυσσεϝος εσθλον ͱεταιρον,
βεβλῃκεε βουβῶν', ͱετερωσε νεκυν ϝερυοντα·
ηριπε δ' αμφ' αϝτῷ, νεκρος δε ͱοι εκπεσε χειρος.
τοο δ' ͱοδυσεϝς μαλα θυϝμον αποκταμενοϝ εχολῶθη·
βη δε δια προμαχων κεκορυθμενος αιθοπι χαλκῷ,
στη δε μαλ' ενγυς ιων, και ακοντισε δορϝι φαϝεινῷ,
αμφι ͱε παπτῃνανς· ͱυπο δε τροϝες κεχαδοντο,
ανδρος ακοντισσαντος· ͱο δ' ουχ αλιον βελος ͱῃκεν,
αλλ' ͱυϊον πριαμοϝο νοθον βαλε δημοκαϝοντα,
ͱος ͱοι αβυδοθεν ηλθε, παρ' ͱιππων ῶκυιαϝων·
τον ρ' ͱοδυσεϝς, ͱεταροϝο χολῶσαμενος, βαλε δορϝι
κορσην· ͱη δ' ͱετεροϝο δια κροταφοϝ' επερῃσεν
αιχμη χαλκειη· τον δε σκοτος οσσ' εκαλυπτσεν·
δουπησεν δε πεσων, αραβησε δε τευχε' επ' αϝτῷ.
χῶρησαν δ' ͱυπο τε προμαχοι, και φαιδιμος ͱεκτωρ·
αργειϝοι δε μεγ' εϝιϝαχον, ϝερυσαντο δε νεκροϝς.
ενθ' αμαρυνκεϝιδην διϝωρεα μοιρ' επεδῃσεν·
χερμαδιῳ γαρ βλῃτο παρα σφυρον ακριοεντι,
κνημην δεχσιτερην· βαλε δε θρεϝικων αγος ανδρων
πειροϝος ιμβρασιδης, ͱος αρ' αινοθεν ηληλουθεεν.
αμφοτερω δε τενοντε και οστεα λαϝας αναιδης
αχρις απῃλοϝησεν· ͱο δ' ͱυπτιος εν κονιϝῃσιν
καππεσεν, αμφω χειρε φιλοισ' ͱεταροισι πετασσανς,
θυϝμον αποπνεϝων· ͱο δ' επεδραμεν, ͱος ρ' εβαλεν μιν,
πειροϝος· ουτα δε δορϝι παρ' ομφαλον· εκ δ' αρα παντσαι
χῦντο χαμαι χολαδες· τον δε σκοτος οσσ' εκαλυπτσεν.
τον δε θοϝανς αιτωλος επεσσυμενος βαλε δορϝι
στερνον ͱυπερ μαδσοϝ', επαγη δ' εν πνεϝμονι χαλκος·
ανχιμολον δε ͱοι ηλθε θοϝανς, εκ δ' οβριμον ενχος
εσπασατο στερνοϝ· εϝερυσσατο δε χσιφος ͱοκσυ,

τῷ hoγε γαστερ' ετυπτσε μεσην, εκ δ' αινυτο θυFμον. Δ
τευχεα δ' ουκ απεδυFσε· περι στησαν γαρ hεταιροι,
θρεFικες ακρoκομοι, δολιχ' ενχεα χερσιν hεχοντες,
hοι hε μεγαν περ εοντα, και ἶφθῖμον, και αγαFον,
ὦθσαν απο σφεFων· hο δε χασσαμενος πελεμιχθη.
hως τωγ' εν κονιFῃσι παρ' αλληλοισ' ετετασθην,
ἠτοι hο μεν θρεFικων, hο δ' επειων χαλκοχιτῶνων,
hηγεμονες· πολλοι δε περι κτεινοντο και αλλοι.
ενθ' αF τυFδεFιδῃ διομηδεϊ παλλας αθηνη E
δῶκε μενος και θαρσος, hιν' εκδηλος μετα παντσιν
αργειFοισι γενοιτ', ηδε κλεος εσθλον hαροιτο.
δαFε hοι εκ κορυθος τε και ασπιδος ακαματον πυρ,
αστερ' οπωρεινῷ εναλινκιον, hοστε μαλιστα
λαμπρον πανφαινητι λελοFμενος ωκεανοFο·
τοιον hοι πυρ δαFεν απο κρᾶτος τε και ωμων·
ὦρσε δε μιν κατα μεσσον, hοθι πλειστοι κλονεοντο.
ἦν δε τις εν τροFεσι δαρης, hαφνειος, αμυFμων,
hιερεFς hηφαιστοFο· δυω δε hοι hυιες ηστην,
φηγεFς, ιδαιος τε, μαχης hεῦ Fειδοτε παντσης.
τω hοι, αποκρινθεντε, εναντιω hορμῆθητην·
τω μεν αφ' ιπποιϊν, hο δ' απο χθονος ὦρνυτο πεδσος.
hοι δ' hοτε δη σχεδον ἦσαν επ' αλληλοισιν ιοντες,
φηγεFς ρα προτερος προhιhεε δολιχοσκιον ενχος,
τυFδεFιδεο δ' hυπερ ωμον αριστερον ηλυθ' ακωκη
ενχεος, ουδ' εβαλ' αFτον· hο δ' hυστερος ὦρνυτο χαλκῷ
τυFδεFιδης· τοFο δ' ουχ αλιον βελος εκφυγε χειρος,
αλλ' εβαλε στηθος μεταμαδσιον, ὦθσε δ' αφ' ιππων.
ιδαιος δ' αποροFσε λιπων περικαλλεα διφρον,
ουδ' ετλῆ περιβηναι hαδελφεFοFο κταμενοFο·
ουδε γαρ ουδε κεν αFτος hυπεκφυγε κηρα μελαιναν,
αλλ' hηφαιστος ερυFτ', εσαωσε δε νυκτι καλυπτσανς,
hως δη hοι μη πανχυ γερων ακαχημενος ειη.
hιπποFς δ' εκσελασανς μεγαθυFμοFο τυFδεFος hυιος
δῶκεν hεταιροισιν καταγεεν κοιλας επι ναFας.
τροFες δε μεγαθυFμοι επει Fιδον hυιε δαρητος,
τον μεν αλεFσαμενον, τον δε κταμενον παρ' hοχεσσιν,
παντσιν ορινθη θυFμος· αταρ γλαFκῶπις αθηνη
χειρος hελοντσα Fεπεσσι προσηῦFδαε θοFρον αρεFα·
αρεF, αρεF βροτολοιγε, μιαιφονε, τειχεσιπλῆτα!
ουκ αν δη τροFας μεν εFᾶσαιμεν και αχαιFοFς
μαρνασθ', hοποτεροισι πατηρ δσεFς κυFδος ορεγσῃ,
νοFι δε χαδσωμεσθα, διος δ' αλεFωμεθα μηνιν;
hως Fεσποντσα μαχης εκς ἦγαγε θοFρον αρεFα·
τον μεν επειτα καθεσσεν επ' ηϊοεντι καμανδρῳ.
τροFας δ' εκλῖναν δαναοι· hελε δ' ανδρα hεκαστος
hηγεμονων· πρῶτος δε Fαναξ ανδρων αγαμεμνων

αρχον ͱαλιδσωνων ͱοδιον μεγαν εκβαλε διφροο· E
πρωτῳ γαρ στρεφθεντι μεταφρενῳ εν δορυ πηγσεν
ωμων μεσσηγυς, δια δε στηθεσφιν ελασσεν·
δουπησεν δε πεσων, αραβησε δε τευχε' επ' αϝτῳ.
ιδομενεϝς δ' αρα φαιστον ενͱῆρατο, μῄονος ͱυιον
βωροϝ', ͱος εκ ταρνης εριβωλακος ηληλουθεεν.
τον μεν αρ' ιδομενεϝς δορϝικλυτος ενχεϊ μακρῳ
νυκσ', ͱιππων επιβησομενον, κατα δεχσιον ωμον·
ηριπε δ' εκς ͱοχεων, στυγερος δ' αρα μιν σκοτος ͱελλεν.
τον μεν αρ' ιδομενεϝος εσυλϝεϝον θεραποντες.
ͱυιον δε στροφιοϝο καμανδριον, ͱαιμονα θηρης,
ατρεϝιδης μενελαϝος ͱελ' ενχεϊ ͱοκσυοεντι,
εσθλον θηρεϝτηρ'· εδιδακσε γαρ αρτεμις αϝτη
βαλλεμεν αγρια παντα, τα τε τρεφει ορεσιν ͱυλϝη.
αλλ' ου ͱοι τοτε γ' εχραϝσμ' αρτεμις ͱιͱοχεαιρα,
ουδε ͱεκηβολιαι, ͱῇσιν το πριν γ' εκεκαστο·
αλλα μιν ατρεϝιδης δορϝικλειτος μενελαϝος,
προσθεν ͱεθεν φευγοντα, μεταφρενον ουτασε δορϝι
ωμων μεσσηγυς, δια δε στηθεσφιν ελασσεν·
ηριπε δε πρηνης, αραβησε δε τευχε' επ' αϝτῳ.
μηριονης δε φερεκλον ενͱῆρατο, τεχτονος ͱυιον
αρμονιδαϝ', ͱος χερσιν επιστατο δαιδαλα παντα
τευχεμεν· εκσͱοχα γαρ μιν εφῖλατο παλλας αθηνη·
ͱος και αλεκσανδρῳ τεχτῆνατο ναϝας ϝεϊσϝας,
αρχεκακοϝς, ͱαι παντσι κακον τροϝεσ' εγενοντο.
τον μεν μηριονης, ͱοτε δη κατεμαρπτε διῶκων,
βεβλῆκεε γλουτον κατα δεχσιον· ͱη δε δια προ
αντικρυς κατα κυστιν ͱυπ' οστεον ηλυθ' ακωκη·
γνυκς δ' εριπ' οιμωγσανς, θανατος δε μιν αμφεκαλυπτσεν.
πηδαιον δ' αρ' επεφνε μεγης, αντῆνορος ͱυιον,
ͱος ρα νοθος μεν εῆν, πυκα δ' ετρεφε διϝα θεανω,
ϝεισϝα φιλοισι τεκεσσι, χαριδσομενη ποσι' ͱεϝῷ.
τον μεν φυϝλεϝιδης δορϝικλυτος, ενγυθεν ελθων,
βεβλῆκεε κεφαλης κατα ϝῖνιον ͱοκσυϊ δορϝι·
αντικρυς δ' αν' οδοντας ͱυπο γλωσσαν ταμε χαλκος·
ηριπε δ' εν κονιϝῇ, πσυϝχρον δ' ͱελε χαλκον οδοντσιν.
ευρυπυλος δ' ͱεϋͱαιμονιδης ͱυπσῆνορα διϝον,
ͱυιον ͱυπερθυϝμοο δολοπιϝονος, ͱος ρα καμανδροο
αρῆτηρ ετετυχτο, θεος δ' ͱως τιϝετο δημῷ.
τον μεν αρ' ευρυπυλος, ͱεϋͱαιμονος αγλαϝος ͱυιος,
προσθεν ͱεθεν φευγοντα, μεταδρομαδην ελασ' ωμον,
φασγανῳ αͱικσανς, απο δ' εχσεσε χειρα βαρυιαν·
ͱαιματοεντσα δε χειρ πεδιῳ πεσε· τον δε κατ' οσσε
ελαβε πορφυρεος θανατος και μοιρα κραταιη.
ͱως ͱοι μεν πονεοντο κατα κρατερην ͱυσμινην.
τυϝδεϝιδην δ' ουκ αν γνοιης, ποτεροισι μετειη,

ηε μετα τροFεσιν ͱομιλFεοι, η μετ' αχαιFοις· E
θυFνε γαρ αν πεδιον, ποταμῷ πληθοντι FεFοικως
χειμαροFῷ, ͱοστ' ὦκα ρεFων εκεδασσε γεφυFρας·
τον δ' ουτ' αρ τε γεφυFραι ͱεͱεργμεναι ͱισχαναοντιν,
ουτ' αρα ͱερκεα ͱισχει αλοFαFων εριθηλεων,
ελθοντ' εκσαπινης, ͱοτ' επιβριθσῃ διος ομβρος·
πολλα δ' ͱυπ' αFτοFο Fεργα κατηριπε καλ' αιδσηων·
ͱως ͱυπο τυFδεFιδῃ πυκιναι κλονεοντο φαλαγγες
τροFων, ουδ' αρα μιν μιμνον, πολυες περ εοντες.
τον δ' ͱως ὦν ενοησε λυκαFονος αγλαFος ͱυιος
θυνοντ' αν πεδιον, προ ͱεθεν κλονεοντα φαλαγγας,
αιπσ' επι τυFδεFιδῃ ετιταινετο καμπυλα τοκσα,
και βαλ' επαͱισσοντα, τυχων κατα δεχσιον ωμον
θωρηκος γυαλον· δια δ' επτατο πικρος οϊστος,
αντικρυς δε διεσχ', επαλασσετο δ' ͱαιματι θωρηκς.
τῷ δ' επι μακρον αͱυFσε λυκαFονος αγλαFος ͱυιος·
ορνυσθε, τροFες μεγαθυFμοι, κεντορες ͱιππων!
βεβλῆται γαρ αριστος αχαιFων· ουδε ͱε φημι
δηθ' ανσχησεσθαι κρατερον βελος, ει ͱετεον με
ὦρσε Fανακς, διος ͱυιος, απορνυμενον λυκιηθεν.
ͱως εφατ' ευχομενος· τον δ' ου βελος ὦκυ δαμασσεν,
αλλ' αναχωρησανς, προσθ' ͱιπποιϊν και ͱοχεσφιν
εστη, και σθενελον προσεφη, καπανεFιον ͱυιον·
ορσο, πεπον καπανεFιαδη! καταβησεο διφροο,
ͱοφρα μοι εκς ωμοFο Fερυσσῃς πικρον οϊστον.
ͱως αρ' εφη· σθενελος δε καθ' ιππων ͱαλτο χαμαδσε·
παρ δε στανς, βελος ὦκυ διανπερες εκσFερυσ' ωμοο·
ͱαιμα δ' ανῆκοντιδσε δια στρεπτοFο χιτῶνος.
δη τοτ' επειτ' ἠρᾶτο βοην αγαθος διομηδης·
κλῦθι μεF', αιγιͱοχοFο διος τεκος, ατρυFτωνη!
ει ποτε μοι και πατρι φιλα φρονεουτσα παρεστης
δαFιῷ εν πολεμῷ, νῦν αFτ' εμε φῖλαι, αθηνη·
δος δε τε μ' ανδρα ͱελεεν, και ες ͱορμην ενχεος ελθεεν,
ͱος μ' εβαλε φθαμενος, και επευχεται, ουδε με φητιν
δηρον ετ' οπτσεσθαι λαμπρον φαFος ἠελιοFο.
ͱως εφατ' ευχομενος· τοFο δ' εκλυFε παλλας αθηνη,
γυια δ' εθῆκεν ελαφρα, ποδας, και χειρας ͱυπερθεν·
ανχοFο δ' ͱισταμενη Fεπεα πτεροεντα προσῆυFδα·
θαρσων νῦν, διομηδες, επι τροFεσι μαχεσθαι·
εν γαρ τοι στηθεσσι μενος πατροFιον ͱῆκα
ατρομον, ͱοιον ͱεχεσκε σακεσπαλος ͱιπποτα τυFδεFς.
αχλυν δ' αF τοι απ' οφθαλμων ͱελον, ͱη πριν επῆεν,
ͱοφρ' ͱεῢ γιγνωσκῃς ημεν θεον, ηδε και ανδρα.
τῷ νῦν, αι κε θεος πειρώμενος ενθαδ' ͱικηται,
μη τι συγ' αθανατοισι θεοισ' αντικρυ μαχεσθαι
τοισ' αλλοισ'· αταρ ει κε διος θυγατηρ αφροδῖτη

ελθητ' ες πολεμον, τηνγ' ουταμεν ͱοκσυϊ χαλκῷ. Ε
ͱη μεν αρ' ͱως Fεσποντσ' απεβη γλαFκῶπις αθηνη.
τυFδεFιδης δ' εκσαFτις ιων προμαχοισιν εμιχθη·
και, πριν περ θυFμῷ μεμαFως τροFεσι μαχεσθαι,
δη τοτε μιν τρις τοσον ͱελεν μενος, ͱωστε λεFοντα,
ͱον ρα τε ποιμην αγρῷ επ' ειροποκοισ' οFιεσιν
χραFσῃ μεν τ' αFλης ͱυπερ ͱαλμενον, ουδε δαμασσῃ·
τοο μεν τε σθενος ὦρσεν· επειτα δε τ' ου προσαμυFνει,
αλλα κατα σταθμοFς δυFεται, τα δ' ερῆμα φοβεεται·
ͱαι μεν τ' ανχιστῖναι επ' αλληλῃσι κεχῦνται·
ͱως μεμαFως τροFεσ' εμιγη κρατερος διομηδης.
ενθ' ͱελε Fαστυνοον και ͱυπῆνορα, ποιμενα λαFων·
τον μεν ͱυπερ μαδσοFο βαλων χαλκηρεϊ δορFι,
τον δ' ͱετερον χσιφεϊ μεγαλῷ κλεFῖδα παρ' ωμον
πληγσ'· απο δ' αFχενος ωμον εεργαθεν, ηδ' απο νωτοο.
τοFς μεν εFᾶσ', ͱο δ' αβαντα μετῷχετο, και πολυFειδον,
ͱυιας ευρυδαμαντος, ονειροπολοFο γεροντος·
τοισ' ουκ ερχομενοισ' ͱο γερων εκρῖνατ' ονειροFς,
αλλα σφεας κρατερος διομηδης εκσεναρικσεν.
βη δε μετα χσανθον τε, θοFῶνα τε, φαινοπος ͱυιε,
αμφω τηλυγετω· ͱο δ' ετειρετο γηραϊ λυγρῷ,
ͱυιον δ' ου τεκετ' αλλον, επι κτεατεσι λιπεσθαι.
ενθ' ͱογε τοFς εναριδσε, φιλον δ' εκσαινυτο θυFμον
αμφοτερω· πατερι δε γοFον και κηδεα λυγρα
λειπ', επει ου δσαFοντε μαχης εκ νοστησαντε
δεχσατο· χηρωσται δε δια κτησιν δατεοντο.
ενθ' ͱυιας πριαμοFο δυω λαβε δαρδανιδαFο
ειν ͱενι διφρῷ εοντας, ͱεχεμμονα τε, χρομιον τε.
ͱως δε λεFων εν βοFσι θορων εκς αFχενα Fανγσῃ
πορτιος, ηε βοFος, χσυλοχον κατα βοσκομεναFων·
ͱως τοFς αμφοτεροFς εκς ͱιππων τυFδεFος ͱυιος
βησε κακως αͱεκοντας, επειτα δε τευχε' εσυλFα·
ͱιπποFς δ' ͱοισ' ͱεταροισ' εδιδῶ μετα ναFας ελαFνεεν.
τον δ' εFιδ' αινειας αλαπαδσοντα στιχας ανδρων,
βη δ' ιμεν αν τε μαχην και ανα κλονον ενχειαFων,
πανδαρον αντιθεον διδσημενος, ει ποF' εφευροι.
ͱευρε λυκαFονος ͱυιον αμυFμονα τε, κρατερον τε·
στη δε προσθ' αFτοFο, Fεπος τε μιν αντιον ηῦFδα·
πανδαρε, ποο τοι τοκσον, ιδε πτεροεντες οϊστοι,
και κλεος; ͱῷ ουτις τοι εριδσεται ενθαδε γ' ανηρ,
ουδε τις εν λυκιῃ σεFογ' ευχεται εεναι αμεινων.
αλλ' αγε, τῷδ' εφες ανδρι βελος, διϊ χειρας ανασχων,
ͱοστις ͱοδε κρατεει, και δη κακα πολλα FεFοργεν
τροFας· επει πολλων τε και εσθλων γουFατ' ελυFσεν·
ει μη τις θεος εστι, κοτεσσαμενος τροFεσιν,
ͱιερων μηνιFσανς· χαλεπη δε θεοF' επι μηνις.

τον δ' αϝτε προσεϝεσπε λυκαϝονος αγλαϝος hυιος· Ε
αινεια, τρωϝων βουληφορε χαλκοχιτώνων, 180
τυϝδεϝιδῃ μιν εγωγε δαϝιφρονι παντα ϝεϊσκω,
ασπιδι γιγνώσκων, αϝλώπιδι τε τρυφαλειῃ. 182
ει δ' hογ' ανηρ, hον φημι, δαϝιφρων τυϝδεϝος hυιος, 184
ουχ ογ' ανευθε θεοο ταδε μαινεται, αλλα τις αγχι 185
hεστηκ' αθανατων, νεφελῃ ϝελϝυμενος ωμοϝς,
hος τοϝτοο βελος ὠκυ κιχημενον ετραπεν αλλῃ·
ηδη γαρ hοι εφῆκα βελος, και μιν βαλον ωμον
δεχσιον, αντικρυς δια θωρηκος γυαλοϝο·
και μιν εγωγ' εφαμην αϝιδωνεϝι προϊαπτσεεν, 190
ενπης δ' ουκ εδαμασσα· θεος νυ τις εστι κοτῆενς.
hιπποι δ' ου παρεαντι, και hαρματα, των κ' επιβαιην·
αλλα ποϝ εν μεγαροισι λυκαϝονος hενδεκα διφροι
καλοι, πρώτοπαγεες, νεϝοτευχεες· αμφι δε πεπλοι
πεπτανται· παρα δε σφιν hεκαστῳ διδσυγες hιπποι 195
hεσταντιν, κρῖ λεϝκον ερεπτομενοι και ολυϝρας.
η μεν μοι μαλα πολλα γερων αιχμῆτα λυκαϝων
ερχομενῳ επετελλε δομοισ' ενι ποιητοισιν·
hιπποισιν μ' εκελεϝε και hαρμασιν ενβεβαῶτα
αρχεϝεεν τροϝεσι κατα κρατερας hυσμινας· 200
αλλ' εγω ου πιθομην, ητ' αν πολυ κερδιον ῆεν,
hιππων φειδομενος, μη μοι δεϝοιατο φορβῆς. 202
hως λιπον· αϝταρ πεδσος ες ϝιλϝιον ηληλουθα, 204
τοχσοισιν πιθυνος· τα δε μ' ουκ αρ' εμελλον ονησεεν. 205
ηδη γαρ δοιοισιν αριστεϝεσιν εφῆκα,
τυϝδεϝιδῃ τε, και ατρεϝιδῃ· εκ δ' αμφοτεροιϊν
ατρεκες hαιμ' εσσεϝσα βαλων· ηγῆρα δε μαλλον.
τῷ ρα κακῃ αισῃ απο πασσαλοϝ ανκυλα τοχσα
hηματι τῷ hελομην, hοτε ϝιλϝιον εις ερατεινην 210
hηγεομην τροϝεσι, φερων χαριν hεκτορι διϝῳ.
ει δε κε νοστησω, και εσοπτσομαι οφθαλμοισιν
πατριδ' εμην, hαλοχον τε, και hυπσερεφες μεγα δῶμα,
αϝτικ' επειτ' απ' εμεϝο καρῃ ταμοι αλλοτριος φῶς,
ει μη εγω ταδε τοχσα φαϝεινῷ εν πυρι θειην, 215
χερσι διακλασσανς· ανεμωλια γαρ μοι οπηδεῖ.
τον δ' αϝτ' αινειας, τρωϝων αγος, αντιον ῆυϝδα·
μηδ' hοϝτως αγορεϝε· παρος δ' ουκ εσσεται αλλως,
πριν νοϝι τῷδ' ανδρι, γσυν hιπποισιν και hοχεσσιν,
αντιβιην ελθοντε, συν εντεσι πειρῆθηναι. 220
αλλ' αγ', εμων hοχεων επιβησεο, hοφρα ϝιδηαι
hοιοι τροϝιοι hιπποι, επισταμενοι πεδιοϝο
κραιπνα μαλ' ενθα και ενθα διώκεμεν, ηδε φεβεσθαι·
τω και νοϝι πολινδε σαώσετον, ειπερ αν αϝτε
δσεϝς επι τυϝδεϝιδῃ διομηδεϊ κυϝδος ορεγσῃ. 225
αλλ' αγε νῦν, μαστινγα και hηνια σιϝαλοεντα

δεχσαι, εγω δ' ͱιππων αποβησομαι, ͱοφρα μαχωμαι·
ηε συ τονδε δεδεχσο, μελησοντιν δ' εμοι ͱιπποι.
τον δ' αϝτε προσεϝεσπε λυκαϝονος αγλαϝος ͱυιος·
αινεια, συ μεν αϝτος ͱεχ' ͱηνια και τεϝω ͱιππω·
μαλλον ͱυφ' ηνιͱοχῳ ϝεϝῶθοτι καμπυλον ͱαρμα
ͱοισετον, ειπερ αν αϝτε φεβωμεθα τυϝδεϝος ͱυιον.
μη τω μεν δδειδσαντε ματῆσετον, ουδ' εθελητον
εκφερεμεν πολεμοϝο, τεϝον φθογγον ποθεοντε·
νοϝι δ' επαͱικσανς μεγαθυϝμοϝο τυϝδεϝος ͱυιος,
αϝτω τε κτεινῇ, και ελασσῇ μωνυχας ͱιπποϝς.
αλλα συγ' αϝτος ελαϝνε τεϝ' ͱαρματα και τεϝω ͱιππω,
τονδε δ' εγων επιοντα δεδεχσομαι ͱοκσυϊ δορϝι.
ͱως αρα φῶνησαντες, ες ͱαρματα ποικιλα βαντες,
εσμεμαϝωτ' επι τυϝδεϝιδῇ ͱεχον ὦκυας ͱιπποϝς·
τοϝς δ' εϝιδε σθενελος, καπανεϝιος αγλαϝος ͱυιος,
αιπσα δε τυϝδεϝιδην ϝεπεα πτεροεντα προσῆυϝδα·
τυϝδεϝιδη διομηδες, εμῷ κεχαρισμενε θυϝμῷ,
ανδρ' ͱοραω κρατερω επι σοι μεμαϝωτε μαχεσθαι,
ϝῖν' απελεθρον ͱεχοντας· ͱο μεν, τοκσων ͱεϋ ϝειδως,
πανδαρος, ͱυιος δ' αϝτε λυκαϝονος ευχεται εεναι·
αινειας δ' ͱυιος μεγαλητορος ανχισαϝο.
αλλ' αγε δη χαδσωμεθ' εφ' ιππων, μηδε μοι ͱοϝτῷ
θυϝνε δια προμαχων, μη πως φιλον ητορ ολεσσῃς.
τον δ' αρ' ͱυποδρα ϝιδων προσεφη κρατερος διομηδης·
μη τι φοβονδ' αγορεϝ', επει ουδε σε πειθσεμεν οιϝω·
ου γαρ μοι γενναιον αλυσκαδσοντι μαχεσθαι,
ουδε καταπτῶσσεεν· ετι μοι μενος εμπεδον εστιν.
αλλο δε τοι ϝερεω, συ δ' ενι φρεσι βαλλεο σῇσιν·
αι κεν μοι πολυβουλος αθηνη κυϝδος ορεγσῇ
αμφοτερω κτῆναι, συ δε τοϝσδε μεν ὦκυας ͱιπποϝς
αϝτοϝ' ερυκακεεν, εκς αντυγος ͱηνια τῆνανς·
αινειαϝο δ' επαͱικσαι μεμνῆμενος ͱιππων,
εκ δ' ελασαι τροϝων μεθ' εϋκνημῖδας αχαιϝοϝς.
ͱως ͱοι μεν τοιαϝτα προς αλληλοϝς αγορεϝον·
τω δε ταχ' ενγυθεν ηλθον, ελαϝνοντ' ὦκυας ͱιπποϝς.
τον προτερος προσεϝεσπε λυκαϝονος αγλαϝος ͱυιος·
καρτεροθυϝμε, δαϝιφρον, αγαϝοϝο τυϝδεϝος ͱυιε,
η μαλα σ' ου βελος ὦκυ δαμασσατο, πικρος οϊστος·
νῦν αϝτ' ενχειῇ πειρῆσομαι, αι κε τυχοιμι.
ῆ ρα, και ανπεπαλων προͱιͱεε δολιχοσκιον ενχος,
και βαλε τυδεϝιδαϝο κατ' ασπιδα· της δε δια προ
αιχμη χαλκειη πταμενη θωρηκι πελασθη.
τῷ δ' επι μακρον αͱυϝσε λυκαϝονος αγλαϝος ͱυιος·
βεβλῆαι κενεῶνα διανπερες, ουδε σ' οΐϝω
δηρον ετ' ανσχησεσθαι· εμοι δε μεγ' ευχος εδῶκας.
τον δ' ου ταρβησανς προσεφη κρατερος διομηδης·

ἥμβροτες, ουδ' ετυχες· αταρ ου μεν σφοϝι γ' οϊϝω E
πριν γ' αποπαϝσασθαι, πριν γ' η ͱετερον γε πεσοντα
ͱαιματος ͱαδσαι αρεϝα ταλαϝρινον πολεμιστην.
ͱως φαμενος προεͱῆκε, βελος δ' ιθυϝνεν αθηνη 290
ϝρῖνα παρ' οφθαλμον, λεϝκοϝς δ' επερῆσεν οδοντας·
τοο δ' απο μεν γλωσσαν πρυμνην ταμε χαλκος ατειρης,
αιχμη δ' εκσελυθη παρα νεϝατον ανθερεῶνα.
ηριπε δ' εκς ͱοχεων, αραβησε δε τευχε' επ' αϝτῷ,
αιϝολα, πανφαναοντα· παρετρεσσαν δε ͱοι ͱιπποι 295
ὤκυποδες· τοϝο δ' αϝθ' ελυθη πσυϝχη τε, μενος τε.
αινειας δ' αποροϝσε συν ασπιδι δορϝι τε μακρῷ,
δδειδσανς μη πως ͱοι ϝερυσαιατο νεκρον αχαιϝοι.
αμφι δ' αρ' αϝτῷ βαινε, λεϝων ͱως, αλκι πεποιθως.
προσθε δε ͱοι δορυ δ' εσχε, και ασπιδα παντοσε ϝεισϝην, 300
τον κταμεναι μεμαϝως, ͱοστις τοϝο γ' αντιος ελθοι,
σμερδαλεα ϝιϝαχων· ͱο δε χερμαδιον λαβε χειρι
τυϝδεϝιδης, μεγα ϝεργον, ͱο κ' ου δυο γ' ανδρε φεροιεν,
ͱοιοι νῦν βροτοι ενθ'· ο δε μιν ρεϝ' επαλλε και οιος.
τῷ βαλεν αινειαϝο καθ' ισχιον, ενθα τε μηρος 305
ͱισχιῷ ενστρεφεται· κοτυλην δε τε μιν καλεοντιν·
θλασσε δε ͱοι κοτυλην, προς δ' αμφω ϝρῆγσε τενοντε·
ὦθσε δ' απο ϝρῖνον τρηχυς λιθος· αϝταρ ͱογ' ͱηρως
εστη γνυκς εριπων, και ερειδσατο χειρι παχυιῇ. 309
και νυ κεν ενθ' απολοιτο ϝανακς ανδρων αινειας, 311
ει μη αρ' ͱοκσυ νοησε διος θυγατηρ αφροδῖτη, 312
αμφι δ' ͱεϝον φιλον ͱυιον εχεϝσατο πηχεε λεϝκω· 314
προσθε δε ͱοι πεπλοϝο φαϝεινοο πτυγμ' εκαλυπτσεν. 315
ουδ' ͱυιος καπανεϝος εληθετο συνθεσιαϝων· 319
αλλ' ͱογε τοϝς μεν ͱεϝοϝς ηρυκακε μωνυχας ͱιπποϝς 321
νοσφιν απο φλοισβοϝ, εκς αντυγος ͱηνια τῆνανς·
αινειαϝο δ' επαϝικσανς καλλιτριχας ͱιπποϝς
εκσελασε τροϝων μεθ' εϋκνημιδας αχαιϝοϝς·
δῶκε δε δαϝιπυλῳ, ͱεταρῷ φιλῷ, ͱον περι παντσης - 325
τιϝεν ͱομηλικιης, ͱοτι ͱοι φρεσιν αρτια ϝοιδεεν,
ναϝσιν επι γλαφυρῆσιν ελαϝνεμεν· αϝταρ ͱογ' ͱηρως
ͱων ͱιππων επιβανς ελαβ' ͱηνια σιϝαλοεντα·
αιπσα δε τυϝδεϝιδην μεθ' επε κρατερωνυχας ͱιπποϝς,
εσμεμαϝως· ͱο δε κυπριν επῴχετο νηλεϊ χαλκῷ. 330
αλλ' ͱοτε δη ρ' εκιχανε πολυν καθ' ομιλϝον οπαδσων, 334
ενθ' επορεγσαμενος μεγαθυϝμοϝο τυϝδεϝος ͱυιος, 335
ακρην ουτασε χειρα μεθαλμενος ͱοκσυϊ χαλκῷ
αβληχρην· ειθαρ δε δορυ χροος αντετορησεν,
ανβροσιοο δια πεπλοϝ, ͱον ͱοι χαριτες καμον αϝται,
πρυμνον ͱυπερ θεναρος· ρεϝε δ' ανβροτον ͱαιμα θεοϝο. 339
ͱη δε μεγα ϝιϝαχοντσα απο ͱεϝο κατβαλεν ͱυιον· 343
και τον μεν μετα χερσιν ερυϝσατο φοιβος απολλων

κυFανεῇ νεφελῇ, μη τις δαναων ταχυπωλων
χαλκον ενι στηθεσσι βαλων, εκ θυFμον hελοιτο. E
τῇ δ' επι μακρον αhυFσε βοην αγαθος διομηδης·
Fεικε, διος θυγατερ, πολεμοο και δαFιοτητος·
η ουχ αλις, hοτι γυναικας ααλκιδας ηπεροπεFεις;
ει δε συγ' ες πολεμον πωλησεαι, ητε σ' οἴFω
ρῖγησεεν πολεμον γε, και ει χ' ετερωθι πυθηαι.
hως εφαθ'· η δ' αλυFοντσ' απεβησατ'· ετειρετο δ' αινως.
την μεν Fιρις hελοντσα ποδηνεμος εκσαγ' hομιλFοο,
αχθομενην οδυνῇσι· μελαινετο δε χροα καλον.
hευρεν επειτα μαχης επ' αριστερα θοFρον αρεFα
hημενον· ῆερι δ' ενχος εκεκλιτο, και ταχυ' hιππω·
hη δε, γνυκς εριποντσα, κασιγνῆτοFο φιλοFο,
πολλα λισσομενη, χρυσαμπυκας ῇτεεν hιπποFς·
φιλε κασιγνῆτ', εκκομισαι τε με, δος δε μοι hιπποFς,
hοφρ' ες ολυνπον hικωμαι, hιν' αθανατων hεδος εστιν.
λιFην αχθομαι hελκος, hο με βροτος ουτασεν ανηρ,
τυFδεFιδης, hος νῦν γε και αν διῒ πατρι μαχοιτο.
hως φατο· τῇ δ' αρεFς δῶκε χρυσαμπυκας hιπποFς·
hη δ' ες διφρον εβαινεν, ακηχεμενη φιλον ητορ.
παρ δε τε Fιρις εβαινε, και hηνια λαδσετο χερσιν·
μαστινγσεν δ' ελαεεν, τω δ' ουκ αhεκοντ' επετεσθην·
αιπσα δ' επειτ' εhικοντο θεων hεδος, αιπυν ολυνπον·
ενθ' hιπποFς εστησε ποδηνεμος ὤκυα Fιρις,
λυFσαντσ' εκς hοχεων· παρα δ' ανβροσιον βαλεν ῆδαρ.
hη δ' εν γουFασ' επιπτε διωνης διF' αφροδῖτη,
μητρος hεFης· hη δ' ανκας ελαδσετο θυγατερ' hεFην,
χειρι τε μιν κατερεκσε, Fεπος τ' εφατ', εκ τ' ονομαδσεν·
τις νυ σε τοιαδ' ερεκσε, φιλον τεκος, ουρανιFῶνων
μαπσιδιως, hως ει τι κακον ρεδσοντσαν ενῶπῇ;
την δ' ῆμειβετ' επειτα φιλομειδης αφροδῖτη·
ουτα με τυFδεFος hυιος, hυπερθυFμος διομηδης,
hοονεκ' εγω φιλον hυιον hυπεκσεφερον πολεμοFο,
αινειαν, hος εμοι παντων πολυ φιλτατος εστιν.
ου γαρ ετι τροFων και αχαιFων φυFλFοπις αινη,
αλλ' ηδη δαναοι γε και αθανατοισι μαχονται.
την δ' ῆμειβετ' επειτα διωνη, διFα θεαFων·
τετλαθι, τεκνον εμον, και ανασχεο, κηδομενη περ!
πολλοι γαρ δη τλῆμεν ολυνπια δῶμαθ' εχοντες
εκς ανδρων, χαλεπ' αλγε' επ' αλληλοισι τιθεντες. 384
σοι δ' επι τοFτον ανhῆκε θεα γλαFκῶπις αθηνη·
νηπιος! ουδε το Fοιδε κατα φρενα τυFδεFος hυιος,
hοτι μαλ' ου δηναιος, hος αθανατοισι μαχοιτο,
ουδε τι μιν παιδες ποτι γουFασι παππαδσουντιν,
ελθοντ' εκ πολεμοFο και αινης δαFιοτητος.
τῷ νῦν τυFδεFιδης, ει και μαλα καρτερος εστιν,

φραδσεσθω, μη τις ͱοι αμεινων σεFο μαχηται! 411
ῆ ρα, και αμφοτερῃσιν απ' ιχορα χειρος ομοργνῦ· 416
αλθετο χειρ, οδυναι δε κατηπιαοντο βαρυιαι. E
ͱαι δ' αFτ' εισͱοραοντσαι αθηναιη τε και ͱηρη,
κερτομιοισι Fεπεσσι δια κρονιδην ερεθιδσον·
τοισι δε μυθων ῆρχε θεα γλαFκῶπις αθηνη· 420
δσεF πατερ, η ρα τι μοι κεχολῶσεαι, ͱο τι κε Fεσπω;
η μαλα δη τινα κυπρις αχαιFιαδων ανͱιͱεντσα
τροFσιν ͱαμ' ͱεσπεσθαι, τοFς νυν εκπαγλ' εφιλησεν, 423
προς χρυσεῇ περονῇ καταμυκσατο χειρα ͱαραιην. 425
ͱως φατο· μειδῆσεν δε πατηρ ανδρων τε θεων τε,
και ρα καλεσσαμενος προσεφη χρυσεην αφροδῖτην·
ου τοι, τεκνον εμον, δεδοται πολεμῆϊα Fεργα·
αλλα συγ' ͱιμεροεντα μετερχεο Fεργα γαμοFο,
ταFτα δ' αρεFι θοFῷ και αθηνῇ παντα μελησει. 430
ͱως ͱοι μεν τοιαFτα προς αλληλοFς αγορεFον.
αινειᾳ δ' εποροFσε βοην αγαθος διομηδης,
γιγνωσκων ͱο ͱοι αFτος ͱυπερͱεχε χειρας απολλων·
αλλ' ͱογ' αρ' ουδε θεον μεγαν ͱαδσετο· ͱιͱετο δ' αιFει
αινειαν κτῆναι, και απο κλυτα τευχεα δυFσαι. 435
τρις μεν επειτ' εποροFσε, κατακταμεναι μενεαινων,
τρις δε ͱοι εστυφελικσε φαFεινην ασπιδ' απολλων·
αλλ' ͱοτε δη το τεταρτον επεσσυτο, δαιμονι FεισFος,
δδεινα δ' ͱομοκλῆσανς προσεφη ͱεκαFεργος απολλων·
φραδσεο, τυFδεFιδη, και χαδσεο, μηδε θεοισιν 440
FεισF' εθελε φρονεειν· επει ου ποτε φυFλον ͱομοιον
αθανατων τε θεων, χαμαι ερχομενων τ' ανθρωπων.
ͱως φατο· τυFδεFιδης δ' ανεχαδσετο τυτθον οπισσῷ,
μηνιν αλεFομενος ͱεκατηβολοF' απολλῶνος.
αινειαν δ' απατερθεν ͱομιλFοF' εθῆκεν απολλων 445
περγαμῷ εν ͱιερῇ, ͱοθι ͱοι ναFος γ' ετετυχτο·
ητοι τον λητω τε, και αρτεμις ͱιͱοχεαιρα,
εν μεγαλῷ αδυτῷ ακεοντο τε, κυFδαινον τε.
αFταρ ͱο Fειδωλον τευχσ' αργυροτοκσος απολλων,
αFτῷ τ' αινειᾳ Fικελον και τευχεσι τοιον· 450
αμφι δε Fειδωλῷ τροFες και διFοι αχαιFοι
δαFιῶν αλληλων αμφι στηθεσσι βοFειας. 452
δη τοτε θοFρον αρεFα προσηῦFδαε φοιβος απολλων· 454
αρεF, αρεF, βροτολοιγε, μιαιφονε, τειχεσιπλῆτα! 455
ουκ αν δη τονδ' ανδρα μαχης Fερυσαιο μετελθων
τυFδεFιδην, ͱος νῦν γε και αν διϊ πατρι μαχοιτο;
κυπριδα μεν πρῶτον σχεδον ουτασε χειρ' επι καρπῷ,
αFταρ επειτ' αFτῷ μοι επεσσυτο, δαιμονι FεισFος.
ͱως Fεσπων, αFτος μεν εφεδσετο περγαμῷ ακρῇ· 460
τροFων δε στιχας ολFος αρεFς ῶτρυFνε μετελθων. 461
ͱυιεσι δε πριαμοFο διοτρεφεεσσι κελεFεν· 463

ω ͱυῒες Πριαμοϝο, διοτρεφεος βασιλεϝος,
ες τι κ' ετι κτεινεσθαι εϝᾶσετε λαϝον αχαιϝοις;
η' εις ͱο κεν αμφι πυλῃ̃σ' ͱεϋποιητῃ̃σι μαχωνται;
κειται ανηρ, ͱον ϝεισϝον ετιϝομεν ͱεκτορι διϝῳ̃,
αινειας, ͱυῒος μεγαλητορος ανχισαϝο.
αλλ' αγετ', εκ φλοισβοϝο σαῶσομεν εσθλον ͱεταιρον.
ͱως ϝεσπων, ῶτρυϝνε μενος και θυϝμον ͱεκαστοο.
ενθ' αϝ σαρπηδων μαλα νεικεσεν ͱεκτορα διϝον·
ͱεκτορ, πῃ̃ δη τοι μενος οιχεται, ͱο πριν ͱεχεσκες;
φης ποϝ' ατερ λαϝων πολιν ͱεχσεμεν, ηδ' επικουρων,
οιος, γσυν γαμβροισι, κασιγνῃ̃τοισι τε σοισιν·
των νῦν ουτιν' εγω ϝιδεεεν δυναμ', ουδε νοησαι,
αλλα καταπτῶσσοντι, κυνες ͱως αμφι λεϝοντα·
ͱημεες δ' αϝ μαχομεσθ', ͱοίπερ τ' επικουροι ενεσμεν.
ͱως φατο σαρπηδων· δακε δε φρενας ͱεκτορι μυϝθος·
αϝτικα δ' εκς ͱοχεων γσυν τευχεσ' εϝαλτο χαμαδσε·
παλλων δ' ͱοκσυα δορϝα κατα στρατον ῳ̃χετο παντῃ̃,
οτρυϝνων μαχεσασθαι· εγειρε δε φυϝλϝοπιν αινην.
ͱοι δ' εϝελιχθησαν, και εναντιοι εσταν αχαιϝων·
αργειϝοι δ' ͱυπεμῃ̃ναν ͱαϝολϝεες, ουδ' εφοβηθεν.
ͱως δ' ανεμος αχνας φορεει ͱιερας κατ' αλοϝας,
ανδρων λικμῶντων, ͱοτε τε χσανθη δημητηρ
κρινῃ̃ επειγομενων ανεμων καρπον τε και αχνας·
ͱαι δ' ͱυπολεϝκαινονται αχυρμιαι· ͱως τοτ' αχαιϝοι
λεϝκοι ͱυπερθ' εγενοντο κονισσαλῳ̃, ͱον ρα δι' αϝτων
ουρανον ες πολυχαλκον επεπληγον ποδες ͱιππων,
απς επιμισγομενων· ͱυπο δ' εστρεφον ͱηνιͱοχεϝες.
ͱοι δε μενος χειρων ιθυς φερον· αμφι δε νυκτα
θοϝρος αρεϝς εκαλυπτσε μαχῃ̃, τροϝεσιν αρηγων,
παντοσ' εποιχομενος· τοϝο δ' εκραϝαινεν εφετμας
φοιβοϝ' απολλῶνος χρυσαͱοροϝ, ͱος μιν ανωγεν
τροϝεσι θυϝμον εγῆραι, επει ϝιδε παλλαδ' αθηνην
οιχομενην· ͱη γαρ ρ' επελεν δαναοισιν αρηγων.
αϝτος δ' αινειαν μαλα πιϝονος εκς αδυτοϝο
ͱῆκε, και εν στηθεσσι μενος βαλε ποιμενι λαϝων.
αινειας δ' ͱεταροισι μεθιστατο· τοι δ' εχαρησαν,
ͱως ϝειδον δσαϝον τε και αρτεμεα προσιοντα,
και μενος εσθλον ͱεχοντα· μεταλλῆσαν γε μεν ουτι·
ου γαρ εϝᾶ πονος αλλος, ͱον αργυροτοκσος εγειρεν,
αρεϝς τε βροτολοιγος, ερις τ' αμοτον μεμαϝυια.
τοϝς δ' αιαντε δυω, και ͱοδυσσεϝς, και διομηδης,
ῶτρυϝνον δαναοϝς πολεμιδσεμεν· ͱοι δε και αϝτοι
ουτε βιας τροϝων ͱυπεδεδδισαν, ουτε ͱιῶκας·
αλλ' εμενον, νεφελῃ̃σι ϝεϝοικοτες, ͱας τε κρονιϝων
νηνεμιης εστησεν επ' ακροπολοισιν ορεσσιν,
ατρεμας, ͱοφρ' ͱευδητι μενος βορεαϝο, και αλλων

δσαχραFεων ανεμων, hοιτε νεφεα σκιοεντα
πνοιῇσιν λιγυρῇσι διασ̃κιδναντιν αhεντες· E
hως δαναοι τροFας μενον ενπεδον, ουδ' εφεβοντο.
ατρεFιδης δ' αν hομιλFον εφοιταε, πολλα κελεFων·
ω φιλοι, ανερες εστε, και αλκιμον ητορ hελεσθε,
αλληλοFς τ' αιδεεσθε κατα κρατερας hυσμινας·
αιδομενων δ' ανδρων πλεονες σαοι, ηε πεφανται·
φευγοντων δ' ουτ' αρ κλεος ορνυται, ουτε τις αλκη.
ῆ, και ακοντισε δορFι θοFως· βαλε δε προμον ανδρα,
αινειαF hεταρον μεγαθυFμοFο, δαFικαFοντα
περγασιδην, hον τροFες hομως πριαμοFο τεκεσσιν
τιFον, επει θοFος εσκε μετα πρῶτοισι μαχεσθαι.
τον ρα κατ' ασπιδα δορFι βαλε κρεFων αγαμεμνων·
hη δ' ουκ ενχος ερυFτο, δια προ δ' εεισατο και της·
νεFαιρῇ δ' εν γαστρι δια δσωστηρος ελασσεν·
δουπησεν δε πεσων, αραβησε δε τευχε' επ' αFτῳ.
ενθ' αFτ' αινειας δαναων hελεν ανδρας αριστοFς,
των ρα πατηρ μεν εναιεν hεϋκτιμενῃ ενι φηρῇ,
hαφνειος βιFοτοFο· γενος δ' ῆν εκ ποταμοFο
αλφειοF, hοστ' ευρυ ρεFει πυλιων δια γαιης.
hος τεκετ' ορσιλοχον, πολυεσ' ανδρεσι Fανακτα·
ορσιλοχος δ' αρ' ετικτε διοκλεεα μεγαθυFμον·
εκ δε διοκλεεος διδυμαFονε παιδ' εγενεσθην,
κρηθων, ορσιλοχος τε, μαχης hεϋ Fειδοτε παντσης.
τω μεν αρ' hηβησαντε μελαιναFων επι ναFων
FιλFιον εις hεϋπωλον hαμ' αργειFοισιν hεπεσθην,
τιFμην ατρεFιδῃσ', αγαμεμνονι και μενελαFῳ,
hαρνυμενω· τω δ' αFθι τελος θανατοF εκαλυπτσεν.
hοιω, τωγε, λεFοντε δυω ορεος κορυφῇσιν
ετραφετην hυπο μητρι βαθυιης ταρφεσιν hυλFης·
τω μεν αρ' hαρπαδσοντε βοFας και Fῖφια μηλα
σταθμοFς ανθρωπων κεραϊδσετον, hοφρα και αFτω
ανδρων εν παλαμῇσι κατεκταθεν hοκσυϊ χαλκῳ·
τοιω τω χειρεσιν hυπ' αινειαFο δαμεντε
κατπεσετην, ελατῇσι FεFοικοτε hυπσηλῇσιν.
τω δε πεσοντ' ελεησε βοην αγαθος μενελαFος·
βη δε δια προμαχων, κεκορυθμενος αιθοπι χαλκῳ,
σειων ενχειην· τοFο δ' ῶτρυFνεν μενος αρεFς,
τα φρονεων, hινα χερσιν hυπ' αινειαFο δαμειη.
τον δ' εFιδ' αντιλοχος μεγαθυFμοFο νεστορος hυιος·
βη δε δια προμαχων· περι γαρ δδιε ποιμενι λαFων.
τω μεν δη χειρας τε και ενχεα hοκσυοεντα
αντιον αλληλων hεχετην, μεμαFωτε μαχεσθαι.
αντιλοχος δε μαλ' ανχι παρhιστατο ποιμενι λαFων.
αινειας δ' ου μῆνε, θοFος περ εων πολεμιστης,
hως Fειδεν δυο φῶτε παρ' αλληλοισι μενοντε.

ͱοι δ' επει ὧν νεκροϝς ϝερυσαν μετα λαϝον αχαιϝων, E
τω μεν αρα δδειλω βαλετην εν χερσιν ͱεταιρων·
αϝτω δε στρεφθεντε, μετα πρωτοισ' εμαχεσθην.
ενθα πυλαιμενεα ͱελετην, ͱαταλαντον αρεϝι,
αρχον παφλαγονων μεγαθυϝμων ασπισταϝων.
τόν μεν αρ' ατρεϝιδης δορϝικλειτος μενελαϝος
ͱεσταοτ' ενχεϊ νυκσε, κατα κλεϝιδα τυχησανς.
αντιλοχος δε μυδων' εβαλ' ͱηνιοχον θεραποντα,
εσθλον ατυμνιαδην, ͱο δ' ͱυπεστρεφε μωνυχας ͱιπποϝς,
χερμαδιῳ ανκῶνα τυχων μεσον· εκ δ' αρα χειρων
ͱηνια λεϝκ' ελεφαντι χαμαι πεσον εν κονιϝῃσιν.
αντιλοχος δ' αρ' επαͱικσανς χσιφει ηλασε κορσην·
αϝταρ ͱογ' ασθμαινων ͱεϋϝεργεος εκπεσε διφροο
κυμβαχος εν κονιϝῃσιν επι βρεχμον τε και ωμοϝς.
δηθα μαλ' ͱεστηκεε, τυχε γαρ πσαμαθοϝο βαθυιης,
ͱοφρ' ͱιππω πληγσαντε χαμαι βαλον εν κονιϝῃσιν.
τοϝς δ' ͱεκτωρ ενοησε κατα στιχας, ὦρτο δ' επ' αϝτοϝς
κεκλῆγως· ͱαμα δε τροϝων ͱεσποντο φαλαγγες
καρτεραι· ἦρχε δ' αρα σφιν αρεϝς, και ποτνι' ενεϝω·
ͱη μεν, ͱεχοντσα κυδοιμον ααιδεα δαϝιοτητος·
αρεϝς δ' εν παλαμῃσι πελωριον ενχος ενωμα·
φοιταε δ' αλλοτε μεν προσθ' ͱεκτορος, αλλοτ' οπισθεν.
τον δε ϝιδων ῥιγησε βοην αγαθος διομηδης.
ͱως δ' ͱοτ' ανηρ απαλαμνος, ιὼν πολυος πεδιοϝο,
στῄῃ επ' ὠκυροϝῳ ποταμῳ ͱαλαδε προρεϝοντι,
αφρῳ μορμυροντα ϝιδων, ανα τ' εδραμ' οπισσῳ·
ͱως τοτε τυϝδεϝιδης ανεχαδσετο, ϝεσπε τε λαϝῳ·
ω φιλοι, ͱοιον δη θαϝμαδσομεν ͱεκτορα διϝον
αιχμῆτην τ' εμεναι, και θαρσαλεον πολεμιστην!
τῳ δ' αιϝει παρα ͱενς γε θεων, ͱος λοιγον αμυϝνει·
και νῦν ͱοι παρα κεινος αρεϝς, βροτῳ ανδρι ϝεϝοικως.
αλλα προς τροϝας τετραπμενοι αιϝεν οπισσῳ
ϝεικετε, μηδε θεοις μενεαινεμεν ϝῖφι μαχεσθαι.
ͱως αρ' εφη· τροϝες δε μαλα σχεδον ηλυθον αϝτων.
ενθ' ͱεκτωρ δυο φῶτε κατεκτανε, ϝειδοτε χαρμης,
εν ͱενι διφρῳ εοντε, μενεσθην, ανχιͱαλον τε.
τω δε πεσοντ' ελεησε μεγας τελαμωνιος αιϝανς·
στη δε μαλ' ενγυς ιων, και ακοντισε δορϝι φαειϝνῳ,
και βαλεν αμφιͱον, σελαγοϝ' ͱυϊ', ͱος ρ' εν απαισῳ
ναιε πολυκτῆμων, πολυλεϝιος· αλλα ͱε μοιρα
ἦγ' επικουρησοντα μετα πριαμον τε και ͱυιας.
τον ρα κατα δσωστηρ' εβαλεν τελαμωνιος αιϝανς,
νεϝαιρῃ δ' εν γαστρ' επαγη δολιχοσκιον ενχος·
δουπησεν δε πεσων· ͱο δ' επεδραμε φαιδιμος αιϝανς
τευχεα συλϝῆσων· τροϝες δ' επι δορϝατ' εχεϝαν
ͱοκσυα, πανφαναοντα· σακος δ' ανεδεχσατο πολλα.

αϝταρ ͱο λακς προσβανς εκ νεκροϝο χαλκεον ενχος
εσπασατ᾽· ουδ᾽ αρ᾽ ετ᾽ αλλ᾽ εδυνῆσατο τευχεα καλα E
ωμοιῒν αφελεσθαι· επειγετο γαρ βελεεσιν.
δδειδσε δ᾽ ͱογ᾽ αμφιβασιν κρατερην τροϝων αγερωχων,
ͱοι πολλοι τε και εσθλοι εφεστασαν ενχε᾽ ͱεχοντες,
ͱοι ͱε, μεγαν περ εοντα, και ῖφθῖμον, και αγαϝον,
ῶθσαν απο σφεϝων· ͱο δε χασσαμενος πελεμιχθη.
ͱως ͱοι μεν πονεοντο κατα κρατερην ͱυσμινην.
τλῆπολεμον δ᾽ ͱηρακλεῖδην ηΰν τε, μεγαν τε,
ῶρσεν επ᾽ αντιθεῳ σαρπηδονι μοιρα κραταιη.
ͱοι δ᾽ ͱοτε δη σχεδον ῆσαν επ᾽ αλληλοισιν ιοντε,
ͱυιος θ᾽, υιϝωνος τε, διος νεφεληγερεταϝο,
τον και τλῆπολεμος προτερος προς μυϝθον εϝεσπεν·
σαρπῆδον, λυκιων βουληφορε, τις τοι ανανκη
πτῶσσεμεν ενθαδ᾽ εοντι μαχης αδαημονι φῶτι;
πσευδομενοι δε σε φαντι διος γονον αιγιͱοχοϝο
εεναι, επει πολλον κεινων επιδεϝεαι ανδρων,
ͱοι διος εκσεγενοντο επι προτερων ανθρωπων.
αλλ᾽ ͱοιον τινα φαντι βιην ͱηρακλεεϊϝην
εεναι, εμον πατερα θρασυμεμνονα, θυϝμολεϝοντα;
ͱος ποτε δευρ᾽ ελθων ͱενεχ᾽ ιππων λαϝομεδοντος,
ͱεκς οιῃς γσυν ναϝσι και ανδρεσι παϝροτεροισιν,
ϝιλϝιοϝ᾽ εκσαλαπακσε πολιν, χηρῶσε δ᾽ αγυιας.
σοι δε κακος μεν θυϝμος, αποφθινυθοντι δε λαϝοι·
ουδε τι σε τροϝεσιν οῖϝομαι αλκαρ εσεσθαι,
αλλ᾽ ͱυπ᾽ εμοι δμηθεντα πυλας αϝιδαϝο περῆσεεν.
τον δ᾽ αϝ σαρπηδων, λυκιων αγος, αντιον ηῦϝδα·
τλῆπολεμ᾽, ητοι κεινος απῶλεσε ϝιλϝιον ͱιερην,
ανερος αφραδιῃσιν αγαϝοϝο λαϝομεδοντος,
ͱος ρα μιν ͱευ ερκσαντα κακῳ ηνιπαπε μυϝθῳ,
ουδ᾽ απεδῶχ᾽ ιπποϝς, ͱων ͱεινεκα τηλοθεν ηλθεν.
σοι δ᾽ εγω ενθαδε φημι φονον και κηρα μελαιναν
εκς εμεθεν τευχσεσθαι, εμῳ δ᾽ ͱυπο δορϝι δαμεντα
ευχος εμοι δῶσεεν, πσυϝχην δ᾽ αϝιδι κλυτοπωλῳ.
ͱως φατο σαρπηδων· ͱο δ᾽ ανεσχετο μειλινον ενχος
τλῆπολεμος, και των μεν ͱαμαρτῃ δορϝατα μακρα
εκ χειρων ῆͱικσαν· ͱο μεν βαλεν αϝχενα μεσσον
σαρπηδων, αιχμη δε διανπερες ηλθ᾽ αλεγεινη·
τον δε κατ᾽ οφθαλμων ερεβεννη νυκς εκαλυπτσεν.
τλῆπολεμος δ᾽ αρα μηρον αριστερον ενχεϊ μακρῳ
βεβληκεεν· αιχμη δε διεσσυτο μαιμαϝοντσα,
οστεῳ ενχριμφθεντσα, πατηρ δ᾽ ετι λοιγον αμυϝνεν.
ͱοι μεν αρ᾽ αντιθεον σαρπηδονα διϝοι ͱεταιροι
εκσεφερον πολεμοϝ᾽· εβαρυϝνε δε μιν δορυ μακρον
ͱελκομενον· το μεν ουτις επεφρασατ᾽, ουδ᾽ ενοησεν,
μηροϝ εκσϝερυσαι δορυ μειλινον, ͱοφρ᾽ επιβαιη

σπευδοντων· τοιον γαρ ͱεχον πονον αμφιͱεποντες.
τληῆπολεμον δ' ͱετερωθεν ͱεϋκνημῖδες αχαιFοι
εκσεφερον πολεμοF· ενοησε δε διFος ͱοδυσσεFς,
τληῆμονα θυFμον ͱεχων· μαιμαFσε δε ͱοι φιλον ητορ.
μερμηρικσε δ' επειτα κατα φρενα, και κατα θυFμον,
η προτερῷ διος ͱυιον εριγδουποFο διωκοι,
ἠ' ͱογε των πλεονων λυκιων απο θυFμον ͱελοιτο.
ουδ' αρ' ͱοδυσσεFι μεγαλητορι μορσιμον ῆεν,
ῖφθῖμον διος ͱυιον αποκταμεν ͱοκσυϊ χαλκῷ.
τῷ ϱα κατα πληθυν λυκιων τρεπε θυFμον αθηνη.
ενθ' ͱογε κοιρανον ͱελλεν, αλαστορα τε, χρομιον τε,
αλκανδρον θ', αλιον τε, νοημονα τε, πρυτανιν τε.
και νυ κ' ετι πλεονας λυκιων κτανε διFος ͱοδυσσεFς,
ει μη αρ' ͱοκσυ νοησε μεγας κορυθαιFολος ͱεκτωρ.
βη δε δια προμαχων κεκορυθμενος αιθοπι χαλκῷ,
δδειμα φερων δαναοισ'· εχαϱη δ' αρα ͱοι προσιοντι
σαρπηδων, διος ͱυιος, Fεπος δ' ολοφυδνον εFεσπεν·
πριαμιδη, μη δη με ͱελωρ δαναοισιν εFᾶσῃς
κεισθαι, αλλ' επαμυFνον, επειτα με και λιποι αιFων
εν πολι' ͱυμετερῇ· επει ουκ αρ' εμελλον εγωγε
νοστησανς Fοικονδε, φιλην ες πατριδα γαιαν,
ͱευφρανεεεν ͱαλοχον τε φιλην και νηπιον ͱυιον.
ͱως φατο· τον δ' ουτι προσεφη κορυθαιFολος ͱεκτωρ,
αλλα παρῆͱικσεν, λελιFημενος, ͱοφρα ταχιστα
ῶθσαιτ' αργειFοFς, πολυων δ' απο θυFμον ͱελοιτο.
ͱοι μεν αρ' αντιθεον σαρπηδονα διFοι ͱεταιροι
ͱεσσαν ͱυπ' αιγιͱοχοFο διος περικαλλεϊ φηγῷ·
εκ δ' αρα ͱοι μηροο δορυ μειλινον ῶθσε θυραδσε
ῖφθῖμος πελαγων, ͱος ͱοι φιλος ῆεν ͱεταιρος.
τον δ' ελιπε πσυFχη, κατα δ' οφθαλμων κεχυτ' αχλυς·
αFτις δ' αμπνυσθη, περι δε πνοFη βορεαFο
δσαFγρε' επιπνεFοντσα κακως κεκαφῆοτα θυFμον.
αργειFοι δ' ͱυπ' αρεFι και ͱεκτορι χαλκοκορυστῇ
ουτε ποτε προτρεποντο μελαιναFων επι ναFων,
ουτε ποτ' αντεφεροντο μαχῇ· αλλ' αιFεν οπισσῷ
χαδσονθ', ως επυθοντο μετα τροFεσιν αρεFα.
ενθα τινα πρῶτον, τινα δ' ͱυστατον εκσεναϱικσαν
ͱεκτωϱ τε πϱιαμοFο παϊς και χαλκεος αρεFς;
αντιθεον τευθραντ', επι δε πληγσιͱιππον ορεστην,
τρηχον τ' αιχμῆτην αιτωλον, Fοινομαον τε,
Fοινοπιδην θ' ελενον, και ορεσβιον αιFολομιτρην,
ͱος ρ' εν ͱυλFῇ εναιε, μεγα πλουτοFο μεμηλως,
λιμνῇ κεκλιμενος κηφισσιδι· παρ δε ͱοι αλλοι
ναιον βοιωτοι, μαλα πιFονα δημον ͱεχοντες.
τοFς δ' ͱως ῶν ενοησε θεα λεFκωλενος ͱηρη
αργειFοFς ολεκοντας ενι κϱατερῇ ͱυσμινῇ,

αϝτικ' αθηναιην ϝεπεα πτεροεντα προσηῦϝδα· E
ω ποποι! αιγιͱοχοϝο διος τεκος ατρυτωνη,
η ῥ' ͱαλιον τον μυϝθον ͱυπεστημεν μενελαϝῳ, 715
ϝιλϝιον εκπερθσανθ' ευτειχεον απονεεσθαι,
ει ͱοϝτῳ μαινεσθαι εϝᾶσομεν ολϝον αρεϝα.
αλλ' αγε δη και νοϝι μεδωμεθα θοϝριδος αλκης.
ͱως εφατ'· ουδ' απιθησε θεα γλαϝκῶπις αθηνη.
ͱη μεν εποιχομενη χρυσαμπυκας εντυεν ͱιπποϝς· 720
ͱηβη δ' αμφι ͱοχεσσι θοϝως βαλε καμπυλα κυκλα· 722
των ητοι χρυσεη ϝιτυς αφθιτος, αϝταρ ͱυπερθεν 724
χαλκε' επισωτρα, προσαρῆροτα, θαϝμα ϝιδεσθαι· 725
πλημναι δ' αργυροϝ' εντι περιδρομοι αμφοτερωθεν·
διφρος δε χρυσεοισι και αργυρεοισιν ͱιμαντσιν
εντεταται· δοιαι δε περιδρομοι αντυγες εντιν·
τοο δ' εκς αργυρεος ρυϝμος πελεν· αϝταρ επ' ακρῳ
δησε χρυσειον καλον δσυγον, εν δε λεπαδνα 730
καλ' εβαλε, χρυσει'· ͱυπο δε δσυγον ἦγαγεν ͱηρη
ͱιπποϝς ῶκυποδας, μεμαϝυι' εριδος και αͱυϝτης.
αϝταρ αθηναιη, κοϝρη διος αιγιͱοχοϝο,
πεπλον μεν κατεχεϝεν εϝᾶνον πατρος επ' ουδει,
ποικιλον, ͱον ῥ' αϝτη ποιησατο και καμε χερσιν· 735
ͱη δε, χιτῶν' ενδῦντσα διος νεφεληγερεταϝο,
τευχεσιν ες πολεμον θωρησσετο δακρυϝοεντα.
αμφι δ' αρ' ωμοισιν βαλετ' αιγιδα θυσσανοεντσαν,
δδεινην, ͱην περι μεν παντῃ φοβος εστεφανωτο·
εν δ' ερις, εν δ' αλκη, εν δε κρυοεντα ͱιͱῶκη· 740
εν δε τε γοργοιη κεφαλη δδεινοϝο πελωροο,
δδεινη τε, σμερδνη τε, διος τερας αιγιͱοχοϝο.
κρᾶτι δ' επ' αμφιφαλον κυνεην θετο τετραφαληρον,
χρυσειην, ͱεκατον πολιων πρυλιεσ' αραρυιαν.
ες δ' ͱοχεα φλογεα ποσ' εβησατ'· ελαδσετο δ' ενχος 745
βριθυ, μεγα, στιβαρον, τῳ δαμνητι στιχας ανδρων. 746
ͱηρη δε μαστινγι θοϝως επεμαϝετο ͱιπποϝς· 748
αϝτομαται δε πυλαι μυκον ουρανοϝ, ͱας ͱεχον ͱωραι. 749
τῇ ρα δι' αϝταων κεντρηνεκεας ͱεχον ͱιπποϝς. 752
ͱευρον δε κρονιϝῶνα, θεων ατερ ͱημενον αλλων,
ακροτατῃ κορυφῇ πολυδειραδος ολυνποϝο.
ενθ' ͱιπποϝς στησαντσα θεα λεϝκωλενος ͱηρη 755
δσῆν' ͱυπατον κρονιδην εκσειρετο, και προσεϝεσπεν·
δσεϝ πατερ, ου νεμεσιδσε' ͱορῶν ταδε ϝεργ' αϝιδηλα, 757
μαπς, αταρ ου κατα κοσμον; εμοι δ' αχος· ͱοι δε ͱεκηλοι 759
τερπονται κυπρις τε και αργυροτοκσος απολλων, 760
αφρονα τοϝτον ανͱεντες, ος ουτινα ϝοιδε θεμιστα.
δσεϝ πατερ, η ρα τι μοι κεχολῶσεαι, αι κεν αρεϝα
λυγρως πεπληγυια μαχης εκς αποδιωμαι;
την δ' απαμειβομενος προσεφη νεφεληγερετα δσεϝς·

αγρεε μαν ͱοι εποϱσον αθηναιην αγελαϝιην,
ͱη ͱε μαλιστα ϝεϝῶθε κακῇσ᾽ οδυνῇσι πελαδσεεν. E
ͱως εφατ᾽· ουδ᾽ απιθησε θεα λεϝκωλενος ͱηϱη·
μαστινγσεν δ᾽ ͱιπποϝς· τω δ᾽ ουκ αϝεκοντ᾽ επετεσθην
μεσσηγυς γαιης τε και ουρανοϝ αστεροεντος.
ͱοσον δ᾽ ῆεροϝειδες ανηρ εϝιδ᾽ οφθαλμοισιν,
ͱημενος εν σκοπιῇ, λεϝσσων επι ϝοινοπα ποντον,
τοσον επιθϱῶσκοντι θεῶν ͱυπσϝηχεες ͱιπποι.
αλλ᾽ ͱοτε δη τροϝιην ͱικσαν, ποταμω τε ρεϝοντε,
ͱῆχι ροϝας σιμοενς γσυνβαλλετον ηδε καμανδρος,
ενθ᾽ ͱιπποϝς εστησε θεα λεϝκωλενος ͱηρη,
λυϝσαντσ᾽ εκς ͱοχεων· περι δ᾽ ῆερα πολυν εχεϝσεν·
τοισιν δ᾽ ανβροσιην σιμοενς ανετῆλε νεμεσθαι.
ͱαι δ᾽ εβατην τρηροντσι πελειασιν ιθμαθ᾽ ομοιαι,
ανδρεσιν αργειϝοισιν αλεκσεμεναι μεμαϝυιαι.
αλλ᾽ ͱοτε δη ρ᾽ εϝικανον ͱοθι πλειστοι και αριστοι
ͱεστασαν, αμφι βιην διομηδεος ͱιπποδαμοϝο
ϝελϝομενοι, λεϝοντσι ϝεϝοικοτες ωμοφαγοισιν,
η συσι καπϱοισιν, των τε σθενος ουκ αλαπαδνον·
ενθα σταντσ᾽ ῆϋϝσε θεα λεϝκωλενος ͱηρη,
στεντορι ϝεισδαμενη μεγαλητορι, χαλκεοφώνῳ.
αιδως, αργειϝοι, κακ᾽ ελενχεα, ϝειδος αγῆτοι!
ͱοφρα μεν ες πολεμον πωλεσκετο διϝος αχιλλεϝς,
ουδε ποτε τροϝες προ πυλαϝων δαρδανιαϝων
οιχνεσκον· κεινοο γαρ εδεδδισαν οβϱιμον ενχος·
νῦν δε ͱεκας πολιος κοιλῇσ᾽ επι ναϝσι μαχονται.
ͱως ϝεσποντσ᾽, ῶτρυϝνε μενος και θυϝμον ͱεκαστοο.
τυϝδεϝιδῇ δ᾽ εποροϝσε θεα γλαϝκῶπις αθηνη·
ͱευρε δε τον γε ϝανακτα παρ ͱιπποισιν και ͱοχεσσιν
ͱελκος αναπσυϝχοντα, το μιν βαλε πανδαρος ͱιϝῷ·
ͱιδρως γαρ μιν ετειρεν ͱυπο πλατυος τελαμῶνος
ασπιδος ͱευκυκλοο· τῷ ετειρετ᾽, εκαμνε δε χειρα·
αν δ᾽ ͱισχων τελαμῶνα, κελαινεφες ͱαιμ᾽ απεμοργνυ.
ͱιππειοο δε θεα δσυγοϝ ͱαπτσατ᾽, εφώνησεν τε·
η᾽ ολιγον ͱοι παιδα ϝεϝοικοτ᾽ εγῆνατο τυϝδεϝς.
τυϝδεϝς τοι μικρος μεν εην δεμας, αλλα μαχητης.
και ρ᾽ ͱοτε περ μιν εγω πολεμιδσεμεν ουκ εϝαεσκον,
ουδ᾽ εκπαιφασσεεν, ͱοτε τ᾽ ηλυθε νοσφιν αχαιϝων
ανγελος ες θηβας, πολυας μετα καδμεϊϝῶνας,
δαινυσθαι μιν ανωγον ενι μεγαροισιν ͱεκηλον·
αϝταρ ͱο θυϝμον ͱεχων ͱον καρτεϱον, ͱως το παρος περ,
κοϝροϝς καδμεϊων προκαλιδσετο, παντα δ᾽ ενικα.
σοι δ᾽ ητοι μεν εγω παρα θ᾽ ισταμαι, ηδε φυλασσω,
και σε προφρονεως κελομαι τροϝεσι μαχεσθαι·
αλλα σεϝ η καματος πολυαϝικς γυια δεδυϝκεν,
η νυ σε ποο δδεος ͱισχει ακεαριον· ου συγ᾽ επειτα

τυϜδεϜος εκγονος εσσι, δαϜιφρονος ϜοινεϜιδαϜο. E
την δ' απαμειβομενος προσεφη κρατερος διομηδης·
γιγνῶσκω σε, θεα, θυγατερ διος αιγιͱοχοϜο·
τῷ τοι προφρονεως Ϝερεω Ϝεπος, ουδ' επικεϜθσω.
ουτε τι με δδεος ͱισχει ακεαριον, ουτε τις οκνος·
αλλ' ετι σων μεμνῆμαι εφετμεων, ͱας επετῆλας.
ου μ' εϜαες μακαρεσι θεοισ' αντικρυ μαχεσθαι
τοισ' αλλοισ'· αταρ ει κε διος θυγατηρ αφροδιτη
ελθητ' ες πολεμον, τηνγ' ουταμεν ͱοκσυϊ χαλκῷ.
τοονεκα νῦν αϜτος τ' αναχαδσομαι, ηδε και αλλοϜς
αργειϜοϜς εκελεϜσα ͱαλημεναι ενθαδε παντας·
γιγνῶσκω γαρ αρεϜα μαχην ανα κοιρανεοντα.
τον δ' ῆμειβετ' επειτα θεα γλαϜκῶπις αθηνη·
τυϜδεϜιδη διομηδες, εμῷ κεχαρισμενε θυϜμῷ,
μη τι συγ' αρεϜα τον δεδδιθι, μητε τιν' αλλον
αθανατων· τοιη τοι εγων επιταρροθος ῆμι.
αλλ' αγ', επ' αρεϜι πρωτῷ ͱεχε μωνυχας ͱιπποϜς·
τυπτσον δε σχεδιην, μηδ' ͱαδσεο θοϜρον αρεϜα
τοϜτον μαινομενον, τυχτον κακον, αλλοπροσαλλον·
ͱος πρῶην μεν εμοι τε και ͱηρῃ στεϜτ' αγορεϜων,
τροϜσι μαχησεσθαι, αταρ αργειϜοισιν αρηγσεεν·
νῦν δε μετα τροϜεσιν ͱομιλϜεῖ, των δε λελαθται.
ͱως φαμενη, σθενελον μεν αφ' ιππων ῶθσε χαμαδσε,
χειρι παλιν Ϝερυσαντσ'· ͱο δ' αρ' ενμαπεως αποροϜσεν.
ͱη δ' ες διφρον εβαινε παραι διομηδεα διϜον
εσμεμαϜυια θεα· μεγα δ' εβραχε φηγινος αγσων
βριθοσυνῃ· δδεινην γαρ αγεν θεον, ανδρα τ' αριστον.
λαδσετο δε μαστινγα και ͱηνια παλλας αθηνη·
αϜτικ' επ' αρεϜι πρωτῷ ͱεχε μωνυχας ͱιπποϜς.
ητοι ͱο μεν περιφαντα πελωριον εκσεναρικσεν,
αιτωλων ͱοχ' αριστον, ͱοχησιοϜ' αγλαϜον ͱυιον·
τον μεν αρεϜς εναριδσε μιαιφονος· αϜταρ αθηνη
δυϜν' αϜιδος κυνεην, μη μιν Ϝιδοι οβριμος αρεϜς.
ͱως δ' εϜιδε βροτολοιγος αρεϜς διομηδεα διϜον,
ητοι ͱο μεν περιφαντα πελωριον αϜτοθ' εϜᾶσεν
κεισθαι, ͱοθι πρῶτον κτεινων εκσαινυτο θυϜμον·
αϜταρ ͱο βη ρ' ιθυς διομηδεος ͱιπποδαμοϜο.
ͱοι δ' ͱοτε δη σχεδον ῆσαν επ' αλληλοισιν ιοντες,
προσθεν αρεϜς ῶρεγσαθ' υπερ δσυγον, ͱηνια θ' ιππων,
ενχεϊ χαλκειῷ, μεμαϜως απο θυϜμον ͱελεσθαι·
και τογε χειρι λαβοντσα θεα γλαϜκῶπις αθηνη
ῶθσεν ͱυπ' εκ διφροϜο Ϝετωσιον αϊχθηναι.
δεϜτερος αϜθ' ῶρμᾶτο βοην αγαθος διομηδης
ενχεϊ χαλκειῷ· επερειδσε δε παλλας αθηνη
νεϜατον ες κενεῶνα, ͱοθι δσωννυσκετο μιτρην.
τῇ ρα μιν ουτα τυχων, δια δε χροα καλον εδαπτσεν·

εκ δε δορυ σπασεν αϝτις· ͱο δ' εβραχε χαλκεος αρεϝς· 859
τοϝς δ' αρ' ͱυπο τρομος ͱελλεν αχαιϝοϝς τε, τροϝας τε. 862
ͱοιη δ' εκ νεφεων ερεβεννη φαινεται αͱϝηρ, 864
καϝματος εκς ανεμοϝο δυσαͱεϝος ορνυμενοϝο· 865
τοιος τυϝδεϝιδῃ διομηδεϊ χαλκεος αρεϝς E
φαινεθ', ομοο νεφεεσιν ιων εις ουρανον ευρυν.
καρπαλιμως δ' εͱικανε θεων ͱεδος, αιπυν ολυνπον
παρ δε διϊ κρονιϝῶνι καθεδσετο θυϝμον αχεϝων,
δεικσεν δ' ανβροτον ͱαιμα, καταρεϝον εκς ῶτειλης, 870
και ρ' ολοφυϝρομενος ϝεπεα πτεροεντα προσῆυϝδα·
δσεϝ πατερ, ου νεμεσιδσε' ͱορῶν ταδε καρτερα ϝεργα;
αιϝει τοι ρῖγιστα θεοι τετλῆοτες εσμεν
αλληλων ͱιͱοτητι, χαριν δ' ανδρεσι φεροντες.
σοι παντες μαχομεσθα· συ γαρ τεκες αφρονα κοϝρην, 875
ολομενην, ͱῇτ' αιϝεν αϊσυλα ϝεργα μεμῆλεν.
αλλοι μεν γαρ παντες, ͱοσοι θεοι εντ' εν ολυνπῷ,
σοι τ' επιπειθονται, και δεδμημεσθα ͱεκαστος·
ταϝτην δ' ου τι ϝεπει προτιβαλλεαι, ουτε τι ϝεργῷ,
αλλ' ανͱιͱεις, επει αϝτος εγῆναο παιδ' αϝιδηλον· 880
ͱη νῦν τυϝδεϝος ͱυιον ͱυπερθυϝμον διομηδεα
μαργαινεεν ανεͱῆκεν επ' αθανατοισι θεοισιν.
κυπριδα μεν πρῶτον σχεδον ουτασε χειρ' επι καρπῷ·
αϝταρ επειτ' αϝτῷ μοι επεσσυτο δαιμονι ϝεισϝος. 884
τον δ' αρ' ͱυποδρα ϝιδων προσεφη νεφεληγερετα δσεϝς· 888
μη τι μοι, αλλοπροσαλλε, παρͱεδσομενος μινυριδσε·
εχθιστος δε μοι εσσι θεων, ͱοι ολυνπον ͱεχοντιν. 890
αιϝει γαρ τοι ερις τε φιλη, πολεμοι τε, μαχαι τε·
μητρος τοι μενος εστιν αͱεσχετον, ουκ επιϝεικτον,
ͱηρης· την μεν εγω σπουδῇ δαμνημι ϝεπεσσιν·
τῷ σ' οϊϝω κεινης ταδε πασχεμεν ενͱεσιῇσιν.
αλλ' ου μαν σ' ετι δηρον ανͱεχσομαι αλγε' ͱεχοντα· 895
εκ γαρ εμεο γενος εσσι, εμοι δε σ' εγῆνατο μητηρ.
ει δε τεο εκς αλλοο γε θεων γενε' ͱῷδ' αϝιδηλος,
και κεν δη παλαι ῆσθα ενερτερος ουρανιϝῶνων.
ͱως φατο, και παιηον' ανωγεν ϝιϝησασθαι.
τῷ δ' επι παιηων οδυνηφατα φαρμακ' επασσεν. 900
ͱως δ' ͱοτ' οπος γαλα λεϝκον επειγομενος γσυνεπηγσεν, 902
ͱυγρον εον, μαλα δ' ῶκα περιτρεφεται κυκαοντι·
ͱως αρα καρπαλιμως ϝιϝησατο θοϝρον αρεϝα.
τον δ' ͱηβη λοϝεσεν, χαριεντα δε ϝεσματ' εϝεσσεν. 905
τροϝων δ' οιωθη και αχαιϝων φυϝλϝοπις αινη· Z
πολλα δ' αρ' ενθα και ενθ' ιθυϝσε μαχη πεδιοϝο,
αλληλων ιθυϝνομενων χαλκηρεα δορϝα,
μεσσηγυς σιμοεντος, ιδε χσανθοϝο ροϝαϝων.
αιϝας δε πρῶτος τελαμωνιος, ͱερκος αχαιϝων, 5
τροϝων ϝρῆγσε φαλαγγα, φαϝος δ' ͱεταροισιν εθῆκεν,

ανδρα βαλων, ͱος αριστος ενι θρεϝικεσ' ετετυχτο, Z
ͱυιον ͱεΰσωροϝ, ακαμαντ', ἧΰν τε μεγαν τε.
τον ρ' εβαλε πρῶτος κορυθος φαλον ͱιπποδασυιης,
εν δε μετωπῷ επηγσ', επερῆσε δ' αρ' οστεον εισῷ
αιχμη χαλκειη· τον δε σκοτος οσσ' εκαλυπτσεν.
  αγσͱυλϝον δ' αρ' επεφνε βοην αγαθος διομηδης
τευθρανιδην, ͱος εναιεν ͱεϋκτιμενῃ εν αρισβῇ,
αφνειος βιϝοτοϝο, φιλος δ' ἧν ανθρωποισιν·
παντας γαρ φιλεεσκεν, ͱοδῷ επι ϝοικια ναιων.
αλλα ͱοι ουτις τωνγε τοτ' ἧρκεσε λυγρον ολεθρον
προσθεν ͱυπαντιασανς· αλλ' αμφω θυϝμον απῇυϝρα,
αϝτον και θεραποντα καλησιον, ͱος ρα τοθ' ιππων
εσκεν ͱυφηνιͱοχος· τω δ' αμφω γαιαν εδυϝτην.
  δρῆσον δ' ευρυͱαλος και οφελτιον εκσεναριξσεν·
βη δε μετ' αισηπον και πηδασον, ͱοϝς ποτε νυμφη
ναϝις αβαρβαρεη τεκ' αμυϝμονι βοϝκολιϝῶνι.
βοϝκολιϝων δ' ἧν ͱυιος αγαϝοϝο λαϝομεδοντος,
πρεσβυτατος γενεῇ, σκοτιον δε ͱε γῆνατο μητηρ·
ποιμαινων δ' επ' οϝιεσ' εμιγη φιλοτητι και ευνῇ·
ͱη δ' ͱυποκυϝσαμενη διδυμαϝον' εγῆνατο παιδε·
και μεν των ͱυπελυϝσε μενος και φαιδιμα γυια
μηκιστεϝιαδης, και απ' ωμων τευχε' εσυλϝα.
  ϝαστυͱαλον δ' αρ' επεφνε μενεπτολεμος πολυποιτης.
πιϝδυϝτην δ' ͱοδυσεϝς περκωσιον εκσεναριξσεν
ενχεϊ χαλκειῷ· τευκρος δ' αρεταϝονα διϝον.
αντιλοχος δ' αβληρον ενͱῆρατο δορϝι φαϝεινῷ
νεστοριδης· ελατον δε ϝαναξς ανδρων αγαμεμνων·
ναιε δε, σατνιοεντος ͱεϋρεϝταϝο παρ' ͱοχθας,
πηδασον αιπυινην. φυλακον δ' ͱελε λεϝιτος ͱηρως
φευγοντ'· ευρυπυλος δε μελανθιον εκσεναριξσεν.
  αδρηστον δ' αρ' επειτα βοην αγαθος μενελαϝος
δσαϝον ͱελ'· ͱιππω γαρ ͱοι ατυδσομενω πεδιοϝο,
οδσῷ ενι βλαφθεντε μυρικινῷ, ανκυλον ͱαρμα
ϝανγσαντ' εν πρῶτῳ ρυϝμῷ, αϝτω μεν εβητην
προς πολιν, ͱῇπερ ͱοι αλλοι ατυδσομενοι φοβεοντο·
αϝτος δ' εκ διφροϝο παρα τροχον εκσεκυλισθη
πρηνης εν κονιϝῇσιν επι στομα· παρ δε ͱοι εστη
ατρεϝιδης μενελαϝος, ͱεχων δολιχοσκιον ενχος.
αδρηστος δ' αρ' επειτα λαβων ελισσετο γονϝων·
  δσαϝγρεε, ατρεϝος ͱυιε, συ δ' αγσια δεχσαι αποινα·
πολλα δ' εν ͱαφνειοο πατερος κειμηλια κειται,
χαλκος τε, χρυσος τε, πολυκμῆτος τε σιδηρος·
των κεν τοι χαρισαιτο πατηρ απερεισι' αποινα,
ει κεν εμε δσαϝον πεπυθοιτ' επι ναϝσιν αχαιϝων.
  ͱως φατο· τῷ δ' αρα θυϝμον ενι στηθεσσιν επειθεν.
και δη μιν ταχ' εμελλε θοϝας επι ναϝας αχαιϝων

δῶσεμεν ͱῳ θεραποντι καταγσεμεν· αλλ᾽ αγαμεμνων Z
αντιος ηλθε θεϝων, και ͱομοκλῆσανς ϝεπος ηὔϝδα·
ω πεπον, ω μενελαϝε, τιη δε συ κηδεαι αϝτως
ανδρων; η σοι αριστα πεποιηται κατα ϝοικον
προς τροϝων· των μη τις ͱυπεκφυγοι αιπυν ολεθρον!
ͱως ϝεσπων ετρεπσεν ͱαδελφεϝοϝο φρενας ͱηρως,
αισιμα παρϝεσπων· ͱο δ᾽ απο ͱεθεν ὦθσατο χειρι
ͱηροϝ᾽ αδρηστον· τον δε κρεϝων αγαμεμνων
ουτα κατα λαπαρην· ͱο δ᾽ ανετραπετ᾽· ατρεϝιδης δε
λακς εν στηθεσι βανς εκσεσπασε μειλινον ενχος.
νεστωρ δ᾽ αργειϝοισιν εκεκλετο, μακρον αϋϝσανς·
ω φιλοι, ͱηροϝες δαναοι, θεραποντες αρεϝος,
μη τις νῦν εναρων επιβαλλομενος μετοπισθεν
μιμνετω, ͱως κε πλειστα φερων επι ναϝας ͱικηται·
αλλ᾽ ανδρας κτεινωμεν· επειτα δε και τα ͱεκηλοι
νεκροϝς αν πεδιον συλϝησετε τεθνῆωτας.
ͱως ϝεσπων ὤτρυϝνε μενος και θυϝμον ͱεκαστοο.
ενθα κεν αϝτε τροϝες αρεϝιφιλων ͱυπ᾽ αχαιϝων
ϝιλϝιον εισανεβησαν, αναλκειῆσι δαμεντες,
ει μη αρ᾽ αινειᾳ τε και ͱεκτορι ϝεσπε παραστανς
πριαμιδης ͱελενος, οιϝωνοπολων ͱοχ᾽ αριστος·
αινεια τε, και ͱεκτορ, επει πονος υμμι μαλιστα
τροϝων και λυκιων ενκεκλιται, ͱοονεκ᾽ αριστοι
παντσαν επ᾽ ιθυν εστε μαχεσθαι τε φρονεεεν τε·
στητ᾽ αϝτοο, και λαϝον ερυκακετε προ πυλαϝων,
παντῃ εποιχομενοι, πριν γ᾽ αϝτ᾽ εν χερσι γυναικων
φευγοντας πεσεεεν, δαϝιοισι δε χαρμα γενεσθαι.
αϝταρ επει κε φαλανγας εποτρυϝνητον ͱαπαντσας,
ͱημεες μεν δαναοισι μαχησομεθ᾽ αϝθι μενοντες,
και μαλα τειρομενοι περ· ανανκαιη γαρ επειγει·
ͱεκτορ, αταρ συ πολινδε μετερχεο, ϝεσπε δ᾽ επειτα
μητερι σῃ και εμῃ· ͱη δε γσυναγοντσα γεραϝας
ναϝον αθηναιης γλαϝκωπιδος εν πολι᾽ ακρῃ,
οιγσαντσα κλεϝῖδι θυρας ͱιεροϝο δομοϝο,
πεπλον, ͱος ͱοι δοκεει χαριεστατος ηδε μεγιστος
εεναι ενι μεγαρῳ, και ͱοι πολυ φιλτατος αϝτῃ,
θεεναι αθηναιης επι γουϝασιν ηϋκομοϝο·
και ͱοι ͱυποσχεσθαι δυο και δεκα βοϝς ενι ναϝῳ,
ηνιδας, ακεστας, ͱιερεϝσεμεν, αι κ᾽ ελεησῃ
ϝαστυ τε, και τροϝων ͱαλοχοϝς, και νηπια τεκνα,
αι κεν τυϝδεϝος ͱυιον αποσχῃ ϝιλϝιοϝ ͱιερης,
αγριον αιχμῆτην, κρατερον μηστωρα φοβοϝο·
ͱον δη εγω καρτιστον αχαιϝων φημι γενεσθαι.
ουδ᾽ αχιλεϝα ποθ᾽ ὧδε γ᾽ εδεδδιμεν, ορχαμον ανδρων,
ͱονπερ φαντι θεας εκς εσμεναι· αλλ᾽ ͱοδε λιϝην
μαινεται, ουδε τις ͱοι δυναται μενος ϝεισϝοφαριδσεεν.

ʽως εφαθ᾽· εκτωρ δ᾽ ουτι κασιγνήτῳ απιθησεν· Z
αFτικα δ᾽ εκς ʽοχεων γσυν τευχεσ᾽ εʽαλτο χαμαδσε·
παλλων δ᾽ ʽοκσυα δορFα, κατα στρατον ῳχετο παντῃ,
οτρυFνων μαχεσασθαι· εγειρε δε φυFλFοπιν αινην.
ʽοι δ᾽ εFελιχθησαν, και εναντιοι εσταν αχαιFων.
αργειFοι δ᾽ ʽυπεχῳρησαν, ληγσαν δε φονοFο·
φαν δε τιν᾽ αθανατων εκς ουρανοF᾽ αστεροεντος
τροFσιν αλεκσησοντα κατελθεμεν, ʽως εFελιχθεν.
ʽεκτωρ δε τροFεσιν εκεκλετο, μακρον αʽυFσανς·
τροFες ʽυπερθυFμοι, τηλεκλῆτοι τ᾽ επικουροι,
ανερες εστε, φιλοι, μνῆσασθε δε θοFριδος αλκης,
ʽοφρ᾽ αν εγω βειω προτι FιλFιον, ηδε γεροντσιν
Fεσπω βουλεFτῆσι, και ʽημετερῆσ᾽ ʽαλοχοισιν,
δαιμοσιν αρῆσασθαι, ʽυποσχεσθαι δ᾽ ʽεκατονβας.
ʽως αρα φῶνησανς απεβη κορυθαιFολος ʽεκτωρ·
αμφι δε μιν σφυρ᾽ ετυπτε και αFχενα δερμα κελαινον,
αντυγς, ʽη πυματη θεFεν ασπιδος ομφαλοεντσης.
γλαFκος δ᾽ ʽιππολοχοFο παϊς και τυFδεFος ʽυιος
ες μεσον αμφοτερων γσυνιτην μεμαFῶτε μαχεσθαι.
ʽοι δ᾽ ʽοτε δη σχεδον ῆσαν επ᾽ αλληλοισιν ιοντες,
τον προτερος προσεFεσπε βοην αγαθος διομηδης·
τις δε συ εσσι, φεριστε, καταθνῆτων ανθρωπων;
ου μεν γαρ ποτ᾽ οπῶπα μαχῇ ενι κυFδιανειρῃ
το πριν· αταρ μεν νῦν γε πολυ προβεβηκας ʽαπαντων
σῷ θαρσει, ʽοτ᾽ εμον δολιχοσκιον ενχος εμῆνας.
τον δ᾽ αFθ᾽ ιππολοχοFο προσῆυFδαε φαιδιμος ʽυιος·
τυFδεFιδη μεγαθυFμε, τιη γενεην ερεεινεις;
ʽοιη περ φυλλων γενεη, τοιηδε και ανδρων.
φυλλα τα μεν τ᾽ ανεμος χαμαδις χεFει, αλλα δε θ᾽ υλFη
τηλεθαοντσα φυFει, Fεαρος δ᾽ επιγιγνεται ʽωρῃ·
ʽως ανδρων γενεη ημεν φυFει, ηδ᾽ απολη γει.
ει δ᾽ εθελεις και ταFτα δαημεναι, ʽοφρ᾽ ʽεῢ Fειδῇς·
εστι πολις εφυρη μυχῷ αργεος ʽιπποβοτοFο,
ενθαδε σισυφος εσχ᾽, ος κερδιστος γενετ᾽ ανδρων,
σισυφος αιFολιδης· ʽο δ᾽ αρα γλαFκον τεκεθ᾽ υιον·
αFταρ γλαFκος ετικτεν αμυFμονα βελλεροφοντην·
τῷ δε θεοι καλλος τε και ῆνορεην ερατεινην
ῶπασαν· αFταρ ʽοι προιτος κακ᾽ εμηδσατο θυFμῷ·
ʽος ρ᾽ εκ δημοF ελασσεν, επει πολυ φερτερος ῆεν.
τῷ δε γυνη προιτοF επεμῆνατο, διF αντεια,
κρυπταδιῇ φιλοτητι μιγημεναι· αλλα τον ουτι
πειθ᾽ αγαθα φρονεοντα δαFιφρονα βελλεροφοντην.
ʽη δε πσευδσαμενη προιτον βασιλεFα προσῆυFδα·
τεθναιης, ω προιτ᾽, η κᾶκτανε βελλεροφοντην,
ʽος μ᾽ εθελεν φιλοτητι μιγημεναι ουκ εθελοντσῃ.
ʽως φατο· τον δε Fανακτα χολος λαβεν, ʽοιον ακοFσεν·

κτῆναι μεν ρ᾽ αλεϝεινε, σεβασσατο γαρ τογε θυϝμῷ, Z
πεμπε δε μιν λυκιηνδ᾽, επορεν δ᾽ ͱογε σηματα λυγρα,
γραπτσαις εν πινακι πτυχτῷ θυϝμοφθορα πολλα·
δεικσαι δ᾽ ἦνωγεν ͱῷ πενθερῷ, ͱοφρ᾽ απολοιτο.
αϝταρ ͱο βη λυκιηνδε θεων ͱυπ᾽ αμυϝμονι πομπῇ·
αλλ᾽ ͱοτε δη λυκιην ͱικσε, χσανθον τε ρεϝοντα,
προφρονεως μιν ετιϝε ϝαναξ λυκιης ευρυιης.
ͱεννϝημαρ χσεινισσε, και ͱεννεα βοϝς ͱιερεϝσεν·
αλλ᾽ ͱοτε δη δεκατη εφανη ϝροδοδακτυλος ἦως,
και τοτε μιν ερεεινε, και ἦτεε σημα ϝιδεσθαι,
ͱο τι ρα ͱοι γαμβροϝο παρα προιτοϝο φεροιτο.
αϝταρ επειδη σημα κακον παρεδεχσατο γαμβροο,
πρῶτον μεν ρα χιμαιραν αμαιμακετην εκελεϝσεν
πεφνεμεν· ͱη δ᾽ αρ᾽ εῆν θειον γενος, ουδ᾽ ανθρωπων,
προσθε λεϝων, οπιθεν δε δρακων, μεσση δε χιμαιρα,
δδεινον αποπνεϝοντσα πυρος μενος αιθομενοϝο.
και την μεν κατεπεφνε, θεων τεραεσι πιθησαις.
δεϝτερον αϝ, σολυμοισι μαχησατο κυϝδαλιμοισιν·
καρτιστην δη τηνγε μαχην φατο δυϝμεναι ανδρων.
τῷ δ᾽ αρ᾽ ανερχομενῷ πυκινον δολον αλλον ͱυφαινεν·
κρῖναις εκ λυκιης ευρυιης φῶτας αριστοϝς,
ͱεσσε λοχον· τοι δ᾽ ουτι παλιν ϝοικονδε νεοντο·
παντας γαρ κατεπεφνεν αμυϝμων βελλεροφοντης.
αλλ᾽ ͱοτε δη γιγνῶσκε θεοο γονον ἦϋν εοντα,
αϝτοϝο μιν κατερυκ᾽, εδιδῶ δ᾽ ͱογε θυγατερ᾽ ͱεϝην·
δῶκε δε ͱοι τιϝμης βασιλεϝιδος ͱημισυ παντσης.
και μην ͱοι λυκιοι τεμενος ταμον εκσͱοχον αλλων,
καλον φυταλιης και αροϝρης, ͱοφρα νεμοιτο.
ͱη δ᾽ ετεκε τρια τεκνα δαϝιφρονι βελλεροφοντῇ,
ϝεισϝανδρον τε, και ͱιππολοχον, και λαϝοδαμειαν.
λαϝοδαμειῇ μεν παρελεχσατο μητιετα δσεϝς,
ͱη δ᾽ ετεκ᾽ αντιθεον σαρπηδονα, χαλκοκορυστην.
αλλ᾽ ͱοτε δη και κεινος απηχθετο παντσι θεοισιν,
ητοι ͱο κατ πεδιον το ͱαλεϝιον οιος αλᾶτο,
ͱον θυϝμον κατεδων, πατον ανθρωπων αλεϝεινων·
ϝεισϝανδρον δε ͱοι ͱυιον αρεϝς, αϝατος πολεμοϝο,
μαρναμενον σολυμοισι κατεκτανε κυϝδαλιμοισιν.
την δε χολῶσαμενη χρυσͱηνιος αρτεμις εκτα.
ͱιππολοχος δε μ᾽ ετικτε, και εκ τοϝο φημι γενεσθαι·
πεμπε δε μ᾽ ες τροϝιην, και μοι μαλα πολλ᾽ επετελλεν,
αιϝεν αριστεϝεεν, και ͱυπερͱοχον εσμεναι αλλων,
μηδε γενος πατερων αισχυνεμεν· ͱοι μεγ᾽ αριστοι
εν τ᾽ εφυρῇ εγενοντο και εν λυκιῇ ευρυιῇ·
ταϝτης τοι γενεης τε και ͱαιματος ευχομαι εεναι.
ͱως φατ᾽· εγηθησεν δε βοην αγαθος διομηδης·
ενχος μεν κατεπηγσεν επι χθονι πολυβοτειρῇ,

αϝταρ hο μειλιχιοισι προσηῦϝδαε ποιμενα λαϝων· Z
η ρα νυ μοι χσεινος πατροϝιος εσσι παλαιος· 215
ϝοινεϝς γαρ ποτε διϝος αμυϝμονα βελλεροφοντην
χσεινισ' ενι μεγαροισι, ϝεϊκοσιν hηματ' ερυκσανς.
hοι δε και αλληλοισ' επορον χσεινῆϊα καλα·
ϝοινεϝς μεν δσωστηρ' εδιδω φοινικι φαϝεινον,
βελλεροφοντης δε χρυσεον δεπας αμφικυπελλον· 220
και μιν εγω κατελειπον ιων εν δωμασ' εμοισιν. 221
τῷ νῦν σοι μεν εγω χσεινος φιλος αργεϊ μεσσῳ 224
ημι· συ δ' εν λυκιῃ, hοτε κεν των δημον hικωμαι. 225
ενχεσι δ' αλληλων αλεϝωμεθα και δι' hομιλϝοο·
πολλοι μεν γαρ εμοι τροϝες, κλῆτοι τ' επικουροι,
κτεινεμεν, hον κε θεος γε πορῃ, και ποδσι κιχειω·
πολλοι δ' αϝ σοι αχαιϝοι ενhαιρεμεν, hον κε δυνηαι. 229
hως αρα φωνησαντε, καθ' ιππων αhικσαντε, 232
χειρας τ' αλληλων λαβετην, και επιθτωσαντο. 233
hεκτωρ δ' hως σκαιϝας τε πυλας και φηγον hικανεν, 237
αμφ' αρα μιν τροϝων hαλοχοι θεϝον, ηδε θυγατρες,
ειρομεναι παιδας τε, κασιγνητοϝς τε, hετας τε,
και ποσιας· hο δ' επειτα θεοισ' ευχεσθαι ανωγεν 240
παντσας hεχσειης· πολλῃσι δε κηδε' εφαπτο.
αλλ' hοτε δη πριαμοϝο δομον περικαλλε' hικανεν,
χσεστῃσ' αιθουσῃσι τετυχμενον· αϝταρ εν αϝτῳ
πεντηκοντ' ενεσαν θαλαμοι χσεστοϝο λιθοϝο,
πλησιοι αλληλων δεδμημενοι· ενθα δε παιδες 245
κοιμωντο πριαμοϝο παρα μνηστῃσ' hαλοχοισιν·
κοϝραϝων δ' hετερωθεν εναντιοι ενδοθεν αϝλης
δωδεκ' εσαν τεγεοι θαλαμοι χσεστοϝο λιθοϝο,
πλησιοι αλληλων δεδμημενοι· ενθα δε γαμβροι
κοιμωντο πριαμοϝο παρ' αιδοιῃσ' hαλοχοισιν. 250
ενθα hοι ηπιοδωρος εναντιη ηλυθε μητηρ,
λαϝοδικην εσαγοντσα, θυγατρων ϝειδος αριστην,
εν τ' αρα hοι φῦ χειρι, ϝεπος τ' εφατ', εκ τ' ονομαδσεν·
τεκνον, τιπτε λιπων πολεμον θρασυν ηληλουθας;
η μαλα δη τειροντι δυσωνυμοι hυιες αχαιϝων 255
μαρναμενοι περι ϝαστυ· σε δ' ενθαδε θυϝμος ανhηκεν
ελθοντ', εκς ακρης πολιος διϊ χειρας ανασχεεν.
αλλα μεν', hοφρα κε τοι μελιhηδεα ϝοινον ενενκω,
hως σπενδσῃς διϊ πατρι και αλλοισ' αθανατοισιν
πρωτον· επειτα δε κ' αϝτος ονησεαι, αι κε πιϝῃσθα. 260
ανδρι δε κεκμηῶτι μενος μεγα ϝοινος αhεχσει,
hως τυνη κεκμηκας αμυϝνων σοισιν hετῃσιν.
την δ' ημειβετ' επειτα μεγας κορυθαιϝολος hεκτωρ·
μη μοι ϝοινον αhειρε μελιφρονα, ποτνια μητερ,
μη μ' απογυιωσῃς, μενεος δ' αλκης τε λαθωμαι. 265
χερσι δ' ανιπτοισιν διϊ λειβεμεν αιθοπα ϝοινον

ͱαδσομαι· ουδε πῃ εστι κελαινεφεϊ κρονιϝῶνι Z
ͱαιματι και λυθρῳ πεπαλαγμενον ευχεταεσθαι.
αλλα συ μεν προς ναϝον αθηναιης αγελαϝης
ερχεο συν θυϝεεσιν, ͱαϝολϝισσαντσα γεραϝας·
πεπλον δ', ͱοστις τοι χαριεστατος ηδε μεγιστος
εστιν ενι μεγαρῳ, και τοι πολυ φιλτατος αϝτῃ,
τον θες αθηναιης επι γονϝασιν ῆϋκομοϝο,
και ͱοι ͱυποσχεσθαι δυο και δεκα βοϝς ενι ναϝῳ,
ηνιδας, ακεστας, ͱιερεϝσεμεν, αι κ' ελεησῃ
ϝαστυ τε, και τροϝων ͱαλοχοϝς, και νηπια τεκνα,
αι κεν τυϝδεϝος ͱυιον αποσχῃ ϝιλϝιοϝ ͱιερης,
αγριον αιχμῆτην, κρατερον μηστωρα φοβοϝο.
αλλα συ μεν προς ναϝον αθηναιης αγελαϝης
ερχε'· εγω δε παριν μετελευθσομαι, ͱοφρα καλεσσω,
αι κ' εθελῃ ϝεσποντος ακοϝεμεν· ͱως κεν ͱοι αϝθι
γαια χανοι· μεγα γαρ μιν ολυνπιος ετρεφε πημα
τροϝσι τε, και πριαμῳ μεγαλητορι, τοϝο τε παιδσιν.
ει κεινον γε ϝιδοιμι κατελθοντ' αϝιδος εισῳ,
φαιην κεν φρεν' ατερποϝ οϊδσυος εκλελαθεσθαι.
   ͱως εφαθ'· η δε μολοντσα ποτι μεγαρ', αμφιπολοισιν
κεκλετο· ται δ' αρ' ͱαϝολϝισσαν κατα ϝαστυ γεραϝας.
αϝτη δ' ες θαλαμον κατεβησατο κηῶεντα,
ενθ' εσαν ͱοι πεπλοι, πανποικιλα ϝεργα γυναικων
σιδονιων, τας αϝτος αλεκσανδρος θεοϝειδης
ῆγαγε σιδονιηθεν, επιπλως ευρυα ποντον,
την ͱοδον, ͱην ͱελενην περ ανῆγαγεν ͱευπατερειαν.
των ͱεν' αϝῆραμενη ͱεκαβη φερε δῶρον αθηνῃ,
ͱος καλλιστος εην ποικιλμασιν, ηδε μεγιστος·
αστηρ δ' ͱως απελαμπεν· εκειτο δε νεϝατος αλλων.
βη δ' ιμεναι, πολλαι δε μετεσσεϝοντο γεραϝαι.
   ͱαι δ' ͱοτε ναϝον ͱικανον αθηνης, εν πολι' ακρῃ,
τῇσι θυρας ῶϊγσε θεανω καλλιπαρῃος,
κισσεϝις, ͱαλοχος αντῆνορος ͱιπποδαμοϝο·
την γαρ τροϝες εθῆκαν αθηναιης ͱιερειαν.
ͱαι δ' ολολυγῃ παντσαι αθηνῃ χειρας ανεσχον·
ͱη δ' αρα πεπλον ͱελοντσα θεανω καλλιπαρῃος
θῆκεν αθηναιης επι γονϝασιν ῆϋκομοϝο·
ευχομενη δ' ῆρᾶτο διος κοϝρῃ μεγαλοϝο·
   ποτνι' αθηναιη, ρυϝσιπτολι, διϝα θεαϝων,
ενχος δη ϝαγσον διομηδεος, ηδε και αϝτον
πρηνεα δος πεσεεεν σκαιϝεων προπαροιθε πυλαϝων·
ͱοφρα τοι αϝτικα νῦν δυο και δεκα βοϝς ενι ναϝῳ
ηνιδας, ακεστας, ͱιερεϝσομεν, αι κ' ελεησῃς
ϝαστυ τε, και τροϝων ͱαλοχοϝς, και νηπια τεκνα.
   ͱως ͱαι μεν ρ' ευχοντο διος κοϝρῃ μεγαλοϝο.
ͱεκτωρ δε προς δῶματ' αλεκσανδροϝ εβεβηκεεν

καλα, τα ρ᾽ αϝτος ετευχσε συν ανδρεσιν, ͱοι τοτ᾽ αριστοι
ἦσαν ενι τροϝιῇ εριβῶλακι τεχτονες ανδρες·
ͱοι ͱοι εποιησαν θαλαμον, και δῶμα, και αϝλην,
ενγυθι τε πριαμοϝο και ͱεκτορος εν πολι᾽ ακρῇ.
ενθ᾽ ͱεκτωρ εισηλθε διϊ φιλος· εν δ᾽ αρα χειρι
ενχος ͱεχ᾽ ͱενδεκαπηχυ· παροιθε δ᾽ ελαμπετο δορϝος
αιχμη χαλκειη, περι δε χρυσεος θεϝε πορκης.
τον δ᾽ ͱευρ᾽ εν θαλαμῷ περικαλλεα τευχε᾽ ͱεποντα,
ασπιδα, και θωρηκα, και ανκυλα τοκσ᾽ ͱαφαοντα·
αργειϝη δ᾽ ͱελενη μετ᾽ αρα δμῷῇσι γυναικσιν
ͱηστο, και αμφιπολοισι περικλυτα ϝεργ᾽ εκελεϝεν.
τον δ᾽ ͱεκτωρ νεικεσσε ϝιδων αισχροισι ϝεπεσσιν·
δαιμονι᾽, ου μεν καλα χολον τονδ᾽ ενθεο θυϝμῷ·
λαϝοι μεν φθινυθοντι περι πτολιν, αιπυ τε τειχος,
μαρναμενοι· σεϝο δ᾽ ͱεινεκ᾽ αͱυϝτη τε, πτολεμος τε,
ϝαστυ τοδ᾽ αμφιδεδῆε· συ δ᾽ αν μαχεσαιο και αλλῳ,
ει τινα ποο μεθιͱεντα ϝιδοις στυγεροο πολεμοϝο·
αλλ᾽ ανα, μη ταχα ϝαστυ πυρος δαϝιοϝο θερηται.
τον δ᾽ αϝτε προσεϝεσπεν αλεκσανδρος θεοϝειδης·
ͱεκτορ, επει με κατ᾽ αισαν ενεικεσας, ουδ᾽ ͱυπερ αισαν,
τοονεκα τοι ϝερεω· συ δε συνθεο, και μεϝ ακοϝσον·
ουτοι εγω τροϝων τοσον χολῳ, ουδε νεμεσι,
ͱημην εν θαλαμῷ, εθελον δ᾽ αχεϊ προτραπεσθαι.
νῦν δε με παρϝεσποντσ᾽ ͱαλοχος μαλακοισι ϝεπεσσιν,
ͱορμῆσ᾽ ες πολεμον· δοκεει δε μοι ͱῷδε και αϝτῷ
λαϝιον εσσεσθαι· νικη δ᾽ επαμειβεται ανδρας.
αλλ᾽ αγε νῦν, επιμῆνον, αρεϝια τευχεα δυϝω·
η᾽ ιθ᾽, εγω δε μετειμι· κιχησεσθαι δε σ᾽ οϊϝω.
ͱως φατο· τον δ᾽ ουτι προσεφη κορυθαιϝολος ͱεκτωρ.
τον δ᾽ ͱελενη μυϝθοισι προσηῦϝδαε μειλιχιοισιν·
δαͱερ εμεϝο, κυνος κακομηχανοϝο, κρυοεντσης,
ͱως μ᾽ οφελ᾽ ͱηματι τῷ, ͱοτε με πρῶτον τεκε μητηρ,
οιχεσθαι προφεροντσα κακη ανεμοϝο θυϝελλα
εις ορος, η εις κυϝμα πολυφλοισβοϝο θαλασσης·
ενθα με κυϝμ᾽ αποϝερσε, παρος ταδε ϝεργα γενεσθαι.
αϝταρ επει ταδε γ᾽ ͱῷδε θεοι κακ᾽ ετεκμῆραντο,
ανδρος επειτ᾽ ὤφελλον αμεινονος εεναι ͱακοιτις,
ͱος ϝοιδεε νεμεσιν τε και αισχεα πολλ᾽ ανθρωπων.
τοϝτῳ δ᾽ ουτ᾽ αρ νῦν φρενες ενπεδοι, ουτ᾽ αρ᾽ οπισσῷ
εσσονται· τῷ κεν μιν επαϝρῆσεσθαι οϊϝω.
αλλ᾽ αγε νῦν, εισελθε, και ͱεδσεο τῷδ᾽ επι διφρῷ,
δαͱερ, επει σε μαλιστα πονος φρενας αμφιβεβηκεν.
την δ᾽ ἦμειβετ᾽ επειτα μεγας κορυθαιϝολος ͱεκτωρ·
μη με καθιδσ᾽, ͱελενη, φιλεοντσα περ, ουδε με πειθσεις.
ηδη γαρ μοι θυϝμος επεσσυται, ͱοφρ᾽ επαμυϝνω
τροϝεσιν, ͱοι μεγ᾽ εμεϝο ποθην απεοντος ͱεχοντιν·

αλλα συγ' ορνυθι τοϝτον, επειγεσθω δε και αϝτος,
ͱως κεν μ' εντοσθεν πολιος καταμαρπτσῃ εοντα.
και γαρ εγω ϝοικονδ' εσελευθσομαι, ͱοφρα ϝιδωμαι
ϝοικεϝας, ͱαλοχον τε φιλην, και νηπιον ͱυιον.
ου γαρ ϝοιδ', ει ετι σφιν ͱυποτροπος ͱικσομαι αϝτις,
ἠ' ηδη μ' ͱυπο χερσι θεοι δαμαωντιν αχαιϝων.
ͱως αρα φῶνησανς απεβη κορυθαιϝολος ͱεκτωρ.
αιπσα δ' επειτ' εͱικανε δομοϝς ͱεϋ ναιεταοντας,
ουδ' ͱευρ' ανδρομαχην λεϝκωλενον εν μεγαροισιν·
αλλ' ͱηγε γσυν παιδι και αμφιπολῷ ͱεϋπεπλῷ
πυργῷ εφεστηκεε γοαοντσα τε, μυϝρομενη τε.
ͱεκτωρ δ' ͱως ουκ ενδον αμυμον' ετετμεν ͱακοιτιν,
εστη επ' ουδον ιων, μετα δε δμῷῃσιν εϝεσπεν·
ει δ' αγε, μοι, δμῶαι, νημερτεα μυϝθησασθε·
πῃ εβη ανδρομαχη λεϝκωλενος εκ μεγαροϝο;
ηε πῃ ες γαλαϝων, ἠ' εινατερων ͱεϋπεπλων,
ἠ' ες αθηναιης εκσοιχεται, ενθα περ αλλαι
τροϝιδες ͱευπλοκαμοι δδεινην θεον ͱιλασκονται;
τον δ' αϝτ' οτρηρη ταμιη προς μυϝθον εϝεσπεν·
ͱεκτορ, επει μαλ' ανῶγας αληθεα μυϝθησασθαι,
ουτε πῃ ες γαλαϝων, ουτ' εινατερων ͱεϋπεπλων,
ουτ' ες αθηναιης εκσοιχεται, ενθα περ αλλαι
τροϝιδες ͱευπλοκαμοι δδεινην θεον ͱιλασκονται.
αλλ' επι πυργον εβη μεγαν ϝιλϝιοϝ, ͱοονεκ' ακοϝσεν
τειρεσθαι τροϝας, μεγα δε κρατος εεναι αχαιϝων.
ἦ ρα γυνη ταμιη· ͱο δ' απεσσυτο δῶματος ͱεκτωρ
τὴν αϝτην ͱοδον αϝτις, ͱεϋκτιμενας κατ' αγυιας.
ευτε πυλας εͱικανε, διερχομενος μεγα ϝαστυ,
σκαιϝας, τῃ αρ εμελλε διεκσιεναι πεδιονδε,
ενθ' ͱαλοχος πολυδῶρος εναντιη ηλθε θεϝοντσα,
ανδρομαχη, θυγατηρ μεγαλητορος ηετιϝῶνος·
ηετιϝων, ͱος εναιεν ͱυπο πλακῷ ͱυλϝῄεντσῃ,
θηβῃ ͱυποπλακιῃ, κιλικεσ' ανδρεσι ϝανασσων·
τοο περ δη θυγατηρ ͱεχεθ' εκτορι χαλκοκορυστῃ·
ͱη ͱοι επειτ' ῆντησ', ͱαμα δ' αμφιπολος κιεν αϝτῃ,
παιδ' επι κολπον ͱεχοντσ' αταλαφρονα, νηπιον αϝτως
ͱεκτοριδην αγαπῆτον, αλινκιον αστερι καλῷ·
τον ρ' ͱεκτωρ καλεεσκε καμανδριον, αϝταρ ͱοι αλλοι
ϝαστυϝανακτ'· οιος γαρ ερυϝετο ϝιλϝιον ͱεκτωρ.
ητοι ͱο μεν μειδῆσε ϝιδων ες παιδα σιωπῃ·
ανδρομαχη δε ͱοι ανχι παρͱιστατο δακρυ χεϝοντσα,
εν τ' αρα ͱοι φῦ χειρι, ϝεπος τ' εφατ', εκ τ' ονομαδσεν·
δαιμονιε, φθῖσει σε τεϝον μενος, ουδ' ελεαιρεις
παιδα τε νηπιαχον, και εμ' αμορον, ͱη ταχα χηρη
σεϝ' εσομαι· ταχα γαρ σε κατακτανεοντιν αχαιϝοι,
παντες εφορμῆθεντες· εμοι δε κε κερδιον ειη

σεF' απαμαρτοντσῃ χθονα δυFμεναι· ου γαρ ετ' αλλη Z
εσται θαλπωρη, επει αν συγε ποτμον εφεσπῃς. 412
την δ' αFτε προσεFεσπε μεγας κορυθαιFολος ͱεκτωρ· 440
η και εμοι ταδε παντα μελει, γυναι· αλλα μαλ' αινως
αιδεομαι τροFας και τροFιδας ͱελκεσιπεπλοFς,
αι κε, κακος ͱως, νοσφιν αλυσκαδσω πολεμοFο·
ουδε με θυFμος ανωγεν, επει μαθον εσμεναι εσθλος
αιFει, και πρῶτοισι μετα τροFεσι μαχεσθαι,
ͱαρνυμενος πατερος τε μεγα κλεος, ηδ' εμον αFτοο.
ͱευ μεν γαρ τοδε Fοιδα κατα φρενα και κατα θυFμον,
εσσεται ͱημαρ, ͱοτ' αν ποτ' ολωλῃ FιλFιος ͱιερη,
και πριαμος, και λαFος ͱεϋμελιεο πριαμοFο.
αλλ' ου μοι τροFων τοσον μελει αλγος οπισσῳ,
ουτ' αFτης ͱεκαβης, ουτε πριαμοFο Fανακτος,
ουτε κασιγνῆτων, ͱοι κεν πολυες τε και εσθλοι
εν κονιFῆσι πεσοιεν ͱυπ' ανδρεσι δυσμενεεσιν,
ͱοσον σεF', ͱοτε κεν τις αχαιFων χαλκοχιτῶνων
δακρυFοεντσαν αγηται, ελευθερον ͱημαρ απαFρανς·
και κεν εν αργει εοντσα, προς αλλης ͱιστον ͱυφαινοις·
και κεν ͱυδωρ φορεοις μεσσῆιδος, η' ͱυπερειης,
πολλ' αͱεκαδσομενη· κρατερη δ' επικεισετ' ανανκη·
και ποτε τις Fεσπητι, Fιδων κατα δακρυ χεFοντσαν,
ͱεκτορος ͱηδε γυνη, ͱος αριστεFεσκε μαχεσθαι
τροFων ͱιπποδαμων, ͱοτε FιλFιον αμφ' εμαχοντο.
ͱως ποτε τις Fερεει· σοι δ' αF νεFον εσσεται αλγος
χητεϊ τοιοFοδ' ανδρος, αμυFνεεν δουλιον ͱημαρ.
αλλα με τεθνῆωτα χυτη κατα γαια καλυπτοι,
πριν γε τι σης τε βοης, σεFο θ' ελκηθμοFο πυθεσθαι!
ͱως Fεσπων ͱοFο παιδος ορεγσατο φαιδιμος ͱεκτωρ·
απς δ' ͱο παϊς προς κολπον ͱεϋδσωνοFο τιθηνης
εκλινθη FιFαχων, πατερος φιλοF' οπσιν ατυχθενς,
ταρβησανς χαλκον τ', ηδε λοφον ͱιππιοχαιτην,
δδεινον απ' ακροτατης κορυθος νευοντα νοησανς·
εκ δ' εγελασσε πατηρ τε φιλος, και ποτνια μητηρ.
αFτικ' απο κρᾶτος κορυθ' ͱελλετο φαιδιμος ͱεκτωρ,
και την μεν κατεθῆκεν επι χθονι πανφαναοντσαν.
αFταρ ͱογ' ͱον φιλον ͱυιον επει κυσε, πῆλε τε χερσιν,
Fεσπεν επευχσαμενος διϊ τ', αλλοισιν τε θεοισιν·
δσεF, αλλοι τε θεοι, δοτε δη και τονδε γενεσθαι
παιδ' εμον, ͱως και εγω περ, αριπρεπεα τροFεσιν· 477
και ποτε τις Fεσποι, πατερος γ' ͱοδε πολλον αμεινων, 479
εκ πολεμοF' ανιοντα· φεροι δ' εναρα βροτοεντα,
κτῆνανς δαFιον ανδρα, χαρειη δε φρενα μητηρ.
ͱως Fεσπων ͱαλοχοFο φιλης εν χερσιν εθῆκεν
παιδ' ͱεFον· ͱη δ' αρα μιν κηῶδει εδεχσατο κολπῳ,
δακρυFοεν γελασαντσα· ποσις δ' ελεησε νοησανς,

χειρι τε μιν κατερεχσε, Fεπος τ' εφατ', εκ τ' ονομαδσεν·
δαιμονιη, μη μοι τι λιFην αχαχιδσεο θυFμῷ· Z
ου γαρ τις μ' hυπερ αισαν ανηρ αFιδι προϊαπτσει·
μοιραν δ' ουτινα φημι πεφυγμενον εσμεναι ανδρων,
ου κακον, ουδε μεν εσθλον, επην ταπρῶτα γενηται.
αλλ' εις Fοικον ιοντσα σεF' αFτης Fεργα κομιδσε,
hιστον τ', ηλακατην τε, και αμφιπολοισι κελεFε
Fεργον εποιχεσθαι· πολεμος δ' ανδρεσι μελησει.
hως αρα φῶνησανς κορυθ' hελλετο φαιδιμος hεκτωρ
hιππουριν· hαλοχος δε φιλη Fοικονδ' εβεβηκεεν
εντροπαλιδσομενη, θαλερον κατα δακρυ χεFοντσα.
αιπσα δ' επειτ' εhικανε δομοFς hεΰ ναιεταοντας
hεκτορος ανδροφονοF· εκιχησατο δ' ενδοθι πολλας
αμφιπολοFς, τῇσιν δε γοον παντσῇσιν ενῶρσεν.
ουδε παρις δηθυFνεν εν hυπσηλοισι δομοισιν·
αλλ' hογ', επει κατεδῦ κλυτα τευχεα ποικιλα χαλκῷ,
σσεFσατ' επειτ' ανα Fαστυ, ποσι κραιπνοισι πεποιθως.
hως δ' hοτε τις στατος hιππος, ακοστησανς επι φατνῃ,
δεσμον ατοFρῆγσανς θεFῃ πεδιοFο κροαῖνων,
FεFῶθως λοFεσθαι hεϋρεFος ποταμοFο,
κυFδιαων· hυπσοο δε καρῆ hεχει, αμφι δε χαιται
ωμοισ' αhισσονται· hο δ' αγλαΐηφι πεποιθως,
ριμφα hε γουFα φερει μετα Fηθεα και νομον hιππων·
hως hυϊος πριαμοFο παρις κατα περγαμοF ακρης
τευχεσι πανφαινων, hωστ' ηλεκτωρ, εβεβηκεεν
κανχαλαων, ταχυες δε ποδες φερον· αιπσα δ' επειτα
hεκτορα διFον ετετμεν hαδελφεFον, ευτ' αρ' εμελλεν
στρεφσεσθ' εκ χωρης, hοθι hῇ hοαριδσε γυναικι.
τον προτερος προσεFεσπεν αλεκσανδρος θεοFειδης·
ηθει', η μαλα δη σε και εσσυμενον κατερυκω,
δηθυFνων, ουδ' ηλθον εναισιμον, hως εκελεFες;
τον δ' απαμειβομενος προσεφη κορυθαιFολος hεκτωρ·
δαιμονι', ουκ αν τις τοι ανηρ, hος εναισιμος ειη,
Fεργον ατιFμησειε μαχης, επει αλκιμος εσσι.
αλλα hεκων μεθιhεις τε, και ουκ εθελεις· το δ' εμον κεαρ
αχνυται εν θυFμῷ, hοθ' υπερ σεθεν αισχε' ακοFω
προς τροFων, hοι hεχοντι πολυν πονον hεινεκα σεFο.
αλλ' ιομεν· τα δ' οπισθεν αρεσσομεθ', αι κε ποθι δσεFς
δῷῃ, επουρανιοισι θεοισ' αιFειγενετῃσιν
κρῆτηρα στησασθαι ελευθερον εν μεγαροισιν,
εκ τροFιης ελασαντας hεϋκνημιδας αχαιFοFς.
hως Fεσπων πυλεων εκσεσσυτο φαιδιμος hεκτωρ· H
τῷ δ' hαμ' αλεκσανδρος κι' hαδελφεFος· εν δ' αρα θυFμῷ
αμφοτεροι μεμασαν πολεμιδσεμεν ηδε μαχεσθαι.
hως δε θεος ναFτῇσιν εελδομενοισιν εδῶκεν
ουρον, επῆν κε καμωντιν hεΰχσεστῃσ' ελατῇσιν

ποντον ελαϝνοντες, καματῳ δ' ϝυπο γυια λελῦνται· Η
ϝως αρα τω τροϝεσιν εελδομενοισ' εφανητην.
ενθ' ϝελετην, ϝο μεν ϝυιον αρεϝιθοοϝο ϝανακτος,
αρνῃ ναιεταοντα μενεσθιον, ϝον κορυνητης
γῆνατ' αρεϝιθοϝος και φιλομεδοντσα βοϝῶπις·
ϝεκτωρ δ' ηϊονεϝ εβαλ' ενχεϊ ϝοκσυοεντι
αϝχεν' ϝυπο στεφανης ϝεϋχαλκοϝ· ελυϝσε δε γυια.
γλαϝκος δ', ϝιππολοχοϝο παϊς, λυκιων αγος ανδρων,
ϝῑφινοον βαλε δορϝι, κατα κρατερην ϝυσμινην,
δεχσιαδην, ϝιππων επιϝαλμενον ὠκυιαϝων,
ωμον· ϝο δ' εκς ϝιππων χαμαδις πεσ'· ελῦντο δε γυια.
τοϝς δ' ϝως ὦν ενοησε θεα γλαϝκῶπις αθηνη
αργειϝοϝς ολεκοντας ενι κρατερῃ ϝυσμινῃ,
βη ρα κατ' ολυνποϝο καρηνων αϝικσαντσα
ϝιλϝιον εις ϝιερην· τῃ δ' αντιος ὦρνυτ' απολλων,
περγαμοϝ εκ κατιων, τροϝεσι δ' εβουλετο νικην.
αλληλοισι δε τωγε συναντεσθην παρα φηγῳ.
την προτερος προσεϝεσπε ϝαναкς, διος ϝυιος, απολλων·
τιπτε συ δ' αϝ μεμαϝυια, διος θυγατερ μεγαλοϝο,
ηλθες απ' ολυνποϝο, μεγας δε σε θυϝμος ανϝῆκεν;
αλλ' ει μοι τι πιθοιο, το κεν πολυ κερδιον ειη,
νῦν μεν παϝσωμεν πολεμον και δαϝιοτητα.
τον δ' αϝτε προσεϝεσπε θεα γλαϝκῶπις αθηνη·
ϝῶδ' εστω, ϝεκαϝεργε· τα γαρ φρονεοντσα και αϝτη
ηλθον απ' ολυνποϝο, μετα τροϝας και αχαιϝοϝς·
αλλ' αγε, πως μεμονας πολεμον καταπαϝσεμεν ανδρων;
την δ' αϝτε προσεϝεσπε ϝαναкς, διος ϝυιος, απολλων·
ϝεκτορος ορσωμεν κρατερον μενος ϝιπποδαμοϝο,
ην τινα ποο δαναων προκαλεσσεται οιοθεν οιος
αντιβιον μαχεσασθαι εν αινῃ δαϝιοτητι·
ϝοι δε κ' αγασσαμενοι χαλκοκνημῖδες αχαιϝοι
οιον επορσειαν πολεμιδσεμεν ϝεκτορι διϝῳ.
ϝως εφατ'· ουδ' απιθησε θεα γλαϝκῶπις αθηνη.
των δ' ϝελενος, πριαμοϝο φιλος παις, γσυνθετο θυϝμῳ
βουλην, ϝη ρα θεοισιν εϝανδανε μητιαοντσιν·
στη δε παρ' ϝεκτορ' ιων, και μιν προς μυϝθον εϝεσπεν·
ϝεκτορ, ϝυϊ πριαμοϝο, διϊ μητιν ϝαταλαντε,
η ρα νυ μοι τι πιθοιο; κασιγνῆτος δε τοι ῆμι.
αλλοϝς μεν καθισον τροϝας και παντας αχαιϝοϝς·
αϝτος δε προκαλεσσαι αχαιϝων ϝοστις αριστος,
αντιβιον μαχησασθαι εν αινῃ δαϝιοτητι·
ου γαρ πῳ τοι μοιρα θανεεν και ποτμον εφεσπεεν·
ϝως γαρ εγω ϝοπ' ακοϝσα θεων αιϝειγενεταϝων.
ϝως εφαθ'· εκτωρ δ' αϝτ' εχαρη μεγα, μυϝθον ακοϝσανς·
και ρ' ες μεσσον ιων, τροϝων ανεϝεργε φαλαγγας,
μεσσοϝο δορϝος ϝελων· τοι δ' ϝιδρυνθησαν ϝαπαντες.

κατ δ' αγαμεμνων ͱεσσεν ͱεϋκνημιδας αχαιFοFς· Η
κατ δ' αρ' αθηναιη τε και αργυροτοξος απολλων
ͱεδσεσθην, ορνιχθσι FεFοικοτες αιγυπιοισιν,
φηγῳ εφ' υπσηλῇ πατερος διος αιγιͱοχοFο,
ανδρεσι τερπομενοι· των δε στιχες ͱῆατο πυκναι,
ασπισι και κορυθεσι και ενχεσι πεφρικκυιαι.
ͱοιη δε δσεφυροFο εχεFσατο ποντον επι φριξ
ορνυμενοFο νεFον, μελανει δε τε ποντος ͱυπ' αFτης·
τοιαι αρα στιχες ͱῆατ' αχαιFων τε τρωFων τε
εν πεδιῳ· ͱεκτωρ δε μετ' αμφοτεροισιν εFεσπεν·
κεκλυτε μεο, τρωFες, και ͱεϋκνημιδες αχαιFοι,
ͱοφρα Fεπω τα με θυFμος ενι στηθεσσι κελεFει.
ͱορκια μεν κρονιδης ͱυπσιδσυγος ουκ ετελεσσεν,
αλλα κακα φρονεων τεκμαιρεται αμφοτεροισιν,
εις ͱο κεν η' ͱυμεες τρωFιην ͱεϋπυργον ͱελητε,
η' αFτοι παρα ναFσι δαμειετε ποντοποροισιν.
ͱυμῖν δ' εν γαρ εαντιν αριστεFες παναχαιFων·
των νῦν ͱοντινα θυFμος εμοι μαχεσασθαι ανωγει,
δευρ' ιτω εκ παντων, προμος εσμεναι ͱεκτορι διFῳ.
ͱῷδε γε μυθεομαι, δσεFς δ' αμμ' επι μαρτυρος εστω·
ει μεν κεν εμε κεινος ͱελῃ ταναηκεϊ χαλκῳ,
τευχεα συλFῆσανς, φερετω κοιλας επι ναFας,
σωμα δε Fοικαδ' εμον δομεναι παλιν, ͱοφρα πυρος με
τρωFες και τρωFων ͱαλοχοι λελαχωντι θανοντα.
ει δε κ' εγω τον ͱελω, δῷῃ δε μοι ευχος απολλων,
τευχεα συλFῆσανς, ͱοισω ποτι FιλFιον ͱιερην,
και κρεμαω ποτι ναFον απολλωνος ͱεκατοFο·
τον δε νεκυν επι ναFας ͱεϋσελμοFς αποδωσω,
ͱοφρα ͱε ταρχυFσωντι καρῆκομαοντες αχαιFοι,
σημα τε ͱοι χεFσωντιν επι πλατυ' ͱελλησποντῳ.
και ποτε τις Fεσπῆτι και οπσιγονων ανθρωπων,
ναFι πολυκλεFιδι πλεFων επι Fοινοπα ποντον·
ανδρος μεν τοδε σημα παλαι κατατεθνηῶτος,
ͱον ποτ' αριστεFοντα κατεκτανε φαιδιμος ͱεκτωρ.
ͱως ποτε τις Fερεει· το δ' εμον κλεος ου ποτ' ολεεται.
ͱως εφαθ'· οι δ' αρα παντες ακην εγενοντο σιωπῇ·
αιδεσθεν μεν αῆνασθαι, δδειδσαν δ' ͱυποδεχθαι.
οπσε δε δη μενελαFος ανͱιστατο, και μετεFεσπεν·
ω μοι, απειλητηρες, αχαιFιδες, ουκετ' αχαιFοι!
η μεν δη λωβη ταδε γ' εσσεται αινοθεν αινως,
ει μη τις δαναων νῦν ͱεκτορος αντιος ειτιν.
αλλ' ͱυμεες μεν παντες ͱυδωρ και γαια γενοισθε,
ͱημενοι αFθι ͱεκαστοι ακεαριοι, ακλεες αFτως·
τῷδε δ' εγων αFτος θωρηκσομαι· αFταρ ͱυπερθεν
νικης πειραθ' εχονται εν αθανατοισι θεοισιν.
ͱως αρα φωνησανς κατεδυFσατο τευχεα καλα.

ενθα κε τοι, μενελαϝ, εφανη βιϝοτοϝο τελεϝτη, 104
ει μη αναͱικσαντες ͱελον βασιλεϝες αχαιϝων· 106
αϝτος τ᾽ ατρεϝιδης, ευρυ κρεϝων αγαμεμνων, H
δεχσιτερης ͱελε χειρος, ϝεπος τ᾽ εφατ᾽, εκ τ᾽ ονομαδσεν·
αφραινεις, μενελαϝε διοτρεφες· ουδε τι σε χρη
ταϝτης αφροσυνης· ανα δ᾽ ͱισχεο, κηδομενος περ, 110
μηδ᾽ εθελ᾽ εκς εριδος σεϝ αμεινονι φῶτι μαχεσθαι· 111
και δ᾽ αχιλεϝς τοϝτῷ γε μαχῇ ενι κυϝδιανειρῇ 113
ρερῖγ᾽ αντιβολησ᾽, ͱοσπερ σεϝο πολλον αμεινων.
αλλα συ μεν νῦν ͱιδσε᾽, ιων μετα ϝεθνος ͱεταιρων· 115
τοϝτῷ δε προμον αλλον αναστησοντιν αχαιϝοι. 116
ͱως ϝεσπων παρεπειθσεν αδελφεϝοϝο φρενας ͱηρως, 120
αισιμα παρϝεσπων· ͱο δ᾽ επειθετο. τοο μεν επειτα
γηθοσυνοι θεραποντες απ᾽ ωμων τευχε᾽ ͱελοντο.
νεστωρ δ᾽ αργειϝοισιν ανͱιστατο, και μετεϝεσπεν·
ω ποποι! η μεγα πενθος αχαιϝιδα γαιαν ͱικανει·
η κε μεγ᾽ οιμωγσειε γερων ͱιππηλατα πηλεϝς, 125
εσθλος μυρμιδονων βουληφορος ηδ᾽ αγορεϝτης,
ͱος ποτε μ᾽ ειρομενος μεγ᾽ εγηθε᾽ ͱεϝῷ ενι ϝοικῷ,
παντων αργειϝων ϝερεων γενεην τε τοκον τε.
τοϝς νῦν ει πτῶσσοντας ͱυφ᾽ εκτορι παντας ακοϝσαι,
πολλα κεν αθανατοισι φιλας ανα χειρας αͱῆραι, 130
θυϝμον απο μελεων δυϝναι δομον αϝιδος εισῷ.
αι γαρ, δσεϝ τε πατερ, και αθηναιη, και απολλον,
ͱηβεοιμ᾽, ͱως ͱοτ᾽ επ᾽ ῶκυροϝῷ κελαδοντ᾽ εμαχοντο
αγρομενοι πυλιοι τε και αρκαδες ενχεσιμῶροι,
φειας παρ τειχεσσιν, ιαρδανοϝ αμφι ρεϝεθρα· 135
τοισι δ᾽ ερευθαλιϝων προμος ͱιστατο, ϝεισϝοθεος φῶς,
τευχε᾽ ͱεχων ωμοισιν αρεϝιθοϝοϝο ϝανακτος·
διϝοϝ αρεϝιθοϝοο, τον επικλῆσιν κορυνητην
ανδρες κικλῆσκον, καλλιδσωνοι τε γυναικες,
ͱοονεκ᾽ αρ᾽ ου τοκσοισι μαχεσκετο δορϝι τε μακρῷ, 140
αλλα σιδηρειῇ κορυνῇ ϝρῆγνυσκε φαλαγγας. 141
τοϝ ͱογε τευχε᾽ ͱεχων προκαλιδσετο παντας αριστοϝς· 150
ͱοι δε μαλ᾽ ετρομεον και εδεδδισαν, ουδε τις ετλῆ·
αλλ᾽ εμε θυϝμος ανͱῆκε πολυτλῆμων πολεμιδσεεν
θαρσει ͱεϝῷ γενεῇ δε νεϝωτατος εσκον ͱαπαντων·
και μαχομην ͱοι εγω, δῶκεν δε μοι ευχος αθηνη.
τον δη μηκιστον και καρτιστον κτανον ανδρα· 155
πολλος γαρ τις εκειτο παρῆͱορος ενθα και ενθα.
ειθ᾽ ͱως ͱηβαϝοιμι, βιη δε μοι ενπεδος ειη,
τῷ κε ταχ᾽ αντησειε μαχης κορυθαιϝολος ͱεκτωρ.
ͱυμεων δ᾽ ͱοιπερ εαντιν αριστεϝες παναχαιϝῶν,
ουδ᾽ ͱοι προφρονεως μεμαθ᾽ εκτορος αντιον ελθεεν! 160
ͱως νεικεσσ᾽ ͱο γερων· ͱοι δ᾽ ͱεννεα παντες ανεσταν.
ῶρτο πολυ πρῶτος μεν ϝανακς ανδρων αγαμεμνων·

τῷ δ' επι τυϝδεϝιδης ὦρτο κρατερος διομηδης· H
τοισι δ' επ' αιϝαντες, θοϝριν επιϝεσμενοι αλκην·
τοισι δ' επ' ιδομενεϝς, και οπαϝων ιδομενεϝος·
τοισι δ' επ' ευρυπυλος, hεϋhαιμονος αγλαϝος hυιος·
αν δε θοϝανς ανδραιμονιδης, και διϝος hοδυσσεϝς.
παντες αρ' hοιγ' εθελον πολεμιδσεμεν hεκτορι διϝῳ.
τοις δ' αϝτις μετεϝεσπε γερηνιος hιπποτα νεστωρ·
κλῆρῳ νῦν πεπαλαχθε διανπερες, hος κε λαχητιν·
hοϝτος γαρ δη ονησει hεϋκνημιδας αχαιϝοϝς·
και δ' αϝτος hον θυϝμον ονησεται, αι κε φυγητιν
δαϝιοϝ' εκ πολεμοϝο και αινης δαϝιοτητος.
hως εφαθ'· οι δε κλῆρον εσημῆναντο hεκαστος,
εν δ' εβαλον κυνεῇ αγαμεμνονος ατρεϝιδαϝο.
λαϝοι δ' ῆρῆσαντο, θεοισι δε χειρας ανεσχον·
hῷδε δε τις ϝεσπεσκε, ϝιδων εις ουρανον ευρυν·
δσεϝ πατερ, η' αιϝαντα λαχεεν, η τυϝδεϝος hυιον,
η' αϝτον βασιλεϝα πολυχρυσοϝο μυκηνης!
hως αρ' εφαν· παλλεν δε γερηνιος hιπποτα νεστωρ·
εκ δ' εθορε κλῆρος κυνεης, hον αρ' ηθελον αϝτοι,
αιϝαντος· κηρυκς δε, φερων αν' hομιλϝον hαπαντῇ,
δεικσ' ενδεχσια παντσιν αριστεϝεσιν αχαιϝων·
hοι δ' ου γιγνῶσκοντες απηῆναντο hεκαστος·
αλλ' hοτε δη τον hικανε, φερων αν' hομιλϝον hαπαντῇ,
hος μιν επιγραπτσανς κυνεῇ βαλε φαιδιμος αιϝανς,
ητοι hυπεσχεθε χειρ'· hο δ' αρ' ενβαλεν, ανχι παραστανς·
γνῶ δε κλῆροϝο σημα ϝιδων, γηθησε δε θυϝμῷ.
τον μεν παρ ποδ' hεϝον χαμαδις βαλ', εφωνησεν τε·
ω φιλοι, ητοι κλῆρος εμος, χαιρω δε και αϝτος
θυϝμῷ· επει δοκεω νικῆσεμεν hεκτορα διϝον.
αλλ' αγεθ', οφρ' αν εγω πολεμῆια τευχεα δυϝω,
τοφρ' hυμεες ευχεσθε διϊ κρονιϝῶνι ϝανακτι.
hως εφαθ'· οι δ' ευχοντο διϊ κρονιϝῶνι ϝανακτι.
hῷδε δε τις ϝεσπεσκε, ϝιδων εις ουρανον ευρυν·
δσεϝ πατερ, ιδηθεν μεδεων, κυϝδιστε, μεγιστε,
δος νικην αιϝαντι και αγλαϝον ευχος hαρεσθαι·
ει δε και hεκτορα περ φιλεεις, και κηδεαι αϝτοο,
ϝεισϝην αμφοτεροισι βιην και κυϝδος οπασσον.
hως αρ' εφαν· αιϝανς δ' εκορυσσετο νωροπι χαλκῷ.
αϝταρ επειδη παντα περι χρο' εϝεσσατο τευχεα,
σσεϝσατ' επειθ', οιος τε πελωριος ερχεται αρεϝς,
hος τ' ειτιν πολεμονδε μετ' ανερας, hοϝστε κρονιϝων
θυμοβοροϝ εριδος μενεϊ γσυνεhῆκε μαχεσθαι.
τοιος αρ' αιϝανς ὦρτο πελωριος, hερκος αχαιϝων,
μειδιαων βλοσυροισι προσῶπασι· νερθε δε ποδσιν
ηϊε μακρα βιβανς, κραδαων δολιχοσκιον ενχος.
τον δε και αργειϝοι μεγ' εγηθεον εισhοραοντες·

τρωϝας δε τρομος αινος ͱυπηλυθε γυια ͱεκαστον, 215
ͱεκτορι τ᾽ αϝτῳ θυϝμος ενι στηθεσσ᾽ επατασσεν· 216
αιϝανς δ᾽ εγγυθεν ηλθε, φερων σακος, ηΰτε πυργον, 219
χαλκεον, ͱεπταβοϝειον, ͱο ͱοι τυχιος καμε τευχων, 220
σκυτοτομων ͱοχ᾽ αριστος, εν ͱυλϝῃ ϝοικια ναιων· H
ͱος ͱοι εποιησεν σακος αιϝολον, ͱεπταβοϝειον,
ταυρων δσατρεφεων, επι δ᾽ ͱογδοον ηλασε χαλκον.
το προσθε στερνοϝο φερων τελαμωνιος αιϝανς
στη ρα μαλ᾽ ͱεκτορος εγγυς, απειλησανς δε προσηῦϝδα· 225
ͱεκτορ, νῦν μεν δη σαφα ϝειδσεαι οιοθεν οιος,
ͱοιοι και δαναοισιν αριστεϝες μετεαντιν,
και μετ᾽ αχιλλεϝα ϝρῆγσῆνορα, θυϝμολεϝοντα. 228
τον δ᾽ αϝτε προσεϝεσπε μεγας κορυθαιϝολος ͱεκτωρ· 233
αιϝαν διϝογενες, τελαμωνιε, κοιρανε λαϝων,
μη τι μεϝ, ηΰτε παιδος αφαϝροϝο, πειρητιδσε, 235
ηε γυναικος, ͱη ουκ ϝοιδεν πολεμῆϊα ϝεργα·
αϝταρ εγων ͱεῦ ϝοιδα μαχας τ᾽, ανδροκτασιας τε. 237
ῆ ρα, και ανπεπαλων προͱιͱεε δολιχοσκιον ενχος, 244
και βαλεν αιϝαντος δδεινον σακος ͱεπταβοϝειον, 245
ακροτατον κατα χαλκον, ͱος ͱογδοος ῆεν επ᾽ αϝτῳ.
ͱεκς δε δια πτυχας ηλθε δαϝιδσων χαλκος ατειρης·
εν τῇ δ᾽ ͱεβδοματῃ ϝρῖνῷ σχετο. δεϝτερος αϝτε
αιϝανς διϝογενης προͱιͱεε δολιχοσκιον ενχος,
και βαλε πριαμιδαϝο κατ᾽ ασπιδα παντοσε ϝεισϝην. 250
δια μεν ασπιδος ηλθε φαϝεινης οβριμον ενχος,
και δια θωρηκος πολυδαιδαλοϝ ηρηρειδστο. 252
τω δ᾽ εκσπασσαμενω δολιχ᾽ ενχεα χερσιν ͱαμ᾽ αμφω 255
γσυν ρ᾽ επεσον, λεϝοντσι ϝεϝοικοτες ωμοφαγοισιν,
η συσι καπροισιν, των τε σθενος ουκ αλαπαδνον.
πριαμιδης μεν επειτα μεσον σακος ουτασε δορϝι,
ουδ᾽ εϝρῆγσεν χαλκον, ανεγναμφθη δε ͱοι αιχμη.
αιϝανς δ᾽ ασπιδα νυκσεν εφαλμενος· ͱη δε δια προ 260
ηλυθεν ενχειη· στυφελικσε δε μιν μεμαϝῶτα·
τμῆδην δ᾽ αϝχεν᾽ επηλθε· μελαν δ᾽ ανεκηκιεν ͱαιμα.
αλλ᾽ ουδ᾽ ͱως απεληγε μαχης κορυθαιϝολος ͱεκτωρ·
αλλ᾽ αναχασσαμενος λιθον ͱελλετο χειρι παχυιῇ,
κειμενον εν πεδιῳ, μελανα, τρῆχυν τε, μεγαν τε· 265
τῷ βαλεν αιϝαντος δδεινον σακος ͱεπταβοϝειον,
μεσσον επομφαλιον· περιϝηχησεν δ᾽ αρα χαλκος.
δεϝτερος αϝτ᾽ αιϝανς πολυ μειδσονα λαϝαν αϝῆρανς,
ͱῆκ᾽ επιδινεϝσανς, επερειδσε δε ϝῖν᾽ απελεθρον·
εισῷ δ᾽ ασπιδ᾽ εϝανγσε, βαλων μυλοϝειδεῖ πετρῳ· 270
βλαπτσε δε ͱοι φιλα γουϝαθ᾽· ο δ᾽ ͱυπτιος εκσετανυσθη,
ασπιδ᾽ ενι χριμφθενς· τον δ᾽ αιπσ᾽ ὧρθῶσεν απολλων.
και νυ κε δη χσιφεεσ᾽ αϝτοσχεδον ουταδσοντο,
ει μη κηρῦκες, διος ανγελοι ηδε και ανδρων,

ηλθον, hο μεν τροFων, hο δ' αχαιFων χαλκοχιτώνων,
ταλθυβιος τε και ιδαιος, πεπνυμενω αμφω· H
μεσσῳ δ' αμφοτερων σκηπτρα σχεθον· Fεσπε τε μυFθον
κηρυκς ιδαιος πεπνυμενα μηδεα Fειδως·
μηκετι, παιδε φιλω, πολεμιζετε, μηδε μαχεσθον·
αμφοτερω γαρ σφοFι φιλει νεφεληγερετα ζεFς·
αμφω δ' αιχμῆτα· τογε δη και Fιδμεν hαπαντες.
νυκς δ' ηδη τελεθει, αγαθον και νυκτι πιθεσθαι.
τον δ' απαμειβομενος προσεφη τελαμωνιος αιFανς·
ιδαι', hεκτορα ταFτα κελεFετε μυFθησασθαι·
αFτος γαρ χαρμῃ προκαλεσσατο παντας αριστοFς.
αρχετω· αFταρ εγω μαλα πεισομαι, hῇπερ αν hοFτος.
τον δ' αFτε προσεFεσπε μεγας κορυθαιFολος hεκτωρ·
αιFαν, επει τοι εδῶκε θεος μεγαθος τε βιην τε,
και πινυτην, περι δ' ενχει αχαιFων φερτατος εσσι,
νῦν μεν παFσωμεσθα μαχης και δαFιοτητος,
σημερον· hυστερον αFτε μαχησομεθ', εις hο κε δαιμων
αμμε διακρῖνῃ, δῶῃ δ' hετεροισι γε νικην·
hως συ hεϋφρῆνῃς παντας παρα ναFσιν αχαιFοFς·
αFταρ εγω κατα Fαστυ μεγα πριαμοFο Fανακτος
τροFας hεϋφρανεω και τροFιδας hελκεσιπεπλοFς·
hαιτε μοι ευχομεναι θειον δυFονται αγῶνα.
δῶρα δ', αγ', αλληλοισι περικλυτα δῶομεν αμφω,
hοφρα τις hῷδε Fεπητιν αχαιFων τε τροFων τε·
η μεν εμαρνασθην εριδος περι θυFμοβοροFο,
ηδ' αFτ' εν φιλοτητι διετμαγεν αρθμησαντε.
hως αρα φῶνησανς δωκε χσιφος αργυροhηλον,
γσυν κολεῷ τε φερων και hεϋτμῆτῳ τελαμῶνι·
αιFανς δε ζωστηρ' εδιδῶ φοινικι φαFεινον.
τω δε διακρινθεντε, hο μεν μετα λαFον αχαιFων
ηϊ', hο δ' ες τροFων hομαδον κιε· τοι δ' εχαρησαν
hως Fειδον ζωFον τε και αρτεμεα προσιοντα,
αιFαντος προφυγοντα μενος και χειρας ααπτοFς·
και ρ' ῆγον προτι Fαστυ, αhελποντες σαον εεναι.
αιFαντ' αFθ' ετερωθεν hεϋκνημῖδες αχαιFοι
εις αγαμεμνονα διFον αγον κεχαρῆοτα νικῃ.
hοι δ' hοτε δη κλισιῇσιν εν ατρεFιδαF' εγενοντο,
τοισι δε βοFν hιερεFσε Fαναξ ανδρων αγαμεμνων
αρσενα, πενταFετηρον, hυπερμενεϊ κρονιFῶνι·
τον δερον, αμφι θ' επον, και μιν διεχεFσαν hαπαντα,
μιστυλλον τ' αρ' επισταμενως, πῆραν τ' οβελοισιν,
ῶπτῆσαν τε περιφραδεως, Fερυσαντο τε παντα.
αFταρ επει παFσαντο πονοο, τετυχοντο τε δαιτα,
δαινῦντ', ουδε τι θυFμος εδεFετο δαιτος Fεϊσϝης.
νωτοισιν δ' αιFαντα διηνεκεεσ' εγεραιρεν
hηρως ατρεFιδης, ευρυ κρεFων αγαμεμνων.

αϝταρ επει ποσιος και εδητυος εκς ερον ͱεντο, Η
τοισ' ͱο γερων πανπρωτος ͱυφαινεεν ἠρχετο μητιν
νεστωρ, ͱοο και προσθεν αριστη εφαινετο βουλη·
ͱο σφιν ͱεϋφρονεων αγορεϝσατο, και μετεϝεσπεν·
ατρεϝιδη τε, και αλλοι αριστεϝες παναχαιϝων,
πολλοι γαρ τεθναντι καρῆκομαοντες αχαιϝοι,
των νῦν ͱαιμα κελαινον ͱεϋροϝον αμφι καμανδρον
εσκεδασ' ͱοκσυς αρεϝς, πσυϝχαι δ' αϝιδοσδε κατηλθον.
τῷ σε χρη πολεμον μεν ͱαμ' ἠοῖ παϝσαι αχαιϝων,
αϝτοι δ' αγρομενοι κυκλησομεν ενθαδε νεκροϝς
βοϝσι και ͱημιονοισιν· αταρ κατακῆομεν αϝτοϝς.
τυμβον δ' αμφι πυρην ͱενα χεϝσομεν εκσαγαγοντες,
ακριτον εκ πεδιοο· ποτι δ' αϝτον δημομεν ὦκα
πυργοϝς ͱυπσηλοϝς, ϝελϝαρ ναϝων τε και αϝτων.
εν δ' αϝτοισι πυλας ποιησομεν ͱευ αραρυιας,
ͱοφρα δι' αϝταϝων ͱιππηλασιη ͱοδος ειη·
εκτοσθεν δε βαθυιαν ορυκσομεν ενγυθι ταφρον,
ͱη χ' ιπποϝς και λαϝον ερυκακοι αμφις εοντσα,
μη ποτ' επιβριθσῃ πολεμος τροϝων αγερωχων.
ͱως εφαθ'· οι δ' αρα παντες επῄνησαν βασιλεϝες.
τροϝων αϝτ' αγορη γ' ἠν ϝιλϝιοϝ εν πολι' ακρῃ,
δδειλη, τετρῆχυια, παρα πριαμοϝο θυρῃσιν·
τοισιν δ' αντῆνωρ πεπνυμενος ἠρχ' αγορεϝεεν·
κεκλυτε μεο, τροϝες, και δαρδανοι, ηδ' επικουροι,
ͱοφρα ϝεπω τα με θυϝμος ενι στηθεσσι κελεϝει.
δευτ' αγετ', αργειϝην ͱελενην και κτημαθ' αμ' αϝτῃ
δῶομεν ατρεϝιδῃσιν αγεεν· νῦν δ' ͱορκια πιθτα
πσευδσαμενοι μαχομεσθα· τῷ ου νυ τι κερδιον ͱημῖν.
ητοι ͱογ' ͱως ϝεσπων κατ' αρ' ͱεδσετο· τοισι δ' ανεστη
διϝος αλεκσανδρος, ͱελενης ποσις ἠϋκομοϝο·
ͱος μιν αμειβομενος ϝεπεα πτεροεντα προσῃυϝδα·
αντῆνορ, συ μεν ουκ ετ' εμοι φιλα ταϝτ' αγορεϝεις·
ϝοιδσθα και αλλον μυϝθον αμεινονα τοοδε νοησαι·
ει δ' ͱετεον δη τοϝτον απο σπουδης αγορεϝεις,
εκς αρα δη τοι επειτα θεοι φρενας ὠλεσαν αϝτοι.
αϝταρ εγω τροϝεσι μεθ' ιπποδαμοισ' αγορεϝσω·
αντικρυς δ' αποφημι, γυναικα μεν ουκ αποδῶσω·
κτηματα δ', ͱοσ' αγομην εκς αργεος ͱημετερον δῶ,
παντ' εθελω δομεναι, και ϝοικοθεν αλλ' επιθεεναι.
ητοι ͱογ' ͱως ϝεσπων κατ' αρ' ͱεδσετο· τοισι δ' ανεστη
δαρδανιδης πριαμος, θεοφιν μηστωρ ͱαταλαντος·
ͱος σφιν ͱεϋφρονεων αγορεϝσατο, και μετεϝεσπεν·
κεκλυτε μεο, τροϝες, και δαρδανοι, ηδ' επικουροι,
ͱοφρα ϝεπω τα με θυϝμος ενι στηθεσσι κελεϝει.
νῦν μεν δορπον ͱελεσθε κατα πτολιν, ͱως το παρος περ,
και φυλακης μνῆσασθε, και εγρηγορθε ͱεκαστος·

ῆοαθεν δ' ιδαιος ιτω κοιλας επι ναϝας, Η
ϝεσπεμεν ατρεϝιδῃσ', αγαμεμνονι και μενελαϝῳ,
μυϝθον αλεκσανδροϝο, τοϝ' ͱεινεκα νεικος ορωρεν·
και τοδε ϝεσπεμεναι πυκινον ϝεπος, αι κ' εθελωντιν
παϝσασθαι πολεμοϝο δυσϝηχεος, εις ͱο κε νεκροϝς
κῆομεν· ͱυστερον αϝτε μαχησομεθ', εις ͱο κε δαιμων
αμμε διακρῖνῃ, δῶῃ δ' ͱετεροισι γε νικην.
ͱως εφαθ'· οι δ' αρα τοο μαλα μεν κλυϝον, ηδ' επιθοντο.
ῆοαθεν δ' ιδαιος εβη κοιλας επι ναϝας.
τοϝς δ' ͱευρ' ειν αγορῃ δαναοϝς, θεραποντας αρεϝος,
ναϝι παρα πρυμνῃ αγαμεμνονος· αϝταρ ͱο τοισιν,
στανς εν μεσσοισιν, μετεφῶνεεν ηπυτα κηρυκς·
ατρεϝιδαι τε, και αλλοι αριστεϝες παναχαιϝων,
ῆνωγεν πριαμος τε, και αλλοι τροϝες αγαϝοι,
ϝεσπεμεν, αι κε περ υμμι φιλον και ͱηδυ γενοιτο,
μυϝθον αλεκσανδροϝο, τοϝ' ͱεινεκα νεικος ορωρεν·
κτηματα μεν ͱοσ' αλεκσανδρος κοιλῃσ' ενι ναϝσιν
ῆγαγετο τροϝιηνδ', ͱως πριν ὤφελλ' απολεσθαι!
παντ' εθελει δομεναι, και ϝοικοθεν αλλ' επιθεεναι·
κοϝριδιην δ' ͱαλοχον μενελαϝοϝο κυϝδαλιμοϝο
ου φητιν δῶσεεν· η μην τροϝες γε κελονται.
και δε τοδ' ῆνωγον ϝεσπεεν ϝεπος, αι κ' εθεληντε
παϝσασθαι πολεμοϝο δυσϝηχεος, εις ͱο κε νεκροϝς
κῆομεν· ͱυστερον αϝτε μαχησομεθ', εις ͱο κε δαιμων
αμμε διακρῖνῃ, δῶῃ δ' ͱετεροισι γε νικην.
ͱως εφαθ'· οι δ' αρα παντες ακην εγενοντο σιωπῃ.
οψε δε δη μετεϝεσπε βοην αγαθος διομηδης·
μητ' αρ τις νῦν κτηματ' αλεκσανδροϝο δεχεσθω,
μηθ' ελενην· γνῶτον δε, και ͱος μαλα νηπιος εστιν,
ͱως ηδη τροϝεσιν ολεθροϝο πειρατ' εφαπται.
ͱως εφαθ'· οι δ' αρα παντες εϝιϝαχον ͱυιες αχαιϝων,
μυϝθον αγασσαμενοι διομηδεος ͱιπποδαμοϝο.
και τοτ' αρ' ιδαιον προσεφη κρεϝων αγαμεμνων·
ιδαι', ητοι μυϝθον αχαιϝων αϝτος ακοϝεις,
ͱως τοι ͱυποκρινονται· εμοι δ' επιϝανδανει ͱοϝτως·
αμφι δε νεκροισιν, κατακῆεμεν ουτι μεγαιρω·
ου γαρ τις φειδω νεκυων κατατεθνῆῶτων
γιγνετ', επει κε θανωντι, πυρος μειλισσεμεν ὦκα·
ͱορκια δε δσεϝς ϝιδστω εριγδουπος, ποσις ͱηρης.
ͱως ϝεσπων το σκηπτρον ανεσχεθε πανσι θεοισιν·
αψοροϝον δ' ιδαιος εβη ποτι ϝιλϝιον ͱιερην.
ͱοι δ' ͱεατ' ειν αγορῃ τροϝες και δαρδανιϝῶνες,
παντες ͱομῆγερεες, ποτιδεχμενοι ͱοποτ' αρ ελθοι
ιδαιος· ͱο δ' αρ' ηλθε και αγγελιην απεϝεσπεν,
στανς εν μεσσοισιν· τοι δ' ͱοπλιδσοντο μαλ' ὦκα,
αμφοτερον, νεκυας τ' αγεμεν, ͱετεροι δε μεθ' υλϝην.

Η

αργειϝοι δ᾽ ͱετερωθεν ͱεϋσελμων απο ναϝων
ὤτρυϝνοντο νεκυας τ᾽ αγεμεν, ͱετεροι δε μεθ᾽ υλϝην.
ἤελιος μεν επειτα νεϝον προσεβαλλεν αροϝρας,
εκς ακαλαρεϝταϝο βαθυροϝοϝ ωκεανοϝο
ουρανον εισανιων· ͱοι δ᾽ ἤντεον αλληλοισιν.
ενθα διαγνῶναι χαλεπως ἦν ανδρα ͱεκαστον·
αλλ᾽ ͱυδατι νιδσοντες απο βροτον ͱαιματοεντα,
δακρυϝα θερμα χεϝοντες, ͱαμαγσαϝων επαͱῆραν·
ουδ᾽ εϝαε κλαϝεεν πριαμος μεγας· ͱοι δε σιωπῇ
νεκροϝς πυρκαϝιης επεναϝεον, αχνυμενοι κεαρ·
εν δε πυρι πρηθσαντες εβαν ποτι ϝιλϝιον ͱιερην.
ͱως δ᾽ αϝτως ͱετερωθεν ͱεϋκνημιδες αχαιϝοι
νεκροϝς πυρκαϝιης επεναϝεον, αχνυμενοι κεαρ·
εν δε πυρι πρηθσαντες εβαν κοιλας επι ναϝας.
ημος δ᾽ ουτ᾽ αρ πω ἦως, ετι δ᾽ αμφιλυκη νυκς,
τημος αρ᾽ αμφι πυρην κριτος εγρετο λαϝος αχαιϝων·
τυμβον δ᾽ αμφ᾽ αϝτην ͱεν᾽ εποιεον εκσαγαγοντες,
ακριτον εκ πεδιοο· ποτι δ᾽ αϝτον τειχος εδῆμαν,
πυργοϝς θ᾽ υπσηλοϝς, ϝελϝαρ ναϝων τε και αϝτων.
εν δ᾽ αϝτοισι πυλας ενεποιεον ͱευ αραρυιας,
ͱοφρα δι᾽ αϝταϝων ͱιππηλασιη ͱοδος ειη·
εκτοσθεν δε βαθυιαν επ᾽ αϝτῷ ταφρον ορυκσαν,
ευρυιαν, μεγαλην· εν δε σκολοπας κατεπηγσαν.
δυϝσατο δ᾽ ἤελιος, τετελεστο δε ϝεργον αχαιϝων·
βοϝφονεον δε κατα κλισιας, και δορπον ͱελοντο.
ναϝες δ᾽ εκ λημνοϝο παρεσταν, ϝοινον αγοντσαι,
πολλαι, τας προεͱηκεν ιησονιδης ͱεϋναϝος,
τον ρ᾽ ετεχ᾽ υπσιπυλη ͱυπ᾽ ιησονι, ποιμενι λαϝων.
χωρις δ᾽ ατρεϝιδῃσ᾽, αγαμεμνονι και μενελαϝῳ,
δῶκεν ιησονιδης αγεμεν μεθυ, χιλια μετρα.
ενθ᾽ αρα ϝοινιδσοντο καρῆκομαοντες αχαιϝοι,
αλλοι μεν χαλκῷ, αλλοι δ᾽ αιθωνι σιδηρῳ,
αλλοι δε ϝρινοις, αλλοι δ᾽ αϝτοισι βοϝεσιν.
παννυχιοι μεν επειτα καρῆκομαοντες αχαιϝοι
δαινῦντο, τροϝες δε κατα πτολιν ηδ᾽ επικουροι.
παννυχιος δε σφιν κακ᾽ εμηδετο μητιετα δσεϝς,
σμερδαλεα κτυπεων· τοϝς δε χλωρον δδεος ͱαιρεεν·
ϝοινον δ᾽ εκ δεπαων χαμαδις χεϝον, ουδε τις ετλῆ
πιϝεμεναι, πριν λειβσαι ͱυπερμενεϊ κρονιϝῶνι.
κοιμῆσαντ᾽ αρ᾽ επειτα, και ͱυπνοϝο δῶρον ͱελοντο.

Θ

ἦως μεν κροκοπεπλος εκιδνατο παντσαν επ᾽ αιαν,
δσεϝς δε θεων αγορην ποιησατο τερπικεραυνος
ακροτατῃ κορυφῇ πολυδειραδος ολυνποϝο·
αϝτος δε σφ᾽ αγορεϝε, θεοι δ᾽ ͱυπο παντες ακοϝον·
κεκλυτε μεο, παντες τε θεοι, παντσαι τε θεαιναι,
ͱοφρα ϝεπω τα με θυϝμος ενι στηθεσσι κελεϝει·

μητε τις ῶν θηλυια θεος τογε, μητε τις αρσην Θ
πειραετω διακερσαι εμον ϝεπος· αλλ' ͱαμα παντες
αινεεθ', οφρα ταχιστα τελεϝτῆσω ταδε ϝεργα.
ͱον δ' αν εγων απανευθε θεων εθελοντα νοησω
ελθοντ', η τροϝεσιν αρηγεμεν, η δαναοισιν,
πληγευς ου κατα κοσμον ελευθσεται ολυνπονδε·
η μιν ͱελων ϱιπτσω ες ταρταρον ῆεροεντα,
τηλε μαλ', ͱῆχι βαθιστον ͱυπο χθονος εστι βερεθρον,
ενθα σιδηρειαι τε πυλαι και χαλκεος ουδος,
τοσον ενερθ' αϝιδαϝ, ͱοσον ουρανος εστ' απο γαιης·
γνῶσετ' επειθ', οσον ῆμι θεων καρτιστος ͱαπαντων.
ει δ', αγε, πειϱῆσασθε θεοι, ͱινα ϝῆδετε παντες,
σειρην χρυσειην εκς ουρανοθεν κρεμασαντες,
παντες δ' εκσͱαπτεσθε θεοι, παντσαι τε θεαιναι·
αλλ' ουκ αν ϝερυσαιτ' εκς ουρανοθεν πεδιονδε
δσῆν' ͱυπατον μηστωρ', ουδ' ει μαλα πολλα καμοιτε.
αλλ' ͱοτε δη και εγω προφρων εθελοιμι ϝερυσσαι,
αϝτῇ κεν γαιῇ ϝερυσαιμ', αϝτῇ τε θαλασσῇ·
σειρην μεν κεν επειτα περι ϝριον ολυνποϝο
δησαιμην· τα δε κ' αϝτε μετῆͱορα παντα γενοιτο·
τοσον εγω περι τ' ῆμι θεων, περι τ' ῆμ' ανθρωπων. 27
ͱως ϝεσπων ͱυπ' οχεσσι τιτυσκετο χαλκοποδ' ͱιππω, 41
ῶκυπετα, χρυσεῇσι ϝεθειρῇσιν κομαοντε·
χρυσον δ' αϝτος εδυνϝε περι χροϊ· γεντο δ' ͱιμασθλην
χρυσειην, ͱεΰτυχτον, ͱεϝοο δ' επιβησατο διφροο.
μαστινγσεν δ' ελαεεν· τω δ' ουκ αͱεκοντ' επετεσθην
μεσσηγυς γαιης τε και ουρανοϝ αστεροεντος.
ιδην δ' ͱικανεν πολυπιδακα, μητερα θηρων,
γαργαρον, ενθα δε ͱοι τεμενος, βωμος τε θυϝῆεις·
ενθ' ͱιπποϝς εστησε πατηρ ανδρων τε θεων τε,
λυϝσανς εκς ͱοχεων, κατα δ' ῆερα πολυν εχεϝεν.
αϝτος δ' εν κορυφῇσι καθεδσετο κυδεϊ γαϝων,
εισͱοραων τροϝων τε πολιν και ναϝας αχαιϝων.
ͱοι δ' αρα δειπνον ͱελοντο καρῆκομαοντες αχαιϝοι
ριμφα κατα κλισιας, απο δ' αϝτοϝο θωρησσοντο.
τροϝες δ' αϝ ͱετερωθεν ανα πτολιν ͱοπλιδσοντο,
παϝροτεροι· μεμασαν δε και ͱως ͱυσμῖνι μαχεσθαι,
χρεϝῷ ανανκαιῇ, προ τε παιδων και προ γυναικων.
παντσαι δ' ῶϊγνῦντο πυλαι, εκ δ' εσσυτο λαϝος,
πεδσοι θ', ιππεϝες τε· πολυς δ' ορυμαγδος ορῶρεεν.
ͱοι δ' ͱοτε δη ϱ' ες χῶϱον ͱενα γσυνιοντες ͱικοντο,
γσυν ρ' εβαλον ϝρῖνοϝς, γσυν δ' ενχεα, και μενε' ανδρων
χαλκεοθωρηκων· αταρ ασπιδες ομφαλοεντσαι
επλῆντ' αλληλῇσι· πολυς δ' ορυμαγδος ορωρεεν.
ενθα δ' ͱαμ' οιμωγη τε και ευχωλη πελεν ανδϱων,
ολϝυντων τε και ολϝυμενων· ϱεϝε δ' ͱαιματι γαια.

ͱοφρα μεν ἦως ἦν, και αϝεκσετο ͱιερον ͱημαρ, Θ
τοφρα μαλ' αμφοτερων βελε' ͱαπτετ', επιπτε δε λαϝος·
ημος δ' ἦελιος μεσον ουρανον αμφεβεβηκεεν,
και τοτε δη χρυσεια πατηρ ετιταινε ταλαντα·
εν δ' ετιθεε δυο κηρε τανηλεγεος θανατοϝο,
τροϝων θ' ιπποδαμων και αχαιϝων χαλκοχιτώνων·
ͱελκε δε μεσσα λαβων, ρεπε δ' αισιμον ͱημαρ αχαιϝων.
αϝτος δ' εκς ιδης μεγαλ' εκτυπε, δαϝομενον δε
ͱηκε σελας μετα λαϝον αχαιϝων· ͱοι δε ϝιδοντες
θαμβησαν, καὶ παντας ͱυπο χλωρον δεος ͱελλεν.
ενθ' ουτ' ιδομενεϝς τλῆ μιμνεμεν, ουτ' αγαμεμνων,
ουτε δυ' αιϝαντες μενετην, θεραποντες αρεϝος·
νεστωρ δ' οιος εμιμνε γερηνιος, ουρος αχαιϝων,
ουτι ͱεκων, αλλ' ͱιππος ετειρετο· τον βαλεν ͱιϝῷ
διϝος αλεκσανδρος, ͱελενης ποσις ἦϋκομοϝο,
ακρην κατ κορυφην, ͱοθι τε πρῶται τριχες ͱιππων
κρᾶνιῷ ενπεφυϝαντι, μαλιστα δε καιριον εστιν.
αλγησανς δ' ανεπαλτο, βελος δ' εις ενκεφαλον δῦ·
γσυν δ' ͱιπποϝς εταρακσε, κυλινδομενος περι χαλκῷ.
ͱοφρ' ͱο γερων ͱιπποϝο παρῆͱοριας απεταμνεν
φασγανῷ αϝισσων, τοφρ' ͱεκτορος ὦκυες ͱιπποι
ηλθον αν' ͱιϝωχμον, θρασυν ͱηνιͱοχον φορεοντες
ͱεκτορα· και νυ κεν ενθ' ͱο γερων απο θυϝμον ολεσσεν,
ει μη αρ' ͱοκσυ νοησε βοην αγαθος διομηδης·
σμερδαλεον δ' εβοησεν, εποτρυϝνων ͱοδυσεϝα·
διϝογενες λαϝερτιαδη, πολυμηχαν' ͱοδυσσεϝ,
πῆ φευγεις, μετα νωτα βαλων, κακος ͱως, εν ͱομιλϝῷ;
μη τις τοι φευγοντι μεταφρενῷ εν δορυ πηγσῇ!
αλλα μεν', ͱοφρα γεροντος αποθσομεν αγριον ανδρα.
ͱως εφατ'· ουδ' εσακοϝσε πολυτλανς διϝος ͱοδυσσεϝς,
αλλα παρῆϝικσεν κοιλας επι ναϝας αχαιϝων.
τυϝδεϝιδης δ', αϝτος περ εων, προμαχοισιν εμιχθη·
στη δε προσθ' ͱιππων νηλεϝιαδαϝο γεροντος,
και μιν φῶνησανς ϝεπεα πτεροεντα προσηῦϝδα·
ω γερον, η μαλα δη σε νεϝοι τειροντι μαχηται·
ση δε βιη λελυται, χαλεπον δε σε γηρας οπαδσει·
ηπεδανος δε νυ τοι θεραπων, βραδυες δε τοι ͱιπποι.
αλλ' αγ', εμων ͱοχεων επιβησεο, ͱοφρα ϝιδηαι
ͱοιοι τροϝιοι ͱιπποι, επισταμενοι πεδιοϝο
κραιπνα μαλ' ενθα και ενθα διωκεμεν ηδε φεβεσθαι,
ͱοϝς ποτ' απ' αινειαν ͱελομην, μηστωρα φοβοϝο.
τοϝτω μεν θεραποντε κομεετων· τωδε δε νωϝι
τροϝσιν εφ' ιπποδαμοισ' ιθυϝνομεν, ͱοφρα και ͱεκτωρ
ϝειδσεται, ει και εμον δορυ μαινεται εν παλαμῇσιν.
ͱως εφατ'· ουδ' απιθησε γερηνιος ͱιπποτα νεστωρ·
νεστορεας μεν επειθ' ιπποϝς θεραποντε κομεετην

ῑφθῑμοι, σθενελος τε και ευρυμεδων αγαπῆνωρ. Θ
τω δ' εις αμφοτερω διομηδεος ͱαρματ' εβητην·
νεστωρ δ' εν χειρεσ' ελαβ' ͱηνια σιϝαλοεντα,
μαστινγσεν δ' ͱιπποϝς· ταχα δ' ͱεκτορος ανχ' εγενοντο.
τοο δ' ιθυς μεμαϝῶτος ακοντισε τυϝδεϝος ͱυιος·
και τοϝο μεν ρ' απαμαρτεν· ͱο δ' ͱηνιοχον θεραποντα,
ͱυιον ͱυπερθυϝμοο θηβαιοϝο, ͱηνιοπεϝα,
ͱιππων ͱηνι' ͱεχοντ', εβαλε στηθος παρα μαδσον·
ηριπε δ' εκς ͱοχεων, ͱυπεροϝησαν δε ͱοι ͱιπποι
ῶκυποδες· τοϝο δ' αϝθ' ελυθη πσυϝχη τε μενος τε.
ͱεκτορα δ' αινον αχος πυκασε φρενας ͱηνιͱοχοϝο·
τον μεν επειτ' ηϝᾶσε, και αχνυμενος περ ͱεταιροο,
κεισθαι· ͱο δ' ͱηνιͱοχον μεθεπε θρασυν· ουδ' αρ' ετι δην
ͱιππω δεϝεσθην σημαντορος· αιπσα γαρ ͱευρεν
ϝῑφιτιδην αρχεπτολεμον θρασυν, ͱον ρα τοθ' ιππων
ῶκυποδων επεβησ', εδιδῶ δε ͱοι ͱηνια χερσιν.
ενθα κε λοιγος εῆν, και αμηχανα ϝεργ' εγενοντο·
ει μη αρ' ͱοκσυ νοησε πατηρ ανδρων τε θεων τε· 132
βροντησανς δε δδεινον, αφῆκ' αργητα κεραυνον,
κατ δε προσθ' ͱιππων διομηδεος ͱηκε χαμαδσε·
δδεινη δε φλογς ῶρτο θεειϝοϝο καϝομενοϝο·
τω δ' ͱιππω δδειδσαντε καταπτητην ͱυφ' οχεσσιν·
νεστορα δ' εκ χειρων φυγον ͱηνια σιϝαλοεντα·
δδειδσε δ' ͱογ' εν θυϝμῷ, διομηδεα δε προσεϝεσπεν·
τυϝδεϝιδη, αγε δ' αϝτε φοβονδ' ͱεχε μωνυχας ͱιπποϝς·
ῆ' ου γιγνῶσκεις, ͱο τοι εκ διος ουχ επετ' αλκη;
νῦν μεν γαρ τοϝτῷ κρονιδης δσεϝς κυϝδος οπαδσει. 141
τον δ' ῆμειβετ' επειτα βοην αγαθος διομηδης·
ναι δη ταϝτα γε παντα, γερον, κατα μοιραν εϝεσπες·
αλλα τοδ' αινον αχος κραδιην και θυϝμον ͱικανει·
ͱεκτωρ γαρ ποτε φησει, ενι τροϝεσ' αγορεϝων,
τυϝδεϝιδης ͱυπ' εμεϝο φοβεομενος ͱικετο ναϝας.
ͱως ποτ' απειλησει· τοτε μοι χανοι ευρυια χθων!
τον δ' ῆμειβετ' επειτα γερηνιος ͱιπποτα νεστωρ·
ω μοι, τυϝδεϝος ͱυιε δαϝιφρονος, ͱοιον εϝεσπες!
ειπερ γαρ σ' ͱεκτωρ γε κακον και ααλκιδα φησει,
αλλ' ου πειθσονται τροϝες και δαρδανιϝῶνες,
και τροϝων ͱαλοχοι μεγαθυμων ασπισταϝων,
ταϝων εν κονιῃσ' εβαλες θαλεροϝς παρακοιτας.
ͱως αρα φῶνησανς φυγαδ' ετραπε μωνυχας ͱιπποϝς
αϝτις αν' ͱιͱωχμον· επι δε τροϝες τε και ͱεκτωρ
ϝηχῇ θεσπεσιῃ βελεα στονοεντα χεϝοντο.
τῷ δ' επι μακρον αͱυϝσε μεγας κορυθαιϝολος ͱεκτωρ·
τυϝδεϝιδη, περι μεν σε τιϝον δαναοι ταχυπωλοι
ͱεδρῃ τε, κρεασιν τ', ηδε πλεεοις δεπαεσιν·
νῦν δε σ' ατιμησοντι· γυναικος αρ' αντ' ετετυχσο! 163

ͱως φατο· τυϝδεϝιδης δε διανδιχα μερμηριξεν, 167
ͱιπποϝς τε στρεφσαι, και εναντιβιον μαχεσασθαι. Θ
τρις μεν μερμηριξε κατα φρενα και κατα θυϝμον·
τρις δ' αρ' απ' ιδαιων ορεων κτυπε μητιετα δσεϝς. 170
ͱεκτωρ δε τροϝεσιν εκεκλετο, μακρον αͱυϝσας. 172
τροϝες, και λυκιοι, και δαρδανοι αγχιμαχηται,
ανερες εστε, φιλοι, μνῆσασθε δε θοϝριδος αλκης.
γιγνῶσκω δ', ͱοτι μοι προφρων κατενευσε κρονιϝων 175
νικην και μεγα κυϝδος, αταρ δαναοισι γε πημα.
νηπιοι! ͱοι' αρα δη ταδε τειχεα μηχαναοντο! 177
ͱιπποι δε ρεϝα ταφρον ͱυπερθορεονται ορυκτην. 179
αλλ' ͱοτε κεν δη ναϝσιν επι γλαφυρῇσι γενωμαι, 180
μνῆμοσυνη τις επειτα πυρος δαϝιοϝο γενεσθω,
ͱως πυρι ναϝας ενιπρηθσω, κτενεω δε και αϝτοϝς. 182
των δ', ͱοσον εκ ναϝων απο πυργοϝο ταφρος εϝεργεν 213
πληθεν ͱομως ͱιππων τε και ανδρων ασπισταϝων
ϝελϝομενων· ϝελϝεν δε θοϝῷ ͱαταλαντος αρεϝι 215
ͱεκτωρ πριαμιδης, ͱοτε ͱοι δσεϝς κυϝδος εδῶκεν.
και νυ κ' ενεπρηθσεν πυρι κηλεῷ ναϝας ϝεϊσϝας,
ει μη επι φρεσ' εθῆκ' αγαμεμνονι ποτνια ͱηρη,
αϝτῷ ποιπνυϝσαντι, θοϝως οτρυϝναι αχαιϝοϝς.
βη δ' ιμεναι παρα τε κλισιας και ναϝας ϝεϊσϝας, 220
πορφυρεον μεγα φαϝρος ͱεχων εν χειρι παχυιῇ·
στη δ' εφ' οδυσσεϝος μεγακητεϊ ναϝι μελαινῇ,
ͱη ρ' εν μεσσατῷ εσκε, γεγωνεμεν αμφοτερωσε· 223
ῆͱυϝσεν δε διαπρυσιον, δαναοισι γεγωνως· 227
αιδως, αργειϝοι, κακ' ελεγχεα, ϝειδος αγῆτοι!
πῆ εβαν ευχωλαι, ͱοτε δη φαμεν εεναι αριστοι,
ͱας ͱοποτ' εν λημνῷ κενεαϝχεες ευχεταεσθε, 230
πιϝνοντες κρῆτηρας επιστεφεας ϝοινοϝο, 232
τροϝων ανθ' εκατον τε διῆκοσιων τε ͱεκαστος
στησεσθ' εν πολεμῷ; νῦν δ' ουδ' ͱενος αγσιοι εσμεν! 234
δσεϝ πατερ, η ρα τιν' ηδη ͱυπερμενεων βασιλεϝων 236
τῇδ' αϝατῇ αϝασας, και μιν μεγα κυϝδος απῆϝρας;
ου μεν δη ποτε φημι τεϝον περικαλλεα βωμον
ναϝι πολυκλεϝιδι παρελθεμεν ενθαδε ϝερρων·
αλλ' επι παντσι βοϝων δημον και μηρι' εκῆα, 240
ͱιϝεμενος τροϝιην ͱεϋτειχεον εκσαλαπακσαι.
αλλα, δσεϝ, τοδε περ μοι επικραϝῆνον εελδωρ,
αϝτοϝς δη περ εϝᾶσον ͱυπεκφυγεεεν και αλυκσαι,
μηδ' ͱοϝτῷ τροϝεσιν εϝᾶ δαμνασθαι αχαιϝοϝς.
ͱως φατο· τον δε πατηρ ολοφυϝρατο δακρυ χεϝοντα· 245
νευσε δε ͱοι λαϝον σαον εσμεναι, ουδ' απολεσθαι.
αϝτικα δ' αιετον ͱῆκε, τελειοτατον πετεηνων,
νεβρον ͱεχοντ' ονυχεσι, τεκος ελαφοϝο ταχυιης·
παρ δε διος βωμῷ περικαλλεϊ κατβαλε νεβρον. 249

ͱοι δ' ͱως ὦν Ϝειδονθ' οτ' αϱ' εκ διος ηλυθεν ορνιχς,
μαλλον επι τροϜεσ' εθορον, μνῆσαντο δε χαρμης. Θ
ενθ' ουτις προτερος δαναων, πολλων περ εοντων,
ευχσατο τυϜδεϜιδαϜο παρος σχεμεν ὤκυας ͱιπποϜς,
ταφροϜο τ' εκσελασαι, και εναντιβιον μαχεσασθαι·
αλλα πολυ πρῶτος τροϜων ͱελεν ανδρα κορυστην,
φραδμονιδην αγελαϜον· ͱο μεν φυγαδ' ετραπεν ͱιπποϜς·
τῷ δε μεταστρεφθεντι, μεταφρενῷ εν δορυ πηγσεν
ωμων μεσσηγυς, δια δε στηθεσφιν ελασσεν·
ηριπε δ' εκς ͱοχεων, αραβησε δε τευχε' επ' αϜτῷ.
τον δε μετ' ατρεϜιδαι, αγαμεμνων και μενελαϜος·
τοισι δ' επ' αιϜαντες, θοϜριν επιϜεσμενοι αλκην·
τοισι δ' επ' ιδομενεϜς, και οπαϜων ιδομενεϜος·
τοισι δ' επ' ευρυπυλος, ͱεΰͱαιμονος αγλαϜος ͱυιος·
τευκρος δ' ͱεννατος ηλθε, παλιντονα τοκσα τιταινων·
στη δ' αρ' ͱυπ' αιϜαντος σακεϊ τελαμωνιαδαϜο.
ενθ' αιϜανς μεν ͱυπεκσεφερεν σακος, αϜταρ ͱογ' ͱηρως
παπτῆνανς, επει αρ τιν' οϊστεϜσανς εν ͱομιλϜῷ
βεβληκεεν, ͱο μεν αϜθι πεσων απο θυϜμον ολεσσεν,
αϜταρ ͱογ' αϜτις ιων, παϊς ͱως ͱυπο μητερα, δῦσκεν
εις αιϜανθ'· ο δε μιν σακεϊ κρυπτᾶσκε φαϜεινῷ.
ενθα τινα πρῶτον τροϜων ͱελε τευκρος αμυϜμων;
ορσιλοχον μεν πρῶτα, και ορμενον, ηδ' οφελεστην,
δαιτορα τε, χρομιον τε, και αντιθεον λυκοφοντην,
και πολυͱαιμονιδην ͱαμ' οπαϜονα, και μελανͱιππον.
τον δε Ϝιδων γηθησε Ϝανακς ανδρων αγαμεμνων,
τοκσοϜ' απο κρατεροο τροϜων ολεκοντα φαλαγγας·
στη δε παρ' αϜτον ιων, και μιν προς μυϜθον εϜεσπεν·
τευκρε, φιλη κεφαλη, τελαμωνιε, κοιρανε λαϜων,
βαλλ' ͱοϜτως, αι κεν τι φαϜος δαναοισι γενηαι,
πατρι τε σῷ τελαμων', ͱος σ' ετρεφε τυτθον εοντα,
και σε, νοθον περ εοντ', εκομισσαθ' εϜῷ ενι Ϝοικῷ·
τον, και τηλοθ' εοντα, ͱεϋκλεΐης επιβησον.
σοι δ' εγω εκσϜερεω, ͱως και τετελεσμενον εσται·
αι κεν μοι δῷῃ δσεϜς αιγιͱοχος και αθηνη
ϜιλϜιοϜ' εκσαλαπακσαι ͱεϋκτιμενον πτολιεθρον,
πρῶτῳ τοι μετ' εμε πρεσβῆϊον εν χερι θησω,
η τριποδ', ηε δυω ͱιπποϜς αϜτοισιν ͱοχεσσιν,
ηε γυναιχ', η κεν τοι ͱομον λεχος εισαναβαινοι.
τον δ' απαμειβομενος προσεφῶνεε τευκρος αμυϜμων·
ατρεϜιδη κυϜδιστε, τι με σπευδοντα και αϜτον
οτρυϜνεις; ου μεν τοι, ͱοση δυναμις γε παρεστι,
παϜομαι· αλλ' εκς ͱοο προτι ϜιλϜιον ὤθσαμεθ' αϜτοϜς,
εκ τοϜο δη τοκσοισι δεδεχμενος ανδρας ενͱαιρω.
ͱοκτω δη προεͱῆκα τανυγλωχινας οϊστοϜς,
παντες δ' εν χρο' επηχθεν αρεϊθοων αιδσηων·

τοϝτον δ' ου δυναμαι βαλεεεν κυνα λυσσητηρα. Θ
  ἦ ρα, και αλλον οϊστον απο νευρηφιν ιαλλεν
ͱεκτορος αντικρυς, βαλεεεν δε ͱε ͱιͱετο θυϝμος·
και τοϝο μεν ρ' απαμαϱθ'· ο δ' αμυϝμονα γοργυθιϝῶνα,
ͱυιον ͱεϋν πριαμοϝο, κατα στηθος βαλεν ͱιͱῷ·
τον ρ' εκς αισυμνηθεν οπυιομενη τεκε μητηρ,
καλη καστιανειρα, δεμας ϝεϝικυια θεῇσιν.
μηκων δ' ͱως ͱετεϱωσε καρῆ βαλεν, ͱητ' ενι κηπῳ
καρπῷ βριθομενη, νοτιῇσι τε ϝεαϱινῇσιν·
ͱως ͱετεϱωσ' ημυϝσε καϱῆ πηληκι βαϱυϝνθεν.
  τευκρος δ' αλλον οϊστον απο νευρηφιν ιαλλεν
ͱεκτορος αντικρυς, βαλεεεν δε ͱε ͱιͱετο θυϝμος.
αλλ' ͱογε και τοτ' αμαρτε· παρεσφηλεν γαρ απολλων·
αλλ' αρχεπτολεμον, θρασυν ͱεκτορος ͱηνιͱοχεϝα,
ͱιͱεμενον πολεμονδ', εβαλε στηθος παρα μαδσον·
ηριπε δ' εκς ͱοχεων, ͱυπεροϝησαν δε ͱοι ͱιπποι
ὦκυποδες· τοϝο δ' αϝθ' ελυθη πσυϝχη τε μενος τε.
ͱεκτορα δ' αινον αχος πυκασε φρενας ͱηνιͱοχοϝο·
τον μεν επειτ' ηϝᾶσε, και αχνυμενος πεϱ ͱεταιροο·
κεβριονην δ' εκελεϝσεν ͱαδελφεϝον, ενγυς εοντα,
ͱιππων ͱηνι' ͱελεεν· ͱο δ' αρ' ουκ απιθησεν ακοϝσανς.
αϝτος δ' εκ διφροϝο χαμαι θορε πανφαναοντος,
σμερδαλεα ϝιϝαχων· ͱο δε χερμαδιον λαβε χειρι·
βη δ' ιθυς τευκροο, βαλεεεν δε ͱε θυϝμος ανωγεν.
ητοι ͱο μεν φαρετρης εκσͱελλετο πικρον οϊστον,
θῆκε δ' επι νευρῇ· τον δ' αϝ κορυθαιϝολος ͱεκτωρ
αϝ ϝερυοντα, παρ' ωμον, ͱοθι κλεϝις αποͱεργει
αϝχενα τε στηθος τε, μαλιστα δε καιριον εστιν,
τῇ ρ' επι ͱοι μεμαϝῶτ' εβαλεν λιθῳ ακριαεντι·
ϝρῆγσε δε ͱοι νευρην· ναρκησε δε χειϱ επι καρπῷ·
στη δε γνυκς εριπων, τοκσον δε ͱοι εκπεσε χειρος.
αιϝανς δ' ουκ αμελησε κασιγνῆτοϝο πεσοντος,
αλλα θεϝων περιβη, και ͱοι σακος αμφεκαλυπτσεν.
τον μεν επειθ' υποδῦντε δυω περιηρες ͱεταιροι,
μηκιστεϝς, εχιοϝο παϊς, και διϝος αλαστωρ,
ναϝας επι γλαφυρας φερετην βαρυα στοναχοντα.
  απς δ' αϝτις τροϝεσιν ολυνπιος εν μενος ὦρσεν,
ͱοι δ' ιθυς ταφροϝο βαθυιης ὦθσαν αχαιϝοϝς·
ͱεκτωϱ δ' εν πρωτοισι κιε, σθενεϊ βλεμεαινων.
ͱως δ' ͱοτε τις τε κυων συος αγριοϝ, ηε λεϝοντος,
ͱαπτηται κατοπισθε, ποσιν ταχυεσι πεποιθως,
ͱισχια τε γλοϝτοϝς τε, ϝελισσομενον τε δοκεϝει·
ͱως ͱεκτωρ ὦπαδσε καρῆκομαοντας αχαιϝοϝς,
αιϝεν αποκτεινων τον οπιστατον· ͱοι δ' εφεβοντο.
αϝταρ επει δια τε σκολοπας και ταφρον εβησαν
φευγοντες, πολλοι δ' εδαμεν, τροϝων ͱυπο χερσιν,

ͱοι μεν δη παρα ναϝσιν ερητυϝοντο μενοντες,
αλληλοισι τε κεκλομενοι, και πανσι θεοισιν Θ
χειρας ανͱισχοντες, μεγαλ' ευχεταοντο ͱεκαστος.
ͱεκτωρ δ' αμφιπεριστροφαεν καλλιτριχας ͱιπποϝς,
γοργοος οπμαθ' εχων ηδε βροτολοιγοϝ' αρεϝος.
εν δ' επεσ' ωκεανῷ λαμπρον φαϝος ηελιοϝο,
ͱελκον νυκτα μελαιναν επι δσαϝδωρον αροϝραν.
τροϝεσι μεν ρ' αͱεκοντσιν εδῦ φαϝος· αϝταρ αχαιϝοις
ασπασιη, τρισλιστος, επηλυθε νυκς ερεβεννη.
τροϝων δ' αϝτ' αγορην ποιησατο φαιδιμος ͱεκτωρ,
εν καθαρῷ, ͱοθι δη νεκυων διεφαινετο χῶρος.
εκς ͱιππων δ' αποβαντες επι χθονα, μυϝθον ακοϝον,
τον ρ' ͱεκτωρ αγορεϝε, διϊ φιλος· εν δ' αρα χειρι
ενχος ͱεχ' ͱενδεκαπηχυ· παροιθε δ' ελαμπετο δορϝος
αιχμη χαλκειη, περι δε χρυσεος θεϝε πορκης·
τῷ ͱογ' ερειδσαμενος ϝεπεα πτεροεντα προσηῦϝδα·
κεκλυτε μεο, τροϝες, και δαρδανοι, ηδ' επικουροι,
νῦν εφαμην, ναϝας τ' ολεσανς και παντας αχαιϝοϝς,
απς απονοστησεεν προτι ϝιλϝιον ανεμοεντσαν·
αλλα πριν κνεφας ηλθε, το νῦν εσαῶσε μαλιστα
αργειϝοϝς και ναϝας επι ϝρηγμῖνι θαλασσης.
αλλ' ητοι νῦν μεν πειθωμεθα νυκτι μελαινῃ,
δορπα τ' εφοπλισομεσθ'· αϝταρ καλλιτριχας ͱιπποϝς
λυϝσαθ' υπ' εκς ͱοχεων, παρα δε σφισι βαλλετ' εδῶδην·
εκ πολιος δ' αγσασθε βοϝας και ϝῖφια μηλα
καρπαλιμως, ϝοινον δε μελιφρονα ϝοινιδσεσθε,
σῖτον τ' εκ μεγαρων, επι δε χσυλα πολλα λεγεσθε,
ͱως κεν παννυχιοι, μεσφ' ῆοος ηριγενειης,
καϝωμεν πυρα πολλα, σελας δ' εις ουρανον ͱικῃ·
μη πως και δια νυκτα καρῆκομαοντες αχαιϝοι
φευγεμεν ͱορμησωνται επ' ευρυα νωτα θαλασσης.
μη μαν ασπουδις γε ναϝων επιβαιεν ͱεκηλοι,
αλλ' ͱως τις τοϝτων γε βελος και ϝοικοθι πεσσῃ,
βλῆμενος η' ͱιͱῷ, η' ενχεϊ ͱοκσυοεντι,
ναϝος επιθρῶσκων· ͱινα τις στυγεητι και αλλος
τροϝσιν εφ' ιπποδαμοισι φερεεν πολυδακρυν αρεϝα.
κηρῦκες δ' ανα ϝαστυ διϊ φιλοι ανγελλοντων,
παιδας πρῶθηβας, πολιοκροταφοϝς τε γεροντας,
λεχσασθαι περι ϝαστυ θεοδμῆτων επι πυργων·
θηλυτεραι δε γυναικες ενι μεγαροισιν ͱεκαστη
πυρ μεγα καϝοντων· φυλακη δε τις ενπεδος εστω,
μη λοχος εισελθητι πολιν, λαϝων απεοντων.
ͱῶδ' εστω, τροϝες μεγαλητορες, ͱως αγορεϝω.
πρῶϊ δ' ͱυπῆοιοι γσυν τευχεσι θωρηχθεντες
ναϝσιν επι γλαφυρῆσιν εγῆρομεν ͱοκσυν αρεϝα.
ϝειδσομαι, αι κε μ' ͱο τυϝδεϝιδης κρατερος διομηδης

παρ ναϝων προς τειχος αποδσεται, η κεν εγω τον Θ
χαλκῳ δαϝιωσανς εναρα βροτοεντα φερωμαι. 534
ͱως ͱεκτωρ αγορεϝ᾽ επι δε τροϝες κελαδησαν. 542
ͱοι δ᾽ ͱιπποϝς μεν ελυϝσαν ͱυπο δσυγοϝ ͱιδρῶοντας,
δησαν δ᾽ ͱιμαντεσι παρ᾽ ͱαρμασ᾽ εϝοισιν ͱεκαστος·
εκ πολιος δ᾽ ῆγσαντο βοϝας και ϝῖφια μηλα 545
καρπαλιμως· ϝοινον δε μελιφρονα ϝοινιδσοντο,
σῖτον τ᾽ εκ μεγαρων, επι δε χσυλα πολλ᾽ ελεγοντο. 547
ͱοι δε, μεγα φρονεοντες, επι πτολεμοϝο γεφυρας 553
ͱῆατο παννυχιοι· πυρα δε σφισι καϝετο πολλα.
ͱως δ᾽ ͱοτ᾽ εν ουρανῷ αστρα φαϝεινην αμφι σεληνην 555
φαινετ᾽ αριπρεπεα, ͱοτε τ᾽ επλετο νηνεμος αιθηρ, 556
παντα δε ϝειδεται αστρα γεγηθε δε τε φρενα ποιμην. 559
ͱως ͱοι μεν τροϝες φυλακας ͱεχον· αϝταρ αχαιϝοϝς I
θεσπεσιη ͱεχε φυδσα, φοβοο κρυοεντος ͱεταιρη·
πενθεϊ δ᾽ ατλητῷ βεβολῆατο παντες αριστοι.
ͱως δ᾽ ανεμοι δυο ποντον ορινετον ͱιχθυϝοεντα,
βορεης και δσεφυρος, τω τε θρεϝίκηθεν αϝητον, 5
ελθοντ᾽ εκσαπινης· ͱαμυδις δε τε κυϝμα κελαινον
κορθυεται, πολλον δε παρεκς ͱαλα φυϝκος εχεϝεν·
ͱως εδαϊδσετο θυϝμος ενι στηθεσσιν αχαιϝων.
ατρεϝιδης δ᾽, αχεϊ μεγαλῳ βεβολημενος ητορ,
φοιταε κηρῦκεσι λιγυφθονγοισι κελεϝων 10
κλῆδην εις αγορην κικλῆσκεμεν ανδρα ͱεκαστον,
μηδε βοᾶν· αϝτος δε μετα πρῶτοισ᾽ επονεετο.
ͱιδσον δ᾽ ειν αγορῇ τετιϝῆοτες· αν δ᾽ αγαμεμνων
ͱιστατο δακρυχεϝων, ͱωστε κρηνη μελανͱυϝδρος,
ͱη τε κατ᾽ αιγιλιπος πετρης δνοφερον χεϝει ͱυϝδωρ· 15
ͱως ͱο βαρυ στοναχων ϝεπε᾽ αργειϝοισι μετῆυϝδα·
ω φιλοι, αργειϝων ͱηγητορες, ηδε μεδοντες,
δσεϝς με μεγα κρονιδης αϝατῃ ενεδησε βαρυιῃ·
σχετλιος! ͱος πριν μεν μοι ͱυπεσχετο και κατενευσεν,
ϝιλϝιον εκπερθσανθ᾽ εϋτειχεον απονεεσθαι· 20
νῦν δε κακην απατην βουλεϝσατο, και με κελεϝει
δυσκλεε᾽ αργος ͱικεσθαι, επει πολυν ὤλεσα λαϝον. 22
αλλ᾽ αγεθ᾽, ως αν εγω ϝεσπω, πειθωμεθα παντες, 26
φευγωμεν γσυν ναϝσι φιλην ες πατριδα γαιαν·
ου γαρ ετι τροϝιην ͱαιρησομεν ευρυαγυιαν.
ͱως εφαθ᾽· οι δ᾽ αρα παντες ακην εγενοντο σιωπῇ,
δην δ᾽ ααϝοι ῆσαν τετιϝῆοτες ͱυιες αχαιϝων· 30
οπσε δε δη μετεϝεσπε βοην αγαθος διομηδης·
ατρεϝιδη, σοι πρῶτα μαχησομαι αφραδεοντι,
ͱῃ θεμις εστι, ϝαναкς, αγορῇ· συ δε μη τι χολῶθῃς·
αλκην μεν μοι πρῶτος ονειδισας εν δαναοισιν,
φανς εμεν απτολεμον και αναλκιδα· ταϝτα δε παντα 35
ϝιδσαντ᾽ αργειϝων ημεν νεϝοι, ηδε γεροντες.

σοι δε διανδιχ᾽ εδωκε κρονοο παϊς ανκυλομητεο᾽ I
σκηπτρον μεν τοι εδωκε τετιϝμῆσθαι περι παντων᾽
αλκην δ᾽ ου τοι εδωκεν, ͱο τε κρατος εστι μεγιστον.
δαιμονι᾽, ͱοϝτῳ ποο μαλα ͱελπεαι ͱυιας αχαιϝων
απτολεμοϝς τ᾽ εμεναι και αναλκιδας, ͱως αγορεϝεις;
ει δε τοι αϝτῳ θυϝμος επεσσυται, ͱωστε νεεσθαι,
ερχεο᾽ παρ τοι ͱοδος, ναϝες δε τοι ανχι θαλασσης᾽
αλλ᾽ αλλοι μενεοντι καρῆκομαοντες αχαιϝοι,
εις ͱο κε περ τροϝιην διαπερθσομεν᾽ ει δε και αϝτοι,—
φευγοντων γσυν ναϝσι φιλην ες πατριδα γαιαν᾽
νοϝι δ᾽, εγω σθενελος τε, μαχησομεθ᾽, εις ͱο κε τεκμωρ
ϝιλϝιοϝ ͱευρωμεν᾽ γσυν γαρ θεῳ ηληλουθμεν.
  ͱως εφαθ᾽᾽ οι δ᾽ αρα παντες εϝιϝαχον ͱυιες αχαιϝων,
μυϝθον αγασσαμενοι διομηδεος ͱιπποδαμοϝο.
τοισι δ᾽ ανͱισταμενος μετεφωνεεν ͱιππστα νεστωρ᾽
  τυϝδεϝιδη, περι μεν πολεμῳ ενι καρτερος εσσι,
και βουλῇ μετα παντας ͱομηλικας επλε᾽ αριστος᾽
ουτις τοι τον μυϝθον ονοσσεται, ͱοσοι αχαιϝοι,
ουδε παλιν ϝερεει᾽ αταρ ου τελος ͱικεο μυϝθων.
αλλ᾽ αγ᾽, εγων, ͱος σεϝο γεραϝτερος ευχομαι εεναι,
εκσϝεπεω, και παντα διͱικσομαι᾽ ουδε κε τις μοι
μυϝθον ατιϝμῆσει, ουδε κρεϝων αγαμεμνων.
αφρῆτωρ, αθεμιστος, αͱεστιος εστιν εκεινος,
ͱος πολεμοϝ᾽ εραται επιδημοϝο, κρυοεντος.
αλλ᾽ ητοι νῦν μεν πειθωμεθα νυκτι μελαινῇ,
δορπα τ᾽ εφοπλισομεσθα᾽ φυλακτηρες δε ͱεκαστοι
λεχσασθων παρα ταφρον ορυκτην τειχεος εκτος.
κοϝροισιν μεν ταϝτ᾽ επιτελλομαι᾽ αϝταρ επειτα,
ατρεϝιδη, συ μεν αρχε᾽ συ γαρ βασιλεϝτατος εσσι.
δαινυε δαιτα γεροντσι᾽ ϝεϝοικε τοι, ουτοι αϝεικες.
πλεεαι τοι ϝοινοο κλισιαι, τον ναϝες αχαιϝων
ͱηματιαι θρεϝικηθεν επ᾽ ευρυα ποντον αγοντιν.
παντσα τοι εσθ᾽ υποδεχσιεη, πολυσιν δε ϝανασσεις.
πολλων δ᾽ αγρομενων, τῳ πειθσεαι, ͱος κεν αριστην
βουλην βουλεϝσῃ᾽ μαλα δε χρη παντας αχαιϝοϝς
εσθλης και πυκινης, ͱοτι δαϝιοι ενγυθι ναϝων
καϝοντιν πυρα πολλα᾽ τις αν ταδε γηθησειε;
νυκς δ᾽ ͱηδ᾽ ηε διαϝραισει στρατον, ηε σαωσει.
  ͱως εφαθ᾽᾽ ͱοι δ᾽ αρα τοο μαλα μεν κλυϝον, ηδ᾽ επιθοντο.
εκ δε φυλακτηρες γσυν τευχεσιν εσσεϝοντο,
αμφι τε νεστοριδην θρασυμηδεα, ποιμενα λαϝων,
ηδ᾽ αμφ᾽ ασκαλαφον και ιαλμενον, ͱυιας αρεϝος,
αμφι τε μηριονην, αφαρεϝα τε, δαϝιπυρον τε,
ηδ᾽ αμφι κρεϝοντος υἱν, λυκομηδεα διϝον᾽
ͱεπτ᾽ εσαν ͱηγεμονες φυλακων, ͱεκατον δε ͱεκαστῳ
κοϝροι ͱαμ᾽ εστειχον, δολιχ᾽ ενχεα χερσιν ͱεχοντες᾽

κατ δε μεσον ταφροο και τειχεος ͱιδσον ιοντες· I
ενθα δε πυρ κῆαντ', ετιθεντο δε δορπον ͱεκαστος.
ατρεϝιδης δε γεροντας ͱαϝολϝεας ἦγεν αχαιϝων
ες κλισιην, παρα δε σφ' ετιθεε μενοϝεικεα δαιτα·
ͱοι δ' επ' ονειαθ' ετοιμα προκειμενα χειρας ιαλλον.
αϝταρ επει ποσιος και εδητυος εκς ερον ͱεντο,
τοισ' ͱο γερων πανπρῶτος ͱυφαινεμεν ἦρχετο μητιν
νεστωρ, ͱοο και προσθεν αριστη εφαινετο βουλη·
ͱο σφιν ͱεῢφρονεων αγορεϝσατο, και μετεϝεσπεν·
ατρεϝιδη κυϝδιστε, ϝανακς ανδρων αγαμεμνον,
εν σοι μεν ληγσω, σεϝο δ' αρχσομαι· ͱοονεκα πολλων
λαϝων εσσι ϝανακς, και τοι δσεϝς ενγυαλικσεν
σκηπτρον τ', ηδε θεμιστας, ͱινα σφισι βουλεϝῆσθα·
τῶ σε χρη περι μεν φασθαι ϝεπος, ηδ' επακοϝσαι,
κραϝῆναι δε και αλλῶ, ͱοτ' αν τινα θυϝμος ανωγῆ
ϝεσπεμεν εις αγαθον· σεϝο δ' ͱεχσεται, ͱο τι κεν αρχῆ.
αϝταρ εγω ϝερεω, ͱως μοι δοκε' εεναι αριστα.
ου γαρ τις νοον αλλος αμεινονα τοοδε νοησει,
ͱοιον εγω νοεω, ημεν παλαι, ηδ' ετι και νῦν,
εκσετι τοϝ' ͱοτε, διϝογενες, βρισεϝιδα κοϝρην
χωομενοϝ αχιλεϝος εβης κλισιηθεν απαϝρανς·
ουτι καθ' ημετερον γε νοον· μαλα γαρ τοι εγωγε
πολλ' απεμυϝθεομην· συ δε σῶ μεγαλητορι θυϝμῶ
ϝεικσανς, ανδρα φεριστον, ͱον αθανατοι περ ετιϝσαν,
ἠτιϝμῆσας· ͱελων γαρ ͱεχεις γερας· αλλ' ετι και νῦν
φραδσωμεσθ', ͱως κεν μιν αρεσσαμενοι πεπιθοιμεν
δῶροισιν τ' αγανοισι, ϝεπεσσι τε μειλιχιοισιν.
τον δ' αϝτε προσεϝεσπε ϝανακς ανδρων αγαμεμνων·
ω γερον, ου τι πσευδος εμας αϝατας κατελεγσας.
αϝασαμην, ουδ' αϝτος ααινομαι· αντι νυ πολλων
λαϝων εστιν ανηρ, ͱοντε δσεϝς κεαρι φιλησῆ.
αλλ' επει αϝασαμην, φρεσι λευγαλεῆσι πιθησανς,
απς εθελω αρεσαι, δομεναι τ' απερεισι' αποινα·
ͱυμῖν δ' εν παντεσι περικλυτα δῶρ' ονομῆνω,
ͱεπτ' απυροϝς τριποδας, δεκα δε χρυσοϝο ταλαντα,
αιθῶνας δε λεβητας ϝεῖκοσι, δωδεκα δ' ͱιπποϝς.
ου κεν αλεϝιος ειη ανηρ, ͱῶ τοσα γενοιτο,
ͱοσα μοι ηνενκαντιν αεθλια μωνυχες ͱιπποι.
δῶσω δ' ͱεπτα γυναικας αμυϝμονα ϝεργα ϝιδυιας,
λεσβιδας· ͱας, ͱοτε λεσβον ͱεῢκτιμενην ͱελεν αϝτος,
εκσͱελομην, ͱαι καλλει ενικῶν φυϝλα γυναικων.
τας μεν ͱοι δῶσω, μετα δ' εσσεται, ͱην τοτ' απῆϝρων
κοϝρην βρισεϝος· και επι μεγαν ͱορκον ομῶμαι,
μη ποτε της ευνης επιβημεναι, ηδε μιγηναι,
ͱῆ θεμις ανθρωπων πελει, ανδρων ηδε γυναικων.
ταϝτα μεν αϝτικα παντα παρεσσεται· ει δε κεν αϝτε

ϝαστυ μεγα πριαμοϝο θεοι δωωντ' αλαπακσαι, I
ναϝας ͱαλις χρυσοο και χαλκοϝο ναϝησασθω,
εισελθων, ͱοτε κεν δατεωμεθα λεϝιδ' αχαιϝοι.
τροϝιαδας δε γυναικας ϝεϊκοσιν αϝτος ͱελεσθω,
ͱαι κε μετ' αργειϝην ͱελενην καλλισται εωντιν.
ει δε κεν αργος ͱικοιμεθ' αχαιϝικον, ουθαρ αροϝρης,
γαμβρος κεν μοι εοι· τιϝσω δε ͱε ϝεισϝον ορεστῃ,
ͱος μοι τηλυγετος τρεφεται θαλιῃ ενι πολλῃ.
τρεες δε μοι εντι θυγατρες ενι μεγαρῳ ͱεϋπηγτῳ,
χρυσοθεμις, και λαϝοδικη, και ϝῖφιϝανασσα·
ταϝων, ͱην κ' εθελητι, φιλην αεεδνον αγεσθω
προς ϝοικον πηλεϝος· εγω δ' επι μειλια δῶσω
πολλα μαλ', ͱοσ' ουπῳ τις ͱεϝῃ επ' εδῶκε θυγατρι.
ταϝτα κε ͱοι τελεσαιμι μεταληγσαντι χολοϝο.
δμῆθητω· αϝιδης τοι αμειλιχος, ηδ' αδαμαστος,
τοονεκα και τε βροτοισι θεων εχθιστος ͱαπαντων·
και μοι ͱυποστητω, ͱοσον βασιλεϝτερος ἦμι,
ηδ' ͱοσον γενεῃ προγενεστερος ευχομαι εεναι.
τον δ' ἦμειβετ' επειτα γερηνιος ͱιπποτα νεστωρ·
ατρεϝιδη κυϝδιστε, ϝανακς ανδρων αγαμεμνον,
δῶρα μεν ουκ ετ' ονοστα διδοις αχιλεϝι ϝανακτι·
αλλ' αγετε, κλῆτοϝς οτρυνομεν, ͱοι κε ταχιστα
ελθωντ' ες κλισιην πηλεϝιαδαϝ' αχιλεϝος.
ει δ', αγε, τοϝς αν εγων επιοπτσομαι, ͱοι δε πιθεσθων·
φοινικς μεν πρῶτιστα, διϊ φιλος, ͱηγησασθω,
αϝταρ επειτ' αιϝανς τε μεγας και διϝος ͱοδυσσεϝς·
κηρῦκων δ' ͱοδιος τε και ευρυβατης ͱαμ' ͱεπεσθων.
φερτε δε χερσιν ͱυδωρ, ͱεϋφημησαι τε κελεσθε,
ͱοφρα διϊ κρονιδῃ αρῆσομεθ', αι κ' ελεησῃ.
ͱως φατο· τοισι δε παντσι ϝεϝανδοτα μυϝθον εϝεσπεν.
αϝτικα κηρῦκες μεν ͱυδωρ επι χειρας εχεϝσαν,
κοϝροι δε κρῆτηρας επεστεφσαντο ποτοϝο·
νωμῆσαν δ' αρα παντσιν, επαρχσαμενοι δεπαεσιν.
αϝταρ επει σπενδσαν τ', επιϝον θ' οσον ηθελε θυϝμος,
ͱορμῶντ' εκ κλισιης αγαμεμνονος ατρεϝιδαϝο.
τοισι δε πολλ' επετελλε γερηνιος ͱιπποτα νεστωρ,
δενδιλλων ες ͱεκαστον, ͱοδυσσεϝι δε μαλιστα,
πειρᾶν, ͱως πεπιθοιεν αμυϝμονα πηλεϝιϝῶνα.
τω δ' εβατην παρα θῖνα πολυφλοισβοϝο θαλασσης,
πολλα μαλ' ευχομενω γαιηͱοχῳ εννοσιγαιῳ,
ρεϝιδιως πεπιθεεν μεγαλας φρενας αιϝακιδαϝο.
μυρμιδονων δ' επι τε κλισιας και ναϝας ͱικεσθην·
τον δ' ͱευρον φρενα τερπομενον φορμιγγι λιγυιῃ,
καλῃ, δαιδαλεῃ, επι δ' αργυρεος δσυγος ἦεν·
την ͱαρετ' εκς εναρων, πολιν ηετιϝῶνος ολεσσανς·
τῃ ͱογε θυϝμον ετερπεν, αϝειδε δ' αρα κλεε' ανδρων.

πατροκλος δε ϝοι οιος εναντιος ϝηστο σιωπῃ,
δεχμενος αιϝακιδην, ϝοποτε ληγσειεν αϝειδων. I
τω δ' εβατην προτερῳ, ϝηγεετο δε διϝος ϝοδυσσεϝς·
σταν δε προσθ' αϝτοϝο· ταφων δ' ανοροϝσεν αχιλλεϝς
αϝτῃ γσυν φορμιγγι, λιπων ϝεδος, ενθα θαϝασσεν.
ϝως δ' αϝτως πατροκλος, επει ϝιδε φωτας, ανεστη·
τω και δεχνυμενος προσεφη ποδας ωκυς αχιλλεϝς·
χαιρετον! η φιλοι ανδρες ϝικανετον· η τι μαλα χρη·
ϝοι μοι σκυδσομενῳ περ αχαιϝων φιλτατοι εστον.
ϝως αρα φωνησανς προτερῳ αγε διϝος αχιλλεϝς,
ϝεσσεν δ' εν κλισμοισι, ταπησι τε πορφυρεοισιν·
αιψα δε πατροκλον προσεφωνεεν, εγγυς εοντα·
μειδσονα δη κρητηρα, μενοιτιοϝ ϝυιε, καθιστα,
δσαϝροτερον δε κεραϝε, δεπας δ' εντυϝνον ϝεκαστῳ·
ϝοι γαρ φιλτατοι ανδρες εμῳ ϝυπεαντι μελαθρῳ.
ϝως φατο· πατροκλος δε φιλῳ επεπειθεθ' εταιρῳ.
αϝταρ ϝογε κρειον μεγα κατβαλεν εν πυρος αϝγῃ,
εν δ' αρα νωτον εθηκ' οϝιος και πιϝονος αιγος,
εν δε συος σιϝαλοϝο ραχιν τεθαλυιαν αλοιφῃ.
τῳ δ' ϝεχεν αϝτομεδων, ταμνεν δ' αρα διϝος αχιλλεϝς·
και τα μεν ϝευ μιστυλλε, και αμφ' οβελοισιν επειρεν·
πυρ δε μενοιτιαδης δαϝεν μεγα, ϝεισϝοθεος φως.
αϝταρ επει κατα πυρ εκαϝη, και φλογς εμαρανθη,
ανθρακιην στορεσανς, οβελοϝς εφυπερθ' ετανυσσεν·
πασσε δ' ϝαλος θειοϝο, κρατευταϝων επαϝηρανς.
αϝταρ επει ρ' ωπτησε, και εν ϝελεοισιν εχεϝσεν,
πατροκλος μεν σιτον ϝελων επενημε τραπεδσῃ,
καλοισ' εν κανεοισιν· αταρ κρε' ενημεν αχιλλεϝς.
αϝτος δ' αντιον ϝιδσεν ϝοδυσσεϝος θειοϝο,
τοιχοϝο τοϝ ϝετεροϝο· θεοισι δε θυϝσαι ανωγεν
πατροκλον, ϝον ϝεταιρον· ϝο δ' εν πυρ' εβαλλε θυϝηλας.
ϝοι δ' επ' ονειαθ' ετοιμα προκειμενα χειρας ιαλλον.
αϝταρ επει ποσιος και εδητυος εκς ερον ϝεντο,
νευσ' αιϝανς φοινικι· νοησε δε διϝος ϝοδυσσεϝς,
πλησαμενος δε δεπας ϝοινοϝ εδεδεχτ' αχιλεϝα·
χαιρ', αχιλεϝ! δαιτος μεν ϝεϊσϝης ουκ επιδεϝεες,
ημεν ενι κλισιῃ αγαμεμνονος ατρεϝιδαϝο,
ηδε και ενθαδε νυν· παρα γαρ μενοϝεικεα πολλα·
αλλα λιϝην μεγα πημα, διοτρεφες, εισϝοραοντες,
δεδδιμεν· εν δοιῃ δε, σαωσεμεν, η απολεσθαι
ναϝας ϝεϋσελμοϝς, ει μη συγε δυϝσεαι αλκην.
εγγυς γαρ ναϝων και τειχεος αϝλιν εθεντο
τροϝες ϝυπερθυϝμοι, τηλεκλητοι τ' επικουροι,
κηαμενοι πυρα πολλα κατα στρατον, ουδ' ετι φαντιν
σχησεσθ', αλλ' εν ναϝσι μελαινῃσιν πεσεεσθαι.
δσεϝς δε σφιν κρονιδης ενδεχσια σηματα φαινων

αστραπτει· ͱεκτωρ δε μεγα σθενεϊ βλεμεαινων
μαινεται εκπαγλως, πιθυνος διϊ, ουδε τι τιϝει
ανερας, ουδε θεοϝς· κρατερη δε ͱε λυσσα δεδυϝκεν.
αραεται δε ταχιστα φανημεναι ηοα διϝαν· 240
στεϝται γαρ ναϝων αποκοπτσεμεν ακρα κορυμβα,
αϝτας τ᾽ ενπρηθσεεν μαλεροο πυρος· αϝταρ αχαιϝοϝς
δαϝιωσεεν παρα τησιν ατυδσομενοϝς ͱυπο καπνοο.
ταϝτ᾽ αινως δεδϝοιδκα κατα φρενα, μη ͱοι απειλας
εκτελεσωντι θεοι· ͱημιν δε δη αισιμον ειη 245
φθισθαι ενι τροϝιη, ͱεκας αργεος ͱιπποβοτοϝο. 246
αϝτω τοι μετοπισθ᾽ αχος εσσεται, ουδε τι μηχος 249
ρεχθεντος κακοϝ εστ᾽ ακος ευρεμεν· αλλα πολυ πριν 250
φραδσε᾽, ͱοπως δαναοισιν αλεκσησεις κακον ͱημαρ.
ω πεπον, η μεν σοιγε πατηρ επετελλετο πηλεϝς
ͱηματι τω, ͱοτε σ᾽ εκ φθιϝης αγαμεμνονι πεμπεν·
τεκνον εμον, καρτος μεν αθηναιη τε και ͱηρη
δωσοντ᾽, αι κ᾽ εθελωντι· συ δε μεγαλητορα θυϝμον 255
ͱισχεμεν εν στηθεσσι· φιλοφροσυνη γαρ αμεινων·
ληγεμεναι δ᾽ εριδος κακομηχανοϝ, ͱοφρα σε μαλλον
τιϝωντ᾽ αργειϝων ημεν νεϝοι ηδε γεροντες.
ͱως επετελλ᾽ ͱο γερων· συ δε ληθεαι· αλλ᾽ ετι και νυν
παϝε᾽, εϝα δε χολον θυϝμαλγεα· σοι δ᾽ αγαμεμνων 260
αγσια δωρα διδωτι μεταληγσαντι χολοϝο.
ει δε, συ μεν μεϝ ακοϝσον, εγω δε κε τοι καταλεγσω,
ͱοσα τοι εν κλισιησιν ͱυπεσχετο δωρ᾽ αγαμεμνων·
ͱεπτ᾽ απυροϝς τριποδας, δεκα δε χρυσοϝο ταλαντα,
αιθωνας δε λεβητας ϝεϊκοσι, δωδεκα δ᾽ ͱιπποϝς. 265
ου κεν αλεϝιος ειη ανηρ, ͱω τοσα γενοιτο, 267
ͱοσ᾽ αγαμεμνονος ͱιπποι αϝεθλια ποδσιν ͱαροντο. 269
δωσει δ᾽ ͱεπτα γυναικας αμυμονα ϝεργα ϝιδυιας, 270
λεσβιδας, ͱας, ͱοτε λεσβον ͱεϋκτιμενην ͱελες αϝτος,
εκσͱελεθ᾽, αι τοτε καλλει ενικων φυϝλα γυναικων.
τας μεν τοι δωσει, μετα δ᾽ εσσεται, ͱην τοτ᾽ απηϝρα
κοϝρην βρισεϝος· και επι μεγαν ͱορκον ομεεται,
μη ποτε της ευνης επιβημεναι, ηδε μιγηναι, 275
ͱη θεμις εστι, ϝαναξ, ητ᾽ ανδρων, ητε γυναικων.
ταϝτα μεν αϝτικα παντα παρεσσεται· ει δε κεν αϝτε
ϝαστυ μεγα πριαμοϝο θεοι δωωντ᾽ αλαπακσαι,
ναϝας ͱαλις χρυσοο και χαλκοϝο ναϝησασθαι,
εισελθων, ͱοτε κεν δατεωμεθα λεϝιδ᾽ αχαιϝοι. 280
τροϝιαδας δε γυναικας ϝεϊκοσιν αϝτος ͱελεσθαι,
ͱαι κε μετ᾽ αργειϝην ͱελενην καλλισται εωντιν.
ει δε κεν αργος ͱικοιμεθ᾽ αχαιϝικον, ουθαρ αροϝρης,
γαμβρος κεν ͱοι εοις· τιϝσει δε σε ϝεισϝον ορεστη,
ͱος ͱοι τηλυγετος τρεφεται θαλιη ενι πολλη. 285
τρεες δε ͱοι εντι θυγατρες ενι μεγαρω ͱεϋπηγτω,

χρυσοθεμις, και λαϝοδικη, και ϝιφιϝανασσα·
ταϝων, ͱην κ' εθελῇσθα, φιλην αεεδνον αγεσθαι
προς ϝοικον πηλεϝος· ͱο δ' αϝτ' επιμειλια δῶσει
πολλα μαλ', ͱοσ' ουπῷ τις ͱεϝῇ επεδῶκε θυγατρι.
ταϝτα κε τοι τελεσειε μεταληγσαντι χολοϝο.
ει δε τοι ατρεϝιδης μεν απηχθετο κεαροθι μαλλον,
αϝτος, και τοϝο δῶρα· συ δ' αλλοϝς περ παναχαιϝοϝς
τειρομενοϝς ελεαιρε κατα στρατον, ͱοι σε, θεον ͱως,
τιϝσοντ'· η γαρ κε σφι μαλα μεγα κυϝδος ͱαροιο.
νῦν γαρ χ' εκτορ' ͱελοις, επει αν μαλα τοι σχεδον ελθῇ,
λυσσαν ͱεχων ολοϝην· επει ουτινα φητιν ͱομοιον
ͱοι εμεναι δαναων, ͱοϝς ενθαδε ναϝες ενενκαν.
τον δ' απαμειβομενος προσεφη ποδας ὦκυς αχιλλεϝς·
διϝογενες λαϝερτιαδη, πολυμηχαν ͱοδυσσεϝ,
χρη μεν δη τον μυϝθον απηλεγεως αποϝεσπεεν,
ͱῇ περ δη κρανεω τε, και ͱως τετελεσμενον εσται,
ͱως μη μοι τρυδσητε παρͱημενοι αλλοθεν αλλος.
εχθρος γαρ μοι κεινος ͱομως αϝιδαϝο πυλῇσιν,
ͱος χ' ετερον μεν κεϝθῇ ενι φρεσιν, αλλο δε ϝεσπῇ.
αϝταρ εγω ϝερεω, ͱως και τετελεσμενον εσται·
ουτ' εμε γ' ατρεϝιδην αγαμεμνονα πειθσεμεν οιϝω,
ουτ' αλλοϝς δαναοϝς, επει ουκ αρα τις χαρις ῆεν
μαρνασθαι δαϝιοισιν επ' ανδρεσι νωλεμες αιϝει.
ϝεισϝη μοιρα μενοντι, και ει μαλα τις πολεμιδσοι·
εν δε μιῇ τιϝμῇ ημεν κακος, ηδε και εσθλος·
ουδε τι μοι περικειται, επει παθον αλγεα θυϝμῷ,
αιϝει εμην πσυϝχην παραβαλλομενος πολεμιδσεεν.
ͱως δ' ορνιχς απτῇσι νεοσσοισι προφερητιν
μαστακ', επει κε λαβητι, κακῶς δε τε ͱοι πελει αϝτῇ·
ͱως και εγω πολλας μεν αͱυπνοϝς νυκτας ͱιαϝον,
ͱηματα δ' ͱαιματοεντα διεπρῆσσον πολεμιδσων,
ανδρεσι μαρναμενος, ͱοαρων ͱενεκα σφετεραϝων.
δῶδεκα δη γσυν ναϝσι πολιας αλαπακσ' ανθρῶπων,
πεδσος δ' ͱενδεκα φημι κατα τροϝιην εριβωλον·
ταϝων εκ παντσεων κειμηλια πολλα και εσθλα
εκσͱελομην, και παντα φερων αγαμεμνονι δοσκον
ατρεϝιδῃ· ͱο δ' οπισθε μενων παρα ναϝσι θοϝῇσιν,
δεχσαμενος, δια παϝρα δασᾶσκετο, πολλα δ' ͱεχεσκεν.
αλλα δ' αριστεϝεσ' εδιδῶ γερα, και βασιλεϝσιν·
τοισι μεν εμπεδα κειται, εμεο δ' απο μουνοϝ αχαιϝων
ͱελλεθ'· εχει δ' ͱαλοχον θυϝμαρεα, τῇ παρͱιαϝων
τερπεσθω. τι δε δεῖ πολεμιδσεμεναι τροϝεσιν
αργειϝοϝς; τι δε λαϝον ανῆγαγεν ενθαδ' αγῆρανς
ατρεϝιδης; η' ουχ' ελενης ͱενεκ' ῆϋκομοϝο;
η μουνοι φιλεονθ' αλοχοϝς μεροπων ανθρωπων
ατρεϝιδαι; επει ͱοστις ανηρ αγαθος και ͱεχεφρων,

την αϝτοο φιλεει και κηδεται· ͱως και εγω την I
εκ θυϝμοο φιλεον, δορϝικτητην περ εοντσαν.
νῦν δ' επει εκ χειρων γερας ͱελλετο, και μ' απατῆσεν,
μη μεϝο πειραετω ͱεῢ ϝειδοτος· ουδε με πειθσει.
αλλ', ͱοδυσεϝ, γσυν σοι τε και αλλοισιν βασιλεϝσιν
φραδσεσθω, ναϝεσιν αλεκσεμεναι δαϝιον πυρ.
η μεν δη μαλα πολλ' επονησατο νοσφιν εμεϝο,
και δη τειχος εδῆμε, και ηλασε ταφρον επ' αϝτῷ
ευρυιαν, μεγαλην· εν δε σκολοπας κατεπηγσεν·
αλλ' ουδ' ͱως δυναται σθενος ͱεκτορος ανδροφονοϝο
ͱισχεμεν· ͱοφρα δ' εγω μετ' αχαιϝοισιν πολεμιδσον,
ουκ εθελεσκε μαχην απο τειχεος ορνυμεν' ͱεκτωρ,
αλλ' ͱοσον ες σκαιϝας τε πυλας και φηγον ͱικανεν·
ενθα ποτ' οιον εμιμνε, μογις δε μεϝ' εκφυγεν ͱορμην.
νῦν δ' επει ουκ εθελω πολεμιδσεμεν ͱεκτορι διϝῷ,
αϝριον ͱιερα διϊ ρεκσανς και παντσι θεοισιν,
ναϝησανς ͱεῢ ναϝας, επῆν ͱαλαδε προϝερυσσω,
οπτσεαι, ῆν εθελῇσθα, και αι κεν τοι τα μεμῆλῃ,
ῆρι μαλ' ͱελλησποντον εφ' ιχθυοεντα πλεϝοντσας
ναϝας εμας, εν δ' ανδρας ερεσσεμεναι μεμαϝῶτας·
ει δε κεν ͱευπλοϝιην δῷῃ κλυτος εννοσιγαιος,
ͱηματι κε τριτατῷ φθιϝην εριβῶλον ͱικοιμην.
εστι δε μοι μαλα πολλα, τα κατλιπον ενθαδε ϝερρων·
αλλον δ' ενθενδε χρυσον και χαλκον ερυθρον,
ηδε γυναικας ͱεῢδσωνοϝς, πολιον τε σιδηρον
αγσομαι, ͱασα λελονχα. γερας δε μοι, ͱοσπερ εδῶκεν,
αϝτις εφυβριδσων ͱελετο κρεϝων αγαμεμνων
ατρεϝιδης· τῷ παντ' αγορεϝεμεν, ͱως επιτελλω,
ανφαδον· ͱοφρα και αλλοι επισκυδσωνται αχαιϝοι,
ει τινα ποο δαναων ετι ͱελπεται εκσαπατῆσεεν,
αιϝεν αναιδειην επιϝεσμενος· ουδ' αν εμοιγε
τετλᾶιη, κυνεος περ εων, εις ῶπα ϝιδεσθαι·
ουδε τι ͱοι βουλας γσυνφρασσομαι, ουδε τι ϝεργον.
εκ γαρ δη μ' απατῆσε, και ῆλιτεν· ουδ' αν ετ' αϝτις
εκσαπαφοιτο ϝεπεσσιν· ͱαλις δε ͱοι· αλλα ͱεκηλος
ϝερρετω· εκ γαρ ͱεϝο φρενας ͱελλετο μητιετα δσεϝς.
εχθρα δε μοι τοϝο δῶρα· τιϝω δε μιν εν καρος αισῃ.
ουδ' ει μοι δεκακις και ϝεικοσακις τοσα δοιη,
ͱοσα τε ͱοι νῦν εστι, και ει ποθεν αλλα γενοιτο·
ουδ' ͱοσ' ες ορχομενον ποτινισσεται, ουδ' ͱοσα θηβας
αιγυπτιας, ͱοθι πλειστα δομοισ' εν κτηματα κειται,
ͱαι θ' εκατονπυλοι εντι, διηκοσιοι δ' αν' ͱεκαστας
ανερες εκσοιχνεοντι σὺν ͱιπποισιν και ͱοχεσσιν·
ουδ' ει μοι τοσα δοιη, ͱοσα πσαμαθος τε κονις τε,
ουδε κεν ͱως ετι θυϝμον εμον πειθσει' αγαμεμνων.
κοϝρην δ' ου γαμεω αγαμεμνονος ατρεϝιδαϝο·

ουδ' ει χρυσειῃ αφροδιτῃ καλλος εριδσοι, I
Fεργα δ' αθηναιῃ γλαFκωπιδι FεισFοφαριδσοι,
ουδε μιν ͱως γαμεω· ͱο δ' αχαιFων αλλον ͱελεσθω,
ͱοστις ͱοι τε FεFοικε, και ͱος βασιλεFτερος εστιν.
ην γαρ δη με σαωντι θεοι, και Fοικαδ' ͱικωμαι,
πηλεFς θην μοι επειτα γυναικα γαμησεται αFτος.
πολλαι αχαιFιδες εντιν αν' ͱελλαδα τε φθιFην τε,
κοFραι αριστεFων, ͱοι τε πτολιεθρα ρυFονται·
ταFων ͱην κ' εθελοιμι, φιλην ποιησομ' ͱακοιτιν.
ενθα δε μοι μαλα πολλον επεσσυτο θυFμος αγηνωρ,
γημαντα μνηστην ͱαλοχον, FεFικυιαν ͱακοιτιν,
κτημασι τερπεσθαι, τα γερων εκτησατο πηλεFς.
ου γαρ εμοι πσυFχης ανταγσιον, ουδ' ͱοσα φαντιν
FιλFιοFο κτησθαι, ͱεϋναιομενον πτολιεθρον,
το πριν επ' ειρηνης, πριν γ' ελθεμεν ͱυιας αχαιFων·
ουδ' ͱοσα λαFινος ουδος αφητορος εντος εεργει
φοιβοF' απολλωνος πυθοῖ ενι πετρηεντσῃ.
λεFιστοι μεν γαρ τε βοFες και Fιφια μηλα,
κτητοι δε τριποδες τε, και ͱιππων χσανθα καρηνα·
ανδρος δε πσυFχη παλιν ελθεμεν ουτε λεFιστη,
ουθ' ελετη, επει αρ κεν αμειβσεται ͱερκος οδοντων.
μητηρ γαρ τε με φητι θεα, θετις αργυροπεδσα,
διχθαδιας κηρας φερεμεν θανατοFο τελοσδε.
ει μεν κ' αFθι μενων τροFων πολιν αμφι μαχωμαι,
ωλετο μεν μοι νοστος, αταρ κλεος αφθιτον εσται·
ει δε κε Fοικαδ' ͱικωμαι ιων ες πατριδα γαιαν,
ωλετο μοι κλεος εσθλον, επι δηρον δε μοι αιFων.
και δ' αν τοισ' αλλοισιν εγω παραμυθησαιμην
Fοικαδ' αποπλεFεεν· επει ουκετι δηετε τεκμωρ
FιλFιοF' αιπυινης· μαλα γαρ ͱεθεν ευρυοπα δσεFς
χειρα ͱεFην ͱυπερεσχε, τεθαρσηκαντι δε λαFοι.
αλλ' ͱυμεες μεν ιοντες αριστεFεσιν αχαιFων
ανγελιην αποφασθε, το γαρ γερας εστι γεροντων·
ͱοφρ' αλλην φραδσωνται ενι φρεσι μητιν αμεινω,
ͱη κε σφιν ναFας τε σαῳ, και λαFον αχαιFων
ναFσιν επι γλαφυρῃσ'· επει ου σφισιν ͱηδε γ' ͱετοιμη.
ͱως εφαθ'· οι δ' αρα παντες ακην εγενοντο σιωπῃ,
μυFθον αγασσαμενοι· μαλα γαρ κρατερως απεFεσπεν.
οπσε δε δη μετεFεσπε γερων ͱιππηλατα φοινικς,
δακρυF' αναπρηθσανς, περι γαρ διε ναFσιν αχαιFων·
ει μεν δη νοστον γε μετα φρεσι, φαιδιμ' αχιλλεF,
βαλλεαι, ουδε τι πανπαν αμυFνεεν ναFσι θοFῃσιν
πυρ εθελεις αFιδηλον, επει χολος ενπεσε θυFμῳ·
πως αν επειτ' απο σεFο, φιλον τεκος, αFθι λιποιμην
οιος; σοι δε μ' επεμπε γερων ͱιππηλατα πηλεFς
ͱηματι τῳ, ͱοτε σ' εκ φθιFης αγαμεμνονι πεμπεν

νηπιον, ουπω̃ ϝειδοθ' ομοιϊοϝο πτολεμοϝο,
ουδ' αγορεων, ͱινα τ' ανδρες αριπρεπεες τελεθουτιν· I
τοονεκα με προεͱη̃κε διδασκεμεναι ταδε παντα,
μυϝθων τε ϝρη̃τηρ' εμεναι, πρη̃κτηρα τε ϝεργων.
ͱως αν επειτ' απο σεϝο, φιλον τεκος, ουκ εθελοιμι
λειπεσθ', ουδ' ει κεν μοι ͱυποσταιη θεος αϝτος,
γηρας αποχσυϝσανς, θησεεν νεϝον ͱηβαϝοντα,
ͱοιον ͱοτε πρω̃τον λιπον ͱελλαδα καλλιγυναικα,
φευγων νεικεα πατρος αμυϝντορος ορμενιδαϝο·
ͱος μοι παλλακιδος περι χω̃σατο καλλικομοϝο,
την αϝτος φιλεεσκεν, ατιϝμαδσεσκε δ' ͱακοιτιν,
μητερ' εμην· ͱη δ' αιϝεν εμε λισσεσκετο γουϝων,
παλλακιδι προμιγηναι, ͱιν' εχθη̃ρειε γεροντα.
τη̃ πιθομην, και ερεκσα· πατηρ δ' εμος, αϝτικ' οϊϝσθευς,
πολλα κατη̃ρατο, στυγερας δ' επεκεκλετ' εριννυας,
μη ποτε γουϝασ' εμοισιν εφεσσεσθαι φιλον ͱυιον
εκς εμεθεν γεγαϝω̃τα· θεοι δ' ετελεϝον επαρας.
τον μεν εγω βουλεϝσα κατακταμεν ͱοκσυϊ χαλκω̃,
αλλα τις αθανατων παϝσεν χολον, ͱος ρ' ενι θυϝμω̃
δημοϝ' εθηκε φατιν και ονειδεα πολλ' ανθρωπων·
ͱως μη πατροφονος μετ' αχαιϝοισιν καλεοιμην.
ενθ' εμοι ουκετι πανπαν ερητυϝετ' εν φρεσι θυϝμος,
πατρος χωομενοϝο, κατα μεγαρα στροφαεσθαι.
η μεν πολλα ͱεται και ανεπσιοι αντιαοντες
αϝτοϝο λισσομενοι κατερητυϝον εν μεγαροισιν·
πολλα δε ϝιφια μηλα και ͱελλιποδας ϝελικας βοϝς
εσφαδσον, πολλοι δε συες θαλεθοντες αλοιφη̃
ͱεϝομενοι τανυϝοντο δια φλογος ͱηφαιστοϝο·
πολλον δ' εκ κεραμων μεθυ πιϝνετο τοϝο γεροντος.
ͱενναυυχες δε μοι αμφ' αϝτω̃ παρα νυκτας ͱιαϝον·
ͱοι μεν αμειβομενοι φυλακας ͱεχον· ουδε ποτ' εσβη
πυρ, ͱετερον μεν ͱυπ' αιθουση̃ ͱεϋͱερκεος αϝλης,
αλλο δ' ενι προδομω̃, προσθεν θαλαμοϝο θυραϝων.
αλλ' ͱοτε δη δεκατη μοι επηλυθε νυκς ερεβεννη,
και τοτ' εγω θαλαμοϝο θυρας πυκινως αραρυιας
ϝρη̃γσανς εκσηλθον, και ͱυπερθορον ͱερκιον αϝλης
ρεϝα, λαθων φυλακας τ' ανδρας, δμω̃ας τε γυναικας.
φευγον επειτ' απανευθε δι' ͱελλαδος ευρυχοροϝο,
φθιϝην δ' εκσͱικομην εριβω̃λακα, μητερα μηλων,
ες πηλεϝα ϝαναχθ'· ο δε με προφρων ͱυπεδεχτο,
και μ' εφιλησ', ως ει τε πατηρ ͱον παιδα φιλησῃ
μουνον, τηλυγετον, πολλοισιν επι κτεατεσιν·
και σε τοσοϝτον εθη̃κα, θεοισ' επιϝεικελ' αχιλλεϝ,
εκ θυϝμοο φιλεων· επει ουκ εθελεσκες ͱαμ' αλλω̃
ουτ' ες δαιτ' ιμεναι, ουτ' εν μεγαροισι πασασθαι,
πριν γ' ͱοτε δη σ' επ' εμοισιν εγω γουϝατσι καθισσανς,

οπσοϝο θ' αδσαιμι προταμων, και ϝοινον επισχων. I
πολλακι μοι κατεδευσας επι στηθεσσι χιτῶνα
ϝοινοϝ, αποβλυδσων εν νηπιεῃ αλεγεινῃ.
  ͱως επι σοι μαλα πολλ' επαθον, και πολλ' εμογησα,
τα φρονεων, ͱο μοι ουτι θεοι γονον εκσετελεϝον
εκς εμεϝ· αλλα σε παιδα, θεοισ' επιϝεικελ' αχιλλεϝ,
ποιεομην, ͱινα μοι ποτ' αϝεικεα λοιγον αμυϝνῃς.
αλλ', αχιλεϝ, δαμασον θυϝμον μεγαν· ουδε τι σε χϱη
νηλεες ητοϱ ͱεχεεν· στρεφτοι δε τε και θεοι αϝτοι,
των περ και μειδσων αρετη, τιϝμη τε, βιη τε.
και μεν τοϝς θυϝεεσι και ευχωλῃσ' αγανῃσιν,
λοιβῃ τε, κνισσῃ τε, παρατροπαουτ' ανθρωποι
λισσομενοι, ͱοτε κεν τις ͱυπερβῃῃ και αμαρτῃ.
και γαρ τε λιται εντι διος κοϝραι μεγαλοϝο,
χωλαι τε, ρυϝσαι τε, παραβλῶπες τ' οφθαλμω·
ͱαι ρα τε και μετοπισθ' αϝατης αλεγοντι κιοντσαι.
ͱη δ' αϝατη σθεναρη τε και αρτιπος· ͱοονεκα παντσας
πολλον ͱυπεκπροθεϝει, φθανεει δε τε παντσαν επ' αιαν,
βλαπτοντσ' ανθρωποϝς· ͱαι δ' εκσακεονται οπισσω.
ͱος μεν τ' αιδεσεται κοϝρας διος, ασσον ιοντσας,
τον δε μεγ' ὤνησαν, και τ' εκλυϝον ευχσαμενοϝο·
ͱος δε κ' ααινηται, και τε στερεως αποϝεσπῃ,
λισσονται δ' αρα ταιγε δια κρονιϝῶνα κιοντσαι,
τῷ αϝατην ͱαμ' ͱεπεσθαι, ͱινα βλαφθενς αποτιϝσῃ.
  αλλ', αχιλεϝ, ποϱε και συ διος κοϝϱῃσιν ͱεπεσθαι
τιϝμην, ͱητ' αλλων περ επιγναμπτει νοον εσθλων.
ει μεν γαρ μη δῶρα φεροι, τα δ' οπισθ' ονομαδσοι
ατρεϝιδης, αλλ' αιϝεν επιδσαφελως χαλεπαινοι,
ουκ αν εγωγε σε μηνιν αποριπτσαντα κελοιμην
αϱγειϝοισιν αμυϝνεμεναι, χατεοντσι περ ευπης·
νῦν δ' ͱαμα τ' αϝτικα πολλα διδοῖ, τα δ' οπισθεν ͱυπεστη,
ανδϱας δε λισσεσθαι επιπϱοεͱῆκεν αριστοϝς,
κρῖναμενος κατα λαϝον αχαιϝικον, ͱοιτε σοι αϝτῷ
φιλτατοι αργειϝων· των μη συγε μυϝθον ελενγσῃς,
μηδε ποδας· πριν δ' ουτι νεμεσῆτον κεχολῶσθαι.
ͱοϝτῷ και των προσθεν επευθομεθα κλεε' ανδρων
ͱηροϝων, ͱοτε κεν τιν' επιδσαφελος χολος ͱικοι,
δῶϱητοι τ' επελοντο, παραϝρῆτοι τε ϝεπεσσιν.
  μεμνῆμαι τοδε ϝεργον εγω παλαι, ουτι νεϝον γε,
ͱως ῆν· εν δ' ͱυμῖν ϝερεω παντεσι φιλοισιν.
κουϱητες τ' εμαχοντο και αιτωλοι μενεχαρμαι
αμφι πολιν καλυδῶνα, και αλληλοϝς εναριδσον·
αιτωλοι μεν, αμυϝνομενοι, καλυδῶνος ερανvης·
κουρητες δε, διαπραθεεεν μεμαϝῶτες αρεϝι.
και γαρ τοισι κακον χρυσοθρονος αρτεμις ὦρσεν
χῶσαμενη, ͱο ͱοι ουτι θαλυσια γουϝῷ αλοϝῆς

ϝοινεϝς ρεκσ᾽· αλλοι δε θεοι δαινῦνθ᾽ εκατονβας·
ͱη δε χολῶσαμενη, διϝον γενος, ͱιͱοχεαιρα,
ὦρσεν επι χλοϝνην συν αγριον, αργιοδοντα,
ͱος κακα πολλ᾽ ερδεσκε ϝεθων ϝοινεϝος αλοϝην·
πολλα δ᾽ ͱογε προθελυμνα χαμαι βαλε δενδρεα μακρα
αϝτῇσι ϝριδσῇσι, και αϝτοισ᾽ ανθεσι μηλων.
τον δ᾽ ͱυϊος ϝοινεϝος απεκτεινεν μελεαγρος,
πολλεων εκ πολιων θηρεϝτορας ανδρας αγῆρανς,
και κυνας· ου μεν γαρ κ᾽ εδαμη παϝροισι βροτοισιν·
τοσος εῆν, πολλοϝς δε πυρης επεβησ᾽ αλεγεινης.
ͱη δ᾽ αμφ᾽ αϝτῷ εθῆκε πολυν κελαδον και αϝυϝτην,
αμφι συος κεφαλῇ και δερματι λαχνῆεντι,
κουρητων τε μεσηγυ και αιτωλων μεγαθυϝμων.
ͱοφρα μεν ὦν μελεαγρος αρεϝιφιλος πολεμιδσεν,
τοφρα δε κουρητεσι κακως ῆν· ουδ᾽ εδυναντο
τειχεος εκτοσθεν μιμνεεν, πολυες περ εοντες.
αλλ᾽ ͱοτε δη μελεαγρον εδῦ χολος, ͱοστε και αλλων
ͱοιδανει εν στηθεσσι νοον πυκα περ φρονεοντων·
ητοι ͱο, μητρι φιλῃ αλθαιῃ χωομενος κεαρ,
κειτο παρα μνῆστῃ ͱαλοχῳ, καλῃ κλεοπατρῇ,
κοϝρῃ μαρπισσης καλλισφυροϝ᾽ ͱευͱηνῖνης,
ιδεο θ᾽, ος καρτιστος επιχθονιων γενετ᾽ ανδρων,
των τοτε· και ρα ϝανακτος εναντιον ͱελλετο τοκσον
φοιβοϝ᾽ απολλῶνος, καλλισφυροϝ᾽ ͱεινεκα νυμφης·
την δε τοτ᾽ εν μεγαροισι πατηρ και ποτνια μητηρ
αλκυονην καλεεσκον επῶνυμον, ͱοονεκ᾽ αρ᾽ αϝτης
μητηρ, αλκυονος πολυπενθεος οιτον ͱεχοντσα,
κλαϝ᾽, ͱοτε μιν ͱεκαϝεργος ανͱαρπασε φοιβος απολλων.
τῇ ͱογε παρκατελεχτο, χολον θυμαλγεα πεσσων,
εκς αρεων μητρος κεχολῶμενος, ͱη ρα θεοισιν
πολλ᾽ αχεοντσ᾽ ῆρᾶτο κασιγνῆτοϝο φονοϝο·
πολλα δε και γαιαν πολυφορβην χερσιν αλοϝα,
κικλησκοντσ᾽ αϝιδην και επαινην περσεφονειαν,
προχνυ καθεδσομενη, δευοντο δε δακρυσι κολποι,
παιδι δομεν θανατον· της δ᾽ ῆεροφοιτις ερινυς
εκλυϝεν εκς ερεβεσφιν, αμειλιχον ητορ ͱεχοντσα.
των δε ταχ᾽ αμφι πυλας ͱομαδος και δουπος ορωρεεν
πυργων βαλλομενων· τον δ᾽ ελισσοντο γεροντες
αιτωλων, πεμπον δε θεων ͱιερεϝας αριστοϝς,
εκσελθεεν και αμυϝναι, ͱυποσχομενοι μεγα δῶρον·
ͱοποθι πιϝοτατον πεδιον καλυδῶνος εραννης,
ενθα μιν ῆνωγον τεμενος περικαλλες ͱελεσθαι,
πεντηκοντογυον· το μεν ͱημισυ, ϝοινοπεδοϝο,
ͱημισυ δε, πσιλην αροσιν πεδιοϝο ταμεσθαι.
πολλα δε μιν λιτανεϝε γερων ͱιππηλατα ϝοινεϝς,
ουδοϝ επ᾽ ενβεβαως ͱυπσηρεφεος θαλαμοϝο,

σειων κολλῆτας σανιδας, γουϝῶμενος ͱυιον· I
πολλα δε τονγε κασιγνῆται και ποτνια μητηρ
ελισσονθ'· ο δε μαλλον ααινετο· πολλα δ' ͱεταιροι, 585
ͱοι ͱοι κεδνοτατοι και φιλτατοι ῆσαν ͱαπαντων·
αλλ' ουδ' ͱως τοϝο θυϝμον ενι στηθεσσιν επειθον,
πριν γ' ͱοτε δη θαλαμος πυκ' εβαλλετο, τοι δ' επι πυργων
βαινον κουρητες, και ενεπρῆθον μεγα ϝαστυ·
και τοτε δη μελεαγρον ͱεΰδσωνος παρακοιτις 590
λισσετ' οδυϝρομενη, και ͱοι κατελεγσεν ͱαπαντα
κηδε', ͱοσ' ανθρωποισι πελει, των ϝαστυ ͱαλῷῃ·
ανδρας μεν κτεινουντι, πολιν δε τε πυρ αμαθυϝνει,
τεκνα δε τ' αλλοι αγουντι, βαθυδσωνοϝς τε γυναικας.
τοο δ' ῶρινετο θυϝμος ακοϝοντος κακα ϝεργα· 595
βη δ' ιμεναι, χροῒ δ' εντε' εδυϝσατο πανφαναοντα.
ͱως ͱο μεν αιτωλοισιν απῆμυϝνεν κακον ͱημαρ,
ϝεικσανς ͱῷ θυϝμῷ· τῷ δ' ουκετι δῶρ' ετελεσσαν
πολλα τε και χαριεντα, κακον δ' ῆμυϝνε και αϝτως.
αλλα συ μη μοι ταϝτα νοεε φρεσι, μηδε σε δαιμων 600
ενταϝθα τρεπσειε, φιλος· κακιον δε κεν ειη
ναϝεσι καϝομενῇσιν αμυϝνεμεν· αλλ' επι δῶροις
ερχεο· ϝεισϝον γαρ σε θεῷ τιϝσοντιν αχαιϝοι. 603
τον δ' απαμειβομενος προσεφη ποδας ῶκυς αχιλλεϝς· 606
φοινικς, αττα, γεραϝε, διοτρεφες, ουτι με ταϝτης
χρη τιϝμης· φρονεω δε τετιϝμῆσθαι διος αισῇ. 608
αλλο δε τοι ϝερεω, συ δ' ενι φρεσι βαλλεο σῇσιν· 611
μη μοι γσυνχεϝε θυϝμον οδυϝρομενος και αχεϝων,
ατρεϝιδῃ ͱηροϝι φερων χαριν· ουδε τι σε χρη
τον φιλεεεν, ͱινα μη μοι απεχθηαι φιλεοντι·
καλον τοι γσυν εμοι τον κηδεμεν, ͱος κε με κηδῃ. 615
ͱοϝτοι δ' ανγελεουντι, συ δ' αϝτοθι λεχσεο μιμνων 617
ευνῇ ενι μαλακῇ· ͱαμα δ' ῆοῒ φαινομενηφιν
φρασσομεθ', η κε νεωμεθ' εφ' ημετερ', η κε μενωμεν.
ῆ, και πατροκλῳ ͱογ' επ' οφρυσ' ενευσε σιωπῇ, 620
φοινικι στορεσαι πυκινον λεχος, ͱοφρα ταχιστα
εκ κλισιης νοστοϝο μεδοιατο. τοισι δ' αρ' αιϝανς
αντιθεος τελαμωνιαδης μετα μυϝθον εϝεσπεν·
διϝογενες λαϝερτιαδη, πολυμηχαν' ͱοδυσσεϝ,
ιομεν· ου γαρ μοι δοκεει μυϝθοϝο τελεϝτη 625
τῆδε γ' ͱοδῷ κρανεεσθαι· απανγῆλαι δε ταχιστα
χρη μυϝθον δαναοισι, και ουκ αγαθον περ εοντα,
ͱοι ποϝο νῦν ͱεαται ποτιδεχμενοι· αϝταρ αχιλλεϝς
αγριον εν στηθεσσ' εθετο μεγαλητορα θυϝμον,
σχετλιος! ουδε μετατρεπεται φιλοτητος ͱεταιρων, 630
νηλης! και μεν τις τε κασιγνητοϝο φονοϝο 632
ποινην, η' ͱοϝο παιδος εδεχσατο τεθνῆῶτος·
και ρ' ͱο μεν εν δημῷ μενει αϝτοϝο, πολλ' αποτιϝσανς.

τοο δε τ' ερητυϝεται κραδιη και θυϝμος αγῆνωρ,
ποινην δεχσαμενοο· σοι δ' αληγτον τε κακον τε
θυϝμον ενι στηθεσσι θεοι θεσαν, ͱεινεκα κοϝρης
οιης· νῦν δε τοί ͱεπτα πάρͱισχομεν εκσͱοχ' αριστας,
αλλα τε πολλ' επι τῆσι· συ δ' ͱιλαϝον ενθεο θυϝμον,
αιδεσσαι δε μελαθρον· ͱυπῶροφιοι δε τοι εσμεν
πληθυος εκ δαναων, μεμαμεν δε τοι εκσͱοχον αλλων
κηδιστοι τ' εμεναι και φιλτατοι, ͱοσοι αχαιϝοι.
τον δ' απαμειβομενος προσεφη ποδας ῶκυς αχιλλεϝς·
αιϝαν διϝογενες, τελαμωνιε, κοιρανε λαϝων,
παντα τι μοι κατα θυϝμον εϝειδσαο μυϝθησασθαι·
αλλα μοι ͱοιδανεται κραδιη χολῳ, ͱοποτ' εκεινοο
μνῆσομαι, ͱος μ' ασυφηλον εν αργειϝοισιν ερεκσεν.
αλλ' ͱυμεες ερχεσθε, και αγγελιην αποφασθε·
ου γαρ πριν πολεμοϝο μεδησομαι ͱαιματοεντος,
πριν γ' ͱυιον πριαμοϝο δαϝιφρονος, ͱεκτορα διϝον,
μυρμιδονων επι τε κλισιας και ναϝας ͱικεσθαι.
ͱως εφαθ'· οι δε ͱεκαστος ͱελων δεπας αμφικυπελλον,
σπενδσαντες, παρα ναϝας ισαν παλιν· ῆρχε δ' ͱοδυσσεϝς.
πατροκλος δ' ͱεταροισιν, ιδε δμῶῆσ', εκελεϝσεν
φοινικι στορεσαι πυκινον λεχος ͱοτι ταχιστα.
ͱαι δ' επιπειθομεναι στορεσαν λεχος, ͱως εκελεϝσεν,
κῶεα τε, ϝρῆγος τε, λινοϝο τε λεπτον αͱωτον.
ενθ' ͱο γερων κατελεχτο, και ῆοα διϝαν εμιμνεν.
αϝταρ αχιλλεϝς ͱευδε μυχῳ κλισιης ͱεϋπηγτοο·
τῳ δ' αρα παρκατελεχτο γυνη, την λεσβοθεν ῆγεν,
φορβαντος θυγατηρ, διομηδη καλλιπαρῆος.
πατροκλος δ' ͱετερωθεν ελεχσατο· παρ δ' αρα και τῳ
ϝῖφις ͱεϋδσωνος, την ͱοι πορε διϝος αχιλλεϝς,
σκυρον ͱελων αιπυιαν, ενεϝεϝος πτολιεθρον.
ͱοι δ' ͱοτε δη κλισιῃσιν εν ατρεϝιδαϝ εγενοντο,
τοϝς μεν αρα χρυσεοισι κυπελλοισ' ͱυιες αχαιϝων
δεδεχατ' αλλοθεν αλλος ανασταδον, εκ τ' ερεοντο·
πρῶτος δ' εκσερεεινε ϝανακς ανδρων αγαμεμνων·
ϝεσπ' αγε μ', ω πολυαιν' ͱοδυσεϝ, μεγα κυϝδος αχαιϝων,
η ρ' εθελει ναϝεσιν αλεκσεμεναι δαϝιον πυρ,
η' απεϝεσπε, χολος δ' εθ' εχει μεγαλητορα θυϝμον;
τον δ' αϝτε προσεϝεσπε πολυτλανς διϝος ͱοδυσσεϝς·
ατρεϝιδη κυϝδιστε, ϝανακς ανδρων αγαμεμνον,
κεινος γ' ουκ εθελει σβεσσαι χολον, αλλ' ετι μαλλον
πιμπλανεται μενεος· σε δ' ααινεται, ηδε σα δῶρα.
αϝτον σε φραδσεσθαι εν αργειϝοισιν ανωγεν,
ͱοπως κεν ναϝας τε σαῇς και λαϝον αχαιϝων·
αϝτος δ' ῆπειλησεν ͱαμ' ῆοϊ φαινομενηφιν
ναϝας ͱεϋσελμοϝς ͱαλαδ' ͱελκεμεν αμφιϝελισσας·
και δ' αν τοισ' αλλοισιν εφη παραμυϝθησασθαι

ϝοικαδ᾽ αποπλεϝεεν· επει ουκετι δῆετε τεκμωρ 685
ϝιλϝιοϝ αιπυινης· μαλα γαρ ⱶεθεν ευρυοπα δσεϝς I
χειρα ⱶεϝην ⱶυπερεσχε, τεθαρσηκαντι δε λαϝοι. 687
ⱶως εφαθ᾽· οι δ᾽ αρα παντες ακην εγενοντο σιωπῇ· 693
δην δ᾽ ααϝοι ῆσαν τετιϝηοτες ⱶυιες αχαιϝων· 695
οπσε δε δη μετεϝεσπε βοην αγαθος διομηδης·
ατρεϝιδη κυϝδιστε, ϝαναкς ανδρων αγαμεμνον,
μηδ᾽ οφελες λισσεσθαι αμυϝμονα πηλεϝιϝῶνα,
μυρια δῶρα διδους· ⱶο δ᾽ αγῆνωρ εστι και αλλως,
νῦν αϝ μιν πολυ μαλλον αγῆνοριῇσιν ανⱶῆκας. 700
αλλ᾽ ητοι κεινον μεν εϝασομεν, η κεν ιητιν,
η κε μενῇ· τοτε δ᾽ αϝτε μαχησεται, ⱶοποτε κεν μιν
θυϝμος ενι στηθεσσιν ανωγῇ, και θεος ορσῇ.
αλλ᾽ αγεθ᾽, ως αν εγω ϝεσπω, πειθωμεθα παντες·
νῦν μεν κοιμῆσασθε, τεταρπομενοι φιλον ητορ 705
σῖτοϝο και ϝοινοϝο· το γαρ μενος εστι και αλκη.
αϝταρ επει κε φανῇ καλη ϝροδοδακτυλος ῆως,
καρπαλιμως προ ναϝων ⱶεχεμεν λαϝον τε και ⱶιπποϝς
οτρυϝνων· και δ᾽ αϝτος ενι πρῶτοισι μαχεσθαι.
ⱶως εφαθ᾽· οι δ᾽ αρα παντες επῇνησαν βασιλεϝες, 710
μυϝθον αγασσαμενοι διομηδεος ⱶιπποδαμοϝο.
και τοτε δη σπενδσαντες εβαν κλισιηνδε ⱶεκαστος·
ενθαδ᾽ εκοιμῆσαντο, και ⱶυπνοϝο δῶρον ⱶελοντο.
αλλοι μεν παρα ναϝσιν αριστεϝες παναχαιϝων K
ⱶευδον παννυχιοι, μαλακῷ δεδμῆμενοι ⱶυπνῷ·
αλλ᾽ ουκ ατρεϝιδην αγαμεμνονα, ποιμενα λαϝων,
ⱶυπνος ⱶεχε γλυκερος, πολλα φρεσιν ⱶορμαινοντα.
ⱶως δ᾽ ⱶοτ᾽ αν αστραπτῇ ποσις ⱶηρης ῆϋκομοϝο, 5
τευχων η πολυν ομβρον, αθεσφατον ηε χαλαδσαν· 6
ⱶως πυκιν᾽ εν στηθεσσιν ανεστοναχιδσ᾽ αγαμεμνων 9
νεϝοθεν εν κραδιης· τρομεοντο δε ⱶοι φρενες εντος. 10
ητοι ⱶοτ᾽ ες πεδιον το τροϝικον αθρησειεν,
θαϝμαδσεν πυρα πολλα, τα καϝετο ϝιλϝιοθι προ,
αϝλων συριγγων τ᾽ ενοπην, ⱶομαδον τ᾽ ανθρωπων·
αϝταρ ⱶοτ᾽ ες ναϝας τε ϝιδοι και λαϝον αχαιϝων,
πολλας εκ κεφαλης προθελυμνοϝς ⱶελκετο χαιτας 15
ⱶυπσοθ᾽ εοντι διϊ· μεγα δ᾽ εστενε κυϝδαλιμον κεαρ.
ⱶηδε δε ⱶοι κατα θυϝμον αριστη εφαινετο βουλη,
νεστορ᾽ επι πρῶτον νηλεϝιον ελθεμεν ανδρων,
ει τινα ⱶοι γσυν μητιν αμυϝμονα τεκτῆναιτο,
ⱶητις αλεκσικακος παντσιν δαναοισι γενοιτο. 20
ορθωθευς δ᾽ ενδυϝνε περι στηθεσσι χιτῶνα,
ποδσι δ᾽ ⱶυπο λιπαροισιν εδησατο καλα πεδιλϝα·
αμφι δ᾽ επειτα δαφοινον εϝεσσατο δερμα λεϝοντος
αιθῶνος, μεγαλοϝο, ποδηνεκες· ⱶελλετο δ᾽ ενχος.
ⱶως δ᾽ αϝτως μενελαϝον ⱶεχε τρομος· ουδε γαρ αϝτῷ 25

ͱυπνος επι βλεφαροισιν εφιδσανε, μη τι παθωντιν K
αργειϜοι, τοι δη ͱεθεν ͱεινεκα πολυν εφ᾽ υγρην
ηλυθον ες τροϜιην, πολεμον θρασυν ͱορμαινοντες.
παρδαλεῃ μεν πρω̃τα μεταφρενον ευρυ καλυπτσεν
ποικιλῃ, αϜταρ επι στεφανην κεφαληφιν αϜη̃ρανς
θη̃κατο χαλκειην· δορυ δ᾽ ͱελλετο χειρι παχυιῃ.
βη δ᾽ ιμεν ανστησων ͱον ͱαδελφεϜον, ͱος μεγα παντων
αργειϜων εϜανασσε, θεος δ᾽ ͱως τιϜετο δημῳ̃.
τον δ᾽ ͱευρ᾽ αμφ᾽ ωμοισι τιθημενον εντεα καλα,
ναϜι παρα πρυμνῃ̃· τῳ̃ δ᾽ ασπασιος γενετ᾽ ελθων.
τον προτερος προσεϜεσπε βοην αγαθος μενελαϜος·
τιφθ᾽ οϜτως, ηθειε, κορυσσεαι; η τιν᾽ ͱεταιρων
οτρυϜνεις τροϜεσιν επισκοπον; αλλα μαλ᾽ αινως
δδειδω, μη ουτις τοι ͱυποσχηται τοδε Ϝεργον,
ανδρας δυσμενεας σκοπιαδσεμεν οιος επελθων,
νυκτα δι᾽ ανβροσιην· μαλα τις θρασυκαρδιος εσται.
τον δ᾽ απαμειβομενος προσεφη κρεϜων αγαμεμνων·
χρη βουλης εμε και σε, διοτρεφες ω μενελαϜε,
κερδαλεης, ͱητις κεν ερυϜσεται ηδε σαω̃σει
αργειϜοϜς και ναϜας· επει διος ετραπετο φρην.
ͱεκτορεοισ᾽ αρα μαλλον επι φρεν᾽ εθηχ᾽ ιεροισιν·
ου γαρ πῳ̃ Ϝιδομην, ουδ᾽ εκλυϜον αυϜδη̃σαντος,
ανδρ᾽ ͱενα τοσαδε μερμερ᾽ εφ᾽ ηματι μητιϜσασθαι,
ͱοσ᾽ ͱεκτωρ ερεκσε διϊ φιλος ͱυιας αχαιϜων,
αϜτως, ουτε θεας ͱυιος φιλος, ουτε θεοϜο.
αλλ᾽ ιθι νυ̃ν, αιϜαντα και ιδομενεϜα καλεσσον,
ριμφα θεϜων επι ναϜας· εγω δ᾽ επι νεστορα διϜον
ειμι, και οτρυνεω ανστημεναι· αι κ᾽ εθεληῃσιν
ελθεμεν ες φυλακων ͱιερον τελος, ηδ᾽ επιτη̃λαι.
κεινοϜο γαρ κε μαλιστα πυθοιατο· τοϜο γαρ ͱυιος
σημαινει φυλακεσι, και ιδομενεϜος οπαϜων.
τον δ᾽ η̃μειβετ᾽ επειτα βοην αγαθος μενελαϜος·
πως γαρ μοι μυϜθῳ̃ επιτελλεαι, ηδε κελεϜεις;
αϜθι μενω μετα τοισι, δεδεχμενος εις ͱο κεν ελθῃ̃ς,
ηε θεϜω μετα σ᾽ αϜτις, επην ͱεῢ τοισ᾽ επιτη̃λω;
τον δ᾽ αϜτε προσεϜεσπε Ϝαναкς ανδρων αγαμεμνων·
αϜθι μενεεν, μη πως αβροτακσομεν αλληλοιῒν
ερχομενω· πολλαι γαρ ανα στρατον εντι κελευθοι·
φθενγεο δ᾽, ͱῃ̃ κεν ιῃ̃σθα, και εγρηγορθαι ανωχθι,
πατροθεν εκ γενεης ονομαδσων ανδρα ͱεκαστον,
παντας κυϜδαινων· μηδε μεγαλιδσεο θυϜμῳ̃·
αλλα και αϜτοι περ πονεωμεθα· ͱῳ̃δε ποϜ᾽ αμμι
δσεϜς επι γιγνομενοισιν ͱιϜεε κακοτητα βαρυιαν.
ͱως Ϝεσπων απεπεμπεν ͱαδελφεϜον, ͱευ επιτη̃λανς.
αϜταρ ͱο βη ρ᾽ ιμεναι μετα νεστορα, ποιμενα λαϜων·
τον δ᾽ ͱευρεν παρα τε κλισιῃ̃ και ναϜι μελαινῃ̃,

ευνῇ ενι μαλακῇ· παρα δ' εντεα ποικιλ' εκειτο,
ασπις, και δυο δορϜε, φαϜεινη τε τρυφαλεια· K
παρ δε δσωστηρ κειτο παναιϜολος, ͱῷ ῥ' ͱο γεραϜος
δσωννυθ', οτ' ες πολεμον φθισῆνορα θωρησσοιτο,
λαϜον αγων· επει ου μεν επετρεπε γηραϊ λυγρῷ.
ορθωθεις δ' αρ' επ' αγκῶνος, κεφαλην επαͱῆρας,
ατρεϜιδην προσεϜεσπε, και εκσερεεινετο μυϜθῳ·
τις δ' ͱοϜτῳ κατα ναϜας ανα στρατον ερχεαι οιος,
νυκτα δι' ορφναιην, ͱοτε θ' ευδοντι βροτοι αλλοι;
φθεγγεο, μηδ' ακεων επ' εμ' ερχεο· τιπτε δε σε χρη;
τον δ' ῆμειβετ' επειτα Ϝαναξ ανδρων αγαμεμνων·
ω νεστορ νηληϜιαδη, μεγα κυϜδος αχαιϜων,
γνῶσεαι ατρεϜιδην αγαμεμνονα, τον περι παντων
δσεϜς ενεͱῆκε πονοισι διαμπερες, εις ͱο κ' αͱυϜτμη
εν στηθεσσι μενῇ, και μοι φιλα γουϜατ' ορωρῇ.
πλαδσομαι ͱῶδ', επει ου μοι επ' ομμασιν ͱηδυμος ͱυπνος
Ϝιδσανει, αλλα μελει πολεμος και κηδε' αχαιϜων.
αινως γαρ δαναων περι δεδδοιδκ', ουδε μοι ητορ
εμπεδον, αλλ' αλαλυκτημαι· κραδιη δε μοι εκσῳ
στηθεων εκθρῶσκει, τρομεει δ' ͱυπο φαιδιμα γυια.
αλλ' ει τι δραινεις, επει ουδε σε γ' ͱυπνος ͱικανει,
δευρ' ες τοϜς φυλακας καταβειομεν, ͱοφρα Ϝιδωμεν,
μη τοι μεν καματῳ ͱεͱαδηκοτες, ηδε και ͱυπνῳ,
κοιμῆσωνται, αταρ φυλακης επι παγχυ λαθωνται.
δυσμενεες δ' ανδρες σχεδον ͱῆαται, ουδε τι Ϝιδμεν
μη πως και δια νυκτα μενοινῆσωντι μαχεσθαι.
τον δ' ῆμειβετ' επειτα γερηνιος ͱιπποτα νεστωρ.
ατρεϜιδη κυϜδιστε, Ϝαναξ ανδρων αγαμεμνον,
ου θην ͱεκτορι παντα νοηματα μητιετα δσεϜς
εκτελεει, ͱοσα ποο νῦν ͱελπεται· αλλα μιν οιϜω
κηδεσι μοχθησεεν και πλειοσιν, ει κεν αχιλλεϜς
εκ χολοϜ αργαλεοϜο μεταστρεφσῃ φιλον ητορ.
σοι δε μαλ' ͱεπσομ' εγω· προτι δ' αϜ και εγῆρομεν αλλοϜς,
ημεν τυδεϜιδην δορϜικλυτον, ηδ' ͱοδυσεϜα,
ηδ' αιϜαντα ταχυν, και φυϜλεϜος αλκιμον ͱυιον.
αλλ' ει τις και τοϜσδε μετοιχομενος καλεσειεν,
αντιθεον τ' αιϜαντα, και ιδομενεϜα Ϝανακτα·
των γαρ ναϜες εαντιν ͱεκαστατῳ, ουδε μαλ' εγγυς.
αλλα φιλον περ εοντα και αιδοιον μενελαϜον
νεικεσω, ειπερ μοι νεμεσῆσεαι, ουδ' επικεϜθσω,
ͱως ͱευδει, σοι δ' οιῳ επετρεπσεν πονεεσθαι.
νῦν οφελεν κατα παντας αριστεϜας πονεεσθαι
λισσομενος· χρεϜω γαρ ͱικανεται ουκετ' ανͱεχτος.
τον δ' αϜτε προσεϜεσπε Ϝαναξ ανδρων αγαμεμνων·
ω γερον, αλλοτε μεν σε και αιτιαεσθαι ανῶγα·
πολλακι γαρ μεθιͱει τε, και ουκ εθελει πονεεσθαι,

ουτ᾽ οκνῷ ϝεικων, ουτ᾽ αφραδιῇσι νοοϝο; K
αλλ᾽ εμε τ᾽ εισͱοραων, και εμην ποτιδεχμενος ͱορμην·
νυν δ᾽ εμεϝο προτερος μαλ᾽ επεγρετο, και μοι επεστη·
τον μεν εγω προεͱῆκα καλημεναι, ͱοϝς συ μεταλλᾷς.
αλλ᾽ ιομεν· κεινοϝς δε κιχησομεθα προ πυλαϝων
εν φυλακεσσ᾽· ͱινα γαρ σφιν επεφραδον αγερεεσθαι.
τον δ᾽ ἦμειβετ᾽ επειτα γερηνιος ͱιπποτα νεστωρ·
ͱοϝτως ουτις ͱοι νεμεσῆσεται, ουδ᾽ απιθησει,
αργειϝων, ͱοτε κεν τιν᾽ εποτρυϝνῇ και ανωγῇ.
ͱως ϝεσπων ενδυϝνε περι στηθεσσι χιτῶνα,
ποδσι δ᾽ ͱυπο λιπαροισιν εδησατο καλα πεδιλϝα,
αμφι δ᾽ αρα χλαιναν περονῆσατο φοινικοεντσαν,
διπλην, εκταδιην, ϝολϝη δ᾽ επενηνοθε λαχνη.
ͱελλετο δ᾽ αλκιμον ενχος ακαχμενον ͱοκσυϊ χαλκῷ,
βη δ᾽ ιμεναι κατα ναϝας αχαιϝων χαλκοχιτῶνων.
πρῶτον επειθ᾽ οδυσεϝα, διϊ μητιν ͱαταλαντον,
εκς ͱυπνοϝ᾽ ανεγῆρε γερηνιος ͱιπποτα νεστωρ
φθενγσαμενος· τον δ᾽ αιπσα περι φρενας ηλυθ᾽ ͱιͱῶη,
εκ δ᾽ ηλθε κλισιης, και σφεας προς μυϝθον εϝεσπεν·
τιφθ᾽ οϝτῳ κατα ναϝας ανα στρατον οιοι αλᾶσθε
νυκτα δι᾽ ανβροσιην; ͱο τι δη χρεϝω τοσον ͱικει;
τον δ᾽ ἦμειβετ᾽ επειτα γερηνιος ͱιπποτα νεστωρ·
διϝογενες λαϝερτιαδη, πολυμηχαν᾽ ͱοδυσσεϝ,
μη νεμεσᾶ· τοιον γαρ αχος βεβιηκεν αχαιϝοϝς.
αλλ᾽ ͱεπε᾽, ͱοφρα και αλλον εγῆρομεν, ͱον τε ϝεϝοικεν
βουλας βουλεϝεεν, η φευγεμεν, ηε μαχεσθαι.
ͱως φαθ᾽· ο δε κλισιηνδε κιων πολυμητις ͱοδυσσεϝς,
ποικιλον αμφ᾽ ωμοισι σακος θετο, βη δε μετ᾽ αϝτοϝς.
βαν δ᾽ επι τυϝδεϝιδην διομηδεα· τον δ᾽ εκιχανον
εκτος απο κλισιης γσυν τευχεσιν· αμφι δ᾽ ͱεταιροι
ͱευδον· ͱυπο κρᾶτσιν δ᾽ ͱεχον ασπιδας· ενχεα δε σφιν
ορθ᾽ επι σαϝρωτηρος εληλατο· τηλε δε χαλκος
λαμφ᾽, ως αστεροπη πατερος διος· αϝταρ ͱογ᾽ ͱηρως
ͱευδ᾽· ͱυπο δ᾽ εστρῶτο ϝρῖνον βοϝος αγραϝλοϝο·
αϝταρ ͱυπο κρᾶτεσφι ταπης τετανυστο φαϝεινος.
τον παρστανς ανεγῆρε γερηνιος ͱιπποτα νεστωρ,
λακς ποδι κινησανς, ὦτρυϝνε τε, νεικεσε τ᾽ αντην·
εγρεο, τυϝδεϝος ͱυιε· τι παννυχον ͱυπνον αͱωτεις;
ουκ αϝιεις, ͱως τροϝες επι θρῶσμῷ πεδιοϝο
ͱῆαται ανχι ναϝων, ολιγος δ᾽ ετι χῶρος ερυκει;
ͱως φαθ᾽· ο δ᾽ εκς ͱυπνοϝο μαλα κραιπνως ανοροϝσεν,
και μιν φῶνησανς ϝεπεα πτεροεντα προσῆυϝδα·
σχετλιος εσσι, γεραϝε· συ μεν πονοϝ᾽ ου ποτε ληγεις·
ου νυ και αλλοι εαντι νεϝωτεροι ͱυιες αχαιϝων,
ͱοι κεν επειτα ͱεκαστον εγῆρειαν βασιλεϝων,
παντῇ εποιχομενοι; συ δ᾽ αμηχανος εσσι, γεραϝε.

τον δ' αϝτε προσεϝεσπε γερηνιος ͱιπποτα νεστωρ· K
ναι δη ταϝτα γε παντα, φιλος, κατα μοιραν εϝεσπες.
εντιν μεν μοι παιδες αμυϝμονες, εντι δε λαϝοι
και πολυες, των κεν τις εποιχομενος καλεσειεν·
αλλα μαλα μεγαλη χρεϝω βεβιηκεν αχαιϝοϝς·
νῦν γαρ δη παντεσιν επι χσυροϝ ͱισταται ακμης,
η μαλα λυγρος ολεθρος αχαιϝοισ', ηε βιϝῶναι.
αλλ' ιθι νῦν, αιϝαντα ταχυν, και φυϝλεϝος ͱυιον
ανστησον, συ γαρ εσσι νεϝωτερος, ει μ' ελεαιρεις.
ͱως φαθ'· ο δ' αμφ' ωμοισιν εϝεσσατο δερμα λεϝοντος
αιθῶνος, μεγαλοϝο, ποδηνεκες· ͱελλετο δ' ενχος·
βη δ' ιμεναι· τοϝς δ' ενθεν αναστησανς αγεν ͱηρως.
ͱοι δ' ͱοτε δη φυλακεσιν εν αγρομενοισιν εμιχθεν,
ουδε μεν ͱευδοντας φυλακων ͱηγητορας ͱευρον·
αλλ' εγρηγορτι γσυν τευχεσιν ͱῆατο παντες.
ͱως δε κυνες περι μηλα δυσͱωρησονται εν αϝλῇ,
θηρος ακοϝσαντες κρατεροφρονος, ͱος τε καθ' υλϝην
ερχηται δι' ορεσφι· πολυς δ' ορυμαγδος επ' αϝτῷ
ανδρων ηδε κυνων, απο τε σφισιν ͱυπνος ολῶλεν·
ͱως των ͱηδυμος ͱυπνος απο βλεφαροιϊν ολῶλεεν,
νυκτα φυλασσομενοισι κακην· πεδιονδε γαρ αιϝει
τετραφαθ', οποτ' επι τροϝων αϝιοιεν ιοντων.
τοϝς δ' ͱο γερων γηθησε ϝιδων, θαρσυϝνε τε μυϝθῳ.
ͱοϝτῳ νῦν, φιλα τεκνα, φυλασσετε· μηδε τιν' ͱυπνος 192
ͱαιρεετω, μη χαρμα γενωμεθα δυσμενεεσιν.
ͱως ϝεσπων ταφροϝο διεσσυτο· τοι δ' ͱαμ' ͱεποντο
αργειϝων βασιλεϝες, ͱοσοι κεκλῆατο βουλην.
τοις δ' ͱαμα μηριονης και νεστορος αγλαϝος ͱυιος
ηϊσαν· αϝτοι γαρ καλεον γσυνμητιαεσθαι.
ταφρον δ' εκδιαβαντες ορυκτην, ͱεδριαοντο
εν καθαρῷ, ͱοθι δη νεκυων διεφαινετο χῶρος
πιπτοντων· ͱοθεν αϝτις απετραπετ' οβριμος ͱεκτωρ,
ολϝυνς αργειϝοϝς, ͱοτε δη περι νυκς εκαλυπτσεν.
ενθα καθεδσομενοι, ϝεπε' αλληλοισι πιφαϝσκον.
τοισι δε μυϝθων ῆρχε γερηνιος ͱιπποτα νεστωρ·
ω φιλοι, ουκ αν δη τις ανηρ πεπιθοιθ' εϝῷ αϝτοο
θυϝμῷ τολμῆεντι μετα τροϝας μεγαθυϝμοϝς
ελθεμεν; ει τινα ποο δαϝιων ͱελοι εσχαταοντα,
η τινα ποο και φημιν ενι τροϝεσι πυθοιτο,
ͱασα τε μητιαωντι μετα σφισιν· η μεμαϝαντιν
αϝθι μενεεν παρα ναϝσιν αποπροθεν, ηε πολινδε
απς αναχῶρησοντιν, επει δαμασαντο γ' αχαιϝοϝς.
ταϝτα κε παντα πυθοιτο, και απς εις ͱημεας ελθοι
ασκηθης, μεγα κεν ͱοι ͱυπουρανιον κλεος ειη. 212
ͱως εφαθ'· οι δ' αρα παντες ακην εγενοντο σιωπῇ· 218
τοισι δε και μετεϝεσπε βοην αγαθος διομηδης·

νεστορ, εμ' οτρυϝνει κραδιη και θυϝμος αγῆνωρ
ανδρων δυσμενεων δυϝναι στρατον, ενγυς εοντα, K
τροϝων· αλλ' ει τις μοι ανηρ ͱαμ' ͱεποιτο και αλλος,
μαλλον θαλπωρη, και θαρσαλεωτερον εσται.
γσυν τε δυ' ερχομενω, και τοι προ ͱο τοϝ ενοησεν,
ͱοπως κερδος εῇ· μουνος δ' ειπερ κε νοησῇ,
αλλα τε ͱοι βρασσων τε νοος, λεπτη δε τε μητις.
ͱως εφαθ'· οι δ' εθελον διομηδεϊ πολλοι ͱεπεσθαι·
ηθελετην αιϝαντε δυω, θεραποντες αρεϝος,
ηθελε μηριονης, μαλα δ' ηθελε νεστορος ͱυιος·
ηθελε δ' ατρεϝιδης, δορϝικλειτος μενελαϝος·
ηθελε δ' ͱο τλημων ͱοδυσεϝς καταδυϝναι ϝομιλϝον
τροϝων· αιϝει γαρ ͱοι ενι φρεσι θυϝμος ετολμα.
τοισι δε και μετεϝεσπε ϝανακς ανδρων αγαμεμνων·
τυϝδεϝιδη διομηδες, εμῷ κεχαρισμενε θυϝμῷ,
τον μεν δη ͱεταρον γ' ͱαιρησεαι, ͱον κ' εθελῃσθα,
φαινομενων τον αριστον, επει μεμαϝαντι γε πολλοι.
μηδε συγ', αιδομενος σῇσι φρεσι, τον μεν αρειῶ
κατλειπεεν, συ δε χειρον' οπασσεαι, αιδοϊ ϝεικων
ες γενεην ͱοραων, μηδ' ει βασιλεϝτερος εστιν.
τοις δ' αϝτις μετεϝεσπε βοην αγαθος διομηδης·
ει μεν δη ͱεταρον γε κελεϝετ' εμ' αϝτον ͱελεσθαι,
πως αν επειθ' οδυσεϝος εγω θειοϝο λαθοιμην,
ͱου περι μεν προφρων κραδιη και θυϝμος αγῆνωρ
εν παντεσι πονοισι, φιλει δε ͱε παλλας αθηνη;
τοϝτοϝο γ' ͱεσπομενοϝο, και εκ πυρος αιθομενοϝο
αμφω νοστησαιμεν, επει περιϝοιδε νοησαι.
τον δ' αϝτε προσεϝεσπε πολυτλανς διϝος ͱοδυσσεϝς·
τυϝδεϝιδη, μητ' αρ με μαλ' αινεε, μητε τι νεικεε·
ϝειδοσι γαρ τοι ταϝτα μετ' αργειϝοισ' αγορεϝεις.
αλλ' ιομεν· μαλα γαρ νυκς ανεται, ενγυθι δ' ῆως.
ͱως ϝεσπονθ', οπλοισιν ενι δδεινοισιν εδυϝτην.
τυϝδεϝιδῃ μεν εδῶκε μενεπτολεμος θρασυμηδης
φασγανον αμφηκες, το δ' ͱεϝον παρα ναϝ ελελειπτο,
και σακος· αμφι δε ͱοι κυνεην κεφαληφιν εθῆκεν
ταυρειην, αφαλον τε, και αλοφον· ͱητε καταιτυνγς
κεκλῆται· ρυϝεται δε καρῆ θαλερων αιδσηῶν.
μηριονης δ' ͱοδυσεϝι διδῶ βιον, ηδε φαρετρην,
και χσιφος· αμφι δε ͱοι κυνεην κεφαληφιν εθῆκεν,
ϝρῖνοϝο ποιητην· πολυσιν δ' εντοσθεν ͱιμαντσιν
εντετατο στερεως· εκτοσθε δε λεϝκοι οδοντες
αργιοδοντος ͱυος θαμεες ͱεχον ενθα και ενθα,
ͱευ και επισταμενως· μεσσῇ δ' ενι πιλος αρῆρεεν·
τῆν ρα ποτ' εκς ελεῶνος αμυϝντορος ορμενιδαϝο
εκστελετ' αϝτολυκος, πυκινον δομον αντιτορησανς·
σκανδειαν δ' αρ εδῶκε κυθηριῳ αμφιδαμαντι·

αμφιδαμανς δε μολῳ̃ δω̃κε χσεινη̃ϊον εεναι· K
αFταρ ͱο μηριονῃ̃ δω̃χ' εFῳ̃ παιδι φορηναι·
δη τοθ' οδυσσεFος πυκασεν καρῃ̃ αμφιτεθευτσα.
τω δ', επει ω̃ν ͱοπλοισιν ενι δδεινοισιν εδυFτην,
βαν ρ' ιμεναι, λιπετην δε κατ' αFτοθι παντας αριστοFς.
τοισι δε δεχσιον ͱη̃κεν ερωδιον ενγυς ͱοδοFο
παλλας αθηναιη· τοι δ' ουκ Fιδον οφθαλμοισιν
νυκτα δι' ορφναιην, αλλα κλανγσαντος ακοFσαν.
χαιρε δε τῳ̃ ορνιχθ' ͱοδυσεFς, η̃ρα̃το δ' αθηνῃ̃·
κλυ̃θι μεF, αιγιͱοχοFο διος τεκος, ͱητε μοι αιFει
εν παντεσι πονοισι παρͱισταcαι, ουδε σε ληθω
κινυμενος· νυ̃ν αFτε μαλιστα με φι̃λαι, αθηνη·
δος δε παλιν επι ναFας ͱεϋκλεεας αφικεσθαι,
ρεκσαντας μεγα Fεργον, ͱο κεν τροFεσι μελησει.
δεFτερος αFτ' η̃ρα̃το βοην αγαθος διομηδης·
κεκλυθι νυ̃ν και εμεFο, διος τεκος ατρυ̃τωνη·
ͱεσπε μοι, ͱως ͱοτε πατρι ͱαμ' ͱεσπες τυFδεFι διFῳ̃·
σοι δ' αF εγω ρεκσω βοFν η̃νι̃ν, ευρυμετω̃πον,
αδμητην, ͱην ουπῳ̃ ͱυπο δσυγον η̃γαγεν ανηρ·
την τοι εγω ρεκσω, χρυσον κερασιν περιχεFσανς.
ͱως εφαν ευχομενοι· των δ' εκλυFε παλλας αθηνη.
ͱοι δ' επει η̃ρη̃σαντο διος κοFρῃ̃ μεγαλοFο,
βαν ρ' ιμεν, ͱωστε λεFοντε δυω, δια νυκτα μελαιναν,
αν φονον, αν νεκυας, δια τ' εντεα, και μελαν ͱαιμα.
ουδε μεν ουδε τροFας αγη̃νορος ηFαεν ͱεκτωρ
ͱευδεμεν, αλλ' ͱαμυδις κικλη̃σκετο παντας αριστοFς,
ͱοσοι εσαν τροFων ͱηγητορες, ηδε μεδοντες·
τοFς ͱογε συνκαλεσανς, πυκινην η̃ρτυFνετο βουλην·
τις κεν μοι τοδε Fεργον ͱυποσχομενος τελεσειεν
δω̃ρῳ̃ επι μεγαλῳ̃; μισθος δε ͱοι αρκιος εσται·
δω̃σω γαρ διφρον τε, δυω τ' εριαFχενας ͱιπποFς,
ͱοι κεν αριστοι εωντι θοῃ̃σ' επι ναFσιν αχαιFων·
ͱοστις κεν τλα̃ιη, ͱοι τ' αFτῳ̃ κυFδος ͱαροιτο,
ναFων ω̃κυπορων σχεδον ελθεμεν, εκ τε πυθεσθαι,
ηε φυλασσονται ναFες θοFαι, ͱως το παρος περ,
η' ηδη, χειρεσιν ͱυφ' ημετερῃ̃σι δαμεντες,
φυγσιν βουλεFοντι μετα σφισιν, ουδ' εθελοντι
νυκτα φυλασσεμεναι, καματῳ̃ ͱεͱαδηκοτες αινῳ̃.
ͱως εφαθ'· οι δ' αρα παντες ακην εγενοντο σιωπῃ̃.
ην δε τις εν τροFεσι δολων, ͱεϋμηδεος ͱυιος
κηρυ̃κος θειοFο, πολυχρυσος, πολυχαλκος,
ͱος δη τοι Fειδος μεν εη̃ν κακος, αλλα ποδω̃κης·
αFταρ ͱο μουνος εη̃ν μετα πεντε κασιγνη̃τῃ̃σιν·
ͱος ρα τοτε τροFεσιν τε και ͱεκτορι Fεσπε παρασταν·
ͱεκτορ, εμ' οτρυFνει κραδιη και θυFμος αγη̃νωρ
ναFων ω̃κυπορων σχεδον ελθεμεν, εκ τε πυθεσθαι.

αλλ' αγε, μοι το σκηπτρον ανασχεο, και μοι ομοσσον, K
η μεν τοFς hιπποFς τε, και hαρματα ποικιλα χαλκῷ,
δωσεμεν, hοι φορεοντιν αμυFμονα πηλεFιFῶνα.
σοι δ' εγω ουχ αλιος σκοπος εσσομαι, ουδ' απο δοκσης·
τοφρα γαρ ες στρατον ειμι διανπερες, hοφρ' αν hικωμαι
ναF αγαμεμνονεην, hοθι ποο μελλοντιν αριστοι
βουλας βουλεFεεν, η φευγεμεν, ηε μαχεσθαι.
hως φαθ'· ο δ' εν χερσι σκηπτρον λαβε, και hοι ομοσσεν·
Fιδστω νῦν δσεFς αFτος, εριγδουπος ποσις hηρης,
μη μεν τοισ' hιπποισιν ανηρ εφοχησεται αλλος
τροFων· αλλα σε φημι διανπερες αγλαFεεσθαι.
hως φατο, και ρ' επει hορκον απῶμοσε, τον γ' οροθυFνεν·
αFτικα δ' αμφ' ωμοισιν εβαλλετο καμπυλα τοκσα·
Fεσσατο δ' εκτοσθεν Fρῖνον πολιοFο λυκοFο,
κρᾶτι δ' επι κτιδεην κυνεην· hελε δ' hοκσυν ακοντα·
βη δ' ιμεναι προτι ναFας απο στρατοF· ουδ' αρ' εμελλεν
ελθων εκ ναFων απς hεκτορι μυFθον αφοισεεν.
αλλ' hοτε δη ρ' hιππων τε και ανδρων κατλιφ' ομιλFον,
βη ρ' αν' hοδον μεμαFως· τον δ' εφρασατο προσιοντα
διFογενης hοδυσσεFς, διομηδεα δε προσεFεσπεν·
hοFτος τοι, διομηδες, απο στρατοF ερχεται ανηρ,
ουκ Fοιδ', η ναFεσιν επισκοπος hημετερῃσιν,
η τινα συλFῆσων νεκυων κατατεθνηῶτων.
αλλ' εFαωμεν πρῶτα παρεκσελθεεν πεδιοFο
τυτθον· επειτα δε κ' αFτον επαhικσαντες hελοιμεν
καρπαλιμως· ει δ' αμμε παραφθαιη τι ποδεσιν,
αιFει μιν ποτι ναFας απο στρατοφιν προτιFελFεεν.
hως αρα φωνησαντε, παρεκς hοδοF εν νεκυεσιν
κλινθητην· hο δ' αρ' ῶκα παρεδραμεν αφραδιῃσιν.
αλλ' hοτε δη ρ' απεην, hοσον τ' επιουρα πελονται
hημιονων, hαι γαρ τε βοFων προφερεστεραι εντιν
hελκεμεναι νεFοFο βαθυιης πηγτον αροτρον·
τω μεν επεδραμετην· hο δ' αρ' εστη δουπον ακοFσανς.
hελπετο γαρ κατα θυFμον αποστρεφσοντας hεταιροFς
εκ τροFων ιμεναι, παλιν hεκτορος οτρυFναντος.
αλλ' hοτε δη ρ' απεσαν δορFηνεκες, η και ελασσον,
γνῶ ρ' ανδρας δαFιοFς, λαιψηρα δε γουFατ' ενωμα
φευγεμεναι· τοι δ' αιψα διωκεμεν hορμῆθησαν.
hως δ' hοτε καρχαροδοντε δυω κυνε, Fειδοτε θηρης,
η κεμαδ', ηε λαγοFον, επειγετον ενμενες αιFει
χῶρον αν' hυλFῆενθ', ο δε τε προθεFητι μεμηκως·
hως τον τυFδεFιδης, ηδε πτολιπορθος hοδυσσεFς,
λαFοF αποτμηκσαντ', εδιωκετον ενμενες αιFει.
αλλ' hοτε δη ταχ' εμελλε μιγησεσθαι φυλακεσιν,
φευγων ες ναFας, τοτε δη μενος ενβαλ' αθηνη
τυFδεFιδῃ· hινα μη τις αχαιFων χαλκοχιτῶνων

φθαιη επευχσαμενος βαλεεεν, ͱο δε δεϝτερος ελθῃ· K
δορϝι δ' επαϝισσων προσεφη κρατερος διομηδης·
  ηε μεν', ηε σε δορϝι κιχησομαι· ουδε σε φημι
δηρον εμης απο χειρος αλυκσεμεν αιπυν ολεθρον.
  ῆ ρα, και ενχος αφῆκεν, ͱεκων δ' ῆμαρτανε φῶτος.
δεχσιτερον δ' ͱυπερ ωμον ͱεΰχσϝοϝο δορϝος ακωκη
εν γαιῃ επαγη· ͱο δ' αρ' εστη, ταρβησεν τε,
χλωρος ͱυπο δδεεος· τω δ' ασθμαινοντ' εκιχητην,
χειρων δ' ͱαπτσασθην· ͱο δε δακρυϝσανς ϝεπος ῆυϝδα·
  δσαϝγρεεσθ', αϝταρ εγων εμε λυϝσομαι· εστι γαρ ενδον
χαλκος τε, χρυσος τε, πολυκμῆτος τε σιδηρος·
των κ' υμμιν χαρισαιτο πατηρ απερεισι' αποινα,
ει κεν εμε δσαϝον πεπυθοιτ' επι ναϝσιν αχαιϝων.
  τον δ' απαμειβομενος προσεφη πολυμητις ͱοδυσσεϝς·
θαρσεε, μηδε τι τοι θανατος καταθυϝμιος εστω·
αλλ' αγε, μοι τοδε ϝεσπε, και ατρεκεως καταλεγσον·
πῆ δ' ͱοϝτως επι ναϝας απο στρατοϝ' ερχεαι οιος,
νυκτα δι' ορφναιην, ͱοτε θ' ευδοντι βροτοι αλλοι;
η σ' ͱεκτωρ προεͱῆκε διασκοπιᾶσθαι ͱεκαστα
ναϝας επι γλαφυρας; η σ' αϝτον θυϝμος ανͱῆκεν;
  τον δ' ῆμειβετ' επειτα δολων, ͱυπο δ' ετρεμε γυια·
πολλῇσιν μ' αϝατῇσι παρεκ νοον ῆγαγεν ͱεκτωρ,
ͱος μοι πηλεϝιϝῶνος αγαϝοϝο μωνυχας ͱιπποϝς
δῶσεμεναι κατενευσε, και ͱαρματα ποικιλα χαλκῷ·
ῆνωγεν δε μ' ιοντα, θοϝην δια νυκτα μελαιναν,
ανδρων δυσμενεων σχεδον ελθεμεν, εκ τε πυθεσθαι,
ηε φυλασσονται ναϝες θοϝαι, ͱως το παρος περ,
η' ηδη, χειρεσιν ͱυφ' ημετερῇσι δαμεντες,
φυγσιν βουλεϝοιτε μετα σφισιν, ουδ' εθελοιτε
νυκτα φυλασσεμεναι, καματῷ ͱεͱαδηκοτες αινῷ.
  τον δ' επιμειδησανς προσεφη πολυμητις ͱοδυσσεϝς·
η ρα νυ τοι μεγαλων δῶρων επεμαϝετο θυϝμος,
ͱιππων αιϝακιδαϝο δαϝιφρονος· ͱοι δ' αλεγεινοι
ανδρεσι γε θνῆτοισι δαμημεναι, ηδ' ͱοχεεσθαι,
αλλῷ γ' η' αχιλεϝι, τον αθανατη τεκε μητηρ.
αλλ' αγε, μοι τοδε ϝεσπε, και ατρεκεως καταλεγσον·
ποο νῦν δευρο κιων λιπες ͱεκτορα, ποιμενα λαϝων;
ποο δε ͱοι εντεα κειται αρεϝια; ποο δε ͱοι ͱιπποι;
πως δ' ͱαι των αλλων τροϝων φυλακαι τε και ευναι;
  τον δ' αϝτε προσεϝεσπε δολων, ͱεΰμηδεος ͱυιος·
τοιγαρ εγω τοι ταϝτα μαλ' ατρεκεως καταλεγσω·
ͱεκτωρ μεν μετα τοισιν, ͱοσοι βουληφοροι εντιν,
βουλας βουλεϝει θειοο παρα σηματι ϝιλϝοο,
νοσφιν απο φλοισβοο· φυλακας δ' ͱας ειρεαι, ͱηρως,
ουτις κεκριμενη ρυϝεται στρατον, ουδε φυλασσει·
ͱοσαι γαρ τροϝων πυρος εσχαραι, ͱοισιν ανανκη,

ͱοι δ' εγρηγορθαντι, φυλασσεμεναι τε κελονται
αλληλοισ'· αταρ αϝτε πολυκλητοι γ' επικουροι
ͱευδοντι· τροϝσιν γαρ επιτραπεοντι φυλασσεεν·
ου γαρ σφιν παιδες σχεδον ͱῆαται, ουδε γυναικες.
τον δ' απαμειβομενος προσεφη πολυμητις ͱοδυσσεϝς·
πως γαρ νῦν, τροϝεσι μεμιγμενοι ͱιπποδαμοισιν
ͱευδοντ', η νοσφιν; διαϝεσπε μοι, ͱοφρα δαειω.
τον δ' ἦμειβετ' επειτα δολων, ͱεϋμηδεος ͱυιος·
τοιγαρ εγω και ταϝτα μαλ' ατρεκεως καταλεγσω·
προς μεν ͱαλος κᾶρες, και παιονες ανκυλοτοκσοι,
και λελεγες, και καυκῶνες, διϝοι τε πελασγοι·
προς θυμβρης δ' ελαχον λυκιοι, μυσοι τ' αγερωχοι,
και φρυγες ͱιπποδαμοι, και μῆονες ͱιπποκορυσται.
αλλα τιη εμε ταϝτα διεκσερεεσθε ͱεκαστα;
ει γαρ δη μεματον τροϝων καταδυϝναι ͱομιλϝον,
θρεϝικες ͱοιδ' απανευθε νεϝηλυδες, εσχατοι αλλων·
εν δε σφιν ϝρῆσος βασιλεϝς, παϊς ηϊονεϝος.
τοο δη καλλιστοϝς ͱιπποϝς ϝιδον, ηδε μεγιστοϝς·
λεϝκοτεροι χιονος, θεϝεεν δ' ανεμοισιν ͱομοιοι.
ͱαρμα δε ͱοι χρυσῷ τε και αργυρῷ ͱευ ἦσκηται·
τευχεα δε χρυσεια, πελωρια, θαϝμα ϝιδεσθαι,
ηλυθ' ͱεχων· τα μεν ουτι καταθνῆτοισι ϝεϝοικεν
ανδρεσιν φορεεεν, αλλ' αθανατοισι θεοισιν.
αλλ' εμε νῦν μεν ναϝσι πελασσετον ὦκυποροισιν,
η' εμε δησαντες λιπετ' αϝτοθι νηλεϊ δεσμῷ,
ͱοφρα κεν ελθητον, και πειρῆθητον εμεϝο,
ηε κατ' αισαν εϝεσπον εν ͱυμῖν, ηε και ουκι.
τον δ' αρ' ͱυποδρα ϝιδων προσεφη κρατερος διομηδης·
μη δη μοι φυγσιν γε, δολων, ενβαλλεο θυϝμῷ,
εσθλα περ ανγῆλανς, επει ͱικεο χειρας ες ͱᾶμας·
ει μεν γαρ κε σε νῦν απολυϝσομεν, ηε μεθωμεν,
η τε και ͱυστερον εισθα θοϝας επι ναϝας αχαιϝων,
ηε διοπτεϝσων, η εναντιβιον πολεμικσων·
ει δε κ' εμῇσ' ͱυπο χερσι δαμενς απο θυϝμον ολεσσῃς,
ουκ ετ' επειτα συ πημα ποτ' εσσεαι αργειϝοισιν.
ἦ, και ͱο μεν μιν εμελλε γενειοϝο χειρι παχυιῇ
ͱαπτσαμενος λισσεσθαι· ͱο δ' αϝχενα μεσσον ελασσεν,
φασγανῳ αϝικσανς, απο δ' αμφω εκερσε τενοντε·
φθενγομενοο δ' αρα τοογε καρῆ κονιϝῆσιν εμιχθη.
τοο δ' απο μεν κτιδεην κυνεην κεφαληφιν ͱελοντο,
και λυκεην, και τοκσα παλιντονα, και δορυ μακρον·
και ταγ' αθηναιῃ λεϝιστιδι διϝος ͱοδυσσεϝς
ͱυπσοσ' ανεσχεθε χειρι, και ευχομενος ϝεπος ηὖϝδα·
χαιρε, θεα, τοισδεσσι· σε γαρ πρώτην εν ολυνπῳ
παντων αθανατων επιδῶσομεθ'· αλλα και αϝτις
πεμπσον επι θρεϝικων ανδρων ͱιπποϝς τε και ευνας.

ͱως αρ' εφῶνησεν, και απο ͱεθεν ͱυπσοσ' αϝῆρανς
θῆκεν ανα μυρικην· δεελον δ' επι σημα τ' εθῆκεν, K
γσυνμαρπτσανς δονακας, μυρικης τ' εριθηλεας οσδοϝς,
μη λαθοι αϝτις ιοντε θοϝην δια νυκτα μελαιναν.
τω δ' εβατην προτερῷ, δια τ' εντεα και μελαν ͱαιμα·
αιπσα δ' επι θρεϝικων ανδρων τελος ͱικσον ιοντες·
ͱοι δ' ͱευδον καματῷ ͱεͱαδηκοτες, εντεα δε σφιν
καλα παρ' αϝτοισιν χθονι κεκλιτο, ͱευ κατα κοσμον
τριστοιχις· παρα δε σφιν ͱεκαστῳ διδσυγες ͱιπποι.
ϝρῆσος δ' εν μεσῳ ͱευδε, παρ' αϝτῷ δ' ῶκυες ͱιπποι
εκς επιδιφριαδος πυματης ͱιμαντσ' εδεδεντο.
τον δ' ͱοδυσεϝς προπαροιθε ϝιδων διομηδεϊ δεικσεν·
ͱοϝτος τοι, διομηδες, ανηρ, ͱοϝτοι δε τοι ͱιπποι,
ͱοϝς νοϝιν πιφαϝσκε δολων, ͱον επεφνομεν ͱημεες.
αλλ' αγε δη, προφερε κρατερον μενος· ουδε τι σε χρη
ͱεσταμεναι μελεον γσυν τευχεσιν· αλλα λυϝ' ͱιπποϝς·
ηε συγ' ανδρας ενͱαιρε, μελησοντιν δ' εμοι ͱιπποι.
ͱως φατο· τῷ δ' ενπνεϝσε μενος γλαϝκῶπις αθηνη·
κτεινε δ' επιστροφαδην· των δε στονος ῶρνυτ' αϝεικης
αͱορι θεινομενων· ερυθαινετο δ' ͱαιματι γαια.
ͱως δε λεϝων μηλοισιν ασημαντοισιν επελθων,
αιγεσιν, η' οϝιεσι, κακα φρονεων ενοροϝσῇ·
ͱως μεν θρεϝικας ανδρας επῴχετο τυϝδεϝος ͱυιος,
ͱοφρα δυωδεκ' επεφνεν· αταρ πολυμητις ͱοδυσσεϝς,
ͱοντινα τυϝδεϝιδης αͱορι πληγσᾶσκε παραστανς,
τονδ' ͱοδυσεϝς μετοπισθε λαβων ποδος εκσϝερυσᾶσκεν,
τα φρονεων κατα θυϝμον, ͱοπως καλλιτριχες ͱιπποι
ρεϝα διελθοιεν, μηδε τρομεοιατο θυϝμῷ
νεκροισ' ανβαινοντες· αϝηθεσσον γαρ ετ' αϝτων.
αλλ' ͱοτε δη βασιλεϝ' εκιχησατο τυϝδεϝος ͱυιος,
τον τρις και δεκατον μελιͱηδεα θυϝμον απῆϝρα,
ασθμαινοντα· κακον γαρ οναρ κεφαληφιν επεστη. 496
τοφρα δ' αρ' ͱο τλῆμων ͱοδυσεϝς λυϝε μωνυχας ͱιπποϝς· 498
γσυν δ' ῆͱειρεν ͱιμαντσι, και εκσηλαϝνεν ͱομιλϝοο,
τοκσῳ επιπλησσων· επει ου μαστιγα φαϝεινην
ποικιλοϝ' εκ διφροϝ ενοησατο χερσιν ͱελεσθαι·
ϝροιδσησεν δ' αρα, πιφαϝσκων διομηδεϊ διϝῳ.
αϝταρ ͱο μερμηριδσε μενων, ͱο τι κυντατον ερδοι·
η' ͱογε διφρον ͱελων, ͱοθι ποικιλα τευχε' εκειτο,
ρυϝμοϝ' εκσϝερυοι, η' εκφεροι ͱυπσοσ' αϝῆρανς·
η' ετι των πλεονων θρεϝικων απο θυϝμον ͱελοιτο.
ͱεϝος ͱο ταϝθ' ορμαινε κατα φρενα, τοφρα δ' αθηνη
ενγυθεν ͱισταμενη προσεφη διομηδεα διϝον·
νοστοϝο δη μνῆσαι, μεγαθυϝμοϝο τυϝδεϝος ͱυιε,
ναϝας επι γλαφυρας, μη και πεφοβημενος ελθῃς·
μη ποϝο τις και τροϝας εγῆρητιν θεος αλλος.

hως φαθ'· ο δε γσυνεhῆκε θεας Fοπα φῶνησαντσης· K
καρπαλιμως δ' hιππων επεβησατ'· εκοπτσε δ' hοδυσσεFς
τοκσῳ· τοι δ' επετοντο θοFας επι ναFας αχαιFων.
ουδ' αλαFοσκοπιην εσχ' αργυροτοκσος απολλων,
hως Fιδ' αθηναιην μετα τυFδεFος hυιον hεποντσαν,
τῇ κοτεων τροFων κατεδυFσατο πολυν hομιλFον·
ὦρσεν δε θρεFικων βουληφορον, hιπποκαFοντα
FρῆσοF ανεπσιον εσθλον· hο δ' εκς hυπνοF ανοροFσανς,
hως Fιδε χῶρον ερημον, hοθ' hεστασαν ὦκυες hιπποι,
ανδρας τ' ασπαιροντας εν αργαλεῃσι φονῃσιν,
ῴμωγσεν τ' αρ' επειτα, φιλον τ' ονομῆνεν hεταιρον.
τροFων δε κλαγγη τε και ασπετος ὦρτο κυδοιμος
θυFνοντων hαμυδις· θαFεοντο δε μερμερα Fεργα,
hοσ' ανδρες ρεκσαντες εβαν κοιλας επι ναFας.
hοι δ' hοτε δη ρ' εhικανον, hοθι σκοπον hεκτορος εκταν,
ενθ' hοδυσσεFς μεν ερυκσε, διϊ φιλος, ὤκυας hιπποFς·
τυFδεFιδης δε χαμαδσε θορων εναρα βροτοεντα
εν χειρεσ' hοδυσεFι τιθεεν επεβησατο δ' hιππων·
μαστινγσεν δ' hιπποFς, τω δ' ουκ αFεκοντ' επετεσθην.
νεστωρ δε πρῶτος κτυπον αFι', εφῶνησεν τε·
ω φιλοι, αργειFων hηγητορες, ηδε μεδοντες,
πσευδσομαι, η' hετυμον Fερεω; κελεται δε με θυFμος·
hιππων μ' ὤκυποδων αμφι κτυπος οFατα βαλλει·
αι γαρ δη hοδυσεFς τε και hο κρατερος διομηδης
hῷδ' hαφαρ εκ τροFων ελασαιατο μωνυχας hιπποFς!
αλλ' αινως δεδδοιδκα κατα φρενα, μη τι παθωντιν
αργειFων hοι αριστοι hυπο τροFων ορυμαγδοο.
ουπῳ παν εFεFερτο Fεπος, hοτ' αρ' ηλυθον αFτοι.
και ρ' οι μεν κατεβησαν επι χθονα· τοι δε χαρεντες
δεχσιῃ ῄσταδσοντο, Fεπεσσι τε μειλιχιοισιν.
πρῶτος δ' εκσερεεινε γερηνιος hιπποτα νεστωρ·
Fεσπ' αγε μ', ω πολυαιν' hοδυσεF, μεγα κυFδος αχαιFων,
hοπως τοFσδ' hιπποFς λαβετον· καταδῦντ' ες hομιλFον
τροFων; η τις σφοF επορεν θεος αντιβολησανς;
αινως ακτινεσι FεFοικοτες ῆελιοFο.
αιFει μεν τροFεσ' επιμισγομαι, ουδε τι φημι
μιμναδσεεν παρα ναFσι, γερων περ εων πολεμιστης·
αλλ' ουπῳ τοιοFς hιπποFς Fιδον, ουδ' ενοησα,
αλλα τιν' υμμ' οϊFω δομεναι θεον αντιασαντα·
αμφοτερω γαρ σφοFι φιλει νεφεληγερετα δσεFς,
κοFρη τ' αιγιhοχοFο διος, γλαFκῶπις αθηνη.
τον δ' απαμειβομενος προσεφη πολυμητις hοδυσσεFς·
ω νεστορ νηλεFιαδη, μεγα κυFδος αχαιFων,
ρεFα θεος γ' εθελων και αμεινονας, ηε περ hοιδε,
hιπποFς δῶρησαιτ', επειη πολυ φερτεροι εντιν.
hιπποι δ' hοιδε, γεραFε, νεFηλυδες, hοFς ερεεινεις,

θρεϝικιοι· τον δε σφι ϝανακτ᾽ αγαθος διομηδης K
εκτανε, παρ δ᾽ ͱεταροϝς δυο και δεκα παντας αριστοϝς.
τον τρις και δεκατον σκοπον ͱελλομεν ενγυθι ναϝων,
τον ρα διοπτηρα στρατοϝ εσμεναι ͱημετεροϝο
ͱεκτωρ τε προεͱῆκε και αλλοι τροϝες αγαϝοι.
ͱως ϝεσπων, ταφροϝο διηλασε μωνυχας ͱιπποϝς,
καγχαλαων· ͱαμα δ᾽ αλλοι ισαν χαιροντες αχαιϝοι.
ϝοι δ᾽ ͱοτε τυϝδεϝιδεο κλισιην ͱεΰτυχτον ͱικοντο,
ͱιπποϝς μεν κατεδησαν ͱεΰτμῆτοισιν ͱιμαντσιν
φατνῃ εφ᾽ ιππειῃ, ͱοθι περ διομηδεος ͱιπποι
ͱεστασαν ὦκυποδες, μελιͱηδεα πυϝρον εδοντες.
ναϝι δ᾽ ενι πρυμνῃ εναρα βροτοεντα δολῶνος
θηχ᾽ οδυσεϝς, ͱοφρ᾽ ͱιερον ͱετοιμασσαιατ᾽ αθηνῃ.
αϝτοι δ᾽ ͱιδροα πολλον απενιδσοντο θαλασσῃ
εσβαντες, κνημας τ᾽, ηδε λοφον, αμφι τε μηροϝς.
αϝταρ επει σφιν κυϝμα θαλασσης ͱιδροα πολλον
νιπτσεν απο χρῶτος, και ανεπσυϝχθεν φιλον ητορ,
ες ρ᾽ ασαμινθοϝς βαντες ͱεΰχσεστας λοϝεσαντο.
τω δε λοϝεσαμενω, και αλειφσαμενω λιπ᾽ ελαιῳ,
δειπνῳ εφιδσανετην· απο δε κρῆτηρος αθηνῃ
πλεεοϝ αφυσσαμενοι λειβον μελιͱηδεα ϝοινον.
δσεϝς δ᾽ εριδα προϊαλλε θοϝας επι ναϝας αχαιϝων 3
αργαλεην, πολεμοϝο τερας μετα χερσιν ͱεχοντσαν· Λ
στη δ᾽ εφ᾽ οδυσσεϝος μεγακητεϊ ναϝι μελαινῃ,
ͱη ρ᾽ εν μεσσατῳ εσκε, γεγωνεμεν αμφοτερωσε,
ημεν επ᾽ αιϝαντος κλισιας τελαμωνιαδαϝο,
ηδ᾽ επ᾽ αχιλλεϝος· τοι ρ᾽ εσχατα ναϝας ϝεϊσϝας
ϝερυσαν, ῆνορεῃ πιθυνοι και καρτεϊ χειρων.
ενθα σταντσ᾽ ῆͱυϝσε θεα μεγα τε, δδεινον τε.
ατρεϝιδης δ᾽ εβοησεν, ιδε δσωννυσθαι ανωγεν
αργειϝοϝς· εν δ᾽ αϝτος εδυϝσατο νωροπα χαλκον.
κνημῖδας μεν πρῶτα περι κνημῇσιν εθῆκεν
καλας, αργυρεοισιν επισφυριοισ᾽ αραρυιας·
δεϝτερον αϝ θωρηκα περι στηθεσσιν εδυϝνεν,
τον ποτε ͱοι κινυρης δῶκε, χσεινῆϊον εεναι.
πευθετο γαρ κυπρονδε μεγα κλεος, ͱοονεκ᾽ αχαιϝοι
ες τροϝιην ναϝεσιν αναπλεϝσεσθαι εμελλον·
τοονεκα ͱοι τον εδῶκε, χαριδσομενος βασιλεϝι.
τοο δ᾽ ητοι δεκα ͱοιμοι εσαν μελανος κυϝανοϝο,
δῶδεκα δε χρυσοο, και ϝεικοσι κασσιτεροϝο·
κυϝανεοι δε δρακοντες ορωρεχατο προτι δειρην
τρεες ͱεκατερθε, ϝιριδσι ϝεϝοικοτες, ͱας τε κρονιϝων
εν νεφει εστηριχσε, τερας μεροπων ανθρωπων.
αμφι δ᾽ αρ᾽ ωμοισιν βαλετο χσιφος· εν δε ͱοι ͱηλοι
χρυσειοι πανφαινον· αταρ περι κουλεον ῆεν
αργυρεον, χρυσεοισιν αͱορτηρεσιν αρῆρος.

αν δ' ͱελετ' αμφιβροτην, πολυδαιδαλον, ασπιδα θοϝριν, Λ
καλην, ͱην περι μεν κυκλοι δεκα χαλκεοι ἦσαν·
εν δε ͱοι ομφαλοι ἦσαν ϝεΐκοσι κασσιτεροϝο
λεϝκοι, εν δε μεσοισιν εἦν μελανος κυϝανοϝο.
τῇ δ' επι μεν γοργω βλοσυρῶπις εστεφανωτο
δδεινον δερκομενη, περι δε δδειμος τε, φοβος τε.
της δ' εκς αργυρεος τελαμων ἦν· αϝταρ επ' αϝτῷ
κυϝανεος ϝεϝελικτο δρακων, κεφαλαι δε ͱοι ἦσαν
τρεες αμφιστρεφεες, ͱενος αϝχενος εκπεφυϝυιαι.
κρᾶτι δ' επ' αμφιφαλον κυνεην θετο, τετραφαληρον,
ͱιππουριν· δδεινον δε λοφος καθυπερθεν ενευεν.
ͱελλετο δ' αλκιμα δορϝε δυω, κεκορυθμενα χαλκῷ,
ͱοκσυα· τηλε δε χαλκος απ' αϝτοφιν ουρανον εισῷ
λαμπ'· επι δ' εγδουπησαν αθηναιη τε και ͱηρη,
τιϝμῶντσαι βασιλεϝα πολυχρυσοϝο μυκηνης.
ͱηνιͱοχῷ μεν επειτα ͱεϝῷ επετελλεν ͱεκαστος
ͱιπποϝς ͱευ κατα κοσμον ερυκεμεν αϝθ' επι ταφρῷ·
αϝτοι δε πρυλιες γσυν τευχεσι θωρηχθεντες
ροϝοντ'· ασβεστος δε βοη γενετ'· εν δε κυδοιμον
ὦρσε κακον κρονιδης, κατα δ' ͱυπσοθ' εͱῆκεν εερσας
ͱαιματι μυδαλεας εκς αιθερος, ͱοονεκ' εμελλεν
πολλας ἶφθῖμοϝς κεφαλας αϝιδι προϊαπτσεεν.
τροϝες δ' αϝθ' ετερωθεν επι θρωσμῷ πεδιοϝο,
ͱεκτορα τ' αμφι μεγαν, και αμυϝμονα πολυδαμαντα,
αινειαν θ', ος τροϝσι, θεος ͱως, τιϝετο δημῷ,
τρεας τ' αντῆνοριδας, πολυβον, και αγῆνορα διϝον,
ηιθεον τ' ακαμαντ', επιϝεικελον αθανατοισιν.
ͱεκτωρ δ' εν πρῶτοισι φερ' ασπιδα παντοσε ϝεισϝην·
ͱοιος δ' εκ νεφεων αναφαινεται ολϝιος αστηρ,
πανφαινων, τοτε δ' αϝτις εδῦ νεφεα σκιοεντα·
ͱως ͱεκτωρ ͱοτε μεν τε μετα πρῶτοισι φανεσκεν,
αλλοτε δ' εν πυματοισι, κελεϝων· πανς δ' αρα χαλκῷ
λαμφ', ως αστεροπη πατερος διος αιγιͱοχοϝο.
ͱοι δ', ͱωσθ' αμῆτηρες εναντιοι αλληλοισιν
ογμον ελαϝνωντιν, ανδρος μακαρος κατ' αροϝραν,
πυϝρων, η κρῖθων, τα δε δραγματα ταρφεα πιπτει·
ͱως τροϝες και αχαιϝοι επ' αλληλοισι θοροντες
δαϝιων· ουδ' ͱετεροι μναϝοντ' ολοϝοϝο φοβοϝο·
ϝεισϝας δ' ͱυσμινῆ κεφαλας ͱεχον· ͱοι δε, λυκοι ͱως,
θυϝνον· ερις δ' αρ' εχαιρε πολυστονος εισͱοραοντσα·
οιη γαρ ρα θεων παρετυνχανε μαρναμενοισιν.
ͱοφρα μεν ἦως ἦν και αͱεχσετο ͱιερον ͱημαρ,
τοφρα μαλ' αμφοτερων βελ' ͱαπτετ', επιπτε δε λαϝος·
ημος δε δρυτομος περ ανηρ ͱοπλισσατο δορπον
ορεος εν βησσῆσιν, επει τ' εκορεσσατο χειρας
ταμνων δενδρεα μακρα, ͱαδος τε μιν ͱικετο θυϝμον,

σῖτοϝο τε γλυκεροϝο περι φρενας ͱιμερος ͱαιρεεν· Λ
τημος σφῇ αρετῇ δαναοι ϝρῆγσαντο φαλανγας,
κεκλομενοι ͱεταροισι κατα στιχας. εκ δ᾽ αγαμεμνων
πρῶτος οροϝσ᾽· ͱελε δ᾽ ανδρα βιῆνορα, ποιμενα λαϝων,
αϝτον, επειτα δ᾽ οπαϝονα ϝιλϝεϝα πληγσιͱιππον.
ητοι ͱογ᾽ εκς ͱιππων κατεφαλμενος αντιος εστη·
τον δ᾽ ιθυς μεμαϝῶτα μετῶπιον ͱοκσυϊ δορϝι
νυκσ᾽, ουδε στεφανη δορυ εσχεθε χαλκοβαρυια,
αλλα δι᾽ αϝτης ηλθε και οστεοϝ᾽, ενκεφαλος δε
ενδον ͱαπανς πεπαλακτ᾽· εδαμασσε δε μιν μεμαϝῶτα.
και τοϝς μεν λιπεν αϝθι ϝανακς ανδρων αγαμεμνων
στηθεσι πανφαινοντας, επει περιδυϝσε χιτῶνας·
αϝταρ ͱο βη ϝεισϝον τε και αντιφον εκσεναρικσων,
ͱυιε δυω πριαμοϝο, νοθον και γνῆσιον, αμφω
εν ͱενι διφρῳ εοντε· ͱο μεν νοθος ͱηνιͱοχεϝεν,
αντιφος αϝ παρεβασκε περικλυτος· ͱω ποτ᾽ αχιλλεϝς
ιδης εν κνημοισ᾽ εδιδη μοσχοισι λυγοισιν,
ποιμαινοντ᾽ επ᾽ οϝιεσι λαβων, και ελυϝσεν αποινων.
δη τοτε γ᾽ ατρεϝιδης ευρυ κρεϝων αγαμεμνων
τον μεν ͱυπερ μαδσοϝο κατα στηθος βαλε δορϝι·
αντιφον αϝ παρ᾽ οϝας ελασε χσιφει, εκ δ᾽ εβαλ᾽ ͱιππων.
σπερχομενος δ᾽ απο τοιϊν εσυλϝαε τευχεα καλα,
γιγνῶσκων· και γαρ σφε παρος παρα ναϝσι θοϝῇσιν
ϝειδεν, ͱοτ᾽ εκς ιδης αγαγεν ποδας ωκυς αχιλλεϝς.
ͱως δε λεϝων ελαφοϝο ταχυιης νηπια τεκνα
ρεϝιδιως γσυνεϝανγσε, λαβων κρατεροισιν οδοντσιν,
ελθων εις ευνην, ͱαπαλον τε σφ᾽ ητορ απῆϝρα·
ͱη δ᾽ ειπερ κε τυχητι μαλα σχεδον, ου δυναται σφιν
χραϝσμεεν· αϝτην γαρ μιν ͱυπο τρομος αινος ͱικανει·
καρπαλιμως δ᾽ ῆͱικσε δια δρυμα πυκνα και ͱυλϝην
σπευδοντσ᾽, ͱιδρῶοντσα κραταιοϝο θηρος ͱυφ᾽ ορμης·
ͱως αρα τοισ᾽ ουτις δυνατο χραϝσμησαι ολεθρον
τροϝων, αλλα και αϝτοι ͱυπ᾽ αργειϝοισ᾽ εφεβοντο.
  αϝταρ ͱο πειθσανδρον τε και ͱιππολοχον μενεχαρμην,
ͱυιιας αντιμαχοϝο δαϝιφρονος, ͱος ρα μαλιστα,
χρυσον αλεκσανδροϝο δεδεχμενος, αγλαϝα δῶρα,
ουκ εϝαεσχ᾽ ελενην δομεναι χσανθῷ μενελαϝῷ,
τοο περ δη δυο παιδ᾽ ελαβε κρεϝων αγαμεμνων,
εν ͱενι διφρῳ εοντε, ͱομοο δ᾽ ͱεχον ὤκυας ͱιπποϝς·
εκ γαρ σφεας χειρων φυγον ͱηνια σιϝαλοεντα,
τω δ᾽ εκυκῆθητην· ͱο δ᾽ εναντιον ὦρτο, λεϝων ͱως,
ατρεϝιδης· τω δ᾽ αϝτ᾽ εκ διφροϝο γουνϝαδσεσθην·
  δσαϝγρεε᾽, ατρεϝος ͱυιε, συ δ᾽ αγσια δεχσαι αποινα·
πολλα δ᾽ εν αντιμαχοϝο δομοις κειμηλια κειται,
χαλκος τε, χρυσος τε, πολυκμῆτος τε σιδηρος·
των κεν τοι χαρισαιτο πατηρ απερεισι᾽ αποινα,

ει νοϝι δσαϝω πεπυθοιτ᾽ επι ναϝσιν αχαιϝων.
ͱως τωγε κλαϝοντε προσαυϝδητην βασιλεϝα Λ
μειλιχιοις ϝεπεσιν· ϝοπ᾽ αμειλικτον δ᾽ εακοϝσαν·
ει μεν δ᾽ αντιμαχοϝο δαϝιφρονος ͱυιιες εστον,
ͱος ποτ᾽ ενι τροϝων αγορῇ μενελαϝον ανωγεν,
αγγελιην ελθοντα συν αντιθεῷ ͱοδυσεϝι,
αϝθι κατακτῆναι, μηδ᾽ εκσͱεμεν αψ ες αχαιϝοϝς·
νῦν μεν δη τοϝο πατρος αϝεικεα τιϝσετε λωβην.
ἦ, και πειθσανδρον μεν αφ᾽ ιππων ὦθσε χαμαδσε,
δορϝι βαλων προς στηθος· ͱο δ᾽ ͱυπτιος ουδει ερειδσθη.
ͱιππολοχος δ᾽ αποροϝσε, τον αϝ χαμαι εκσεναριξεν,
χειρας απο χσιφεϊ τμῆκσανς, απο τ᾽ αϝχενα κοπτσανς·
ϝολμον δ᾽ ͱως, εσσεϝε κυλινδεσθαι δι᾽ ͱομιλϝοο.
τοϝς μεν εϝᾶσ᾽· ͱο δ᾽, ͱοθι πλεισται κλονεοντο φαλαγγες,
τῇ ρ᾽ ενοροϝσ᾽, ͱαμα δ᾽ αλλοι ͱεϋκνημῖδες αχαιϝοι.
πεδσοι μεν πεδσοϝς ολεκον φευγοντας αναγκῃ,
ͱιππεϝες ͱιππεϝας, ͱυπο δε σφισιν ὦρτο κονιϝη
εκ πεδιοο την ὦρσαν εριγδουποι ποδες ͱιππων,
χαλκῷ δαϝιοοντες· αταρ κρεϝων αγαμεμνων
αιϝεν αποκτεινων ͱεπετ᾽, αργειϝοισι κελεϝων.
ͱως δ᾽ ͱοτε πυρ αϝιδηλον εν αχσυλῳ ενπεσῃ ͱυλϝῃ,
παντῃ ϝελϝυφαͱων ανεμος φερει, ͱοι δε τε θαμνοι
προϝριδσοι πιπτουσιν επειγομενοι πυρος ͱορμῃ·
ͱως αρ᾽ ͱυπ᾽ ατρεϝιδῃ αγαμεμνον᾽ επιπτε καρῆνα
τροϝων φευγοντων, πολλοι δ᾽ εριαϝχενες ͱιπποι
κἦν᾽ ͱοχεα κροταλιδσον ανα πτολεμοϝο γεφυρας,
ͱηνιͱοχοϝς ποθεοντες αμυϝμονας· ͱοι δ᾽ επι γαιῃ
κειατο, γυϝπεσιν πολυ φιλτεροι, ἠ᾽ ͱαλοχοισιν.
ͱεκτορα δ᾽ εκ βελεων ͱυπαγε δσεϝς, εκ τε κονιϝης,
εκ τ᾽ ανδροκτασιης, εκ θ᾽ αιματος, εκ τε κυδοιμοο·
ατρεϝιδης δ᾽ ͱεπετο, σφεδανον δαναοισι κελεϝων.
ͱοι δε παρ ϝιλϝοϝο σημα παλαιοϝο δαρδανιδαϝο
μεσσον κατ πεδιον παρ᾽ ερινεον εσσεϝοντο,
ͱιͱεμενοι πολιος· ͱο δε κεκλῆγως ͱεπετ᾽ αιϝει
ατρεϝιδης, λυθρῷ δ᾽ επαλασσετο χειρας αаπτοϝς.
αλλ᾽ ͱοτε δη σκαιϝας τε πυλας και φηγον ͱικοντο,
ενθ᾽ αρα δη ͱισταντο, και αλληλοϝς ανεμιμνον.
ͱοι δ᾽ ετι κατ μεσσον πεδιον φοβεοντο, βοϝες ͱως,
ͱαστε λεϝων εφοβησε, μολων εν νυκτος αμολγῷ,
παντσας· τῇ δε μιῇ αναφαινεται αιπυς ολεθρος·
της δ᾽ εκς αϝχεν᾽ εϝαγσε, λαβων κρατεροισιν οδοντσιν,
πρῶτον· επειτα δε θ᾽ αιμα και ενκατα παντα λαφυσσει·
ͱως τοϝς ατρεϝιδης εφεπε κρεϝων αγαμεμνων,
αιϝεν αποκτεινων τον οπιστατον· ͱοι δ᾽ εφεβοντο.
ϝεσπετε νῦν μοι, μοϝσαι, ολυνπια δῶμαθ᾽ εχοντσαι,
ͱοστις δη πρῶτος αγαμεμνονος αντιος ηλθεν,

ἠ' αϝτων τροϝων, ηε κλῆτων επικουρων.
Ϝῖφιδαμανς αντῆνοριδης, ῆΰς τε, μεγας τε, Λ
ͱος τραφη εν θρεϝικῆ εριβῶλακι, μητερι μηλων·
κισσεϝς τονγ' ετρεφσε δομοισ' ενι τυτθον εοντα
μητροπατωρ, ͱος ετικτε θεανοα καλλιπαρῆον.
αϝταρ επει ρ' ͱηβης ερικυϝδεος ͱικετο μετρον,
αϝτοϝο μιν κατερυκ', εδιδῶ δ' ͱογε θυγατερ' ͱεϝην·
γῆμανς δ', εκ θαλαμοϝο μετα κλεος ͱικετ' αχαιϝων,
γσυν δυο και δεκα ναϝσι κορωνισιν, ͱαι ͱοι ͱεποντο.
τας μεν επειτ' εν περκωτῆ λιπε ναϝας ϝεϊσϝας·
αϝταρ ͱο πεδσος εων, εις ϝιλϝιον ηληλουθεεν·
ͱος ρα τοτ' ατρεϝιδαϝ αγαμεμνονος αντιος ηλθεν.
ͱοι δ' ͱοτε δη σχεδον ῆσαν επ' αλληλοισιν ιοντες,
ατρεϝιδης μεν αμαρτε, παραι δε ͱοι ετραπετ' ενχος.
Ϝῖφιδαμανς δε κατα δσωνην, θωρηκος ενερθεν,
νυκσ'· επι δ' αϝτος ερειδσε βαρυιῆ χειρι πιθησανς·
ουδ' ετορε δσωστηρα παναιϝολον, αλλα πολυ πριν
αργυρῷ αντομενη, μολυβος ͱως, ετραπετ' αιχμη.
και τογε χειρι λαβων ευρυ κρεϝων αγαμεμνων
ͱελκ' επι ͱοι, μεμαϝως, ͱωστε λῖς· εκ δ' αρα χειρος
σπασσατο· τον δ' αͱορι πληγσ' αϝχεν', ελυϝσε δε γυια.
ͱως ͱο μεν αϝθι πεσων κοιμῆσατο χαλκεον ͱυπνον,
οικτρος, απο μνῆστης ͱαλοχοο, ϝαστοισιν αρηγων,
κοϝριδιης, ͱης ουτι χαριν ϝιδε, πολλα δ' εδῶκεν·
πρῶθ' εκατον βοϝς δῶκεν, επειτα δε χιλι' ͱυπεστη
αιγας ͱομοο και οϝιας, τα ͱοι ασπετα ποιμαινοντο.
δη τοτε γ' ατρεϝιδης αγαμεμνων εκσεναρικσεν,
βη δε φερων αν' ͱομιλον αχαιϝων τευχεα καλα.
τον δ' ͱως ῶν ενοησε καϝων, αριδεικετος ανδρων,
πρεσβυγενης αντῆνοριδης, κρατερον ρα ͱε πενθος
οφθαλμοϝς εκαλυπτσε, κασιγνῆτοϝο πεσοντος·
στη δ' ευρακς γσυν δορϝι, λαθων αγαμεμνονα διϝον·
νυκσε δε μιν κατα χειρα μεσην, ανκῶνος ενερθεν,
αντικρυς δε διεσχε φαϝεινοϝο δορϝος ακωκη.
ρῖγησεν τ' αρ' επειτα ϝανακς ανδρων αγαμεμνων·
αλλ' ουδ' ͱως απεληγε μαχης ηδε πτολεμοϝο,
αλλ' εποροϝσε καϝῶνι ͱεχων ανεμοτρεφες ενχος.
ητοι ͱο Ϝῖφιδαμαντα κασιγνῆτον και ͱοπατρον
ͱελκε ποδος μεμαϝως, και αͱυϝτεε παντας αριστοϝς·
τον δ' ͱελκοντ' αν' ͱομιλϝον ͱυπ' ασπιδος ομφαλοεντσης
ουτῆσε χσυστῷ χαλκηρει, ελυσε δε γυια·
τοο δ' επι Ϝῖφιδαμαντι καρῆ απεκοπτσε παραστανς·
ενθ' αντῆνορος ͱυιες ͱυπ' ατρεϝιδῆ βασιλεϝι
ποτμον αναπλησαντες, εδῦν δομον αϝιδος εισῷ.
αϝταρ ͱο των αλλων επεπωλεετο στιχας ανδρων,
ενχεϊ τ', αͱορι τε, μεγαλοισι τε χερμαδιοισιν,

ͱοφρα ͱοι ͱαιμ' ετι θερμον ανηνοθεν εκς ὠτειλης·
αϝταρ επει το μὲν ͱελκος ετερσετ', επαϝσατο δ' ͱαιμα,
ͱοκσυιαι δ' οδυναι δυϝνον μενος ατρεϝιδαϝο.
ͱως δ' ͱοτ' αν ωδινουσαν ͱεχῃ βελος ͱοκσυ γυναικα,
δριμυ, το τε προͱιͱεντι μογοστοκοι ειλειθυιαι,
ͱηρης θυγατερες, πικρας ωδῖνας ͱεχουσαι·
ͱως ͱοκσυι' οδυναι δυϝνον μενος ατρεϝιδαϝο.
ες διφρον δ' ανοροϝσε, και ͱηνιͱοχῳ επετελλεν
ναϝσιν επι γλαφυρῇσιν ελαϝνεμεν· ῆχθετο γαρ κεαρ.
ῆͱυϝσεν δε διαπρυσιον δαναοισι γεγῶνως·
ω φιλοι, αργειϝων ͱηγητορες, ηδε μεδοντες,
ͱυμεες μεν νῦν ναϝσιν αμυϝνετε ποντοποροισιν
φυϝλϝοπιν αργαλεην, επει ουκ εμε μητιετα δσεϝς
ηϝᾶσε τροϝεσι πανͱημεριον πολεμιδσεεν.
ͱως εφαθ'· ηνιͱοχος δ' ͱιμασεν καλλιτριχας ͱιπποϝς
ναϝας επι γλαφυρας· τω δ' ουκ αͱεκοντ' επετεσθην·
αφρεον δε στηθεα, ϝραινοντο δε νερθε κονιϝῃ,
τειρομενον βασιλεϝα μαχης απανευθε φεροντε.
ͱεκτωρ δ', ͱως ενοησ' αγαμεμνονα νοσφι κιοντα,
τροϝεσι και λυκιοισιν εκεκλετο, μακρον αͱυϝσανς·
τροϝες, και λυκιοι, και δαρδανοι ανχιμαχηται,
ανερες εστε, φιλοι, μνῆσασθε δε θοϝριδος αλκης·
οιχετ' ανηρ ͱοχ' αριστος, εμοι δε μεγ' ευχος εδῶκεν
δσεϝς κρονιδης· αλλ' ιθυς ελαϝνετε μωνυχας ͱιπποϝς
ἶφθῖμων δαναων, ͱιν' ͱυπερτερον ευχος ͱαρησθε.
ͱως ϝεσπων ὦτρυϝνε μενος και θυϝμον ͱεκαστοο.
ͱως δ' ͱοτε ποο τις θηρεϝτηρ κυνας αργιοδοντας
σσεϝῃ επ' αγροτερῳ συϊ καπριῳ, ηε λεϝοντι·
ͱως επ' αχαιϝοισ' εσσεϝε τροϝας μεγαθυϝμοϝς
ͱεκτωρ πριαμιδης, βροτολοιγῳ ϝεισϝος αρεϝι.
αϝτος δ' εν πρῶτοισι μεγα φρονεων εβεβηκεεν·
εν δ' επεσ' ͱυσμινῃ, ͱυπεραͱεϝι ϝεισϝος αͱελλῃ,
ͱη τε καθαλλομενη ϝιοϝειδεα ποντον ορινει.
ενθα τινα πρῶτον, τινα δ' ͱυστατον εκσεναρικσεν
ͱεκτωρ πριαμιδης, ͱοτε ͱοι δσεϝς κυϝδος εδῶκεν;
ασσαιον μεν πρῶτα, και αϝτονοον, και οπῖτην,
και δολοπα κλυτιδην, και οφελτιον, ηδ' αγελαϝον,
αισυμνον τ', ωρον τε, και ͱιππονοον μενεχαρμην·
τοϝς αρ' ͱογ' ͱηγεμονας δαναων ͱελεν· αϝταρ επειτα
πληθυν· ͱως ͱοποτε δσεφυρος νεφεα στυφελικσῃ
αργεσταϝο νοτοϝο βαθυιῃ λαιλαπι τυπτων·
πολλον δε τροφι κυϝμα κυλινδεται, ͱυψοσε δ' αχνη
σκιδναται εκς ανεμοϝο πολυπλανκτοϝο ͱιῶης·
ͱως αρα πυκνα καρῆαθ' υφ' εκτορι δαμνατο λαϝων.
ενθα κε λοιγος εῆν, και αμηχανα ϝεργ' εγενοντο,
και νυ κεν εν ναϝεσ' επεσον φευγοντες αχαιϝοι,

ει μη τυϝδεϝιδῃ διομηδεϊ κεκλεθ' οδυσσεϝς· Λ
  τυϝδεϝιδη, τι παθοντε λελαθμεθα θοϝριδος αλκης ;
αλλ' αγε δευρο, πεπον, παρ' εμ' ͱιστασο· δη γαρ ελεγχος
εσσεται, ει κεν ναϝας ͱελῃ κορυθαιϝολος ͱεκτωρ.
  τον δ' απαμειβομενος προσεφη κρατερος διομηδης·
ητοι εγω μενεω και τλῆσομαι· αλλα μινυνθα
ͱημεων εσσεται ͱηδος, επην νεφεληγερετα δσεϝς
τροϝεσι βουληται δῶναι κρατος, ηεπερ ͱημῖν.
  ἦ, και θυμβραιον μεν αφ' ιππων ῶθσε χαμαδσε,
δορϝι βαλων κατα μαδσον αριστερον· αϝταρ ͱοδυσσεϝς
αντιθεον θεραποντα μολιϝονα τοϝο ϝανακτος.
τοϝς μεν επειτ' ηϝᾶσαν, επει πολεμοϝ' απεπαϝσαν·
τω δ' αν' ͱομιλϝον ιοντ' εκυδοιμεον, ͱως ͱοτε καπρω
εν κυσι θηρεϝτηρσι μεγα φρονεοντε πεσητον·
ͱως ολεκον τροϝας παλινορμενω· αϝταρ αχαιϝοι
ασπασιως φευγοντες ανεπνεϝον ͱεκτορα διϝον.
  ενθ' ͱελετην διφρον τε και ανερε, δημοϝ' αριστω,
ͱυιε δυω μεροπος περκωσιοϝ, ͱος περι παντων
ϝοιδεε μαντοσυνας, ουδ' ͱεϝοϝς παιδας εϝᾶσκεν
στειχεμεν εις πολεμον φθῑσήνορα· τω δε ͱοι ουτι
πειθεσθην· κηρες γαρ αγον μελανος θανατοϝο.
τοϝς μεν τυϝδεϝιδης δορϝικλειτος διομηδης,
θυϝμοϝο και πσυϝχης κεχαδων, κλυτα τευχε' απῆϝρα·
ͱιπποδαμον δ' ͱοδυσεϝς και ͱυπερͱοχον εκσεναρικσεν.
  ενθα σφιν κατα ϝεισϝα μαχην ετανυσσε κρονιϝων
εκς ιδης καθορῶν· ͱοι δ' αλληλοϝς εναριδσον.
ητοι τυϝδεϝος ͱυιος αγαστροφον ουτασε δορϝι
παιονιδην ͱηροϝα καθ' ισχιον· ουδε γαρ ͱιπποι
εγγυς εσαν προφυγεεν· εαϝασσατο δε μεγα θυϝμῳ·
τοϝς μεν γαρ θεραπων απανευθ' ͱεχεν· αϝταρ ͱο πεδσος
θυϝνε δια προμαχων, ͱεϝος φιλον ῶλεσε θυϝμον.
ͱεκτωρ δ' ͱοκσυ νοησε κατα στιχας, ῶρτο δ' επ' αϝτοϝς
κεκλῆγως· ͱαμα δε τροϝων ͱεσποντο φαλαγγες·
τον δε ϝιδων ρῖγησε βοην αγαθος διομηδης,
αιπσα δ' ͱοδυσσεϝα προσεφῶνεεν, εγγυς εοντα·
  νοϝιν δη τοδε πημα κυλινδεται, οβριμος ͱεκτωρ·
αλλ' αγε δη στεωμεν, και αλεκσωμεσθα μενοντες.
  ἦ ρα, και αμπεπαλων προͱιͱεε δολιχοσκιον εγχος,
και βαλεν, ουδ' απαμαρτε τιτυσκομενος κεφαληφιν,
ακρην κατ κορυθα· πλαγχθη δ' απο χαλκοφι χαλκος
ουδ' ͱικετο χροα καλον· ερυκακε γαρ τρυφαλεια
τριπτυχος, αϝλῶπις, την ͱοι πορε φοιβος απολλων.
ͱεκτωρ δ' ῶκ' απελεθρον ανεδραμ', εμιγτο δ' ͱομιλϝῳ. 354
  αϝταρ αλεκσανδρος, ͱελενης ποσις ἠϋκομοϝο, 369
τυϝδεϝιδῃ επι τοκσ' ετιταινετο, ποιμενι λαϝων,
στηλῃ κεκλιμενος, ανδροκμῆτῳ επι τυμβῳ

ϝιλϝοϝο δαρδανιδαϝο, παλαιοϝο δημογεροντος. Λ
ητοι ͱο μεν θωρηκα τ' αγαστροφοϝ' ἶφθῖμοϝο
αινυτ' απο στηθεσφι παναιϝολον, ασπιδα τ' ωμων,
και κορυθα βριαρην· ͱο δε τοκσοϝο πηχυν ανͱελκεν,
και βαλεν, ουδ' αρα μιν ͱαλιον βελος εκφυγε χειρος,
ταρσον δεχσιτεροϝο ποδος· δια δ' ανπερες ͱιͱος
εν γαιῃ κατεπηγτο· ͱο δε μαλα ͱηδυ γελασσανς,
εκ λοχοϝ' ανπηδησε, και ευχομενος ϝεπος ηὖϝδα·
βεβλῃ', ουδ' ͱαλιον βελος εκφυγεν· ͱως οφελον τοι,
νεϝατον ες κενεῶνα βαλων, εκ θυϝμον ͱελεσθαι·
ͱοϝτῳ κεν και τροϝες ανεπνεϝσαν κακοτητος,
ͱοιτε σε πεφρικκαντι, λεϝονθ' ως μηκαδες αιγες.
τον δ' ου ταρβησανς προσεφη κρατερος διομηδης·
τοκσοτα, λωβητηρ, κερα' αγλαϝε, παρθενοπῖπα,
ει μεν δ' αντιβιον γσυν τευχεσι πειρηθειης,
ουκ αν τοι χραϝσμητι βιος και ταρφεες ͱιͱοι·
νῦν δε μ' επιγραπτσανς ταρσον ποδος, ευχεαι αϝτως.
ουκ αλεγω, ͱως ει με γυνη βαλοι, η παῖς αφρων·
κωφον γαρ βελος ανδρος ααλκιδος ουτιδανοϝο.
ητ' αλλως ͱυπ' εμεϝο, και ει κ' ολιγον περ επαϝρῃ,
ͱοκσυ βελος πελεται, και ακεαριον αιπσα τιθητιν·
τοο δε, γυναικος μεν τ' αμφιδρυφοι εντι παρειαι,
παιδες δ' ορφανικοι· ͱο δε θ' αιματι γαιαν ερευθων
πυϝθεται· οιϝωνοι δε περι πλεες, ηε γυναικες.
ͱως φατο· τοο δ' ͱοδυσεϝς δορϝικλυτος ενγυθεν ελθων
εστη προσθ'· ͱο δ' οπισθε καθεδσομενος, βελος ῶκυ
εκ ποδος ͱελκ'· οδυνη δε δια χροος ηλθ' αλεγεινη.
ες διφρον δ' ανοροϝσε, και ͱηνιͱοχῳ επετελλεν
ναϝσιν επι γλαφυρῃσιν ελαϝνεμεν· ηχθετο γαρ κεαρ.
οιωθη δ' ͱοδυσεϝς δορϝικλυτος, ουδε τις αϝτῳ
αργειϝων παρεμιμνεν, επει φοβος ελαβε παντας·
οχθησανς δ' αρ' εϝεσπε προς ͱον μεγαλητορα θυϝμον·
ω μοι εγω, τι παθω; μεγα μεν κακον, αι κε φεβωμαι,
πληθυν ταρβησανς· το δε ρῖγιον, αι κεν ͱαλῶω
μουνος· τοϝς δ' αλλοϝς δαναοϝς εφοβησε κρονιϝων.
αλλα τιη μοι ταϝτα φιλος διελεγσατο θυϝμος;
ϝοιδα γαρ, ͱοτι κακοι μεν αποιχονται πολεμοϝο·
ͱος δε κ' αριστεϝῃσι μαχῃ ενι, τονδε μαλα χρη
ͱεσταμεναι κρατερως, ητ' εβλῃτ', ητ' εβαλ' αλλον.
ͱεϝος ͱο ταϝθ' ορμαινε κατα φρενα και κατα θυϝμον,
τοφρα δ' επι τροϝων στιχες ηλυθον ασπισταϝων·
ϝελϝσαν δ' εν μεσσοισι, μετα σφισι πημα τιθεντες.
ͱως δ' ͱοτε καπριον αμφι κυνες θαλεροι τ' αιδσηοι
σσεϝωνται, ͱο δε τ' ειτι βαθυιης εκ χσυλοχοϝο,
θηγων λεϝκον οδοντα μετα γναμπτῃσι γενυσσιν·
αμφι δε τ' αͱισσονται· ͱυπαι δε τε κομπος οδοντων

γιγνεται· ͱοι δε μενοντιν ͱαϕαρ δδεινον περ εοντα·
ͱως ρα τοτ' αμϕ' ͱοδυσεFα, διϊ ϕιλον, εσσεFοντο
τροFες· ͱο δε πρωτον μεν αμυFμονα δαFιοπῖτην
ουτασεν ωμον ͱυπερθεν, εϕαλμενος ͱοκσυϊ δορFι·
αFταρ επειτα θοFῶνα, και εννομον εκσεναρικσεν·
χερσιδαμαντα δ' επειτα, καθ' ιππων αͱικσαντα,
δορFι κατα προτμῆσιν ͱυπ' ασπιδος ομϕαλοεντσης
νυκσεν· ͱο δ' εν κονιFῃσι πεσων, ͱελε γαιαν αγοστῳ.
τοFς μεν εFᾶσ', ͱο δ' αρ' ͱιππασιδην χαροπ' ουτασε δορFι
αFτοκασιγνῆτον ῆυγενεος σωκοFο·
τῳ δ' επαλεκσησων σωκος κιε, FεισFοθεος ϕως·
στη δε μαλ' ενγυς ιων, και μιν προς μυFθον εFεσπεν·
ω ͱοδυσεF πολυαινε, δολων αFατ', ηδε πονοFο,
σημερον η δοιοισιν επευχσεαι ͱιππασιδῃσιν,
η κεν εμῳ ͱυπο δορFι τυπευς απο θυFμον ολεσσῃς.
ͱως Fεσπων, ουτησε κατ' ασπιδα παντοσε FεισFην·
δια μεν ασπιδος ηλθε ϕαFεινης οβριμον ενχος,
και δια θωρηκος πολυδαιδαλοF ηρηρειδστο·
παντα δ' απο πλεFρων χροα ͱεργαθεν· ουδε τ' εFᾶσεν
παλλας αθηναιη μιχθημεναι ενκασι ϕῶτος.
γνῶ δ' ͱοδυσεFς, ͱο ͱοι ουτι τελος καταικαιριον ηλθεν·
αψ δ' αναχωρησανς σωκον προς μυFθον εFεσπεν·
Fαͱ δδειλ'! η μαλα δη σε κιχανεται αιπυς ολεθρος·
ητοι μεν ρ' εμ' επαFσας επι τροFεσι μαχεσθαι,
σοι δ' εγω ενθαδε ϕημι ϕονον και κηρα μελαιναν
ͱηματι τῳδ' εσσεσθαι· εμῳ δ' ͱυπο δορFι δαμεντα
ευχος εμοι δωσεεν, ψσυFχην δ' αFιδι κλυτοπωλῳ.
ῆ, και ͱο μεν ϕυγαδ' αFτις ͱυποστρεψσανς εβεβηκεεν,
τῳ δε μεταστρεϕθεντι μεταϕρενῳ εν δορυ πηγσεν
ωμων μεσσηγυς, δια δε στηθεσϕιν ελασσεν·
δουπησεν δε πεσων· ͱο δ' επευχσατο διFος ͱοδυσσεFς·
ω σωχ', ιππασοF ͱυιε δαFιϕρονος, ͱιπποδαμοFο,
ϕθη σε τελος θανατοFο κιχημενον, ουδ' ͱυπαλυκσας.
Fαͱ δδειλ'! ου μεν σοιγε πατηρ και ποτνια μητηρ
οσσε καθαιρησοντι θανοντι περ, αλλ' οιFωνοι
ωμησται Fερυσοντι, περι πτερα πυκνα βαλοντες.
ͱως Fεσπων, σωκοFο δαFιϕρονος οβριμον ενχος
εκσῳ τε χροος ͱελκε, και ασπιδος ομϕαλοεντσης·
ͱαιμα δε ͱοι σπασθεντος ανεσσυτ', εκηδε δε θυFμον.
τροFες δ' αF μεγαθυFμοι, επει Fιδον ͱαιμ' ͱοδυσεFος,
κεκλομενοι καθ' ομιλFον επ' αFτῳ παντες εβησαν.
αFταρ ͱογ' εκσοπισῳ ανεχαδσετ', αͱυFε δ' ͱεταιροFς·
τρις μεν επειτ' ῆͱυFσεν, ͱοσον κεϕαλη χαδε ϕῶτος,
τρις δ' αFιεν FιFαχοντος αρεFιϕιλος μενελαFος·
αιψα δ' αρ' αιFαντα προσεϕωνεεν, ενγυς εοντα·
αιFαν διFογενες, τελαμωνιε, κοιρανε λαFων,

αμφι μ' ͱοδυσσεϝος ταλασιφρονος ͱικετο φῶνη,
τῷ ͱικελη, ͱως ει ͱε βιῴατο μουνον εοντα
τροϝες αποτμῆγσαντες ενι κρατερῇ ͱυσμινῇ.
αλλ' ιομεν καθ' ομιλϝον, αλεκσεμεναι γαρ αμεινον.
δδειδω, μη τι παθητιν ενι τροϝεσι μονωθενς,
εσθλος εων· μεγαλη δε ποθη δαναοισι γενηται.
ͱως ϝεσπων, ͱο μεν ἦρχ', ͱο δ' ͱαμ' ͱεσπετο ϝεισϝοθεος φῶς.
ͱευρον επειθ' οδυσεϝα, διϊ φιλον· αμφι δ' αρ' αϝτον
τροϝες ͱεπον, ͱως ει τε δαφοινοι θοϝες ορεσφιν
αμφ' ελαφον κεραον βεβλῆμενον, ͱον ρ' εβαλ' ανηρ
ͱιͱῷ απο νευρης· τον μεν τ' ἦλυκσε ποδεσιν
φευγων, ͱοφρ' ͱαιμα χλιαρον, και γονϝατ' ορῶρῃ·
αϝταρ επειδη τονγε δαμασσεται ωκυς οϊστος,
ωμοφαγοι μιν θοϝες εν ορεσι δαρδαπτοντιν
εν νεμεϊ σκιερῷ· επι τε λῖν ῆγαγε δαιμων
σιντην· θοϝες μεν τε διετρεσαν, αϝταρ ͱο δαπτει·
ͱως ρα τοτ' αμφ' ͱοδυσεϝα δαϝιφρονα, ποικιλομητην,
τροϝες ͱεπον πολλοι τε και αλκιμοι· αϝταρ ͱογ' ͱηρως
αͱισσων ͱεϝῷ ενχει αμυϝνετο νηλεες ͱημαρ.
αιϝανς δ' ενγυθεν ηλθε, φερων σακος, ηϋτε πυργον,
στη δε παρεκς· τροϝες δε διετρεσαν αλλυδις αλλος.
ητοι τον μενελαϝος αρεϝιος εκσαγ' ͱομιλϝοο
χειρος ͱεχων, ͱεϝος θεραπων σχεδον ηλασεν ͱιπποϝς.
αιϝανς δε τροϝεσιν εφαλμενος ͱελλε δορυκλον
πριαμιδην, νοθον ͱυιον· επειτα δε πανδοκον ουτα·
ουτα δε λυϝσανδρον, και πυρασον, ηδε πυλαρτην.
ͱως δ' ͱοποτε πληθων ποταμος πεδιονδε κατειτιν
χειμαροϝος κατ' ορεσφιν, οπαδσομενος διος ομβρῳ,
πολλας δε δρυας αδσαλεας, πολλας δε τε πευκας
εσφερεται, πολλον δε τ' αφυσγετον εις ͱαλα βαλλει·
ͱως εφεπε κλονεων πεδιον τοτε φαιδιμος αιϝανς,
δαϝιδσων ͱιπποϝς τε και ανερας· ουδε πῷ ͱεκτωρ
πευθετ', επει ρα μαχης επ' αριστερ' εμαρνατο παντσης,
ͱοχθας παρ ποταμοϝο καμανδροϝο· τῇ ρα μαλιστα
ανδρων πιπτε καρῆνα, βοη δ' ασβεστος ορῶρεεν,
νεστορα τ' αμφι μεγαν, και αρεϝιον ιδομενεϝα.
ͱεκτωρ μεν μετα τοισιν ͱομιλϝεε, μερμερα ρεδσων
ενχεϊ θ', ιπποσυνῇ τε· νεϝων δ' αλαπαδσε φαλανγας.
ουδ' αν πῷ χαδσοντο κελευθοϝο διϝοι αχαιϝοι,
ει μη αλεκσανδρος, ͱελενης ποσις ῆϋκομοϝο,
παϝσεν αριστεϝοντα μαχαϝονα, ποιμενα λαϝων,
ͱιͱῷ τριγλωχῖνι βαλων κατα δεχσιον ωμον.
τῷ ρα περιδδειδσαν μενεα πνεϝοντες αχαιϝοι,
μη πως μιν, πολεμοϝο μετακλινθεντος, ͱελοιεν.
αϝτικα δ' ιδομενεϝς προσεφῶνεε νεστορα διϝον·
ω νεστορ νηλεϝιαδη, μεγα κυϝδος αχαιϝων,

αγρεε, σῶν ͱοχεων επιβησεο· παρ δε μαχαϝων Λ
βαινετω· ες ναϝας δε ταχισθ' εχε μωνυχας ͱιπποϝς·
ϝιϝητρος γαρ ανηρ πολλων ανταγσιος αλλων,
ͱιͱοϝς τ' εκταμνεεν, επι τ' ηπια φαρμακα πασσεεν.
ͱως εφατ'· ουδ' απιθησε γερηνιος ͱιπποτα νεστωρ·
αϝτικα δ' ͱων ͱοχεων επεβησατο· παρ δε μαχαϝων
βαιν', ασκληπιοϝ' ͱυιος αμυϝμονος ϝιϝητηρος·
μαστινγσεν δ' ͱιπποϝς, τω δ' ουκ αͱεκοντ' επετεσθην
ναϝας επι γλαφυρας· τῆ γαρ φιλον επλετο θυϝμῷ.
κεβριονης δε τροϝας ορινομενοϝς ενοησεν,
ͱεκτορι παρβεβαως, και μιν προς μυϝθον εϝεσπεν·
ͱεκτορ, νοϝι μεν ενθαδ' ͱομιλϝεομεν δαναοισιν,
εσχατιῆ πολεμοϝο δυσϝηχεος· ͱοι δε δη αλλοι
τροϝες ορινονται επιμιγς ͱιπποι τε και αϝτοι.
αιϝανς δε κλονεει τελαμωνιος· ͱευ δε μιν εγνῶν·
ευρυ γαρ αμφ' ωμοισιν ͱεχει σακος· αλλα και ͱημεες
κεισ' ͱιπποϝς τε και ͱαρμ' ιθυϝνομεν, ενθα μαλιστα
ͱιππεϝες πεδσοι τε, κακην εριδα προβαλοντες,
αλληλοϝς ολεκοντι, βοη δ' ασβεστος ορῶρεν.
ͱως αρα φῶνησανς ͱιμασεν καλλιτριχας ͱιπποϝς
μαστινγι λιγυρῆ· τοι δε, πληγης αϝιοντες,
ριμφ' εφερον θοϝον ͱαρμα μετα τροϝας και αχαιϝοϝς,
στειβοντες νεκυας τε και ασπιδας· ͱαιματι δ' αγσων
νερθεν ͱαπανς πεπαλακτο, και αντυγες ͱαι περι διφρον,
ͱας αρ' αφ' ιππειων ͱοπλεων ραθαμινγες εβαλλον,
ͱαι τ' απ' επισωτρων· ͱο δε ͱιϝετο δυϝναι ͱομιλϝον
ανδρομεον, ϝρῆγσαι τε, μεθαλμενος· εν δε κυδοιμον
ͱῆκε κακον δαναοισι, μινυνθα δ' εχαδσετο δορϝος.
αϝταρ ͱο των αλλων επεπωλεετο στιχας ανδρων
ενχεϊ τ', αͱορι τε, μεγαλοισι τε χερμαδιοισιν·
αιϝαντος δ' αλεϝεινε μαχην τελαμωνιαδαϝο.
δσεϝς δε πατηρ αιϝανθ' υπσιδσυγος εν φοβον ῶρσεν·
στη δε ταφων, οπιθεν δε σακος βαλεν ͱεπταβοϝειον·
τρεσσε δε παπτῆνανς εφ' ομιλϝοϝο, θηρι ϝεϝοικως,
εντροπαλιδσομενος, ολιγον γονυ γονϝος αμειβων.
ͱως δ' αιθῶνα λεϝοντα βοϝων απο μεσσαϝλοϝο
εσσεϝοντο κυνες τε και ανερες αγροιωται,
ͱοιτε μιν ουκ εϝαοντι βοϝων εκ πιϝαρ ͱελεσθαι,
παννυχοι εγρησσοντες· ͱο δε κρεαων ερατιδσων
ιθυϝει, αλλ' ουτι πρῆσσει· θαμεες γαρ ακοντες
αντιοι αͱισσοντι θρασυιαϝων απο χειρων,
καϝομεναι τε δεται, τας τε τρεει, εσσυμενος περ·
ῆοαθεν δ' απο νοσφιν εβη τετιϝηοτι θυϝμῷ·
ͱως αιϝανς τοτ' απο τροϝων τετιϝημενος ητορ
ηϊε πολλ' αͱεκων· περι γαρ δδιε ναϝσιν αχαιϝων.
ͱως δ' ͱοτ' ονος παρ' αροϝραν ιων εβιησατο παιδας

νωθης, hῳ δη πολλα περι ϝροπαλ' αμφις εϝαγχθη, Λ
κειρει τ' εισελθων βαθυ λεϝιον· hοι δε τε παιδες
τυπτοντι ϝροπαλοισι· βιη δε τε νηπιη αϝτων·
σπουδῃ τ' εχσηλασσαν, επει τ' εκορεσσατο φορβης·
hως τοτ' επειτ' αιϝαντα μεγαν, τελαμωνιον hυιον,
τροϝες hυπερθυϝμοι τηλεκλῆτοι τ' επικουροι,
νυσσοντες χσυστοισι μεσον σακος, αιϝεν hεποντο.
αιϝανς δ' αλλοτε μεν μνῆσασκετο θοϝριδος αλκης,
αϝτις hυποστρεφθενς, και ερητυϝσασκε φαλαγγας
τροϝων hιπποδαμων· hοτε δε τροπαεσκετο φευγεεν·
παντας δε προεhεργε θοϝας επι ναϝας hοδεϝεεν.
αϝτος δε τροϝων και αχαιϝων θυϝνε μεσηγυς
hισταμενος· τα δε δορϝα θρασυιαϝων απο χειρων,
αλλα μεν εν σακεϊ μεγαλῳ παγεν, ορμενα προσσῳ·
πολλα δε και μεσσηγυ, παρος χροα λεϝκον επαϝρεεν,
εν γαιῃ hισταντο, λιλαϝομενα χροος hαδσαι.
τον δ' hως ϝῶν ενοησ' hεϋhαιμονος αγλαϝος hυιος,
ευρυπυλος, πυκινοισι βιαδσομενον βελεεσιν,
στη ρα παρ' αϝτον ιων, και ακοντισε δορϝι φαϝεινῳ,
και βαλε φαϝσιαδην απισαϝονα, ποιμενα λαϝων,
hηπαρ hυπο πραπιδων, ειθαρ δ' hυπο γουϝατ' ελυϝσεν·
ευρυπυλος δ' εποροϝσε, και αινυτο τευχε' απ' ωμων.
τον δ' hως ϝῶν ενοησεν αλεκσανδρος θεοϝειδης
τευχε' απαινυμενον απισαϝονος, αϝτικα τοκσον
hελκεν επ' ευρυπυλῳ, και μιν βαλε μηρον οϊστῳ
δεχσιον· εκλασθη δε δονακς, εβαρυϝνε δε μηρον.
απς δ' hεταρων εις ϝεθνος εχαδσετο, κηρ' αλεϝεινων,
ῆhυϝσεν δε διαπρυσιον δαναοισι γεγῶνως·
ω φιλοι, αργειϝων hηγητορες, ηδε μεδοντες,
στητε ϝελιχθεντες, και αμυϝνετε νηλεες hημαρ
αιϝανθ' ος βελεεσι βιαδσεται· ουδε hε φημι
φευγσεσθ' εκ πολεμοϝο δυσϝηχεος· αλλα μαλ' αντην
hιστασθ' αμφ' αιϝαντα μεγαν, τελαμωνιον hυιον.
hως εφατ' ευρυπυλος βεβλῆμενος· hοι δε παρ' αϝτον
πλῆσιοι εστησαν σακε' ωμοισι κλῖναντες.
δορϝατ' ανασχομενοι· των δ' αντιος ηλυθεν αιϝανς·
στη δε μεταστρεφθενς, επει hικετο ϝεθνος hεταιρων.
hως hοι μεν μαρναντο δεμας πυρος αιθομενοϝο.
νεστορα δ' εκ πολεμοϝ εφερον νηλεϝιαι hιπποι
hιδρῶντσαι· ῆγον δε μαχαϝονα, ποιμενα λαϝων.
τον δε ϝιδων ενοησε ποδαρκης διϝος αχιλλεϝς·
hεστηκεε γαρ επι πρυμνῃ μεγακητεϊ ναϝι,
εισhοραων πονον αιπυν, hιῶκα τε δακρυϝοεντσαν·
αιπσα δ' hεταιρον hεϝον πατροκλεεα προσεϝεσπεν,
φθενγσαμενος παρα ναϝος· hο δε κλισιηθεν ακοϝσανς
εκμολε ϝεισϝος αρεϝι· κακοο δ' αρα hοι πελεν αρχη.

τον προτερος προσεϝεσπε μενοιτιοϝ αλκιμος ͱυιος· Λ
τιπτε με κικλῆσκεις, αχιλεϝ; τι δε σε χρη εμεϝο;
τον δ' απαμειβομενος προσεφη ποδας ὦκυς αχιλλεϝς·
διϝε μενοιτιαδη, μαλ' εμῷ κεχαρισμενε θυϝμῷ,
νῦν οἴϝω περι γουϝατ' εμα στησεσθαι αχαιϝοϝς
λισσομενοϝς· χρεϝω γαρ ͱικανεται ουκ ετ' ανͱεχτος.
αλλ' ιθι νῦν, πατροκλε, διϊ φιλε, νεστορ' ερεεο,
ͱοντινα τοϝτον αγει βεβλῆμενον εκ πολεμοϝο.
ητοι μεν ταγ' οπισθε μαχαϝονι παντα ϝεϝοικεν
τῷ ασκληπιαδῃ, αταρ ουκ ϝιδον οπματα φῶτος·
ͱιπποι γαρ με παρηͱικσαν, προσσῷ μεμαϝυιαι.
ͱως φατο· πατροκλος δε φιλῳ επεπειθεθ' εταιρῳ·
βη δε θεϝεεν παρα τε κλισιας και ναϝας αχαιϝων.
ͱοι δ' ͱοτε δη κλισιην νηλεϝιαδαϝ αφικοντο,
αϝτοι μεν ρ' απεβησαν επι χθονα πολυβοτειραν·
ͱιπποϝς δ' ευρυμεδων θεραπων λυϝε τοϝο γεροντος
εκς ͱοχεων· ͱοι δ' ͱιδρο' απεπσυϝχοντο χιτῶνων,
σταντε ποτι πνοϝην παρα θῖν' ͱαλος· αϝταρ επειτα
ες κλισιην ελθοντες, επι κλισμοισι καθιδσον.
τοισι δ' ετευχε κυκειο' ͱεϋπλοκαμος ͱεκαμηδη,
την ͱαρετ' εκ τενεδοϝο γερων, ͱοτ' επερθσεν αχιλλεϝς,
θυγατερ' αρσινοοο μεγαλητορος, ͱην ͱοι αχαιϝοι
εκσͱελον, ͱοονεκα βουλῇ αριστεϝεσκεν ͱαπαντων·
ͱη σφοϝιν πρῶτον μεν επιπροϊῆλε τραπεδσαν
καλην, κυϝανοπεδσαν, ͱεϋχσυϝον· αϝταρ επ' αϝτῇ
χαλκειον κανεον· επι δε κρομυον, ποτῷ οπσον,
ηδε μελι χλωρον, παρα δ' αλφιτοϝ ͱιεροϝ ακτην·
παρ δε δεπας περικαλλες, ͱο ϝοικοθεν ἦγ' ͱο γεραϝος,
χρυσειοισ' ͱηλοισι πεπαρμενον· οϝατα δ' αϝτοο
τεσσαρ' εσαν, δοιαι δε πελειαδες αμφις ͱεκαστον
χρυσειαι νεμεθοντο, δυω δ' ͱυπο πυθμενες ἦσαν.
αλλος μεν μογεων αποκινησᾶσκε τραπεδσης,
πλεεον εον· νεστωρ δ' ͱο γερων αμογητις αͱειρεν.
εν τῷ ρα σφ' εκυκῆσε γυνη, ϝεϝικυια θεῇσιν,
ϝοινῷ πραμνειῷ, επι δ' αιγειον κνη τυρον
κνηστιι χαλκειῃ, επι δ' αλφιτα λεϝκ' επαλυϝνεν·
πιϝνεμεναι δ' εκελεϝσεν, επει ρ' ͱοπλισσε κυκειῶ.
τω δ' επει ὦν πιϝνοντ' αφετην πολυκαυκεα διπσαν,
μυϝθοισιν τερποντο προς αλληλοϝς ενεποντες.
πατροκλος δε θυρῇσιν εφιστατο, ϝεισϝοθεος φῶς.
τον δε ϝιδων ͱο γεραϝος απο θρονοϝ ὦρτο φαϝεινοο,
ες δ' αγε χειρος ͱελων, κατα δ' ͱεδριαεσθαι ανωγεν.
πατροκλος δ' ͱετερωθεν αναινετ', εϝεσπε τε μυϝθον·
ουχ εδος εστι, γεραϝε διοτρεφες, ουδε με πειθσεις.
αιδοιος, νεμεσῆτος, ͱος αρ προεͱῆκε πυθεσθαι,
ͱοντινα τοϝτον αγεις βεβλῆμενον· αλλα και αϝτος

γιγνώσκω· ͱοραω δε μαχαϝονα, ποιμενα λαϝων.
νῦν δε, ϝεπος ϝερεων, παλιν ανγελος ειμ' αχιλεϝι. Λ
ͱευ δε συ ϝοιδσθα, γεραϝε διοτρεφες, ͱοιος εκεινος
δδεινος ανηρ· ταχα κεν και ααιτιον αιτιαοιτο.
τον δ' ἠμειβετ' επειτα γερηνιος ͱιπποτα νεστωρ·
τιπτε τ' αρ' ͱῶδ' αχιλεϝς ολοφυϝρεται ͱυιας αχαιϝων,
ͱοσοι δη βελεσιν βεβλῆαται; ουδε τι ϝοιδεν
πενθεος ͱοσον ορῶρε κατα στρατον· ͱοι γαρ αριστοι
εν ναϝσιν κεαται βεβλῆμενοι, ουταμενοι τε.
βεβλῆται μεν ͱο τυϝδεϝιδης κρατερος διομηδης·
ουτασται δ' ͱοδυσεϝς δορϝικλυτος, ηδ' αγαμεμνων·
τοϝτον δ' αλλον εγω νεϝον ἠγαγον εκ πολεμοϝο,
ͱιϝῷ απο νευρης βεβλῆμενον· αϝταρ αχιλλεϝς,
εσθλος εων, δαναων ου κηδεται, ουδ' ελεαιρει.
η μενει, εις ͱο κε δη ναϝες θοϝαι ανχι θαλασσης,
αργειϝων αϝεκητι, πυρος δαϝιοϝο θερωνται,
αϝτοι τε κτεινωμεθ' επισχερῷ; ου γαρ εμη ϝις
εσθ', οιη παρος εσκεν ενι γναμπτοισι μελεσσιν.
ειθ' ͱως ͱηβαϝοιμι, βιη δε μοι εμπεδος ειη,
ͱως ͱοποτ' ηλειοισι και ͱημῖν νεικος ετυχθη
αμφι βοϝηλασιῃ, ͱοτ' εγω κτανον ιτυμονεϝα,
εσθλον ͱυπερϝοχιδην, ͱος εν ηλιδι ναιεταεσκεν,
ρυϝσι' ελαϝνομενος· ͱο δ' αμυϝνων ͱῇσι βοϝεσιν
εβλῆτ' εν πρώτοισιν εμης απο χειρος ακοντι,
κατ δ' επεσεν, λαϝοι δε περι τρεσαν αγροιωται·
λεϝιδα δ' εκ πεδιοο συνελασσαμεν ηλιθα πολλην.
ͱως εον, ει ποτ' εῆν γε μετ' ανδρεσιν· αϝταρ αχιλλεϝς
οιος ͱεϝης αρετης απονῆσεται· ητε μιν οιϝω
πολλα μετακλαϝσεσθαι, επει κ' απο λαϝος οληται.
ω πεπον, η μεν σοιγε μενοιτιος ͱῶδ' επετελλεν
ͱηματι τῷ, ͱοτε σ' εκ φθιϝης αγαμεμνονι πεμπεν·
τεκνον εμον, γενεῇ μεν ͱυπερτερος εστιν αχιλλεϝς,
πρεσβυτερος δε συ εσσι· βιῇ δ' ͱογε πολλον αμεινων·
αλλ' ͱεῦ ͱοι φασθαι πυκινον ϝεπος, ηδ' ͱυποθεσθαι,
και ͱοι σημαινεεν· ͱο δε πειθσεται εις αγαθον περ.
ͱως επετελλ' ͱο γερων, συ δε ληθεαι· αλλ' ετι και νῦν
ταϝτα ϝεποις αχιλεϝι δαϝιφρονι, αι κε πιθηται.
ͱως φατο· τῷ δ' αρα θυϝμον ενι στηθεσσιν ορινεν·
βη δε θεϝεεν παρα ναϝας επ' αιϝακιδην αχιλεϝα.
αλλ' ͱοτε δη κατα ναϝας ͱοδυσσεϝος θειοϝο
ͱικσε θεϝων πατροκλος, ͱινα σφ' αγορη τε θεμις τε
ἠῆν, τῇ δη και σφι θεων ετετευχατο βωμοι·
ενθα ͱοι ευρυπυλος βεβλῆμενος αντεβολησεν,
διϝογενης ͱεῦͱαιμονιδης, κατα μηρον οϊστῷ,
σκαδσων εκ πολεμοο· κατα δε νοτιος ρεϝεν ͱιδρως
ωμων και κεφαλης· απο δ' ͱελκεος αργαλεοϝο

ͱαιμα μελαν κελαρυδσε· νοος γε μεν ενπεδος ἦεν. Λ
τον δε ϝιδων ᾤκτειρε μενοιτιοϝ' αλκιμος ͱυιος,
και ρ' ολοφυϝρομενος ϝεπεα πτεροεντα προσῆυϝδα·
ϝαͱ δδειλοι δαναων ͱηγητορες, ηδε μεδοντες!
ͱως αρ' εμελλετε τηλε φιλων και πατριδος αιης
ͱαδσεμεν εν τροϝιῃ ταχυας κυνας αργετι δημῳ;
αλλ' αγε μοι τοδε ϝεσπε, διοτρεφες ευρυπυλ' ͱηρως,
η ρ' ετι που σχησοντι πελωριον ͱεκτορ' αχαιϝοι,
η' ηδη φθισονται ͱυπ' αϝτοϝο δορϝι δαμεντες;
τον δ' αϝτ' ευρυπυλος βεβλημενος αντιον ηῦϝδα·
ουκετι, διϝογενες πατροκλεες, αλκαρ αχαιϝων
εσσεται, αλλ' εν ναϝσι μελαινῃσιν πεσεονται.
ͱοι μεν γαρ δη παντες, ͱοσοι παρος ἦσαν αριστοι,
εν ναϝσιν κεαται βεβλημενοι, ουταμενοι τε,
χερσιν ͱυπο τροϝων· των δε σθενος ορνυται αιϝεν.
αλλ' εμε μεν συ σαωσον, αγων επι ναϝα μελαιναν·
μηροϝο δ' εκταμ' οιστον, απ' αϝτοϝο δ' ͱαιμα κελαινον
νιδσ' ͱυδατι χλιαρῳ· επι δ' ηπια φαρμακα πασσε· 829
ϝιϝητροι μεν γαρ, ποδαλειριος ηδε μαχαϝων, 832
τον μεν ενι κλισιῃσιν οιϝομαι ͱελκος ͱεχοντα,
χρεϝιδσοντα και αϝτον αμυϝμονος ϝιϝητηρος,
κεισθαι· ͱο δ' εν πεδιῳ τροϝων μενει ͱοκσυν αρεϝα.
τον δ' αϝτε προσεϝεσπε μενοιτιοϝ' αλκιμος ͱυιος·
πως τ' αρ' εοι ταδε ϝεργα; τι ρεκσομεν, ευρυπυλ' ͱηρως;
ερχομαι, ͱοφρ' αχιλεϝι δαϝιφρονι μυϝθον ενισπω,
ͱον νεστωρ επετελλε γερηνιος, ουρος αχαιϝων·
αλλ' ουδ' ͱως περ σεϝο μεθησω τειρομενοϝο.
ἦ, και ͱυπο στερνοϝο λαβων αγε ποιμενα λαϝων
ες κλισιην· θεραπων δε ϝιδων ͱυπεχεϝε βοϝειας.
ενθα μιν εκτανυσανς, εκ μηροϝ' εταμνε μαχαιρῃ
ͱοκσυ βελος περιπευκες· απ' αϝτοϝο δ' ͱαιμα κελαινον
νιδσ' ͱυδατι χλιαρῳ· επι δε ϝριδσαν βαλε πικρην,
χερσι διατριβσανς, οδυνηφατον, ͱη ͱοι ͱαπαντσας
εσχ' οδυνας· το μεν ͱελκος ετερσετ', επαϝσατο δ' ͱαιμα.
ως ͱο μεν εν κλισιῃσι μενοιτιοϝ' αλκιμος ͱυιος M
ϝιϝαετ' ευρυπυλον βεβλημενον· ͱοι δ' εμαχοντο
αργειϝοι και τροϝες ͱομιλϝαδον, ουδ' αρ' εμελλεν
ταφρος ετι σχησεεν δαναων, και τειχος ͱυπερθεν. 4
ͱως δ' ͱοτ' αν εν τε κυνεσι και ανδρεσι θηρεϝτηρσιν 41
καπριος, ηε λεϝων στρεφεται, σθενεϊ βλεμεαινων,
ͱοι δε τε πυργηδον σφεϝας αϝτοϝς αρτυϝναντες
αντιοι ͱιστανται, και ακοντιδσοντι θαμειας
αιχμας εκ χειρων· τοϝο δ' ου ποτε κυϝδαλιμον κεαρ
ταρβεει, ουδε φοβεεται, αγηνοριη δε μιν εκτα·
ταρφεα τε στρεφεται, στιχας ανδρων πειρητιδσων· 47
ͱως ͱεκτωρ αν' ͱομιλϝον ιων εϝελισσεθ', εϝαιροϝς 49

ταφρον εποτρυϝνων διαβαινεμεν· ουδε ͱοι ͱιπποι
τολμαον ὠκυποδες· μαλα δε χρεμετιδσον επ᾽ ακρῳ M
χειλει εφεσταοτες· απο γαρ δειδισσετο ταφρος
ευρυι᾽, ουτ᾽ αρ᾽ ͱυπερθορεεεν σχεδον, ουτε περῆσαι
ρεϝιδιη· κρῆμνοι γαρ επῆρεφεες περι παντσαν
ͱεστασαν αμφοτερωθεν· ͱυπερθεν δε σκολοπεσιν
ͱοκσυσιν ῆρῆρεε, τοϝς ͱιστασαν ͱυιες αχαιϝων
πυκνοϝς και μεγαλοϝς, δαϝιων ανδρων αλεϝωρην.
ενθ᾽ ου κεν ρεϝα ͱιππος ͱεΰτροχον ͱαρμα τιταινων
εσβαιη, πεδσοι δε μενοινεον, ει τελεοντιν.
δη τοτε πολυδαμανς θρασυν ͱεκτορ᾽ εϝεσπε παραστανς·
ͱεκτορ τ᾽, ηδ᾽ αλλοι τροϝων αγοι, ηδ᾽ επικουρων,
αφραδεως δια ταφρον ελαϝνομεν ὠκυας ͱιπποϝς·
ͱη δε μαλ᾽ αργαλεη περαεεν· σκολοπες γαρ εν αϝτῃ
ͱοκσυες ͱεσταντιν, προτι δ᾽ αϝτοϝς τειχος αχαιϝων·
ενθ᾽ ου πως εστιν καταβημεναι, ουδε μαχεσθαι
ͱιππεϝσι· στεινος γαρ, ͱοθι τρῶσεσθαι οϊϝω.
ει μεν γαρ δη πανχυ κακα φρονεων αλαπαδσει
δσεϝς ͱυπσιβρεμετης, τροϝεσι δε βουλετ᾽ αρηγεεν,
η τ᾽ αν εγωγ᾽ εθελοιμι και αϝτικα τοϝτο γενεσθαι,
νωνυμνοϝς απολεσθαι απ᾽ αργεος ενθαδ᾽ αχαιϝοϝς·
ει δε χ᾽ υποστρεφσωντι, παλῖωκσις δε γενηται
εκ ναϝων, και ταφρῳ ενιπληγσωμεν ορυκτῇ,
ουκετ᾽ επειτ᾽ οϊϝω ουδ᾽ ανγελον απονεεσθαι
απσοροϝον προτι ϝαστυ, ϝελιχθεντων ͱυπ᾽ αχαιϝων.
αλλ᾽ αγεθ᾽, ως αν εγων ϝεσπω, πειθωμεθα παντες·
ͱιπποϝς μεν θεραποντες ερυκοντων επι ταφρῳ,
αϝτοι δε πρυλιες, γσυν τευχεσι, θωρηχθεντες,
ͱεκτορι παντες ͱεπωμεθ᾽ ͱαϝολϝεες· αϝταρ αχαιϝοι
ου μενεοντ᾽, ει δη σφιν ολεθροϝο πειρατ᾽ εφαπται.
ͱως φατο πολυδαμανς· ϝαδε δ᾽ ͱεκτορι μυϝθος απημων·
αϝτικα δ᾽ εκς ͱοχεων γσυν τευχεσ᾽ εϝαλτο χαμαδσε.
ουδε μεν αλλοι τροϝες εφ᾽ ιππων ῆγερεθοντο,
αλλ᾽ απο παντες οροϝσαν, επει ϝιδον ͱεκτορα διϝον.
ͱηνιͱοχῳ μεν επειτα ͱεϝῷ επετελλεν ͱεκαστος,
ͱιπποϝς ͱευ κατα κοσμον ερυκεμεν αϝθ᾽ επι ταφρῷ·
ͱοι δε διασταντες, σφεϝας αϝτοϝς αρτυϝναντες,
πενταχα κοσμηθεντες, ͱαμ᾽ ͱηγεμονεσ᾽ εϝεποντο.
ͱοι μεν ͱαμ᾽ ͱεκτορ᾽ ισαν και αμυϝμονι πολυδαμαντι,
ͱοι πλειστοι και αριστοι εσαν, μεμασαν δε μαλιστα
τειχος ϝρῆγσαμενοι κοιλῆσ᾽ επι ναϝσι μαχεσθαι·
και σφιν κεβριονης τριτος ͱεσπετο· παρ δ᾽ αρ᾽ ͱοχεσσιν
αλλον, κεβριοναϝο χερειονα, κατλιπεν ͱεκτωρ.
των δ᾽ ͱετερων παρις ῆρχε, και αλκαθοϝος, και αγῆνωρ·
των δε τριτων ͱελενος, και διϝιφοβος θεοϝειδης,
ͱυιε δυω πριαμοϝο· τριτος δ᾽ ῆν ασιος ͱηρως,

M

ασιος ʽυρτακιδης, ʽον αρισβηθεν φερον ʽιπποι
αιθωνες, μεγαλοι, ποταμοF απο σελληεντος.
των δε τεταρτων ἦρχεν ʽεϋς παϊς αγχισαFο
αινειας· ʽαμα τῷγε δυω αντῆνορος ʽυιε,
αρχελοχος τ', ακαμας τε, μαχης ʽεϋ Fειδοτε παντσης.
σαρπηδων δ' ʽηγησατ' αγακλειτων επικουρων,
προς δ' ʽελετο γλαFκον, και αρεFιον αστεροπαιον·
ʽοι γαρ ʽοι Fειδσαντο διακριδον εεναι αριστοι.
ʽοι δ' επει αλληλοFς αραρον τυχτῆσι βοFεσιν,
βαν ρ' ιθυς δαναων λελιFημενοι, ουδε τ' εφαντο
σχησεσθ', αλλ' εν ναFσι μελαινῇσιν πεσεεσθαι.
ενθ' αλλοι τροFες, τηλεκλῆτοι τ' επικουροι,
βουλῇ πολυδαμαντος αμωμητοF επιθοντο·
αλλ' ουχ υρτακιδης εθελ' ασιος, ορχαμος ανδρων,
αFθι λιπεεν ʽιπποFς τε και ʽηνιʽοχον θεραποντα,
αλλα συν αFτοισιν πελασεν ναFεσι θοFῇσιν,
νηπιος! ουδ' αρ' εμελλε, κακας ʽυπο κηρας αλυκσανς,
ʽιπποισιν και ʽοχεσσιν αγαλλομενος παρα ναFων
αψ απονοστησεεν προτι FιλFιον ανεμοεντσαν·
εισατο γαρ ναFων επ' αριστερα, τῇ περ αχαιFοι
εκ πεδιοο νισσοντο συν ʽιπποισιν και ʽοχεσσιν·
τῇ ρ' ʽιπποFς τε και ʽαρμα διηλασεν, ουδε πυλῇσιν
ʽευρ' επικεκλιμενας σανιδας και μακρον ʽοχεFα·
αλλ' αναπεπταμενας ʽεχον ανερες, ει τιν' ʽεταιρων
εκ πολεμοο φευγοντα σαώσειαν μετα ναFας.
τῇ ρ' ιθυς φρονεων ʽιπποFς ʽεχε· τοι δ' ʽαμ' ʽεποντο
ʽοκσυα κεκλῆγοντες· εφαντο γαρ ουκετ' αχαιFοFς
σχησεσθ', αλλ' εν ναFσι μελαινῇσιν πεσεεσθαι.
νηπιοι! εν δε πυλῇσι δυ' ανερε ʽευρον αριστω,
τον μεν, πειριθοFοF ʽυϊα, κρατερον πολυποιτην,
τον δε, λεFοντεFα, βροτολοιγῷ FειFσον αρεFι·
τω μεν αρα προπαροιθε πυλαFων ʽυψηλαFων
ʽεστασαν, ʽως ʽοτε τε δρυες ορεσιν ʽυψικαρῆνοι,
ʽαιτ' ανεμον μιμνοντι και ʽυFετον ʽηματα παντα,
Fριδσῇσιν μεγαλῇσι διηνεκεεσ' αραρυιαι·
ʽως αρα τω χειρεσι πεποιθοτες, ηδε βιηφι,
μιμνον επερχομενον μεγαν ασιον, ουδ' εφεβοντο.
ʽοι δ' ιθυς προς τειχος ʽεϋδμητον, βοFας αυFας
ʽυψοσ' ανασχομενοι, εκιον μεγαλῷ αλαλητῷ,
ασιον αμφι Fανακτα, και ʽΙʽαμενον, και ορεστην,
ασιαδην τ' ακαμαντα, θοFῶνα τε, Fοινομαον τε.
ʽοι δ' ητοι ʽεFος μεν εϋκνημιδας αχαιFοFς
ὤρνυον, ενδον εοντες, αμυFνεσθαι περι ναFων·
αFταρ επειδη τειχος επεσσυμενοFς ενοησαν
τροFας, αταρ δαναων γενετο FιFαχη τε φοβος τε,
εκ δε τω αʽικσαντε, πυλαFων προσθ' εμαχεσθην,

αγϱοτεροισι συεσι FεFοικοτε, τω τ' εν ορεσσιν M
ανδρων ηδε κυνων δεχαται κολοσυρτον ιοντα,
δοχμω τ' αhισσοντε περι σφισι Fαγνυτον hυλFην,
πρυμνην εκταμνοντε, hυπαι δε τε κομπος οδοντων
γιγνεται, εις hο κε τις τε βαλων εκ θυFμον hεληται·
hως των κομπεε χαλκος επι στηθεσσι φαFεινος,
αντην βαλλομενων· μαλα γαρ κρατερως εμαχοντο,
λαFοισιν καθυπερθε πεποιθοτες, ηδε βιηφιν.
hοι δ' αρα χερμαδιοισιν hεϋδμητων απο πυργων
βαλλον, αμυFνομενοι σφων τ' αFτων, και κλισιαFων,
ναFων τ' ωκυπορων· νιφαδες δ' hως πιπτον εϱαδσε,
hαστ' ανεμος δσαhεFς, νεφεα σκιοεντα δονησανς,
ταϱφειας κατεχεFεν επι χθονι πολυβοτειρῃ·
hως των εκ χειρων βελε' ερεFον, ημεν αχαιFων,
ηδε και εκ τροFων· κορυθες δ' αμφ' αυFον αhυFτεον,
βαλλομεναι μυλακεσι, και ασπιδες ομφαλοεντσαι.
δη ρα τοτ' ῴμωγσεν τε και hω πεπληγετο μηρω
ασιος hυϱτακιδης, και αλαστησανς Fεπος ηὖFδα·
δσεF πατερ, η ρα νυ και συ φιλοπσευδης ετετυχσο
πανχυ μαλ'! ου γαρ εγωγ' εφαμην hηροFας αχαιFοFς
σχησεμεν hημετερον τε μενος και χειρας ααπτοFς·
hοι δ', hωστε σφηκες μεσον αιFολοι, ηε μελισσαι,
Fοικια ποιησωνται hοδῳ επι παιπαλοεντσῃ,
ουδ' απολειποντιν κοιλον δομον, αλλα μενοντες
ανδρας θηρεFτηρας, αμυFνονται περι τεκνων·
hως hοιγ' ουκ εθελοντι πυλαFων, και δυ' εοντε,
χασσασθαι, πριν γ' ηε κατακταμεν', ηε hαλωναι.
hως εφατ', ουδε διος πειθε φρενα ταFτ' αγορεFων·
hεκτορι γαρ hοι θυFμος εβουλετο κυFδος ορεγσαι.
ενθ' αF πειϱιθοFοF hυϊος, κρατερος πολυποιτης,
δορFι βαλεν δαμασον, κυνεης δια χαλκοπαρῄοο·
ουδ' αρα χαλκειη κορυς εσχεθεν, αλλα δια προ
αιχμη χαλκειη Fϱῆγσ' οστεον, ενκεφαλος δε
ενδον hαπανς πεπαλακτ'· εδαμασσε δε μιν μεμαFωτα.
αFταρ επειτα πυλωνα και ορμενον εκσεναρικσεν.
hυιον δ' αντιμαχοFο λεFοντεFς, οδσος αρεFος,
hιππομαχον βαλε δορFι, κατα δσωστηρα τυχησανς.
αFτις δ' εκ κολεοFο Fερυσσαμενος χσιφος hοκσυ,
αντιφατην μεν πρωτον, επαhικσανς δι' hομιλFοο,
πληγσ' αFτοσχεδιην· hο δ' αρ' hυπτιος ουδει ερειδσθη.
αFταρ επειτα μενωνα, και hιFαμενον, και ορεστην,
παντας επασσυτεροFς πελασε χθονι πολυβοτειρῃ.
hοφρ' hοι τοFς εναριδσον απ' εντεα μαρμαιροντα,
τοφρ' hοι πολυδαμαντι και hεκτορι κοFροι hεποντο,
hοι πλειστοι και αριστοι εσαν, μεμασαν δε μαλιστα
τειχος τε Fρῆγσαι, και ενιπρηθσαι πυρι ναFας·

ͱοι ϱ᾽ ετι μερμηριδσον, εφεσταοτες παρα ταφρῳ· Μ
ορνιχς γαρ σφιν επηλθε περῆσεμεναι μεμαϝοτσιν,
αιετος ͱυπσιπετης, επ᾽ αριστερα λαϝον εεϱγων,
φοινῆεντα δρακοντα φερων ονυχεσι πελωρον,
δσαϝον, ετ᾽ ασπαιροντα· και ουπῳ ληθετο χαρμης·
κοπτσε γαρ αϝτον ͱεχοντα κατα στηθος, παρα δειρην,
ιδνωθενς οπισῳ· ͱο δ᾽ απο ͱεθεν ͱηκε χαμαδσε,
αλγησανς οδυνῇσι, μεσῳ δ᾽ ενι κατβαλ᾽ ͱομιλϝῳ·
αϝτος δε κλανγσανς πετετο πνοϝῇσ᾽ ανεμοϝο.
τροϝες δ᾽ ερῖγησαν, επει ϝιδον αιϝολον οφιν
κειμενον εν μεσσοισι, διος τερας αιγιͱοχοϝο.
δη τοτε πολυδαμανς θρασυν ͱεκτοϱ᾽ εϝεσπε παραστανς·
ͱεκτορ, αϝει μεν πως μοι επιπλησσεις αγορῇσιν
εσθλα φραδσομενῳ· επει ουδε μεν ουδε ϝεϝοικεν,
δημον εοντα παρεκς αγορεϝεμεν, ουτ᾽ ενι βουλῇ,
ουτε ποτ᾽ εν πολεμῳ, σον δε κρατος αιϝεν αͱεχσεεν.
νῦν δ᾽ αϝτ᾽ εκσϝερεω, ͱως μοι δοκε᾽ εεναι αϱιστα.
μη ιομεν δαναοισι μαχησομενοι πεϱι ναϝων·
ͱῳδε γαρ εκτελεεσθαι οἰϝομαι, ει ͱετεον γε
τροϝσιν ͱοδ᾽ ορνιχς ηλθε περῆσεμεναι μεμαϝοτσιν,
αιετος ͱυπσιπετης, επ᾽ αϱιστερα λαϝον εεργων,
φοινῆεντα δρακοντα φερων ονυχεσι πελωρον,
δσαϝον· ͱαφαρ δ᾽ απεͱῆκε, παρος φιλα ϝοικι᾽ ͱικεσθαι,
ουδ᾽ ετελεσσε φερων δομεναι τεκεεσιν ͱεϝοισιν·
ͱως ͱημεες, ειπερ κε πυλας και τειχος αχαιϝων
ϝρῆγσομεθα σθενεϊ μεγαλῳ, ϝεικσωντι δ᾽ αχαιϝοι,
ου κοσμῳ παρα ναϝφιν ελευσομεθ᾽ αϝτα κελευθα·
πολλοϝς γαρ τροϝων καταλειπσομεν, ͱοϝς κεν αχαιϝοι
χαλκῳ δαϝιῶσωντιν αμυϝνομενοι περι ναϝων.
ͱῳδε χ᾽ υποκρῖναιτο θεοπροπος, ͱος σαφα θυϝμῳ
ϝῆδειη τεραων, και ͱοι πειθοιατο λαϝοι.
τον δ᾽ αρ᾽ ͱυποδρα ϝιδων προσεφη κορυθαιϝολος ͱεκτωρ·
πολυδαμαν, συ μεν ουκ ετ᾽ εμοι φιλα ταϝτ᾽ αγοϱεϝεις·
ϝοισθα και αλλον μυϝθον αμεινονα τοοδε νοησαι.
ει δ᾽ ͱετεον δη τοϝτον απο σπουδης αγορεϝεις,
εκς αρα δη τοι επειτα θεοι φρενας ὤλεσαν αϝτοι,
ͱος κελεαι δσῆνος μεν εριγδουποϝο λαθεσθαι
βουλεων, ͱας τε μοι αϝτος ͱυπεσχετο και κατενευσεν.
τυνη δ᾽ οιϝωνοισι τανυπτερυγεσι κελεϝεις
πειθεσθαι· των ουτι μετατρεπομ᾽, ουδ᾽ αλεγιδσω,
ει κ᾽ επι δεχσι᾽ ιωντι προς ῆοα τ᾽ ῆελιον τε,
ειτ᾽ επ᾽ αριστερα τοιγε, ποτι δσοφον ῆεροεντα.
ͱημεες δε μεγαλοϝο διος πειθωμεθα βουλῇ,
ͱος παντσι θνῆτοισι και αθανατοισι ϝανασσει.
ͱενς οιϝωνος αριστος, αμυϝνεσθαι περι πατρης.
τιπτε συ δεδδοιδκας πολεμον και δαϝιοτητα;

ειπερ γαρ κ' αλλοι γε περικτεινωμεθα παντες
ναϝσιν επ' αργειϝων, σοι δ' ου δδεος εστ' απολεσθαι· M
ου γαρ τοι κραδιη μενεδαϝιος, ουδε μαχημων.
ει δε συ δαϝιοτητος αφεχσεαι, ηε τιν' αλλον
παρφαμενος ϝεπεεσιν αποστρεφσεις πολεμοϝο,
αϝτικ' εμῷ ͱυπο δορϝι τυπεις απο θυϝμον ολεσσεις.
ͱως αρα φῶνησανς ͱηγησατο· τοι δ' ͱαμ' ͱεποντο
ϝηχῇ θεσπεσιῃ· επι δε δσεϝς τερπικεραυνος
ὦρσεν απ' ιδαιων ορεων ανεμοϝο θυϝελλαν,
ͱη ρ' ιθυς ναϝων κονιϝην φερεν· αϝταρ αχαιϝων
θελγε νοον, τροϝεσιν δε και ͱεκτορι κυϝδος οπαδσεν.
τοο περ δη τεραεσι πεποιθοτες, ηδε βιηφι,
ϝρῆγνυσθαι μεγα τειχος αχαιϝων πειρητιδσον.
κροσσας μεν πυργων ϝερυον, και ερειπον επαλκσιας,
στηλας τε προβλῆτας εμοχλεϝον, ͱας αρ' αχαιϝοι
πρῶτας εν γαιῃ θεσαν εσμεναι ͱεχματα πυργων.
τας ͱοιγ' αϝϝερυον, ͱελποντο δε τειχος αχαιϝων
ϝρῆγσεμεν· ουδε νυ πῳ δαναϝοι χαδσοντο κελευθοο·
αλλ' ͱοιγε ϝρῖνοισι βοϝων φρακσαντες επαλκσιας,
βαλλον απ' αϝταϝων δαϝιοϝς ͱυπο τειχος ιοντας.
αμφοτερω δ' αιϝαντε κελεϝτιαοντ' επι πυργων
παντοσε φοιτῆτην, μενος οτρυϝοντες αχαιϝων·
αλλον μειλιχιοισ', αλλον στερεοισι ϝεπεσσιν
νεικεον, ͱοντινα πανχυ μαχης μεθιͱεντα ϝιδοιεν·
ω φιλοι, αργειϝων ͱος τ' εκσͱοχος, ͱος τε μεσῆενς,
ͱος τε χερειοτερος· επει ουπῳ παντες ͱομοιοι
ανερες εν πολεμῳ· νῦν επλετο ϝεργον ͱαπαντσιν·
και δ' αϝτοι τοδε ποο γινῶσκετε· μη τις οπισσῳ
τετραφθω προτι ναϝας ͱομοκλῆτηρος ακοϝων·
αλλα προσῳ ͱιͱεσθε, και αλληλοισι κελεσθε,
αι κεν δσεϝς δῶητιν ολυνπιος αστεροπητης,
νεικος αποθσαμενοϝς, δαϝιοϝς προτι ϝαστυ διεσθαι.
ͱως τωγε προβαοντε μαχην ὦτρυϝνον αχαιϝων.
των δ', ͱωστε νιφαδες χιονος πιπτωντι θαμειαι
ͱηματι χειμεριῳ, ͱοτε τ' ὦρετο μητιετα δσεϝς
νιφεμεν ανθρωποισι, πιφαϝσκομενος ͱεϝα κηλα·
κοιμῆσανς δ' ανεμοϝς χεϝει ενπεδον, ͱοφρα καλυπτσῃ
ͱυπσηλων ορεων κορυφας και πρῆονας ακροϝς·
ͱως των αμφοτερωσε λιθοι ποταοντο θαμειαι,
ͱαι μεν αρ' ες τροϝας, ͱαι δ' εκ τροϝων ες αχαιϝοϝς
βαλλομενων· το δε τειχος ͱυπερ παν δουπος ορῶρεεν.
ουδ' αν πῳ τοτε γε τροϝες και φαιδιμος ͱεκτωρ
τειχεος εϝρῆγσαντο πυλας και μακρον ͱοχεϝα,
ει μη αρ' ͱυιον ͱεϝον σαρπηδονα μητιετα δσεϝς
ὦρσεν επ' αργειϝοισι, λεϝονθ' ως βοϝσι ϝελικσιν.
αϝτικα δ' ασπιδα μεν προσθ' εσχετο παντοσε ͱεισϝην,

καλην, χαλκειην, εκσηλατον· ͱην αρα χαλκεϝς
ηλασεν, εντοσθεν δε βοϝειας ραπτσε θαμειας, Μ
χρυσειῃς ϝραβδοισι διηνεκεσιν περι κυκλον·
την αρ' ͱογε προσθε σχομενος, δυο δορϝε τινασσων
βη ρ' ιμεν, ͱωστε λεϝων ορεσιτροφος, ͱοστ' επιδεϝης
δηρον εῃ κρεαων, κελεται δε ͱε θυϝμος αγῆνωρ,
μηλων πειρῆσοντα, και ες πυκινον δομον ελθεεν·
ειπερ γαρ χ' ευρητι παρ' αϝτοφι βῶτορας ανδρας
γσυν κυσι και δορϝεσι φυλασσοντας περι μηλα,
ου ρα τ' απειρῆτος μεμονε σταθμοϝο διεσθαι·
αλλ' ͱογ' αρ' η' ͱαρπακσε μεθαλμενος, ηε και αϝτος
εβλῆτ' εν πρῶτοισι θοϝης απο χειρος ακοντι·
ͱως ρα τοτ' αντιθεον σαρπηδονα θυϝμος ανͱῆκεν
τειχος επαͱικσαι, δια τε ϝρῆγσασθαι επαλκσιας.
αϝτικα δε γλαϝκον προσεφη, παιδ' ͱιππολοχοϝο·
γλαϝκε, τιη δη νοϝι τετιϝμῆμεσθα μαλιστα
ͱεδρῃ τε, κρεασιν τ', ηδε πλεεοις δεπαεσιν,
εν λυκιῃ; παντες δε, θεοϝς ͱως, εισͱοραοντι,
και τεμενος νεμομεσθα μεγα χσανθοϝο παρ' ͱοχθας,
καλον, φυταλιης και αροϝρης πυϝροφοροϝο;
τῷ νῦν χρη λυκιοισι μετα πρῶτοισιν εοντας
ͱεσταμεν, ηδε μαχης καϝστειρης αντιβολησαι·
ͱοφρα τις ͱῷδε ϝεπῃ λυκιων πυκα θωρηκταϝων,
ου μαν ακλεεες λυκιην κατακοιρανεοντιν
ͱημετεροι βασιλεϝες, εδοντι τε πιϝονα μηλα,
ϝοινον τ' εκσαιτον, μελιͱηδεα· αλλ' αρα και ϝις
εσθλη, επει λυκιοισι μετα πρῶτοισι μαχονται.
ω πεπον, ει μεν γαρ πολεμον περι τονδε φυγοντε,
αιϝει δη μελλοιμεν αγηρω τ' αθανατω τε
εσσεσθ', ουτε κεν αϝτος ενι πρῶτοισι μαχοιμην,
ουτε κε σε στελλοιμι μαχην ες κυϝδιανειραν·
νῦν δ', ενπης γαρ κηρες εφεσταντιν θανατοϝο
μυριαι, ͱας ουκ εστι φυγεεν βροτον, ουδ' ͱυπαλυκσαι,
ιομεν· η τεῷ ευχος ορεγσομεν, ηε τις ͱημῖν.
ͱως εφατ'· ουδε γλαϝκος απετραπετ', ουδ' απιθησεν.
τω δ' ιθυς βητην λυκιων μεγα ϝεθνος αγοντε.
τοϝς δε ϝιδων ρῖγησ' ͱυιος πετεοϝο μενεσθεϝς·
τοο γαρ δη προς πυργον ισαν κακοτητα φεροντες.
παπτῆνεν δ' ανα πυργον, αχαιϝων ει κε ϝιδοιτο
ͱηγεμονων τινα, ͱοι τε ϝαρην ͱεταροισι τ' αμυϝναι·
ες δ' ενοησ' αιϝαντε δυω, πολεμοϝ' ακορητω,
ͱεσταοτας, τευκρον τε νεϝον κλισιηθεν ιοντα
ενγυθεν· αλλ' ου πως ͱοι εην βοαοντι γεγωνεεν·
τοσος γαρ κτυπος ῆεν, αͱυϝτη δ' ουρανον ͱικεν,
βαλλομενων σακεων τε και ͱιπποκομων τρυφαλειων
και πυλεων· παντσας γαρ επῷχατο· τοι δε κατ' αϝτας

ͱισταμενοι πειρῶντο βιῆ ϝρῆγσαντες εσελθεεν. M
αιπσα δ' επ' αιϝαντα προͱιεε κηρυκα θοϝῶτην·
   ερχεο, διϝε θοϝῶτα, θεϝων αιϝαντε καλεσσον,
αμφοτερω μεν μαλλον· ͱο γαρ χ' οχ' αριστον ͱαπαντων
ειη, επει ταχα τῆδε τετευχσεται αιπυς ολεθρος· 345
ͱῶδε γαρ εβριθσαν λυκιων αγοι, ͱοι το παρος περ
δσαχραϝεες τελεθοντι κατα κρατερας ͱυσμινας.
ει δε σφιν και εκειθι πονος και νεικος ορῶρεν,
αλλα περ οιος ιτω τελαμωνιος αλκιμος αιϝανς. 349
   ͱως εφατ'· ουδ' αρα ͱοι κηρυκς απιθησεν ακοϝσανς, 351
βη δε θεϝεεν παρα τειχος αχαιϝων χαλκοχιτῶνων·
στη δε παρ' αιϝαντεσι κιων, ειθαρ δε προσηῦϝδα·
   αιϝαντ', αργειϝων ͱηγητορε χαλκοχιτῶνων,
ῆνωγεν πετεοϝο διοτρεφεος φιλος ͱυιος 355
κεισ' ιμεν, ͱοφρα πονοϝο μινυνθα περ αντιασητον·
αμφοτερω μεν μαλλον· ͱο γαρ χ' οχ' αριστον ͱαπαντων
ειη, επει ταχα κειθι τετευχσεται αιπυς ολεθρος·
ͱῶδε γαρ εβριθσαν λυκιων αγοι, ͱοι το παρος περ
δσαχραϝεες τελεθοντι κατα κρατερας ͱυσμινας. 360
ει δε και ενθαδε περ πολεμος και νεικος ορῶρεν,
αλλα περ οιος ιτω τελαμωνιος αλκιμος αιϝανς. 362
   ͱως εφατ'· ουδ' απιθησε μεγας τελαμωνιος αιϝανς. 364
αϝτικα ϝιλϝιαδην ϝεπεα πτεροεντα προσηῦϝδα· 365
   αιϝαν, σφοϝι μεν αϝθι, συ και κρατερος λυκομηδης,
ͱεσταοτες δαναοϝς οτρυνετε ϝῖφι μαχεσθαι·
αϝταρ εγω κεισ' ειμι, και αντιαω πολεμοϝο·
αιπσα δ' ελευθσομαι αϝτις, επην ͱευ τοισ' επαμυϝνω.
   ͱως αρα φῶνησανς απεβη τελαμωνιος αιϝανς, 370
και ͱοι τευκρος ͱαμ' ῆε κασιγνῆτος και ͱοπατρος·
τοις δ' ͱαμα πανδιϝων τευκροο φερε καμπυλα τοκσα. 372
   ͱοι δ' επ' επαλκσιας βαινον, ερεμνῆ λαιλαπι ϝεισϝοι, 375
ῖφθῖμοι λυκιων ͱηγητορες ηδε μεδοντες·
γσυν δ' εβαλοντο μαχεσθαι εναντιον, ῶρτο δ' αͱυϝτη.
αιϝανς δε πρῶτος τελαμωνιος ανδρα κατεκτα
σαρπηδοντος ͱεταιρον, επικλεεα μεγαθυϝμον,
μαρμαρῶ ακριαεντι βαλων, ͱος τειχεος εντος 380
κειτο μεγας παρ' επαλκσιν ͱυπερτατος· ουδε χ' ε ρεϝα
χειρεσιν αμφοτερῆς φεροι ανηρ, ουδε μαλ' ͱηβεῶν,
ͱοιοι νῦν βροτοι ενθ'· ο δ' αρ' ͱυπσοθεν ενβαλ' αͱῆρανς·
θλασσε δε τετραφαλον κυνεην, γσυν δ' οστε' αραγσεν
πανθ' αμυδις κεφαλης· ͱο δε ϝαρνεϝτηρι ϝεϝοικως 385
καττεσ' αφ' υπσηλοο πυργοο, λιπε δ' οστεα θυϝμος.
τευκρος δε γλαϝκον, κρατερον παιδ' ͱιππολοχοϝο,
ͱιͱῶ επεσσυμενον βαλε τειχεος ͱυπσηλοϝο,
ͱῆ ϝιδε γυμνωθεντα βραχιϝον'· επαϝσε δε χαρμης.
απς δ' απο τειχεος ͱαλτο λαθων, ͱινα μη τις αχαιϝων 390

βλῆμενον αθρησειε, και ευχεταοιτο ϝεπεσσιν. M
σαρπηδοντι δ' αχος γενετο, γλαϝκοϝ απιοντος,
αϝτικ' επει τ' ενοησεν· ͱομως δ' ου ληθετο χαρμης·
αλλ' ͱογε θεστοριδην αλκμαϝονα δορϝι τυχησανς
νυκσ', εκ δ' εσπασεν ενχος· ͱο δ' ͱεσπομενος πεσε δορϝι
πρηνης, αμφι δε ͱοι βραχε τευχεα ποικιλα χαλκῷ.
σαρπηδων δ' αρ' επαλκσιν ͱελων χερσι στιβαρῇσιν
ͱελχ', η δ' ͱεσπετο παντσα διανπερες· αϝταρ ͱυπερθεν
τειχος εγυμνωθη, πολυεσι δ' εθηκε κελευθον.
τον δ' αιϝανς και τευκρος ͱαμαρτησανθ', ο μεν ͱιϝῷ
βεβλῆκεε τελαμῶνα περι στηθεσσι φαϝεινον
ασπιδος αμφιβροτης· αλλα δϝεϝς κηρας αμυϝνεν
παιδος ͱεϝοο, μη ναϝσιν επι πρυμνῇσι δαμειη.
αιϝανς δ' ασπιδα νυκσεν εφαλμενος· ͱη δε δια προ
ηλυθεν ενχειη, στυφελικσε δε μιν μεμαϝῶτα·
χῶρησεν δ' αρα τυτθον επαλκσιος, ουδ' ͱογε πανπαν
χαδσετ', επει ͱοι θυϝμος εϝελπετο κυϝδος ͱαρεσθαι.
κεκλετο δ' αντιθεοισι ϝελικσαμενος λυκιοισιν·
ω λυκιοι, τι δ' αρ' ͱῶδε μεθιͱετε θοϝριδος αλκης;
αργαλεον δε μοι εστι, και ῑφθῑμῳ περ εοντι,
μουνῷ ϝρῆγσαμενῷ, θεσθαι παρα ναϝσι κελευθον·
αλλ' εφομαρτεετε· πλεονων δη ϝεργον αμεινον.
ͱως εφαθ'· οι δε ϝανακτος ͱυποδδειδσαντες ͱομοκλην
μαλλον επεβριθσαν βουληφορον αμφι ϝανακτα.
αργειϝοι δ' ͱετερωθεν εκαρτυϝναντο φαλαγγας
τειχεος εντοσθεν, μεγα δε σφισ' εφαινετο ϝεργον.
ουτε γαρ ῑφθῑμοι λυκιοι δαναων εδυναντο
τειχος ϝρῆγσαμενοι θεσθαι παρα ναϝσι κελευθον·
ουτε ποτ' αιχμῆται δαναοι λυκιοϝς εδυναντο
τειχεος απς οθσασθαι, επει τα πρῶτ' επελασθεν.
αλλ' ͱωστ' αμφ' ουροισι δυ' ανερε δηριαεσθον,
μετρ' εν χερσιν ͱεχοντες, επιγσυνῷ εν αροϝρῇ,
ͱω τ' ολιγῷ ενι χῶρῳ εριδσητον περι ϝεισϝης·
ͱως αρα τοϝς διεϝεργον επαλκσιες· ͱοι δ' ͱυπερ αϝτεων
δαϝιῶν αλληλων αμφι στηθεσσι βοϝειας·
πολλοι δ' ουταδσοντο κατα χροα νηλεϊ χαλκῷ. 427
παντῇ δη πυργοι και επαλκσιες ͱαιματι φῶτων
ϝεϝραδατ' αμφοτερωθεν απο τροϝων και αχαιϝων.
αλλ' ουδ' ͱως εδυναντο φοβον ποιησαι αχαιϝων·
αλλ' ͱεχον, ͱωστε ταλαντα γυνη χερνῆτις αληθης,
ͱητε σταθμον ͱεχουτσα και ειριον, αμφις ανϝελκει
ϝεισϝαδσουτσ', ͱινα παιδσιν αϝεικεα μισθον ͱαρηται.
ͱως μεν των επι ϝεισϝα μαχη τετατο πτολεμος τε·
πριν γ' ͱοτε δη δϝεϝς κυϝδος ͱυπερτερον ͱεκτορι δῶκεν
πριαμιδῃ, ͱος πρῶτος εσͱῆλατο τειχος αχαιϝων·
ῆͱυϝσεν δε διαπρυσιον τροϝεσι γεγῶνως·

ορνυσθ', ϝιπποδαμοι τροϝες· ϝρῆγνυσθε δε τειχος
αργειϝων, και ναϝσιν ενϝιϝετε θεσπιδαϝες πυρ. M
ϝως φατ' εποτρυϝνων· ϝοι δ' οϝασι παντες ακοϝον,
ιθυϝσαν δ' επι τειχος ϝαϝολϝεες· ϝοι μεν επειτα
κροσσαϝων επεβαινον, ακαχμενα δοϱϝαθ' εχοντες.
ϝεκτωϱ δ' ϝαρπακσανς λαϝαν φερεν, ϝος ρα πυλαϝων
ϝεστηκεε προσθεν, πρυμνος, παχυς, αϝταρ ϝυπερθεν
ϝοκσυς εῆν· τον δ' ου κε δυ' ανερε δημοϝ' αριστω
ρεϝιδιως εφ' αμαγσαν απ' ουδεος οχλισσειαν,
ϝοιοι νυν βροτοι ενθ'· ο δε μιν ϱεϝ' επαλλε και οιος.
ϝως δ' ϝοτε ποιμην ρεϝα φερει ποκον αρσενος οϝιος,
χειρι λαβων ϝετερῆ, ολιγον δε μιν αχθος επειγει·
ϝως ϝεκτωϱ ιθυς σανιδων φερε λαϝαν αϝῆρανς,
ϝαι ρα πυλας ερυϝοντο πυκα στιβαρως αραρυιας,
δικλιδας, ϝυψηλας· δοιοι δ' εντοσθεν ϝοχεϝες
εσχον επῆμοιβοι, μια δε κλεϝις επαρῆρεεν.
στη δε μαλ' ενγυς ιων, και ερειδσαμενος βαλε μεσσας,
ϝϱῆγσε δ' απ' αμφοτεροϝς θαιροϝς· πεσε δε λιθος εισῳ
βϱιθοσυνῆ, μεγα δ' αμφι πυλαι μυκον· ουδ' αρ' ϝοχεϝες
εσχεθετην, σανιδες δε διετμαγεν αλλυδις αλλη
λαϝος ϝυπο ρῖπης· ϝο δ' αρ' εσθορε φαιδιμος ϝεκτωϱ,
νυκτι θοϝῆ ϝαταλαντος ϝυπῶπι'· ελαμπε δε χαλκῳ
σμερδαλεῳ, τον εϝεστο περι χϱοϊ· δοια δε χερσιν
δορϝ' ϝεχεν· ουκ αν τις μιν ερυκακοι αντιβολησανς,
νοσφι θεων, ϝοτ' εσϝαλτο πυλας· πυρι δ' οσσ' εδεδϝεεν
κεκλετο δε τροϝεσι ϝελικσαμενος καθ' ομιλϝον
τειχος ϝυπερβαινεεν· τοι δ' οτρυϝνοντι πιθοντο.
αϝτικα δ' ϝοι μεν τειχος ϝυπεϱβασαν, ϝοι δε κατ' αϝτας
ποιητας εσεχῦντο πυλας· δαναοι δ' εφοβηθεν
ναϝας ανα γλαφυρας· ϝομαδος δ' αλιϝαστος ετυχθη.
δσεϝς δ' επει ῶν τροϝας τε και ϝεκτορα ναϝσι πελασσεν, N
τοϝς μεν εϝᾶ παρα τῆσι πονον θ' εχεμεν και οϊδσυν
νωλεμεως· αϝτος δε παλιν τρεπεν οσσε φαϝεινω,
νοσφιν εφ' ιπποπολων θρεϝικων καθορῶμενος αιαν.
ες τϱοϝιην δ' ου πανπαν ετι τρεπεν οσσε φαϝεινω·
ου γαρ ϝογ' αθανατων τιν' εϝελπεθ' εϝον κατα θυϝμον
ελθοντ', η τροϝεσιν αρηγεμεν, η δαναοισιν.
ουδ' αλαϝοσκοπιην εσχε κρεϝων ενοσιχθων·
και γαρ ϝο θαϝμαδσων ϝηστο πτολεμον τε μαχην τε
ϝυψσοϝ επ' ακροτατης κορυφης σαμοϝ' ϝυλϝηεντσης,
θρεϝικιης· ενθεν γαρ εφαινετο παντσα μεν ιδη,
φαινετο δε πριαμοϝο πολις, και ναϝες αχαιϝων.
ενθ' αρ' ϝογ' εκς ϝαλος ϝεδσετ' ιων, ελεαιϱε δ' αχαιϝοϝς
τροϝεσι δαμναμενοϝς, διϊ δε κρατερως ενεμεσα.
αϝτικα δ' εκς ορεος κατεβησατο παιπαλοεντος,
κραιπνα ποσι προβιβανς· τρεμε δ' ορεα μακρα και ϝυλϝη

ποδσιν ͱυπ' αθανατοισι ποσειδαFῶνος ιοντος.
τρις μεν ορεγσατ' ιων, το δε τετρατον ͱικετο τεκμωρ,
αιγας· ενθα δε ͱοι κλυτα δῶματα βενθεσι λιμνης,
χρυσεα, μαρμαιροντα τετευχαται, αφθιτα τ' αιFει.
ενθ' ελθων, ͱυφ' οχεσσι τιτυσκετο χαλκοποδ' ͱιππω,
ὤκυπετα, χρυσεῃσι Fεθειρῃσιν κομαοντε.
χρυσον δ' αFτος εδυFνε περι χροϊ· γεντο δ' ͱιμασθλην
χρυσειην, ͱεϋτυχτον, ͱεFοο δ' επεβησατο διφροο·
βη δ' ελαεεν επι κυFματ'· αταλλε δε κητε ͱυπ' αFτοο
παντοθεν εκ κεFθμων, ουδ' ἠγνῶησε Fανακτα·
γηθοσυνῃ δε θαλασσα διͱιστατο· τοι δ' επετοντο
ριμφα μαλ', ουδ' ͱυπενερθ' εδιαινετο χαλκεος αγσων.
    εστι δε τι σπεFος ευρυ βαθυιης βενθεσι λιμνης,
μεσσηγυς τενεδοFο και ιμβροFο παιπαλοεντσης·
ενθ' ͱιπποFς εστησε ποσειδαFων ενοσιχθων,
λυFσανς εκς ͱοχεων, παρα δ' ανβροσιον βαλεν ἦδαρ
εδμεναι· αμφι δε ποδσι πεδας εβαλε χρυσειας,
αFρῆγτοFς, αλυτοFς, ͱοφρ' ενπεδον αFθι μενοιεν
νοστησαντα Fανακτα· ͱο δ' ες στρατον ᾤχετ' αχαιFων.
    τροFες δε φλογι FεισFοι ͱαFολFεες, ηε θυFελλῃ,
ͱεκτορι πριαμιδῃ αμοτον μεμαFῶτες ͱεποντο,
αβρομοι, αυFιFαχοι· ͱελποντο δε ναFας αχαιFων
ͱαιρησεεν, κτενεεεν δε παρ' αFτοφι παντας αχαιFοFς·
    αλλα ποσειδαFων γαιηͱοχος, εννοσιγαιος,
αργειFοFς ὤτρυFνε, βαθυιης εκς ͱαλος ελθων,
Fειδσαμενος καλχαντι δεμας και ατειρεα φῶνην·
αιFαντε πρῶτω προσεφη, μεμαFῶτε και αFτω·
    αιFαντε, σφοFε μεν κε σαῶσετε λαFον αχαιFων,
αλκης μνῆσαμενω, μηδε κρυεροFο φοβοFο.
αλλῃ μεν γαρ εγὼγ' οὐ δεδδια χειρας ααπτοFς
τροFων, ͱοι μεγα τειχος ͱυπερ κατεβησαν ͱομιλFῷ·
ͱεχσοντιν γαρ ͱαπαντας ͱεϋκνημῖδες αχαιFοι·
τῇ δε δη αινοτατον περιδεδδια, μη τι παθωμεν,
ͱῇ ρ' ͱογ' ͱο λυσσωδης, φλογι Fεικελος, ͱηγεμονεFει.
σφοFιν δ' ͱῷδε θεων τις ενι φρεσι ποιησειεν,
αFτω θ' εσταμεναι κρατερως, και ανὼγεμεν αλλοFς·
τῷ κε και εσσυμενον περ εροFησαιτ' απο ναFων
ὤκυπορων, ει και μιν ολυνπιος αFτος εγειρει.
    ἦ, και σκηπανιῷ γαιηͱοχος εννοσιγαιος
αμφοτερω κεκοπως πλησεν μενεος κρατεροFο,
γυια δ' εθηκεν ελαφρα, ποδας, και χειρας ͱυπερθεν.
αFτος δ', ͱωσθ' ιερηκς ὤκυπτερος ὦρτο πετεσθαι,
ͱος ρα τ' απ' αιγιλιπος πετρης περιμηκεος ͱαρθενς
ͱορμησῃ πεδιοFο διωκεμεν ορνεον αλλο·
ͱως απο των ῆͱικσε ποσειδαFων ενοσιχθων.
τοιϊν δ' εγνῶ προσθεν ͱο FιλFεFος ταχυς αιFανς,

αιπσα δ' αρ' αιϝαντα προσεφη τελαμωνιον ͱυιον·
αιϝαν, επει τις νοϝι θεων, ͱοι ολυμπον ͱεχοντιν,
μαντεϊ ϝειδομενος κελεται παρα ναϝσι μαχεσθαι,
ουδ' ͱογε καλχανς εστι, θεοπροπος οιϝωνιστης·
ιθματα γαρ μετοπισθε ποδων ηδε κνημαϝων
ρεϝ' εγνῶν απιοντος, αριγνῶτοι δε θεοι περ·
και δ' εμοι αϝτῷ θυϝμος ενι στηθεσσι φιλοισιν
μαλλον εφορμαεται πολεμιδσεμεν ηδε μαχεσθαι,
μαιμαϝοντι δ' ενερθε ποδες και χειρες ͱυπερθεν.
τον δ' απαμειβομενος προσεφη τελαμωνιος αιϝανς·
ͱοϝτῷ νῦν και εμοι περι δορϝατι χειρες ααπτοι
μαιμαϝοντιν· εμοι μενος ῶρορε· νερθε ποδεσιν
εσσυμαι αμφοτεροισι· μενοιναϝω δε και οιος
ͱεκτορι πριαμιδῇ αμοτον μεμαϝῶτι μαχεσθαι.
ͱως ͱοι μεν τοιαϝτα προς αλληλοϝς αγορεϝον,
χαρμῇ γηθοσυνοι, την σφιν θεος ενβαλε θυϝμῷ.
τοφρα δε τοϝς οπιθεν γαιηͱοχος ῶρσεν αχαιϝοϝς,
ͱοι παρα ναϝσι θοϝῇσιν ανεπσυϝχον φιλον ητορ·
των ρ' ͱαμα τ' αργαλεῷ καματῷ φιλα γυι' ελελῦντο,
και σφιν αχος κατα θυϝμον εγιγνετο, δερκομενοισιν
τροϝας, τοι μεγα τειχος ͱυπερ κατεβησαν ͱομιλϝῷ.
τοϝς ͱοιγ' εισͱοραοντες, ͱυπ' οφρυσι δακρυϝα λειβον·
ου γαρ εφαν φευγσεσθαι ͱυπ' εκ κακοϝ'· αλλ' ενοσιχθων
ρεϝα μετεισαμενος κρατερας ῶτρυϝνε φαλαγγας.
τευκρον επι πρῶτον και λεϝιτον ηλθε κελεϝων,
πηνελαϝον θ' ηροϝα, θοϝαντα τε, δαϝιπυρον τε,
μηριονην τε, και αντιλοχον, μηστωρας αͱυϝτης·
τοϝς ͱογ' εποτρυϝνων ϝεπεα πτεροεντα προσηῦϝδα·
αιδως, αργειϝοι, κοϝροι νεϝοι! υμμιν εγωγε
μαρναμενοισι πεποιθα σαῶσεμεναι ναϝας ͱαμας·
ει δ' ͱυμεες πολεμοϝο μεθησετε λευγαλεοϝο,
νῦν δη ϝειδεται ͱημαρ, ͱυπο τροϝεσι δαμηναι.
ω ποποι! η μεγα θαϝμα τοδ' οφθαλμοισιν ͱορῶμαι,
δδεινον, ͱο μη ποτ' εγωγε τελεϝτησεσθαι εφᾶσκον,
τροϝας εφ' ημετερας ιεναι ναϝας· ͱοι το παρος περ
φυδσακινῇσ' ελαφοισ' εϝεϝοικεσαν, ͱαιτε καθ' υλϝην
θοϝων, παρδαλιων τε, λυκων τ' ηϊϝα πελονται,
αϝτως ηλασκοντσαι, αλκιδες, ουδ' επι χαρμῇ·
ͱως τροϝες το πριν γε μενος και χειρας αχαιϝων
μιμνεμεν ουκ εθελεσκον εναντιον, ουδ' ηβαιον·
νῦν δε ͱεκας πολιος κοιλῇσ' επι ναϝσι μαχονται,
ͱηγεμονος κακοτητι, μεθημοσυνῇσι τε λαϝων,
ͱοι κεινῷ ερισαντες αμυνεμεν ουκ εθελοντιν
ναϝων ῶκυπορων, αλλα κτεινονται αν' αϝτας.
αλλ' ει δη και πανπαν ͱετητυμον αιτιος εστιν
ͱηρως ατρεϝιδης, ευρυ κρεϝων αγαμεμνων,

ͱοονεκ᾽ απῆτιϝμῆσε ποδῶκεα πηλεϝιϝῶνα, N
ͱημεας γ᾽ ουπως εστι μεθιͱεμεναι πολεμοϝο.
αλλ᾽ ακεωμεθα θασσον· ακεσται τοι φρενες εσθλων.
ͱυμεες δ᾽ ουκετι καλα μεθιͱετε θοϝριδος αλκης,
παντες αριστοι εοντες ανα στρατον· ουδ᾽ αν εγωγε
ανδρι μαχησαιμην, ͱοστις πολεμοϝο μεθειη,
λυγρος εων· ͱυμῖν δε νεμεσαομαι περι κεαρι.
ω πεπονες, ταχα δη τι κακον ποιησετε μειδσον
τῇδε μεθημοσυνῇ· αλλ᾽ εν φρεσι θεσθε ͱεκαστος
αιδοα και νεμεσιν· δη γαρ μεγα νεικος ορῶρεν.
ͱεκτωρ δη παρα ναϝσι βοην αγαθος πολεμιδσει,
καρτερος· εϝρῆγσεν δε πυλας και μακρον ͱοχεϝα.
ͱως ρα κελεϝτιαων γαιηͱοχος ῶρσεν αχαιϝοϝς·
αμφι δ᾽ αρ᾽ αιϝαντας δοιοϝς ͱισταντο φαλαγγες
καρτεραι, ͱας ουτ᾽ αν κεν αρεϝς ονοσαιτο μετελθων,
ουτε κ᾽ αθηναιη λαϝοσσοϝος· ͱοι γαρ αριστοι
κρινθεντες τροϝας τε και ͱεκτορα διϝον εμιμνον,
φρακσαντες δορυ δορϝι, σακος σακεϊ προθελυμνῳ·
ασπις αρ᾽ ασπιδ᾽ ερειδε, κορυς κορυθ᾽, ανερα δ᾽ ανηρ·
ψαϝον δ᾽ ͱιπποκομοι κορυθες λαμπροῖσι φαλοισιν
νευοντων· ͱως πυκνοι εφεστασαν αλληλοισιν·
ενχεα δ᾽ επτυσσοντο θρασυιαϝων απο χειρων
σειομεν᾽· ͱοι δ᾽ ιθυς φρονεον, μεμασαν δε μαχεσθαι.
τροϝες δε προετυπτσαν ͱαϝολϝεες, ῆρχε δ᾽ αρ᾽ ͱεκτωρ
αντικρυς μεμαϝῶς· ϝολϝοτροχος ͱως απο πετρης,
ͱοντε κατα στεφανης ποταμος χειμαροϝος οθσῇ,
ϝρῆγσανς ασπετῳ ομβρῳ ααιδεος ͱεχματα πετρης,
ͱυψι τ᾽ αναθρῶσκων πετεται, κτυπεει δε θ᾽ υπ᾽ αϝτοο
ͱυλϝη· ͱο δ᾽ ασφαλεως θεϝει ενπεδον, ͱεϝος ͱικηται
ϝεισϝοπεδον, τοτε δ᾽ ουτι κυλινδεται, εσσυμενος περ·
ͱως ͱεκτωρ, ͱεϝος μεν απειλεε μεχρι θαλασσης
ρεϝα διελθεμεναι κλισιας και ναας αχαιϝων,
κτεινων· αλλ᾽ ͱοτε δη πυκινῆσ᾽ ενεκυρσε φαλανγσιν,
στη ρα μαλ᾽ ενχριμφθενς· ͱοι δ᾽ αντιοι ͱυιες αχαιϝων,
νυσσοντες χσιφεσιν τε και ενχεσιν αμφιγυοισιν,
ῶθσαν απο σφεϝων· ͱο δε χασσαμενος πελεμιχθη,
ῆͱυϝσεν δε διαπρυσιον τροϝεσι γεγῶνως·
τροϝες, και λυκιοι, και δαρδανοι ανχιμαχηται,
παρμενετ᾽· ουτοι δηρον εμε σχησοντιν αχαιϝοι,
και μαλα πυργηδον σφεϝας αϝτοϝς αρτυϝναντες·
αλλ᾽, οϊϝω, χασσονται ͱυπ᾽ ενχεος, ει ͱετεον με
ῶρσε θεων ͱοχ᾽ αριστος, εριγδουπος ποσις ͱηρης.
ͱως ϝεσπων, ῶτρυϝνε μενος και θυϝμον ͱεκαστοο.
δαϝιφοβος δ᾽ εν τοισι μεγα φρονεων εβεβηκεεν
πριαμιδης, προσθεν δ᾽ ͱεχεν ασπιδα παντοσε ϝεισϝην,
κοϝφα ποσι προβιβανς, και ͱυπασπιδια προποδιδσων·

μηϱιονης δ᾽ αϝτοϝο τιτυσκετο δορϝι φαϝεινῷ, Ν
και βαλεν, ουδ᾽ απαμαρτε, κατ᾽ ασπιδα παντοσε ϝεισϝην,
ταυρειην· της δ᾽ ουτι διηλασεν, αλλα πολυ πριν
εν καϝλῷ εϝαγη δολιχον δορυ· δαϝιφοβος δε
ασπιδα ταυρειην σχεθ᾽ αφ᾽ εϝ, εδδεισε δε θυϝμῷ
ενχος μηριοναϝο δαϝιφρονος· αϝταρ ⱶογ᾽ ⱶηρως
απς ⱶεταρων εις ϝεθνος εχαδσετ᾽ εχωσατο δ᾽ αινως
αμφοτερον, νικης τε, και ενχεος, ⱶο γσυνεϝανγσεν·
βη δ᾽ ιμεναι παρα τε κλισιας και ναϝας αχαιϝων,
ⱶοισομενος δορυ μακρον, ⱶο ⱶοι κλισιῃ ελελειπτο.
ⱶοι δ᾽ αλλοι μαρναντο, βοη δ᾽ ασβεστος ορωρεεν.
τευκϱος δε πρῶτος τελαμωνιος ανδρα κατεκτα
ιμβριον αιχμῆτην, πολυⱶιπποϝο μεντορος ⱶυιον.
ναιε δε πηδαιον, πριν γ᾽ ελθεμεν ⱶυιας αχαιϝων,
κοϝρην δε πριαμοϝο νοθην ⱶεχε μηδεσικαστην·
αϝταρ επει δαναων ναϝες ηλυθον αμφιϝελισσαι,
απς εις ϝιλϝιον ηλθε, μετεπρεπε δε τϱοϝεσιν·
ναιε δε παρ πριαμῷ· ⱶο δε μιν τιϝε ϝεισϝα τεκεσσιν.
τον ρ᾽ ⱶυιος τελαμῶνος ⱶυπ᾽ οϝατος ενχεϊ μακρῷ
νυκσ᾽, εκ δ᾽ εσπασεν ενχος· ⱶο δ᾽ αϝτ᾽ επεσεν, μελιη ⱶως,
ⱶητ᾽ ορεος κορυφῇ ⱶεκαθεν περιφαινομενοϝο
χαλκῷ ταμνομενη τερενα χθονι φυλλα πελασσῇ·
ⱶως πεσεν· αμφι δε ⱶοι βραχε τευχεα ποικιλα χαλκῷ.
τευκρος δ᾽ ⱶορμῆθη, μεμαϝως απο τευχεα δυϝσαι·
ⱶεκτωρ δ᾽ ⱶορμῆθεντος ακοντισε δορϝι φαϝεινῷ·
αλλ᾽ ⱶο μεν αντα ϝιδων ῆλεϝσατο χαλκεον ενχος
τυτθον· ⱶο δ᾽ αμφιμαχον, κτεατοϝ᾽ υϊ᾽ ακτοριϝῶνος,
νισσομενον πολεμονδε, κατα στηθος βαλε δοϱϝι·
δουπησεν δε πεσων, αραβησε δε τευχε᾽ επ᾽ αϝτῷ.
ⱶεκτωρ δ᾽ ⱶορμῆθη κορυθα κροταφοισ᾽ αραρυιαν
κρᾶτος αφαρπακσαι μεγαλητορος αμφιμαχοϝο·
αιϝανς δ᾽ ⱶοϱμῆθεντος ακοντισε δορϝι φαϝεινῷ
ⱶεκτορος· αλλ᾽ ου πῇ χροος εισατο, πανς δ᾽ αρα χαλκῷ
σμεϱδαλεῷ κεκαλυφθ᾽· ο δ᾽ αϱ᾽ ασπιδος ομφαλον ουτα,
ῶθσε δε μιν σθενεϊ μεγαλῷ· ⱶο δ᾽ εχασσατ᾽ οπισσῷ
νεκρων αμφοτεϱων· τοϝς δ᾽ εκσεϝερυσσαν αχαιϝοι.
αμφιμαχον μεν αρα στιχιος, διϝος τε μενεσθεϝς,
αρχοι αθηναιων, κομισαν κατα λαϝον αχαιϝων·
ιμβριον αϝτ᾽ αιϝαντε, μεμαϝοτε θοϝριδος αλκης.
ⱶωστε δυ᾽ αιγα λεϝοντε, κυνων ⱶυπο καϱχαροδοντων
ⱶαρπακσαντε, φεϱητον ανα ρῶπῆϊα πυκνα,
ⱶυπσοϝ᾽ ⱶυπεϱ γαιης μετα γαμφηλῇσιν ⱶεχοντε·
ⱶως ρα τον ⱶυπσοϝ᾽ ⱶεχοντε δυω αιϝαντε κορυστα
τευχε᾽ εσυλϝῆτην, κεφαλην δ᾽ ⱶαπαλης απο δειρης
κοπτσεν ϝιλϝιαδης, κεχολῶμενος αμφιμαχοϝο·
ⱶηκε δε μιν σφαιρηδον ϝελικσαμενος δι᾽ ⱶομιλϝαο,

ͱεκτορι δε προπαροιθε ποδων πεσεν εν κονιϝῃσιν.
και τοτε δη περι κεαρι ποσειδαϝων εχολωθη, N
ͱυιϝωνοϝο πεσοντος εν αινῃ δαϝιοτητι·
βη δ᾽ ιμεναι παρα τε κλισιας και ναϝας αχαιϝων,
οτρυνεων δαναοϝς, τροϝεσι δε κηδε᾽ ετευχεν·
των δ᾽ ͱομον ͱιστατο νεικος επι πρυμνῃσι ναϝεσιν.
ͱως δ᾽ ͱοθ᾽ υπο λιγυων ανεμων σπερχωντιν αͱελλαι
ͱηματι τῳ, ͱοτε τε πλειστη κονις αμφι κελευθοϝς,
ͱοιθ᾽ αμυδις κονιϝης μεγαλην ͱισταντιν ͱομιχλην·
ͱως αρα των ͱομοσ᾽ ηλθε μαχη, μεμασαν δ᾽ ενι θυϝμῳ
αλληλοϝς καθ᾽ ομιλον ενͱαιρεμεν ͱοκσυϊ χαλκῳ.
εφρικσεν δε μαχη φθισιμβροτος ενχειῃσιν
μακρῃσ᾽, ͱας εσχον ταμεσιχροας· οσσε δ᾽ αμερδεν
αϝγη χαλκειη κορυθων απο λαμπομεναϝων,
θωρηκων τε νεοσμηκτων, σακεων τε φαϝεινων,
ερχομενων ͱαμυδις· μαλα κεν θρασυκαρδιος ειη,
ͱος τοτε γηθησειε ϝιδων πονον, ουδ᾽ ακαχοιτο.
τω δ᾽ αμφις φρονεοντε δυω κρονοϝ᾽ ͱυιε κραταιω
ανδρεσιν ͱηροϝεσιν ετευχετον αλγεα λυγρα.
δσεϝς μεν αρα τροϝεσι και ͱεκτορι βουλετο νικην,
κυϝδαινων αχιλεϝα ποδας ταχυν, ουδ᾽ ͱογε πανπαν
ηθελε λαϝον ολεσσαι αχαιϝικον ϝιλϝιοθι προ,
αλλα θετιν κυϝδαινε και ͱυια καρτεροθυϝμον.
αργειϝοϝς δε ποσειδαϝων οροθυϝνε μετελθων.
τοι δ᾽ εριδος κραͱερης και ͱομοιϊοϝο πτολεμοϝο
πειραρ επαλλακσαντες, επ᾽ αμφοτεροισ᾽ ετανυσσαν,
αϝρηγτον τ᾽ αλυτον τε, το πολλων γουϝατ᾽ ελυϝσεν.
ενθα, μεσαιπολιος περ εων, δαναοισι κελεϝσανς
ιδομενεϝς, τροϝεσιν εφαλμενος εν φοβον ωρσεν·
πεφνε γαρ ορθυϝονεϝα, καβησοθεν ενδον εοντα,
ͱος ρα νεϝον πολεμοϝο μετα κλεος ηληλουθεεν·
ῃτεε δε πριαμοϝο θυγατρων ϝειδος αριστην,
κασσανδρην, αεεδνον· ͱυπεσχετο δε μεγα ϝεργον,
εκ τροϝιης αͱεκοντας αποθσεμεν ͱυιας αχαιϝων.
τῳ δ᾽ ͱο γερων πριαμος ͱυπο τ᾽ εσχετο, και κατενευσεν
δωσεμεναι· ͱο δ᾽ εμαρναθ᾽, υποσχεσιῃσι πιθησανς.
ιδομενεϝς δ᾽ αϝτοϝο τιτυσκετο δορϝι φαϝεινῳ,
και βαλεν ͱυπσι βιβαντα τυχων· ουδ᾽ ηρκεσε θωρηκς
χαλκεος, ͱον φορεεσκε, μεσῃ δ᾽ εν γαστερ᾽ επηγσεν·
δουπησεν δε πεσων· ͱο δ᾽ επευχσατ᾽, εφωνησεν τε·
οθρυϝονεϝ, περι δη σε βροτων αινιδσομ᾽ ͱαπαντων,
ει ͱετεον δη παντα τελεϝτῃσεις, ͱοσ᾽ ͱυπεστης
δαρδανιδῃ πριαμῳ· ͱο δ᾽ ͱυπεσχετο θυγατερ᾽ ͱεϝην.
και κε τοι ͱημεες ταϝτα γ᾽ ͱυποσχομενοι τελεσαιμεν·
δοιμεν δ᾽ ατρεϝιδαϝο θυγατρων ϝειδος αριστην,
αργεος εκσαγαγοντες, οπυιεμεν· ει κε συν αμμιν

ϝιλϝιοϝ' εκπερθσῃς ͱεϋναιομενον πτολιεθρον.
αλλ' ͱεπε', ͱοφρ' επι ναϝσι συνͱωμεθα ποντοποροισιν Ν
αμφι γαμῳ· επει ουτοι εεδνωται κακοι εσμεν.
ͱως ϝεσπων, ποδος ͱελκε κατα κρατερην ͱυσμινην
ͱηρως ιδομενεϝς· τῳ δ' ασιος ηλθεν αμυϝντωρ,
πεδσος προσθ' ͱιππων· τω δε πνεϝοντε κατ' ωμων
αιϝεν ͱεχ' ͱηνιͱοχος θεραπων· ͱο δε ͱιͱετο θυϝμῳ
ιδομενεϝα βαλεεν· ͱο δε μιν φθαμενος βαλε δορϝι
λαιμον ͱυπ' ανθερεῶνα, δια προ δε χαλκον ελασσεν·
ηριπε δ', ͱως ͱοτε τις δρυς ηριπεν, η' αχερωῒς,
ηε πιτυς βλωθρη, τηντ' ορεσι τεχτονες ανδρες
εκσεταμον πελεκυσσι νεϝηκεσι, ναϝιον εεναι·
ͱως ͱο προσθ' ͱιππων και διφροϝ εκειτο τανυσθενς,
βεβρυχκως, κονιος δεδραγμενος ͱαιματοεντσης.
εκ δε ͱοι ͱηνιͱοχος πληγη φρενας, ͱας παρος εσχεν,
ουδ' ͱογ' ετολμῆσεν, δαϝιων ͱυπο χειρας αλυκσανς,
απς ͱιπποϝς στρεφσαι· τον δ' αντιλοχος μενεχαρμης
δορϝι μεσον περονῆσε τυχων· ουδ' ῆρκεσε θωρηκς
χαλκεος, ͱον φορεεσκε, μεσῃ δ' εν γαστερ' επηγσεν.
αϝταρ ͱογ' ασθμαινων ͱεϋϝεργεος εκπεσε διφροο·
ͱιπποϝς δ' αντιλοχος, μεγαθυϝμοϝο νεστορος ͱυιος,
εκσελασε τροϝων μεθ' εϋκνημῖδας αχαιϝοϝς.
δαϝιφοβος δε μαλα σχεδον ηλυθεν ιδομενεϝος,
ασιοϝ αχνυμενος, και ακοντισε δορϝι φαϝεινῳ·
αλλ' ͱο μεν αντα ϝιδων ῆλεϝσατο χαλκεον ενχος
ιδομενεϝς· κρυφθη γαρ ͱυπ' ασπιδι παντοσε ϝεισϝῃ,
την αρ' ͱογε ϝρῖνοισι βοϝων και νωροπι χαλκῳ
δινῶτην φορεεσκε, δυω κανονεσ' αραρυιαν·
τῃ ͱυπο πανς εαλη, το δ' ͱυπερπτατο χαλκεον ενχος·
καρφαλεον δε ͱοι ασπις επιθρεκσαντος αͱυϝσεν
ενχεος· ουδ' ͱαλιον ρα βαρυιης χειρος αφῆκεν,
αλλ' εβαλ' ͱιππασιδην ͱυπσῆνορα, ποιμενα λαϝων,
ͱηπαρ ͱυπο πραπιδων, ειθαρ δ' ͱυπο γονϝατ' ελυϝσεν.
δαϝιφοβος δ' εκπαγλον επευχσατο, μακρον αͱυϝσανς·
ου μαν αϝτ' ατιτος κειτ' ασιος· αλλα ͱε φημι,
εις αϝιδος περ ιοντα πυλαρταϝο κρατεροϝο,
γηθησεεν κατα θυϝμον· επει ρα ͱοι ωπασα πομπον.
ͱως εφατ'· αργειϝοισι δ' αχος γενετ' ευχσαμενοϝο. 417
ιδομενεϝς δ' ου ληγε μενος μεγα· ͱιͱετο δ' αιϝει 424
ηε τινα τροϝων ερεβεννῃ νυκτι καλυπτσαι,
η' αϝτος δουπησαι, αμυϝνων λοιγον αχαιϝοις.
ενθ' αισυμνηταϝο διοτρεφεος φιλον ͱυιον
ͱηροϝ' αλκαθοϝον· γαμβρος δ' ῆν ανχισαϝο·
πρεσβυτατην δ' ῶπυιε θυγατρων ͱιπποδαμειαν,
την περι κεαρ' εφιλησε πατηρ και ποτνια μητηρ
εν μεγαρῳ· παντσαν γαρ ͱομηλικιην εκεκαστο

καλλεϊ, και Fεργοισιν, ιδε φρεσι· τοονεκα και μιν
γῆμεν ανηρ hοχ' αριστος ενι τροFιῇ ευρυιῇ·
τον τοθ' υπ' ιδομενεFι ποσειδαFων εδαμασσεν,
θελγσαυς οσσε φαFειν', επεδῆσε δε φαιδιμα γυια.
ουτε γαρ εκσοπισω̣̃ φυγεεεν δυνατ', ουτ' αλεFεσθαι·
αλλ', hωστε στηλην η δενδρεον hυπσιπετηλον,
ατρεμας hεσταοτα, στηθος μεσον ουτασε δορFι
hηρως ιδομενεFς, Fρῆγσεν δε hοι αμφι χιτῶνα
χαλκεον, hος hοι προσθεν απο χροος ῆρκε' ολεθρον·
δη τοτε γ' αυFον αhυFσεν, ερεικομενος περι δορFι·
δουπησεν δε πεσων, δορυ δ' εν κραδιῇ επεπηγεεν,
hη ρα hοι ασπαιροντσα, και ουριαχον πολεμιδσεν.
ιδομενεFς δ' εκπαγλον επευχσατο, μακρον αhυFσαυς·
δαFιφοβ', η' αρα δη τι Fεϊσκομεν αγσιον εεναι
τρεας hενος αντιπεφασθαι, επει συ περ ευχεαι hοFτως;
δαιμονι', αλλα και αFτος εναντιος hιστασ' εμεFο,
hοφρα Fιδῃς, hοιος δσῆνος γονος ενθαδ' hικανω,
hος πρωτον μινω' ετεκε κρητῃ επιουρον·
μινως δ' αF τεκεθ' υιον αμυFμονα δευκαλιFῶνα·
δευκαλιFων δ' εμ' ετικτε, πολυσσ' ανδρεσι Fανακτα,
κρητῃ εν ευρυιῇ· νῦν δ' ενθαδε ναFες ενενκαν,
σοι τε κακον, και πατρι, και αλλοισι τροFεσιν.
hως φατο· δαFιφοβος δε διανδιχα μερμηρικσεν,
η τινα ποο τροFων hεταρισσαιτο μεγαθυFμων,
απς αναχωρησαυς, η πειρῆσαιτο και οιος.
hῳδε δε hοι φρονεοντι δοασσατο κερδιον εεναι,
βηναι επ' αινειαν· τον δ' hυστατον hευρεν hομιλFοο
hεσταοτ'· αιFει γαρ πριαμῳ επεμηνιFε διFῳ,
hοονεκ' αρ' εσθλον εοντα μετ' ανδρεσιν ουτι τιFεσκεν.
ανχοFο δ' hισταμενος Fεπεα πτεροεντα προσῆυFδα·
αινεια, τροFων βουληφορε, νῦν σε μαλα χρη
γαμβρῳ αμυFνεμεναι, ειπερ τι σε κηδος hικανει·
αλλ' hεπε', αλκαθοFῳ επαμυFνομεν, hος σε παρος γε
γαμβρος εων ετρεφσε δομοισ' ενι, τυτθον εοντα·
τον δε τοι ιδομενεFς δορFικλυτος εκσεναρικσεν.
hως φατο· τῳ δ' αρα θυFμον ενι στηθεσσιν ορινεν·
βη δε μετ' ιδομενεFα, μεγα πτολεμοFο μεμηλως.
αλλ' ουκ ιδομενεFα φοβος λαβε, τηλυγετον hως,
αλλ' εμεν', hως hοτε τις συς ορεσιν αλκι πεποιθως,
hοστε μενει κολοσυρτον επερχομενον πολυν ανδρων
χωρῳ εν οιοπολῳ, φρισσει δε τε νωτον hυπερθεν·
οφθαλμω δ' αρα hοι πυρι λαμπετον· αFταρ οδοντας
θηγει, αλεκσασθαι μεμαFως κυνας ηδε και ανδρας.
hως μενεν ιδομενεFς δορFικλυτος, ουδ' hυπεχωρεεν,
αινειαν επιοντα βοῃ θοFον· αυFε δ' hεταιροFς,
ασκαλαφον τ' εσhορων, αφαρεFα τε, δαFιπυρον τε,

μηριονην τε, και αντιλοχον, μηστωρας αϝυϝτης·
τοϝς ͱογ' εποτρυϝνων ϝεπεα πτεροεντα προσηῦϝδα·
δευτε, φιλοι, και μ' οιῳ̃ αμυϝνετε· δεδδια δ' αινως
αινειαν επιοντα ποδας ταχυν, ͱος μοι επειτιν·
ͱος μαλα καρτερος εστι μαχῃ̃ ενι φῶτας ενͱαιρεεν·
και δ' ͱεχει ͱηβης ανθος, ͱο τε κρατος εστι μεγιστον.
ει γαρ ͱομηλικιῃ̃ γε γενοιμεθα τῳ̃δ' ενι θυϝμῳ̃,
αιπσα κεν ηε φεροιτο μεγα κρατος, ηε φεροιμην.
ͱως εφαθ'· οι δ' αρα παντες, ͱενα φρεσι θυϝμον ͱεχοντες,
πλῆσιοι εστησαν, σακε' ωμοισι κλῖναντες.
αινειας δ' ͱετερωθεν εκεκλεθ' εϝοισ' ͱεταροισιν,
δαϝιφοβον τε, παριν τ' εσͱορῶν, και αγῆνορα διϝον,
ͱοι ͱοι ͱαμ' ͱηγεμονες τροϝων εσαν· αϝταρ επειτα
λαϝοι ͱεπονθ', ως ει τε μετα κτιλον ͱεσπετο μηλα
πιϝομεν' εκ βοτανης· γανυται δ' αρα τε φρενα ποιμην.
ͱοι δ' αμφ' αλκαθοϝῳ̃ αϝτοσχεδον ͱορμῆθησαν
μακροισι χσυστοισι· περι στηθεσσι δε χαλκος
σμερδαλεον κοναβιδσε, τιτυσκομενων καθ' ομιλϝον
αλληλων· δυο δ' ανδρες αρεϝιοι, εκσͱοχοι αλλων,
αινειας τε, και ιδομενεϝς, ͱαταλαντοι αρεϝι,
ͱιͱεντ' αλληλων ταμεεεν χροα νηλεϊ χαλκῳ̃.
αινειας δε πρῶτος ακοντισεν ιδομενεϝος·
αλλ' ͱο μεν αντα ϝιδων ῆλεϝσατο χαλκεον ενχος·
αιχμη δ' αινειαϝο κραδαινομενη κατα γαιης
ῳ̃χετ', επει ρ' ͱαλιον στιβαρης απο χειρος οροϝσεν.
ιδομενεϝς δ' αρα ϝοινομαον βαλε γαστερα μεσσην·
ϝρῆγσε δε θωρηκος γυαλον, δια δ' εντερα χαλκος
ῆφυσ'· ͱο δ' εν κονιϝῆσι πεσων ͱελε γαιαν αγοστῳ̃.
ιδομενεϝς δ' εκ μεν νεκυος δολιχοσκιον ενχος
εσπασατ', ουδ' αρ' ετ' αλλ' εδυνησατο τευχεα καλα
ωμοιϊν αφελεσθαι· επειγετο γαρ βελεεσιν.
ου γαρ ετ' ενπεδα γυια ποδων ῆν ͱορμῆθεντι,
ουτ' αρ' επαͱικσαι μεθ' εϝον βελος, ουτ' αλεϝεσθαι·
τῳ̃ ρα και εν σταδιῃ̃ μεν αμυϝνετο νηλεες ͱημαρ,
τρεσσαι δ' ουκετι ριμφα ποδες φερον εκ πολεμοϝο.
τοο δε βαδην απιοντος ακοντισε δορϝι φαϝεινῳ̃
δαϝιφοβος· δη γαρ ͱοι ͱεχεν κοτον ενμενες αιϝει·
αλλ' ͱογε και τοτ' αμαρτεν, ͱο δ' ασκαλαφον βαλε δορϝι,
ͱυιον ενεϝαλιοϝο, δι' ωμοϝο δ' οβριμον ενχος
εσχεν· ͱο δ' εν κονιϝῆσι πεσων ͱελε γαιαν αγοστῳ̃.
ͱοι δ' αμφ' ασκαλαφῳ̃ αϝτοσχεδον ͱορμῆθησαν·
δαϝιφοβος μεν απ' ασκαλαφοο πηληκα φαϝεινην
ͱαρπασε· μηριονης δε θοϝῳ̃ ͱαταλαντος αρεϝι
δορϝι βραχιον' ετυπτσεν εφαλμενος, εκ δ' αρα χειρος
αϝλῶπις τρυφαλεια χαμαι βομβησε πεσοντσα.
μηριονης δ' εκσαϝτις εφαλμενος, αιγυπιος ͱως,

εκσFερυσε πρυμνοFο βραχιFονος οβριμον ενχος· N
απς δ' ͱεταρων εις Fεθνος εχαδσετο· τον δε πολῖτης,
αFτοκασιγνῆτος, περι μεσσω χειρε τιτῆνανς,
εκσῆγεν πολεμοFο δυσFηχεος, ͱοφρ' ͱικεθ' ιπποFς
ὤκυας, ͱοι ͱοι οπισθε μαχης ηδε πτολεμοFο
ͱεστασαν, ͱηνιͱοχον τε και ͱαρματα ποικιλ' ͱεχοντες·
ͱοι τονγε προτι Fαστυ φερον βαρυα στοναχοντα,
τειρομενον· κατα δ' ͱαιμα νεFουτατοF ερεFε χειρος.
ͱοι δ' αλλοι μαρναντο, βοη δ' ασβεστος ορῶρεεν.
αινειας δ' αφαρεFα καλητοριδῆν εποροFσανς
λαιμον ετυπτσ', επι ͱοι τετραπμενον, ͱοκσυϊ δορFι·
εκλινθη δ' ͱετερωσε καρῆ, επι δ' ασπις εͱαφθη,
και κορυς· αμφι δε ͱοι θανατος χυτο θυFμοFραϊστης.
αντιλοχος δε θοFῶνα, μεταστρεφθεντα δοκεFσανς,
ουτασ' επαͱικσανς· απο δε φλεβα παντσαν εκερσεν,
ͱητ' ανα νωτα θεFοντσα διανπερες, αFχεν' ͱικανει·
την απο παντσαν εκερσεν· ͱο δ' ͱυπτιος εν κονιFῆσιν
κατπεσεν, αμφω χειρε φιλοισ' ͱεταροισι πετασσανς.
αντιλοχος δ' εποροFσε, και αινυτο τευχε' απ' ωμων,
παπταινων· τροFες δε περισταδον αλλοθεν αλλος
ουταδσον σακος ευρυ παναιFολον, ουδ' εδυναντο
εισῷ επιγραπτσαι τερενα χροα νηλεϊ χαλκῷ
αντιλοχοο· περι γαρ ρα ποσειδαFων ενοσιχθων
νεστορος ͱυιον ερυFτο, και εν πολλοισι βελεσσιν.
ου μεν γαρ ποτ' ανευ δαFιων ῆν, αλλα κατ' αFτοFς
στροφαετ'· ουδε ͱοι ενχος ͱεχ' ατρεμας, αλλα μαλ' αιFει
σειομενον ελελικτο· τιτυσκετο δε φρεσιν ͱῇσιν,
η τεο ακοντισσαι, ηε σχεδον ͱορμῆθηναι.
αλλ' ου ληθ' αδαμαντα τιτυσκομενος καθ' ομιλFον
ασιαδην, ͱος ͱοι ουτα σακος μεσον ͱοκσυϊ χαλκῷ,
ενγυθεν ͱορμῆθενς· αμενηνῶσεν δε ͱοι αιχμην
κυFανοχαιτα ποσειδαFων, βιFοτοFο μεγῆρανς.
και το μεν αFτοF' εμῆν', ͱωστε σκωλος πυρι καFστος,
εν σακει αντιλοχοFο, το δ' ͱημισυ κειτ' επι γαιης·
απς δ' ͱεταρων εις Fεθνος εχαδσετο, κηρ' αλεFεινων·
μηριονης δ' απιοντα μεθεσπομενος βαλε δορFι
αιδοιων τε μεσηγυ και ομφαλοF· ενθα μαλιστα
γιγνετ' αρεFς αλεγεινος οϊδσυροισι βροτοισιν·
ενθα ͱοι ενχος επηγσεν· ͱο δ' ͱεσπομενος, περι δορFι
ῆσπαιρ', ͱως ͱοτε βως, τοντ' ορεσι βοFκολοι ανδρες
FιλFασιν ουκ εθελοντα βιῇ δησαντες αγοντιν·
ͱως ͱο τυπενς ῆσπαιρε μινυνθα περ, ουτι μαλα δην,
ͱοφρα ͱοι εκ χροος ενχος ανεσπασατ' ενγυθεν ελθων
ͱηρως μηριονης· τον δε σκοτος οσσ' εκαλυπτσεν.
δαFιπυρον δ' ͱελενος χσιφεϊ σχεδον ηλασε κορσην
θρεFικιῷ, μεγαλῷ, απο δε τρυφαλειαν αραγσεν·

ͱη μεν αποπλανχθεντσα, χαμαι πεσε· και τις αχαιϝων N
μαρναμενων μετα ποδσι κυλινδομενην εκομισσεν·
τον δε κατ᾽ οφθαλμων ερεβεννη νυκς εκαλυπτσεν.
ατρεϝιδην δ᾽ αχος ͱελλε, βοην αγαθον μενελαϝον·
βη δ᾽ επαπειλησανς ͱελενῳ ͱηροϝι ϝανακτι,
ͱοκσυ δορυ κραδαων· ͱο δε τοκσοϝο πηχυν ανϝελκεν.
τω δ᾽ αρ᾽ ͱαμαρτητην, ͱο μεν ενχεϊ ͱοκσυοεντι
ͱιϝετ᾽ ακοντισσαι, ͱο δ᾽ απο νευρηφιν οϊστῳ·
πριαμιδης μεν επειτα κατα στηθος βαλεν ͱιϝῳ
θωρηκος γυαλον, απο δ᾽ επτατο πικρος οϊστος.
ͱως δ᾽ ͱοτ᾽ απο πλατυος πτυοϝο μεγαλην κατ᾽ αλοϝην
θρῶσκωντιν κυαμοι μελανοχροες, η᾽ ερεβινθοι,
πνοϝῇ ͱυπο λιγυρῇ και λικμητηρος εροϝῇ·
ͱως απο θωρηκος μενελαϝοϝο κυϝδαλιμοϝο
πολλον αποπλανχθενς, ͱεκας επτατο πικρος οϊστος.
ατρεϝιδης δ᾽ αρα χειρα, βοην αγαθος μενελαϝος,
την βαλεν, ͱῇ ρ᾽ ͱεχε τοκσον ͱεΰχσυϝον· εν δ᾽ αρα τοκσῳ
αντικρυς δια χειρος ελῆλατο χαλκεον ενχος.
απς δ᾽ ͱεταρων εις ϝεθνος εχαδσετο, κηρ᾽ αλεϝεινων,
χειρα παρακρεμασανς· το δ᾽ εφελκετο μειλινον ενχος·
και το μεν εκ χειρος ϝερυσεν μεγαθυϝμος αγηνωρ,
αϝτην δε γσυνεδησεν ͱεϋστροφῳ οϝιος αͱωτῳ,
σφενδονῃ, ͱην αρα ͱοι θεραπων ͱεχε ποιμενι λαϝων.
πειθσανδρος δ᾽ ιθυς μενελαϝοϝο κυϝδαλιμοϝο
ηϊε· τον δ᾽ αγε μοιρα κακη θανατοϝο τελοσδε,
σοι, μενελαϝε, δαμῆναι εν αινῇ δαϝιοτητι.
ͱοι δ᾽ ͱοτε δη σχεδον ῆσαν επ᾽ αλληλοισιν ιοντες,
ατρεϝιδης μεν αμαρτε, παραι δε ͱοι ετραπετ᾽ ενχος·
πειθσανδρος δε σακος μενελαϝοϝο κυϝδαλιμοϝο
ουτασεν, ουδε δια προ δυνῆσατο χαλκον ελασσαι·
εσχεθε γαρ σακος ευρυ, κατεκλασθη δ᾽ ενι καϝλῳ
ενχος· ͱο δε φρεσιν ͱῇσ᾽ εχαρη, και εϝελπετο νικην.
ατρεϝιδης δε, ϝερυσσαμενος χσιφος αργυροͱηλον,
ͱαλτ᾽ επι πειθσανδρῳ· ͱο δ᾽ ͱυπ᾽ ασπιδος ͱελλετο καλην
αγσινην ͱεΰχαλκον, ελαϊνῳ αμφι πελεκκῳ,
μακρῳ, ͱεΰχσεστῳ· ͱαμα δ᾽ αλληλων εφικεσθην.
ητοι ͱο μεν κορυθος φαλον ηλασεν ͱιπποδασυιης
ακρον ͱυπο λοφον αϝτον· ͱο δε προσιοντα, μετωπον,
ϝρῖνος ͱυπερ πυματης· λακε δ᾽ οστεα, τω δε ͱοι οσσε
παρ ποσιν ͱαιματοεντα χαμαι πεσον εν κονιϝῇσιν·
ιδνωθη δε πεσων· ͱο δε λακς εν στηθεσι βαινων,
τευχεα τ᾽ εκσεναρικσε, και ευχομενος ϝεπος ῆυϝδα·
λειπσετε θην ͱοϝτῳ γε ναϝας δαναων ταχυπωλων,
τροϝες ͱυπερφιαλοι, δδεινης ακορητοι αͱυϝτης·
αλλης μεν λωβης τε και αισχεος ουκ επιδεϝεες!
ͱως ϝεσπων, τα μεν εντε᾽ απο χροος ͱαιματοεντα

συλFήσανς, ͱεταροισ' εδιδῶ μενελαFος αμυFμων· N
αFτος δ' αFτ' εκσαFτις ιων προμαχοισιν εμιχθη.
ενθα ͱοι ͱυιος εφαλτο πυλαιμενεος βασιλεFος
ͱαρπαλιFων, ͱος πατρι φιλῳ ͱεπετο πτολεμικσων
ες τροFιην, ουδ' αFτις αφικετο πατριδα γαιαν·
ͱος ρα τοτ' ατρεFιδαFο μεσον σακος ουτασε δορFι
ενγυθεν, ουδε δια προ δυνῆσατο χαλκον ελασσαι·
αψ δ' ͱεταρων εις Fεθνος εχαδσετο, κηρ' αλεFεινων,
παντοσε παπταινων, μη τις χροα χαλκῳ επαFρῃ.
μηριονης δ' απιοντος ͱιͱεε χαλκηρε' οϊστον·
και ρ' εβαλε γλουτον κατα δεχσιον· αFταρ οϊστος
αντικρυς κατα κυστιν υπ' οστεον εκσεπερῆσεν.
ͱεδσομενος δε κατ' αFθι, φιλων εν χερσιν ͱεταιρων
θυFμον αποπνεFων, ͱωστε σκωληκς επι γαιῃ
κειτο ταθενς· εκ δ' ͱαιμα μελαν ρεFε, δευε δε γαιαν.
τοο δε παρις μαλα θυFμον αποκταμενοF' εχολῶθη·
χσεινος γαρ ͱοι εῆν πολυσιν μετα παφλαγονεσιν·
τοF' ͱογε χωομενος προͱιͱεε χαλκηρε' οϊστον.
ῆν δε τις ευχῆνωρ, πολυFειδοFο μαντιος ͱυιος,
ͱαφνειος τ', αγαθος τε, κορινθοθι Fοικια ναιων,
ͱος ρ' ͱεϋ Fειδως κηρ' ολοFην, επι ναFος εβαινεν·
πολλακι γαρ ͱοι εFεσπε γερων αγαθος πολυFειδος,
νουσῳ ͱυπ' αργαλεῃ φθῖσθαι ͱοισ' εν μεγαροισιν,
η μετ' αχαιFων ναFσιν ͱυπο τροFεσι δαμῆναι.
τον βαλ' ͱυπο γναθμοFο και οFατος· ῶκα δε θυFμος
ῷχετ' απο μελεων, στυγερος δ' αρα μιν σκοτος ͱελλεν.
ͱως ͱοι μεν μαρναντο, δεμας πυρος αιθομενοFο·
ͱεκτωρ δ' ουκ επεπυθτο διϊ φιλος, ουδε τι Fοιδεεν,
ͱοτι ρα ͱοι ναFων επ' αριστερα δαFιοοντο
λαFοι ͱυπ' αργειFων· ταχα δ' αν και κυFδος αχαιFων
επλετο, τοιος γαρ γαιηͱοχος εννοσιγαιος
ῶτρυFν' αργειFοFς, προς δε σθενει αFτος αμυFνεν·
αλλ' ͱεχεθ', ῆ τα πρῶτα πυλας και τειχος εσͱαλτο,
Fρῆγσαμενος δαναων πυκινας στιχας ασπισταFων.
αιFανς δ' ουκετι πανπαν, ͱο FιλFεFος ταχύς ͱυιος,
ͱιστατ' απ' αιFαντος τελαμωνιοF', ουδ' ηβαιον·
αλλ' ͱωστ' εν νεFῷ βοFε Fοινοπε πηγτον αροτρον,
FεισFον θυFμον ͱεχοντε, τιταινετον· αμφι δ' αρα σφιν
πρυμνοισιν κεραεσι πολυς ανακηκιει ͱιδρως·
τω μεν τε δσυγον οιον ͱεϋχσυFον αμφις εεργει
ͱιͱεμενω κατ' αFολκα, τεμει δε τε τελσον αροFερης·
ͱως τω παρβεβαῶτε μαλ' ͱεστασαν αλληλοιΐν.
αλλ' ητοι τελαμωνιαδῃ πολλοι τε και εσθλοι
αλλοι ͱεπονθ' εταροι, ͱοι ͱοι σακος εκσεδεχοντο,
ͱοποτε μιν καματος τε και ͱιδρως γουFαθ' ικοιτο.
ουδ' αρα FιλFιαδῃ μεγαλητορι λοκροι ͱεποντο·

ου γαρ σφιν σταδιῃ ͱυσμινῃ μιμνε φιλον κεαρ· N
ου γαρ ͱεχον κορυθας χαλκηρεας ͱιπποδασυιας,
ουδ' ͱεχον ασπιδας ͱευκυκλοϝς και μειλινα δορϝα·
αλλ' αρα τοκσοισιν και ͱεϋστροφῳ οϝιος αͱωτῳ
ϝιλϝιον εις ͱαμ' ͱεποντο πεποιθοτες· ͱοισιν επειτα
ταρφεα βαλλοντες τροϝων ϝρηγνῦντο φαλαγγας.
δη ρα τοθ' οι μεν προσθε, συν εντεσι δαιδαλεοισιν,
μαρναντο τροϝεσιν τε και ͱεκτορι χαλκοκορυστῃ·
ͱοι δ' οπιθεν βαλλοντες, ελανθανον· ουδε τι χαρμης
τροϝες μιμνῃσκοντο· συνεκλονεον γαρ οϊστοι.
  ενθα κε λευγαλεως ναϝων απο και κλισιαϝων
τροϝες εχωρησαν προτι ϝιλϝιον ανεμοεντσαν,
ει μη πολυδαμανς θρασυν ͱεκτορ' εϝεσπε παραστανς·
  ͱεκτορ, αμηχανος εσσι παραϝρητοισι πιθεσθαι.
ͱοονεκα τοι περιδωκε θεος πολεμηϊα ϝεργα,
τοονεκα και βουλῃ εθελεις περιϝιδμεναι αλλων;
αλλ' ουπως ͱαμα παντα δυνησεαι αϝτος ͱελεσθαι·
αλλῳ μεν γαρ εδωκε θεος πολεμηϊα ϝεργα·
αλλῳ δ' εν στηθεσσ' ετιθεε νοον ευρυοπα δσεϝς
εσθλον, τοο δε τε πολλοι επαϝρισκοντ' ανθρωποι.
αϝταρ εγω ϝερεω, ͱως μοι δοκε' εεναι αριστα·
παντῃ γαρ σε περι στεφανος πολεμοϝο δεδηεν·
τροϝες δε μεγαθυϝμοι, επει κατα τειχος εβησαν,
ͱοι μεν αφεσταντι γσυν τευχεσιν, ͱοι δε μαχονται
παϝροτεροι πλεονεσι, κεδασθεντες κατα ναϝας.
αλλ' αναχασσαμενος καλε' ενθαδε παντας αριστοϝς·
ενθεν δ' αν μαλα παντσαν επιφρασσαιμεθα βουλην·
η κεν ενι ναϝεσι πολυκλεϝιεσι πεσωμεν,
αι κ' εθεληтι θεος δομεναι κρατος, η κεν επειτα
παρ ναϝων ελθοιμεν απημονες· η γαρ εγωγε
δδειδω, μη το χθιδσον αποστησωνται αχαιϝοι
χρεϝος, επει παρα ναϝσιν ανηρ αϝατος πολεμοϝο
μιμνει, ͱον ουκετι πανχυ μαχης σχησεσθαι οϊϝω.
  ͱως φατο πολυδαμανς· ϝαδε δ' ͱεκτορι μυϝθος απημων·
και μιν φωνησανς ϝεπεα πτεροεντα προσηυϝδα·
πολυδαμαν, συ μεν αϝτοϝ ερυκακε παντας αριστοϝς·
αϝταρ εγω κεισ' ειμι, και αντιαω πολεμοϝο·
αιπσα δ' ελευθσομαι αϝτις, επην ͱεϋ τοισ' επιτηλω.
  ῆ ρα, και ͱορμηθη, ορεϊ νιφοεντι ϝεϝοικως,
κεκληγως, δια δε τροϝων πετετ', ηδ' επικουρων.
ͱοι δ' ες πανθοϝιδην αγαπηνορα πολυδαμαντα
παντες επεσσεϝοντ', επει ͱεκτορος εκλυϝον αυϝδην.
αϝταρ ͱο δαϝιφοβον τε, βιην θ' ελενοϝο ϝανακτος,
ασιαδην τ' αδαμαντα, και ασιον ͱυρτακοϝ ͱυιον,
φοιτα' ανα προμαχοϝς διδσημενος, ει ποϝ' εφευροι·
τοϝς δ' ͱευρ' ουκετι πανπαν απημονας, ουδ' αολεθροϝς·

αλλ' ͱοι μεν δη, ναϜσιν επι πρυμνῆσιν αχαιϜων, N
χερσιν ͱυπ' αργειϜων κεατο ψυϜχας ολεσαντες·
ͱοι δ' εν τειχει εσαν βεβλῆμενοι, ουταμενοι τε.
τον δε ταχ' ͱευρε μαχης επ' αριστερα δακρυϜοεντσης
διϜον αλεκσανδρον, ͱελενης ποσιν ἦϋκομοϜο,
θαρσυϜνονθ' εταροϜς, και εποτρυϜνοντα μαχεσθαι·
ανχοϜο δ' ͱισταμενος προσεφη αισχροισι Ϝεπεσσιν·
δυσπαρι, Ϝειδος αριστε, γυναιμανες, ηπεροπεϜτα!
ποο τοι δαϜιφοβος τε, βιη θ' ελενοϜο Ϝανακτος,
ασιαδης τ' αδαμανς, ηδ' ασιος ͱυρτακοϜ ͱυιος;
ποο δε τοι οθρυϜονεϜς; νῦν ὤλετο παντσα κατ' ακρης
ϜιλϜιος αιπυινη· νῦν τοι σαος αιπυς ολεθρος.
τον δ' αϜτε προσεϜεσπεν αλεκσανδρος θεοϜειδης·
ͱεκτορ, επει τοι θυϜμος αaιτιον αιτιαεσθαι,
αλλοτε δη ποτε μαλλον εροϜησαι πολεμοϜο
μελλ', επει ουδ' εμε πανπαν ααλκιδ' εγῆνατο μητηρ·
εκς ͱοϜο γαρ παρα ναϜσι μαχην ηγῆρας ͱεταιρων,
εκ τοϜοδ' ενθαδ' εοντες ͱομιλϜεομεν δαναοισιν
νωλεμεως· ͱεταροι δε κατεκταθεν, ͱοϜς συ μεταλλᾶς.
οιω δαϜιφοβος τε, βιη θ' ελενοϜο Ϝανακτος,
οιχεσθον μακρῆσι τετυπμενω ενχειῆσιν,
αμφοτερω κατα χειρα· φονον δ' ἦμυϜνε κρονιϜων.
νῦν δ' αρχ', ͱοπῆ σε κραδιη θυϜμος τε κελεϜει·
ͱημεες δε μεμαϜῶτες ͱαμ' ͱεπσομεθ', ουδε τι φημι
αλκης δεϜησεσθαι, ͱοση δυναμις γε παρεστιν·
παρ δυναμιν δ' ουκ εστι και εσσυμενον πτολεμιδσεεν.
ͱως Ϝεσπων, παρεπειθσεν αδελφεϜοϜο φρενας ͱηρως·
βαν δ' ιμεν, ενθα μαλιστα μαχη και φυϜλϜοπις ἦεν,
αμφι τε κεβριονην, και αμυϜμονα πολυδαμαντα,
φαλκην, ορθαιον τε, και αντιθεον πολυφοιτην,
παλμυν τ', ασκανιον τε, μορυν θ' υἶ' ͱιπποτιϜῶνος·
ͱοι ρ' εκς ασκανιης εριβῶλακος ηλθον αμοιβοι
ἦοϊ τῆ προτερῆ· τοτε δε δσεϜς ὦρσε μαχεσθαι.
ͱοι δ' ισαν, αργαλεων ανεμων ͱαταλαντοι αϝελλῆ,
ͱη ρα θ' υπο βροντῆς πατερος διος ειτι πεδονδε,
θεσπεσιῳ δ' ͱομαδῳ ͱαλι μισγεται, εν δε τε πολλα
κυϜματα παφλαδσοντα πολυφλοισβοϜο θαλασσης,
κυρτα, φαληριαοντα, προ μεν τ' αλλ', αϜταρ επ' αλλα·
ͱως τροϜες προ μεν αλλοι αρῆροτες, αϜταρ επ' αλλοι,
χαλκῳ μαρμαιροντες ͱαμ' ͱηγεμονεσ' εϜεποντο.
ͱεκτωρ δ' ͱηγεετο, βροτολοιγῳ ϜεισϜος αρεϜι,
πριαμιδης· προ ͱεθεν δ' ͱεχεν ασπιδα παντοσε ϜεισϜην,
ϜρῖνοισιΝ πυκινην· πολλος δ' επελῆλατο χαλκος·
αμφι δε ͱοι κροταφοισι ΦαϜεινη σειετο πηληκς.
παντῆ δ' αμφι φαλανγας επειραετο προποδιδσων,
ει πως ͱοι Ϝεικσειαν ͱυπασπιδια προβιβῶντι.

νεστορα δ' ουκ ελαθεν ϝιϝαχη, πιϝνοντα περ ενπης, Ξ
αλλ' ασκληπιαδην ϝεπεα πτεροεντα προσηῦϝδα·
φραδσεο, διϝε μαχαϝον, hοπως εσται ταδε ϝεργα·
μειδσων δη παρα ναϝσι βοη θαλερων αιδσηων.
αλλα συ μεν νῦν πιϝνε καθημενος αιθοπα ϝοινον,
εις hο κε θερμα λοϝετρα hεϋπλοκαμος hεκαμηδη
θερμῆνῃ, και λοϝσῃ απο βροτον hαιματοεντα·
αϝταρ εγων ελθων, ταχα ϝειδσομαι, ες περιῶπην.
hως ϝεσπων, σακος hελλε τετυχμενον hυιος hεϝοϝο
κειμενον εν κλισιῃ, θρασυμηδεος hιπποδαμοϝο,
χαλκῷ πανφαινον· hο δ' hεχ' ασπιδα πατρος hεϝοϝο.
hελλετο δ' αλκιμον ενχος ακαχμενον hοκσυϊ χαλκῷ·
στη δ' εκτος κλισιης, ταχα δ' εϝιδε ϝεργον αϝεικες,
τοϝς μεν ορινομενοϝς, τοϝς δε κλονεοντας οπισθεν
τροϝας hυπερθυϝμοϝς· ερεριπτο δε τειχος αχαιϝων.
hως δ' hοτε πορφυϝρῃ πελαγος μεγα κυϝματι κωφῷ,
ϝοσσομενον λιγυων ανεμων λαιπσηρα κελευθα
αϝτως, ουδ' αρα προπρο κυλινδεται ουδ' hετερωσε,
πριν τινα κεκριμενον καταβημεναι εκ διος ουρον·
hως hο γερων hορμαινε, δαϊδσομενος κατα θυϝμον
διχθαδι'· η μεθ' ομιλϝον ιοι δαναων ταχυπωλων,
ηε μετ' ατρεϝιδην αγαμεμνονα, ποιμενα λαϝων.
hῶδε δε hοι φρονεοντι δοασσατο κερδιον εεναι,
βηναι επ' ατρεϝιδην. hοι δ' αλληλοϝς εναριδσον,
μαρναμενοι· λακε δε σφι περι χροϊ χαλκος ατειρης
νυσσομενων χσιφεσιν τε και ενχεσιν αμφιγυοισιν.
νεστορι δε γσυνβλῆντο διοτρεφεες βασιλεϝες
παρ ναϝων ανιοντες, hοσοι βεβλῆατο χαλκῷ,
τον και φῶνησανς προσεφη κρεϝων αγαμεμνων·
ω νεστορ νηλεϝιαδη, μεγα κυϝδος αχαιϝων,
τιπτε λιπων πολεμον φθισῆνορα δευρ' αφικανεις;
δδειδω, μη δη μοι τελεσῃ ϝεπος οβριμος hεκτωρ,
hως ποτ' επῆπειλησεν ενι τροϝεσ' αγορεϝων,
μη πριν παρ ναϝων προτι ϝιλϝιον απονεεσθαι,
πριν πυρι ναϝας ενιπρηθσαι, κτῆναι δε και αϝτοϝς.
κεινος τως αγορεϝε· τα δη νῦν παντα τελεεται.
ω ποποι! η ρα και αλλοι hεϋκνημῖδες αχαιϝοι
εν θυϝμῷ βαλλονται εμοι χολον, hωσπερ αχιλλεϝς
ουδ' εθελοντι μαχεσθαι επι πρυμνῇσι ναϝεσιν!
τον δ' ῆμειβετ' επειτα γερηνιος hιπποτα νεστωρ·
η δη ταϝτα γ' hετοιμα τετευχαται, ουδε κεν αλλως
δσεϝς hυπσιβρεμετης αϝτος παρατεχτῆναιτο.
τειχος μεν γαρ δη κατερῆριπεν, hῷ επεπιθμεν,
αϝρῆγτον ναϝων τε και αϝτων ϝελϝαρ εσεσθαι·
hοι δ' επι ναϝσι θοϝῇσι μαχην αλιϝαστον hεχοντιν
νωλεμες· ουδ' αν ετι γνοιης, μαλα περ σκοπιαδσων,

ͱοποτερωθεν αχαιϝοι ορινομενοι κλονεονται· Ξ
ͱως επιμιγς κτεινονται, αͱυϝτη δ' ουρανον ͱικει.
ͱημεες δε φραδσωμεθ', ͱοπως εσται ταδε ϝεργα,
ει τι νοος ρεκσει· πολεμον δ' ουκ αμμε κελεϝω
δυϝμεναι· ου γαρ πως βεβλῆμενον εστι μαχεσθαι.
τον δ' αϝτε προσεϝεσπε ϝανακς ανδρων αγαμεμνων·
νεστορ, επειδη ναϝσιν επι πρυμνῇσι μαχονται,
τειχος δ' ουκ εχραϝσμε τετυχμενον, ουδε τι ταφρος,
ͱῇ επι πολλ' επαθον δαναοι, ͱελποντο δε θυϝμῷ
αϝρῆγτον ναϝων τε και αϝτων ϝελϝαρ εσεσθαι·
ͱοϝτῷ ποο διϊ μελλει ͱυπερμενεϊ φιλον εεναι,
νωνυμνοϝς ἀπολεσθαι απ' αργεος ενθαδ' αχαιϝοϝς.
ϝοιδεα μεν γαρ, ͱοτε προφρων δαναοισιν αμυϝνεν·
ϝοιδα δε νῦν, ͱοτι τοϝς μεν ͱομως μακαρεσι θεοισιν
κυϝδαιν', ͱημετερον δε μενος και χειρας εδησεν.
αλλ' αγεθ', ως αν εγων ϝεσπω, πειθωμεθα παντες·
ναϝας, ͱοσαι πρῶται ϝεϝερῦαται ανχι θαλασσης,
ͱελκωμεν, παντσας δε ϝερυσσομεν εις ͱαλα διϝαν·
ͱυπσι δ' επ' ευναϝων ͱορμισσομεν, εις ͱο κεν ελθῃ
νυκς αβροτη, ην και τῇ αποσχωνται πολεμοϝο
τροϝες· επειτα δε κεν ϝερυσαιμεθα ναϝας ͱαπαντσας.
ου γαρ τις νεμεσις φυγεεεν κακον, ουδ' ανα νυκτα.
βελτερον, ͱος φευγων προφυγῇ κακον, ηε ͱαλῷῃ.
τον δ' αρ' ͱυποδρα ϝιδων προσεφη πολυμητις ͱοδυσσεϝς·
ατρεϝιδη, ποιον σε ϝεπος φυγεν ͱερκος οδοντων;
ολομεν', αιθ' ὤφελλες αϝεικελιοο στρατοϝ αλλοο
σημαινεεν, μηδ' αμμι ϝανασσεμεν· ͱοισιν αρα δσεϝς
εκ νεϝοτητος εδῶκε και ες γηρας τολυπεϝεεν
αργαλεοϝς πολεμοϝς, ͱοφρα φθιομεσθα ͱεκαστος.
ͱοϝτῷ δη μεμονας τροϝων πολιν ευρυαγυιαν
κατλειπσεεν, ͱης ͱεινεκ' οϊδσυομεν κακα πολλα;
σιγαε, μη τις ετ' αλλος αχαιϝων τοϝτον ακοϝσῃ
μυϝθον, ͱον ου κεν ανηρ γε δια στομα πανπαν αγοιτο,
ͱοστις επισταιτο ͱῇσι φρεσιν αρτια βαδσεεν,
σκηπτοͱοχος τ' ειη, και ͱοι πειθοιατο λαϝοι
τοσοιδ', ͱοσοισιν συ μετ' αργειϝοισι ϝανασσεις.
νῦν δε σεϝ ὤνοσαμην πανχυ φρενας, ͱοιον εϝεσπες·
ͱος κελεαι, πολεμοϝο συνεσταοτος και αͱυϝτης,
ναϝας ͱεϋσελμοϝς ͱαλαδ' ͱελκεμεν, ͱοφρ' ετι μαλλον
τροϝσι μεν ευχτα γενηται, επικρατεοντσι περ ενπης·
ͱημῖν δ' αιπυς ολεθρος επιρεπῇ· ου γαρ αχαιϝοι
σχησοντιν πολεμον, ναϝων ͱαλαδ' ͱελκομεναϝων,
αλλ' αποπαπτανεοντιν, εροϝησοντι δε χαρμης.
ενθα κε ση βουλη δηλησεται, ορχαμε λαϝων.
τον δ' ἦμειβετ' επειτα ϝανακς ανδρων αγαμεμνων·
ω ͱοδυσεϝ, μαλα πως με καθικεο θυϝμον ενῖπῃ

αργαλεῃ· αταρ ου μεν εγων αϝεκοντας ανωγα
ναϝας ͱεΰσελμοϝς ͱαλαδ' ͱελκεμεν ͱυιας αχαιϝων· Ξ
νῦν δ' ειη, ͱος τησδε γ' αμεινονα μητιν ενισποι,
η νεϝος, ηε παλαιος· εμοι δε κεν ασμενῳ ειη.
τοισι δε και μετεϝεσπε βοην αγαθος διομηδης·
ενγυς ανηρ, ου δηθα ματεϝσομεν, αι κ' εθελητε
πειθεσθαι· και μη τι κοτῳ αγασησθε ͱεκαστος,
ͱοονεκα δη γενεηφι νεϝωτατος ῆμι μεθ' υμῖν·
πατρος δ' εκς αγαθοο και εγω γενος ευχομαι εεναι.
πορθεϝι γαρ τρεες παιδες αμυϝμονες εκσεγενοντο,
ϝοικεον δ' εν πλεϝρῶνι, και αιπυινῃ καλυδῶνι,
αγριος, ηδε μελανς, τριτατος δ' ῆν ͱιπποτα ϝοινεϝς,
πατρος εμοϝο πατηρ· αρετῃ δ' ῆν εκσͱοχος αϝτων.
αλλ' ͱο μεν αϝτοθ' εμῆνε, πατηρ δ' εμος αργει ενασθη,
πλανχθενς· ͱως γαρ ποο δσεϝς ηθελε και θεοι αλλοι.
αδρηστοϝο δ' εγῆμε θυγατρων, ναιε δε δωμα
ͱαφνειον βιϝοτοϝο, ͱαλις δε ͱοι ῆσαν αροϝραι
πυϝροφοροι, πολλοι δε φυτων εσαν ορχατοι αμφις,
πολλα δε ͱοι προβατ' εσκ'· εκεκαστο δε παντας αχαιϝοϝς
ενχειῃ· τα δε μελλετ' ακοϝεμεν, ͱως ͱετεον περ.
τῷ ουκ αν με γενος γε κακον και ααλκιδα φαντες
μυϝθον ατιϝμησαιτε πεφασμενον, ͱον χ' εῢ ϝεσπω.
δευτ' ιομεν πολεμονδε, και ουταμενοι περ, ανανκῃ·
ενθα δ' επειτ' αϝτοι μεν ͱεχωμεθα δαϝιοτητος,
εκ βελεων, μη ποο τις εφ' ελκεϊ ͱελκος ͱαρηται·
αλλοϝς δ' οτρυϝνοντες ενͱησομεν, ͱοι το παρος περ
θυϝμῷ ῆρα φεροντες αφεσταντ', ουδε μαχονται.
ͱως εφαθ'· οι δ' αρα τοο μαλα μεν κλυϝον, ηδ' επιθοντο·
βαν δ' ιμεν, ῆρχε δ' αρα σφι ϝανακς ανδρων αγαμεμνων.
ουδ' αλαϝοσκοπιην εσχε κλυτος εννοσιγαιος,
αλλα μετ' αϝτοϝς ηλθε, παλαιῷ φῶτι ϝεϝοικως·
δεχσιτερην δ' ͱελε χειρ' αγαμεμνονος ατρεϝιδαϝο,
και μιν φῶνησανς ϝεπεα πτεροεντα προσῆυϝδα·
ατρεϝιδη, νῦν δη ποϝ αχιλλεϝος ολοϝον κεαρ
γηθεει εν στηθεσσι, φονον και φυδσαν αχαιϝων
δερκομενῳ· επει ου ͱοι ενι φρενες ουδ' ηβαιαι.
αλλ' ͱο μεν ͱως απολοιτο, θεος δε ͱε σιφλωσειεν!
σοι δ' ουπῳ μαλα πανχυ θεοι μακαρες κοτεοντιν·
αλλ' ετι ποο τροϝων ͱηγητορες, ηδε μεδοντες,
ευρυ κονιϝσοντιν πεδιον· συ δ' εποπτσεαι αϝτος
φευγοντας προτι ϝαστυ ναϝων απο και κλισιαϝων.
ͱως ϝεσπων, μεγ' αϝυϝσεν, επεσσυμενος πεδιοϝο.
ͱοσον δ' ͱεννεαχιλοι εϝιϝαχον, η δεκαχιλοι
ανερες εν πολεμῳ, εριδα γσυναγοντες αρεϝος·
τοσην εκ στηθεσφι ϝοπα κρεϝων ενοσιχθων
ͱῆκεν· αχαιϝοισιν δε μεγα σθενος ενβαλ' ͱεκαστῳ.

ͱηρη δ' εϝειδε χρυσοθρονος οφθαλμοισιν 153
τον μεν ποιπνυϝοντα μαχην ανα κυϝδιανειραν
αϝτοκασιγνῆτον και δαͱερ', εχαιρε δε θυϝμῷ· Ξ
δσῆνα δ' επ' ακροτατης κορυφης πολυπιϝδακος ιδης
ͱημενον εϝειδε· στυγερος δε ͱοι επλετο θυϝμῷ.
μερμηρικσε δ' επειτα βοϝῶπις ποτνια ͱηρη,
ͱοπως εκσαπαφοιτο διος νοον αιγιͱοχοϝο·
ͱηδε δε ͱοι κατα θυϝμον αριστη εφαινετο βουλη,
ελθεμεν εις ιδην, ͱεΰ εντυναντσαν ͱεϝ' αϝτην,
ει πως ͱιμῆραιτο παραδραθεεεν φιλοτητι
ͱῇ χροιῇ, τῷ δ' ͱυπνον απημονα τε χλιαρον τε
χεϝῇ επι βλεφαροισιν, ιδε φρεσι πευκαλιμῇσιν.
βη δ' ιμεν ες θαλαμον, τον ͱοι φιλος ͱυιος ετευχσεν
ͱηφαιστος, πυκινας δε θυρας σταθμοισιν επῆρσεν
κλεϝῖδι κρυπτῇ· την δ' ου θεος αλλος αν ῷγεν.
ενθ' ͱηγ' εισελθοντσα, θυρας επεθῆκε φαϝεινας.
ανβροσιῃ μεν πρῶτον απο χροος ͱιμεροεντος
λοϝματα παντα καθῆρεν, αλειφσατο δε λιπ' ελαιῷ,
ανβροσιῳ, ͱεδανῷ, το ρα ͱοι τεθυϝωμενον ῆεν·
τοο και κινυμενοϝο διος προτι χαλκοβατες δῶ,
ενπης ες γαιαν τε και ουρανον ͱικετ' αͱυϝτμη.
τῷ ρ' ͱηγε χροα καλον αλειφσαμενη, ιδε χαιτας
πεκσαμενη, χερσι πλοκαμοϝς επλεκσε φαϝεινοϝς. 176
αμφι δ' αρ' ανβροσιον ϝεανον ϝεσαθ', ον ͱοι αθηνη 178
εχσυϝσ' ασκησαντσ', ετιθεε δ' ενι δαιδαλα πολλα·
χρυσειῇς δ' ενͱετῇσι κατα στηθος περονᾶτο.
δσωσατο δε δσωνην ͱεκατον θυσανοισ' αραρυιαν,
εν δε τ' αρ' ερματ' εͱῆκεν ͱεΰτρητοισι λοβοισιν,
τριγλῆνα, μοροεντα· χαρις δ' απελαμπετο πολλη.
κρῆδεμνῳ δ' εφυπερθ' εκαλυπτσατο διϝα θεαϝων,
καλῷ, νηγατεῷ· λεϝκον δ' ῆν, ῆελιος ͱως.
ποδσι δ' ͱυπο λιπαροισιν εδησατο καλα πεδιλϝα.
αϝταρ επειδη παντα περι χρο' εθῆκατο κοσμον,
βη ρ' ιμεν εκ θαλαμοϝο· καλεσσαμενη δ' αφροδῖτην,
των αλλων απανευθε θεων, προς μυϝθον εϝεσπεν·
η ρα νυ μοι τι πιθοιο, φιλον τεκος, ͱο τι κε ϝεσπω;
ηε κεν αρνησαιο, κοτεσσαμενη τογε θυϝμῷ,
ͱοονεκ' εγω δαναοισι, συ δε τροϝεσιν αρηγεις;
την δ' ῆμειβετ' επειτα διος θυγατηρ αφροδῖτη·
ͱηρη, πρεσβα θεα, θυγατερ μεγαλοϝο κρονοϝο,
αυϝδα' ͱο, τι φρονεεις· τελεσαι δε με θυϝμος ανωγει.
την δε δολοφρονεοντσα προσῆυϝδαε ποτνια ͱηρη· 197
δος νῦν μοι φιλοτητα και ͱιμερον, ͱῶτε συ παντας
δαμνασαι αθανατοϝς, ηδε θνῆτοϝς ανθρωποϝς·
ειμι γαρ οπτσομενη πολυφορβοϝο πειρατα γαιης,
ωκεανον τε θεων γενεσιν, και μητερα τηθυν,

ͱοι μ' εν σφοισι δομοισιν ͱεῦ τρεφον ηδ' ατιταλλον, Ξ
δεχσαμενοι ρειης, ͱοτε τε κρονον ευρυοπα δσεFς
γαιης νερθε καθεδσε και ατρυγετοFο θαλασσης.
τοFς ειμ' οπτσομενη, και σφ' ακριτα νεικεα λυFσω·
ηδη γαρ δηρον χρονον αλληλων αφεχονται
ευνης και φιλοτητος, επει χολος ενπεσε θυFμῳ.
ει κεινω γε Fεπεσσι παραιπεπιθουτσα φιλον κεαρ
εις ευνην ανFεσαιμι ͱομωθηναι φιλοτητι,
αιFει κε σφι φιλη τε και αιδοιη καλεοιμην.
  την δ' αFτε προσεFεσπε φιλομειδης αφροδῖτη·
ουκ εστ', ουδε FεFοικε, τεFον Fεπος αρνησασθαι.
  ῆ, και απο στηθεσφιν ελυFσατο κεστον ͱιμαντα,
ποικιλον· ενθα δε ͱοι θελγτηρια παντ' ετετυχτο·
ενθ' ενι μεν φιλοτης, εν δ' ͱιμερος, εν δ' ͱοαριστυς,
παρφασις, ͱητ' εκλεπτσε νοον πυκα περ φρονεοντων·
τον ρα ͱοι ενβαλε χερσι, Fεπος τ' εφατ', εκ τ' ονομαδσεν·
  τῆ νῦν τοFτον ͱιμαντα, τεFῷ ενκατθεο κολπῳ,
ποικιλον, ͱῷ ενι παντα τετευχαται· ουδε σε φημι
απρῆκτον γε νεεσθαι, ͱο τι φρεσι σῆσι μενοινᾷς.
  ͱως φατο· μειδῆσεν δε βοFῶπις ποτνια ͱηρη,
μειδῆσαντσα δ' επειτα ͱεFῷ ενκατθετο κολπῳ.
  ͱη μεν εβη προς δῶμα διος θυγατηρ αφροδῖτη·
ͱηρη δ' αFΐκσαντσ' ελιπε Fριον ολυνποFο,
πιFεριην δ' επιβαντσα, και ημαθιην ερατεινην,
σσεFσατ' εφ' ιπποπολων θρεFικων ορεα νιφοεντα,
ακροτατας κορυφας, ουδε χθον' εμαρπτε ποδοιΐν.
εκς αθαFοο δ' επι ποντον εβησατο κυFμαινοντα·
λημνον δ' εισαφικανε, πολιν θειοFο θοFαντος,
ενθ' ͱυπνῳ γσυνβλῆτο, κασιγνῆτῳ θανατοFο,
εν τ' αρα ͱοι φῦ χειρι, Fεπος τ' εφατ', εκ τ' ονομαδσεν·
  ͱυπνε, Fανακς παντων τε θεων, παντων τ' ανθρωπων,
ει μεν δη ποτ' εμον Fεπος εκλυFες, ηδ' ετι και νῦν
πειθε'· εγω δε κε τοι Fιδεω χαριν ͱηματα παντα·
κοιμῆσον μοι δσῆνος ͱυπ' οφρυσιν οσσε φαFεινω,
αFτικ' επει κεν εγω παραλεχσομαι εν φιλοτητι.
δῶρα δε τοι δῶσω, καλον θρονον, αφθιτον αιFει,
χρυσεον· ͱηφαιστος δε κ' εμος παῖς αμφιγυῆεις
ασκησανς τευχσει, ͱυπο δε θρῆνυν ποσιν ͱησει,
τῷ κεν επισχοιης λιπαροFς ποδας ͱελλαπιναδσων.
  την δ' απαμειβομενος προσεφῶνεεν ͱηδυμος ͱυπνος·
ͱηρη, πρεσβα θεα, θυγατερ μεγαλοFο κρονοFο,
αλλον μεν κεν εγωγε θεων αιFειγενεταFων
ρεFα κατευνῆσαιμι, και αν ποταμοFο ρεFεθρα
ωκεανοF', ͱοσπερ γενεσις παντεσι τετυχται·
δσῆνος δ' ουκ αν εγωγε κρονιFονος ασσον ͱικοιμην,
ουδε κατευνῆσαιμ', ͱοτε μη αFτος γε κελεFοι.

ηδη γαρ με και αλλοθ' εϝη επινυσσεν εφετμη, Ξ
hηματι τῷ, hοτ' εκεινος hυπερθυϝμος διος hυιος
επλεϝε ϝιλϝιοθεν, τροϝων πολιν εκσαλαπακσανς.
ητοι εγω μεν ελεχσα διος νοον αιγιhοχοϝο
hηδυμος αμφιχυθενς· συ δε hοι κακ' εμηδσαο θυϝμῷ,
ορσαντσ' αργαλεων ανεμων επι ποντον αhητας·
και μιν επειτα καϝονδ' hεῦναιομενην απενενκας,
νοσφι φιλων παντων· hο δ' επεγρομενος χαλεπαινεν,
ριπταδσων κατα δῶμα θεοϝς· εμε δ' εκσhοχα παντων
δσητεε, και κε μ' αϝιδστον απ' αιθερος ενβαλε ποντῷ,
ει μη νυκς δμῆτειρα θεων εσαῶσε και ανδρων·
την hικομην φευγων· hο δ' επαϝσατο, χωομενος περ.
hαδσετο γαρ, μη νυκτι θοϝῇ αποθυϝμια ϝεργοι.
νῦν αϝ τοϝτο μ' ανωγας αμηχανον αλλο τελεσσαι.
τον δ' αϝτε προσεϝεσπε βοϝῶπις ποτνια hηρη·
hυπνε, τιη δε συ ταϝτα μετα φρεσι σῇσι μενοινᾷς;
η φῄς, hως τροϝεσιν αρηγεμεν ευρυοπα δσεϝν,
hως hηρακλεεος περι χῶσατο, παιδος hεϝοϝο;
αλλ' ιθ', εγω δε κε τοι χαριτων μιαν hοπλοτεραϝων
δῶσω οπυιεμεναι, και σην κεκλῆσθαι hακοιτιν.
hως φατ'· εχῆρατο δ' hυπνος, αμειβομενος δε προσῆυϝδα·
αγρεε νῦν μοι ομοσσον ααϝαττον στυγος hυδωρ,
χειρι δε τῇ hετερῇ μεν hελε χθονα πολυβοτειραν,
τῇ δ' hετερῇ hαλα μαρμαρεην· hινα νοϝιν hαπαντες
μαρτυροι ὦνθ' οι ενερθε θεοι κρονον αμφις εοντες·
η μεν εμοι δώσεεν χαριτων μιαν hοπλοτεραϝων.
hως εφατ'· ουδ' απιθησε θεα λεϝκωλενος hηρη,
ὤμνυε δ', hως εκελεϝε, θεοϝς δ' ονομῆνεν hαπαντας
τοϝς hυποταρταριοϝς, hοι τιτῆνες καλεονται.
αϝταρ επει ρ' ομοσεν τ' ετελεϝτῆσεν τε τον hορκον,
τω βητην, λημνοο τε και ιμβροϝο ϝαστυ λιποντε,
ῆερα ϝεσσαμενω, ριμφα πρῆσσοντε κελευθον·
ιδην δ' hικεσθην πολυπιϝδακα, μητερα θηρων,
λεκτον, hοθι πρῶτον λιπετην hαλα· τω δ' επι χερσοο
βητην· ακροτατη δε ποδων hυπ' εσειετο hυλϝη.
ενθ' hυπνος μεν εμῆνε, παρος διος οσσε ϝιδεσθαι,
εις ελατην αναβανς περιμηκετον, hη τοτ' εν ιδῃ
μακροτατη πεφυϝυια δι' ῆερος αιθερ' hικανεν·
ενθ' hηστ' οδσοισιν πεπυκασμενος ειλατινοισιν,
ορνιχθι λιγυρῇ εναλινκιος, hηντ' εν ορεσσιν
χαλκιδα κικλῆσκοντι θεοι, ανδρες δε κυμινδιν.
hηρη δε κραιπνως προσεβησατο γαργαρον ακρον
ιδης hυπσηλης· ϝιδε δε νεφεληγερετα δσεϝς.
hως δ' εϝιδ', hως μιν ερος πυκινας φρενας αμφεκαλυπτσεν,
hοιος hοτε πρῶτιστον εμισγεσθην φιλοτητι,
εις ευνην φοιτῶντε, φιλοϝς ληθοντε τοκεϝας.

στη δ' αϝτης προπαροιθε, ϝεπος τ' εφατ', εκ τ' ονομαδσεν· Ξ
ͱηρη, πῃ μεμαϝυια κατ' ολυνποο τοδ' ͱικανεις;
ͱιπποι δ' ου παρεαντι και ͱαρματα, των κ' επιβαιης.
τον δε δολοφρονεοντσα προσῆυϝδαε ποτνια ͱηρη· 300
ερχομαι οπτσομενη πολυφορβοϝο πειρατα γαιης,
ωκεανον τε θεων γενεσιν, και μητερα τηθυν,
ͱοι μ' εν σφοισι δομοισιν ͱεϋ τρεφον ηδ' ατιταλλον· 303
ͱιπποι δ' εν πρυμνωρειῃ πολυπιϝδακος ιδης 307
ͱεστανθ', οι μ' ͱοισοντιν επι τραφερην τε και ͱυγρην.
νῦν δε σεϝ' ͱεινεκα δευρο κατ' ολυνποο τοδ' ͱικανω,
μη πως μοι μετεπειτα χολῶσεαι, αι κε σιωπῃ 310
οιχωμαι προς δωμα βαθυροϝοϝ' ωκεανοϝο.
την δ' απαμειβομενος προσεφη νεφεληγερετα δσεϝς·
ͱηρη, κεισε μεν εστι και ͱυστερον ͱορμῆθηναι,
νοϝι δ', αγ', εν φιλοτητι τραπειομεν ευνῆθεντε·
ου γαρ πῷ ποτε μ' ͱῷδε θεας ερος, ουδε γυναικος, 315
θυϝμον ενι στηθεσσι περιπροχυθενς εδαμασσεν, 316
ͱως σεϝο νῦν εραμαι, και με γλυκυς ͱιμερος ͱαιρει. 328
τον δε δολοφρονεοντσα προσῆυϝδαε ποτνια ͱηρη·
αινοτατε κρονιδη, ποιον τον μυϝθον εϝεσπες; 330
ει νῦν εν φιλοτητι λιλαϝεαι ευνῆθηναι
ιδης εν κορυφῇσι, τα δε προπεφανται ͱαπαντα,
πως κ' εοι, ει τις νοϝι θεων αιϝειγενεταϝων
ͱευδοντ' αθρησειε, θεοισι δε παντσι μετελθων
πεφραδοι; ουκ αν εγωγε τεϝον προς δῶμα νεοιμην, 335
εκς ευνης ανσταντσα· νεμεσῆτον δε κεν ειη.
αλλ' ει δη ρ' εθελεις, και τοι φιλον επλετο θυϝμῷ,
εστιν τοι θαλαμος, τον τοι φιλος ͱυιος ετευχσεν
ͱηφαιστος, πυκινας δε θυρας σταθμοισιν επῆρσεν·
ενθ' ιομεν κειοντες, επει νυ τοι εϝαδεν ευνη. 340
την δ' απαμειβομενος προσεφη νεφεληγερετα δσεϝς·
ͱηρη; μητε θεων τογε δεδδιθι μητε τιν' ανδρων
οπτσεσθαι· τοιον τοι εγω νεφος αμφικαλυπτσω
χρυσεον· ουδ' αν νοϝι διαδρακοι ῆελιος περ,
ͱοοτε και ͱοκσυτατον πελεται φαϝος εισͱοραεσθαι. 345
ῆ ρα, και ανκας εμαρπτε κρονοο παϊς ͱην παρακοιτιν·
τοισι δ' ͱυπο χθων διϝ' εφυϝεν νεϝοθηλεα ποιην,
λωτον θ' ερσῆεντ', ηδε κροκον, ηδ' ͱυακινθον,
πυκνον και μαλακον, ͱος απο χθονος ͱυπσοσ' εͱεργεν·
τῷ εν ελεχσασθην, επι δε νεφελην ϝεσσαντο 350
καλην, χρυσειην· στιλπναι δ' απεπιπτον εερσαι.
ͱως ͱο μεν ατρεμας ͱευδε πατηρ ανα γαργαρῷ ακρῷ,
ͱυπνῳ και φιλοτητι δαμενς, ͱεχε δ' ανκας ͱακοιτιν.
βη δε θεϝεεν επι ναϝας αχαιϝων ͱηδυμος ͱυπνος,
ανγελιην ϝερεων γαιηͱοχῳ εννοσιγαιῷ· 355
ανχοϝο δ' ͱισταμενος ϝεπεα πτεροεντα προσῆυϝδα·

προφρων νῦν δαναοισι, ποσειδαϝων, επαμυϝναι, Ξ
και σφιν κυϝδος οπαδσε, μινυνθα περ, ͱοφρ' ετι ͱευδει
δσεϝς· επει αϝτῷ εγω μαλακον περι κωμ' εκαλυπτσα·
ͱηρη δ' εν φιλοτητι παρῆπαφεν ευνῆθηναι.
ͱως ϝεσπων, ͱο μεν ῷχετ' επι κλυτα φυϝλ' ανθρωπων·
τον δ' ετι μαλλον ανͱηκεν αμυϝνεμεναι δαναοισιν.
αϝτικα δ' εν πρῶτοισι μεγα προθορων εκελεϝσεν·
αργειϝοι, και δ' αϝτε μεθιͱεμεν ͱεκτορι νικην
πριαμιδῃ, ͱινα ναϝας ͱελῃ, και κυϝδος ͱαρηται;
αλλ' ͱο μεν ͱοϝτῷ φητι, και ευχεται, ͱοονεκ' αχιλλεϝς
ναϝσιν επι γλαφυρῇσι μενει κεχολῶμενος ητορ·
κεινοϝο δ' ουτι λιϝην ποθη εσσεται, ει κεν ͱοι αλλοι
ͱημεες οτρυϝνωμεθ' αμυϝνεμεν αλληλοισιν.
αλλ' αγεθ', ως αν εγω ϝεσπω, πειθωμεθα παντες·
ασπιδας, ͱοσαι αρισται εν στρατῷ ηδε μεγισται,
ϝεσσαμενοι, κεφαλας δε παναιθῇσιν κορυθεσιν
κρυπτσαντες, χερσιν τε τα μακροτατ' ενχε' ͱελοντες,
ιομεν· αϝταρ εγων ͱηγησομαι, ουδε τι φημι
ͱεκτορα πριαμιδην μενεεεν, μαλα περ μεμαϝῶτα.
ͱως εφαθ'· οι δ' αρα τοο μαλα μεν κλυϝον, ηδ' επιθοντο.
τοϝς δ' αϝτοι βασιλεϝες εκοσμεον, ουταμενοι περ,
τυϝδεϝιδης, ͱοδυσεϝς τε, και ατρεϝιδης αγαμεμνων·
οιχομενοι δ' επι παντας, αρεϝια τευχε' αμειβον,
εσθλα μεν εσθλος εδυϝνε, χερεια δε χειρονι δοσκεν.
αϝταρ επει ϝεσσαντο περι χροϊ νωροπα χαλκον,
βαν ρ' ιμεν· ῆρχε δ' αρα σφι ποσειδαϝων ενοσιχθων,
δδεινον αͱορ τανυηκες ͱεχων εν χειρι παχυιῃ,
ϝεικελον, αστεροπῃ· τῷ δ' ου θεμις εστι μιγηναι
εν δαϝι λευγαλεῃ, αλλα δδεος ͱισχανει ανδρας.
τροϝας δ' αϝθ' ετερωθεν εκοσμεε φαιδιμος ͱεκτωρ.
δη ρα τοτ' αινοτατην εριδα πτολεμοϝ ετανυσσαν
κυϝανοχαιτα ποσειδαϝων, και φαιδιμος ͱεκτωρ.
εκλυσθη δε θαλασσα ποτι κλισιας τε ναϝας τε
αργειϝων· ͱοι δε γσυνισαν μεγαλῳ αλαλητῳ.
ουτε θαλασσης κυϝμα τοσον βοαει ποτι χερσον,
ποντοθεν ορνυμενον πνοϝῃ βορεαϝ αλεγεινῃ·
ουτε πυρος τοσος γε ποτι βρομος αιθομενοϝο,
ορεος εν βησσῃσ', ͱοτε τ' ορορε καϝεμεν ͱυλϝην·
ουτ' ανεμος τοσον γε ποτι δρυσιν ͱυπσικομοισιν
ηπυει, ͱοστε μαλιστα μεγα βρεμεται χαλεπαινων·
ͱοσση αρα τροϝων και αχαιϝων επλετο φῶνη,
δδεινον αͱυϝσαντων, ͱοτ' επ' αλληλοισιν οροϝσαν.
αιϝαντος δε πρῶτος ακοντισε φαιδιμος ͱεκτωρ
ενχει, επει ετετραπτο προς ιθυ ͱοι, ουδ' απαμαρτεν,
τῇ ρα δυω τελαμωνε περι στηθεσσ' ετετασθην,
ητοι ͱο μεν σακεος, ͱο δε φασγανοϝ αργυροͱηλοο·

τω ͱοι ερυϝσασθην τερενα χροα· χῶσατο δ' ͱεκτωρ, Ξ
ͱοτι ρα ͱοι βελος ὦκυ ϝετωσιον εκφυγε χειρος·
απς δ' ͱεταρων εις ϝεθνος εχαδσετο, κηρ' αλεϝεινων.
τον μεν επειτ' απιοντα μεγας τελαμωνιος αιϝανς
χερμαδιῷ, τα ρα πολλα, θοϝαϝων ͱεχματα ναϝων,
παρ ποσι μαρναμενων εκυλινδετο· των ͱεν αͱῆρανς,
στηθος εβεβλῆκεεν ͱυπερ αντυγος, ανχοθι δειρης·
στρομβον δ' ͱως, εσσεϝε βαλων, περι δ' εδραμε παντῇ.
ͱως δ' ͱοθ' υπο ῥῖπης πατερος διος εκσεριπῇ δρυς
προϝριδσος, δδεινη δε θεειϝοϝο γινεται οδμη.
ͱως επεσ' ͱεκτορος ὦκα χαμαι μενος εν κονιϝῆσιν·
χειρος δ' εκβαλεν ενχος, επ' αϝτῷ δ' ασπις εϝαφθη,
και κορυς, αμφι δε ͱοι βραχε τευχεα ποικιλα χαλκῷ.
ͱοι δε μεγα ϝιϝαχοντες επεδραμον ͱυιες αχαιϝων,
ͱελπομενοι ϝερυσασθαι, ακοντιδσον δε θαμειας
αιχμας· αλλ' ουτις εδυνῆσατο ποιμενα λαϝων
ουτασαι, ουδε βαλεεν· πριν γαρ περιβησαν αριστοι,
πολυδαμανς τε, και αινειας, και διϝος αγῆνωρ,
σαρπηδων τ' αρχος λυκιων, και γλαϝκος αμυϝμων·
των δ' αλλων ουτις ͱεϝ' ακηδεσεν, αλλα παροιθεν
ασπιδας ͱευκυκλοϝς σχεθον αϝτοϝο· τον δ' αρ' ͱεταιροι
χερσιν αͱῆραντες φερον εκ πονοϝ, ͱοφρ' ͱικεθ' ιπποϝς
ὠκυας, ͱοι ͱοι οπισθε μαχης ηδε πτολεμοϝο
ͱεστασαν, ͱηνιͱοχον τε και ͱαρματα ποικιλ' ͱεχοντες·
ͱοι τον γε προτι ϝαστυ φερον βαρυα στοναχοντα.
αλλ' ͱοτε δη πορον ͱικσαν ͱεϋρεϝος ποταμοϝο
χσανθοϝο δινεϝεντος, ͱον αθανατος τεκετο δσεϝς,
ενθα μιν εκς ͱιππων πελασαν χθονι, κατ' δε ͱοι ͱυϝδωρ
χεϝσαν· ͱο δ' ανπνυσθη, και ανεδρακεν οφθαλμοισιν·
ͱεδσομενος δ' επι γονϝα, κελαινεφες ͱαιμ' απεμεσσεν·
αϝτις δ' εκσοπισῷ πλῆτο χθονι, τω δε ͱοι οσσε
νυκς εκαλυπτσε μελαινα· βελος δ' ετι θυϝμον εδαμνα.
αργειϝοι δ', ͱως ὦν ϝιδον ͱεκτορα νοσφι κιοντα,
μαλλον επι τροϝεσ' εθορον, μνῆσαντο δε χαρμης.
ενθα πολυ πρῶτιστος ͱο ϝιλϝεϝος ταχυς αιϝανς
σατνιον ουτασε, δορϝι μεθαλμενος ͱοκσυοεντι,
ϝοινοπιδην, ͱον αρα νυμφη τεκε ναϝις αμυϝμων
ϝοινοπι βοϝκολεοντι παρ' ͱοχθας σατνιοεντος.
τον μεν ϝιλϝιαδης δορϝικλυτος, ενγυθεν ελθων,
ουτα κατα λαπαρην· ͱο δ' ανετραπετ', αμφι δ' αρ' αϝτῷ
τροϝες και δαναοι γσυναγον κρατερην ͱυσμινην.
τῷ δ' επι πολυδαμανς ενχεσπαλος ηλθεν αμυϝντωρ
πανθοϝιδης· βαλε δε προθοϝῆνορα δεχσιον ωμον,
ͱυιον αρεϝιλυκοϝο· δι' ωμοϝο δ' οβριμον ενχος
εσχεν· ͱο δ' εν κονιϝῆσι πεσων ͱελε γαιαν αγοστῷ·
πολυδαμανς δ' εκπαγλον επευχσατο, μακρον αͱυϝσανς·

ου μαν αFτ' οἶFω μεγαθυFμοFο πανθοFιδαFο Ξ
χειρος απο στιβαρης ͱαλιον πηδῆσαι ακοντα,
αλλα τις αργειFων κομισε χροϊ˙ και μιν οἶFω
αFτῷ σκηπτομενον κατιμεν δομον αFιδος εισῷ.
ͱως εφατ'˙ αργειFοισι δ' αχος γενετ' ευχσαμενοFο˙
αιFαντι δε μαλιστα δαFιφρονι θυFμον ορινεν
τῷ τελαμωνιαδῇ˙ τοFο γαρ πεσεν ανχι μαλιστα˙
καρπαλιμως δ' απιοντος ακοντισε δορFι φαFεινῷ.
πολυδαμανς δ' αFτος μεν αλεFσατο κηρα μελαιναν,
λικριφις αFικσανς˙ κομισεν δ' αντῆνορος ͱυιος
αρχελοχος˙ τῷ γαρ ρα θεοι βουλεFσαν ολεθρον˙
τον ρ' εβαλεν, κεφαλης τε και αFχενος εν γσυνͱεͱοχμῷ,
νεFατον αστραγαλον˙ απο δ' αμφω εκερσε τενοντε˙
τοο δε πολυ προτερον κεφαλη, στομα τε, Fρῖνες τε
ουδει επλῆντ', ηπερ κνημαι και γονFα πεσοντος.
αιFανς δ' αFτ' εγεγωνεν αμυFμονι πολυδαμαντι˙
φραδσεο, πολυδαμαν, και μοι νημερτες ενισπε,
η ρ' ουχ οFτος ανηρ προθοFῆνορος αντιπεφασθαι
αγσιος ; ου μεν μοι κακος Fειδεται, ουδε κακων εκς˙
αλλα κασιγνῆτος αντῆνορος ͱιπποδαμοFο,
η παϊς˙ αFτῷ γαρ ρα φυFην ανχιστ' εFεFοικεεν.
ῆ ρ', ͱεῢ γινῶσκων˙ τροFας δ' αχος ελαβε θυFμον.
ενθ' ακαμανς προμαχον βοιωτιον ουτασε δορFι,
αμφι κασιγνῆτῳ βεβαως˙ ͱο δ' ͱυφελκε ποδοιϊν.
τῷ δ' ακαμανς εκπαγλον επευχσατο, μακρον αͱυFσανς˙
αργειFοι ͱιͱομῶροι, απειλαFων ακορητοι,
ου θην οιοισιν γε πονος τ' εσεται και οϊδσυς
ͱημῖν, αλλα ποθ' ῷδε κατακτανεεσθε και υμμες.
φραδσεσθ', ͱως ͱυμῖν προμαχος δεδμῆμενος ͱευδει
ενχει εμῷ˙ μη τοι τι κασιγνῆτοFο γε ποινη
δηρον εῇ ατιτος˙ τῷ και κε τις ευχεται ανηρ
γνῶτον ενι μεγαροισι Fαρης αλκτηρα λιπεσθαι.
ͱως εφατ'˙ αργειFοισι δ' αχος γενετ' ευχσαμενοFο˙
πηνελαFῳ δε μαλιστα δαFιφρονι θυFμον ορινεν˙
ͱορμῆθη δ' ακαμαντος˙ ͱο δ' ουχ υπεμῆνεν εροFην
πηνελαFοFο Fανακτος˙ ͱο δ' ουτασε FιλFιονεFα,
ͱυιον φορβαντος πολυμηλοFο, τον ρα μαλιστα
ͱερμειας τροFων εφιλεε, και κτησιν οπασσεν
τῷ δ' αρ' ͱυπο μητηρ μουνον τεκε FιλFιονεFα˙
τον τοθ' υπ' οφρυος ουτα κατ' οφθαλμοFο θεμεθλα,
εκ δ' ῶθσε γληνην˙ δορυ δ' οφθαλμοFο δια προ,
και δια FινιοF ηλθεν˙ ͱο δ' ͱεδσετο χειρε πετασσανς
αμφω˙ πηνελαFος δε Fερυσσαμενος χσιφος ͱοκσυ,
αFχενα μεσσον ελασσεν, απῆρακσεν δε χαμαδσε,
αFτῇ γσυν πηληκι, καρῆ˙ ετι δ' οβριμον ενχος
ῆεν εν οφθαλμῷ˙ ͱο δ' εφη, κωδειαν ανασχων.

ϝεσπεμεναι μοι, τροϝες, αγαϝοϝο ϝιλϝιονεϝος
πατρι φιλῷ και μητρι γοῆμεναι εν μεγαροισιν· Ξ
ουδε γαρ ⱶη προμαχοϝο δαμαρ αλεγῆνοριδαϝο,
ανδρι φιλῷ ελθοντι γανυσσεται, ⱶοποτε κεν δη
εκ τροϝιης γσυν ναϝσι νεωμεθα κοϝροι αχαιϝων.
ⱶως φατο· τοϝς δ' αρα παντας ⱶυπο χλωρον δδεος ⱶελλεν·
παπτῆνεν δε ⱶεκαστος, ⱶοπῆ φυγοι αιπυν ολεθρον.
ϝεσπετε νῦν μοι, μοϝσαι, ολυνπια δῶμαθ' εχοντσαι,
ⱶοστις δη πρῶτος βροτοεντ' ανδραγρι' αχαιϝων
ⱶῆρατ', επει ρ' εκλινε μαχην κλυτος εννοσιγαιος.
αιϝανς ρα πρῶτος τελαμωνιος ⱶυρτιον ουτα
γυρτιαδην, μυσων ⱶηγητορα καρτεροθυϝμων·
φαλκην δ' αντιλοχος και μερμερον εκσεναρικσεν·
μηριονης δε μορυν τε και ⱶιπποτιϝῶνα κατεκτα·
τευκρος δε προθοϝῶνα τ' ενⱶῆρατο, και περιφητην·
ατρεϝιδης δ' αρ' επειθ' υπερῆνορα, ποιμενα λαϝων,
ουτα κατα λαπαρην, δια δ' εντερα χαλκος αφυσσεν
δαϝιῶσανς· πσυϝχη δε κατ' ουταμενην ὦτειλην
εσσυτ' επειγομενη· τον δε σκοτος οσσ' εκαλυπτσεν.
πλειστοϝς δ' αιϝανς ⱶελλεν, ⱶο ϝιλϝεϝος ταχυς ⱶυιος·
ου γαρ ⱶοι τις ⱶομοιος εφεσπεσθαι ποσιν ῆεν,
ανδρων τρεσσαντων, ⱶοτε τε δσεϝς εν φοβον ὦρσεν.
αϝταρ επει δια τε σκολοπας και ταφρον εβησαν. O
ⱶοι μεν δη παρ' ⱶοχεσσιν ερητυϝοντο μενοντες, 3
χλωροι ⱶυπο δδεος, πεφοβημενοι· εγρετο δε δσεϝς
ιδης εν κορυφῆσι παρα χρυσοθρονοϝ ⱶηρης·
στη δ' αρ' αναⱶικσανς, ϝιδε δε τροϝας και αχαιϝοϝς,
τοϝς μεν ορινομενοϝς, τοϝς δε κλονεοντας οπισθεν
αργειϝοϝς· μετα δε σφι ποσειδαϝωνα ϝανακτα.
ⱶεκτορα δ' εν πεδιῷ ϝιδε κειμενον· αμφι δ' ⱶεταιροι
ⱶῆαθ', ο δ' αργαλεῷ ⱶεχετ' ασθματι, κεαρ απινυσσων,
ⱶαιμ' εμεων· επει ου μιν αφαϝροτατος βαλ' αχαιϝων.
τον δε ϝιδων ελεησε πατηρ ανδρων τε θεων τε,
δδεινα δ' ⱶυποδρα ϝιδων ⱶηρην προς μυϝθον εϝεσπεν·
η μαλα δη κακοτεχνος, αμηχανε, σος δολος, ⱶηρη,
ⱶεκτορα διϝον επαϝσε μαχης, εφοβησε δε λαϝοϝς.
ου μαν ϝοιδ', ει κ' αϝτε κακοραφιης αλεγεινης
πρῶτη επαϝρῆαι, και σε πληγῆσιν ⱶιμασσω.
η ου μεμνεαι, ⱶοτε τ' εκρεμα' ⱶυπσοθεν, εκ δε ποδοιϊν
ακμονας ⱶῆκα δυω, περι χερσι δε δεσμον ιῆλα
χρυσεον, αϝρῆγτον; συ δ' εν αιθερι και νεφελῆσιν
εκρεμα', ῆλαστεον δε θεοι κατα μακρον ολυνπον·
λυϝσαι δ' ουκ εδυναντο παρασταδον· ⱶον δε λαβοιμι,
ριπτᾶσκον τεταγων απο βηλοϝο, ⱶοφρ' αν ⱶικηται
γην ολιγηπελεων· εμε δ' ουδ' ⱶως θυϝμον ανⱶιⱶεεν
αδσηχης οδυνη ⱶηρακλεεος θειοϝο,

τον συ γσυν βορεῇ ανεμῷ πεπιθουτσα θυϝελλας O
πεμπσας επ' ατρυγετον ποντον, κακα μητιαουτσα,
και μιν επειτα καϝονδ' ͱεϋναιομενην απενενκας. 28
των σ' αϝτις μνῆσω, ͱιν' αποληγσῇς απαταϝων· 31
ͱοφρα ϝιδῇς, ην τοι χραϝσμῃ φιλοτης τε και ευνη. 32
ͱως φατο· ρῖγησεν δε βοϝῶπις ποτνια ͱηρη, 34
και μιν φῶνησαντσα ϝεπεα πτεροεντα προσῆυϝδα· 35
ϝιδσταω νῦν τοδε γαια και ουρανος ευρυς ͱυπερθεν,
και το κατειβομενον στυγος ͱυϝδωρ, ͱοστε μεγιστος
ͱορκος, δδεινοτατος τε πελει μακαρεσι θεοισιν·
ση θ' ιερη κεφαλη, και νοϝιτερον λεχος αϝτων
κοϝριδιον, το μεν ουκ αν εγω ποτε μαπς ομοσαιμι· 40
μη δι' εμην ͱιͱοτητα ποσειδαϝων ενοσιχθων
πημαινει τροϝας τε και ͱεκτορα, τοισι δ' αρηγει·
αλλα ποϝ αϝτον θυϝμος εποτρυϝνει και ανωγει·
κτεινομενοϝς δ' επι ναϝσι ϝιδων ελεησεν αχαιϝοϝς.
αϝταρ τοι και εκεινῷ εγω παραμυϝθησαιμην 45
τῇ ιμεν, ͱῇ κεν δη συ, κελαινεφες, ͱηγεμονεϝῇς.
ͱως φατο· μειδῆσεν δε πατηρ ανδρων τε θεων τε,
και μιν αμειβομενος ϝεπεα πτεροεντα προσῆυϝδα·
ει μεν δη συγ' επειτα, βοϝῶπις ποτνια ͱηρη,
ϝεισϝον εμοι φρονεοντσα μετ' αθανατοισι καθιδσοις, 50
τῷ κε ποσειδαϝων γε, και ει μαλα βουλεται αλλῇ,
αιπσα μεταστρεφσειε νοον, μετα σον και εμον κεαρ·
αλλ' ει δη ρ' ͱετεον γε και ατρεκεως αγορεϝεις,
ερχεο νῦν μετα φυϝλα θεων, και δευρο καλεσσον
ϝιριν τ' ελθεμεναι, και απολλῶνα κλυτοτοκσον. 55
ͱως εφατ'· ουδ' απιθησε θεα λεϝκωλενος ͱηρη· 78
βη δε κατ' ιδαιων ορεων ες μακρον ολυνπον.
ͱως δ' ͱοτ' αν αͱικσῇ νοος ανερος, ͱοστ' επι πολλην 80
γαιαν εληλουθως, φρεσι πευκαλιμῇσι νοησῇ,
ενθ' ειην, η' ενθα, μενοινῇητι τε πολλα·
ͱως κραιπνως μεμαϝυια διεπτατο ποτνια ͱηρη·
ͱικετο δ' αιπυν ολυνπον, ͱομηγερεεσι δ' επηλθεν
αθανατοισι θεοισι διος δομῷ· ͱοι δε ϝιδοντες, 85
παντες ανῇͱικσαν, και δεχαναοντο δεπασσιν.
ͱη δ' αλλοϝς μεν εϝᾶσε, θεμιστι δε καλλιπαρῄῷ
δεχτο δεπας, πρῶτη γαρ εναντιη ηλθε θεϝοντσα,
και μιν φῶνησαντσα ϝεπεα πτεροεντα προσῆυϝδα·
ͱηρη, τιπτε βεβηκας, ατυδσομενη δε ϝεϝοικας; 90
η μαλα δη σ' εφοβησε κρονοο παϊς, ͱος τοι ͱακοιτης;
την δε ῆμειβετ' επειτα θεα λεϝκωλενος ͱηρη·
μη με, θεα θεμι, ταϝτα διειρεο· ϝοιδσθα και αϝτη,
ͱοιος εκεινοϝο θυϝμος ͱυπερφιαλος και απηνης·
αλλα συγ' αρχε θεοισι δομοισ' ενι δαιτος ϝεϊσϝης· 95
ταϝτα δε και μετα παντσιν ακοϝσεαι αθανατοισιν,

hοια δϝεϝς κακα ϝεργα πιφαϝσκεται· ουδε τι φημι O
παντσιν hομως θυϝμον κεχαρησεμεν, ουτε βροτοισιν,
ουτε θεοισ', ειπερ τις ετι νῦν δαινυται hευφρων.
hη μεν αρ' hως ϝεσποντσα καθεδσετο ποτνια hηρη·
ὤχθησαν δ' ανα δῶμα διος θεοι· hη δ' εγελασσεν
χειλεσιν, ουδε μετῶπον επ' οφρυσι κυϝανεῇσιν
ειανθη· παντσιν δε νεμεσῆθεντσα μετῆυϝδα·
νηπιοι! hοι δσῆνι μενεαινομεν αφρονεοντες,
ἠ' ετι μιν μεμαμεν καταπαϝσεμεν, ασσον ιοντες,
η ϝεπει, ηε βιῃ· hο δ' αφημενος ουκ αλεγιδσει,
ουδ' οθεται· φητιν γαρ εν αθανατοισι θεοισιν
καρτεϊ τε σθενεϊ τε διακριδον εεναι αριστος.
τῷ hεχεθ' ο τι κεν υμμι κακον πεμπητιν hεκαστῳ·
ηδη γαρ νῦν hελπομ' αρεϝι γε πημα τετυχθαι·
hυιος γαρ hοι ολῶλε μαχῃ ενι, φιλτατος ανδρων,
ασκαλαφος, τον φηθ' εϝον εσμεναι οβριμος αρεϝς.
hως εφατ'· αϝταρ αρεϝς θαλερω πεπληγετο μηρω
χερσι καταπρηνεσσ', ολοφυϝρομενος δε προσῆυϝδα·
μη νῦν μοι νεμεσῆσετ', ολυνπια δῶμαθ' εχοντες,
τιϝσεσθαι φονον hυιος, ιοντ' επι ναϝας αχαιϝων,
ειπερ μοι και μοιρα, διος πληγεντι κεραυνῷ,
κεισθαι hομοο νεκυεσι μεθ' αιματι και κονιϝῇσιν.
hως φατο· και ρ' hιπποϝς κελετο δδειμον τε φοβον τε
δσευγνυμεν· αϝτος δ' εντε' εδυϝσατο πανϝαναοντα·
ενθα κ' ετι μειδσων τε και αργαλεωτερος αλλος
παρ διος αθανατοισι χολος και μηνις ετυχθη,
ει μη αθηνη, παντσι περι δδειδσαντσα θεοισιν,
ὦρτο δι' εκ προθυροο, λιπε δε θρονον, ενθα θαασσεν.
τοο δ' απο μεν κεφαλης κορυθ' hελλετο, και σακος ωμων,
ενχος δ' εστησε στιβαρης εκ χειρος hελοντσα
χαλκεον· hη δε ϝεπεσσι καθαπτετο θοϝρον αρεϝα·
μαινομενε, φρενας ηλε, διαφθορας· η νυ τοι αϝτως
οϝατ' ακοϝεμεν εστι, νοος δ' απολῶλε και αιδως;
ουκ αϝιεις, hατε φητι θεα λευκωλενος hηρη;
hη δη νῦν παρ δσῆνος ολυνπιοϝ ηληλουθεν·
ἠ' εθελεις αϝτος μεν αναπλησανς κακα πολλα,
απς ιμεν ολυνπονδε, και αχνυμενος περ, ανανκῃ,
αϝταρ τοισ' αλλοισι κακον μεγα παντσι φυτεϝσαι;
αϝτικα γαρ τροϝας μεν hυπερθυϝμοϝς και αχαιϝοϝς
λειπσει, hο δ' hημεας ειτι κυδοιμησων ες ολυνπον·
μαρπτσει δ' hεχσειης, hοστ' αιτιος, hοστε και ουκι.
τῷ σ' αϝ νῦν κελομαι μεθεμεν χολον hυιος hεοϝο·
ηδη γαρ τις, τοοδε βιην και χειρας αμεινων,
η πεφατ', η και επειτα πεφῆσεται· αργαλεον δε
παντων ανθρωπων ρυϝσθαι γενεην τε τοκον τε.
hως ϝεσποντσ', hιδρυϝσε θρονῳ ενι θοϝρον αρεϝα.

ͱηρη δ' απολλῶν' εκαλεσσατο δῶματος εκτος, O
ϝιριν θ', η τε θεοισι μετ' αγγελος αθανατοισιν,
και σφεας φῶνησαντσα ϝεπεα πτεροεντα προσηῦϝδα· 145
δσεϝς σφοϝ' εις ιδην κελετ' ελθεμεν ͱοτι ταχιστα. 146
ͱη μεν αρ' ͱως ϝεσποντσα παλιν κιε ποτνια ͱηρη· 149
ͱεδσετο δ' εινι θρονῷ· τω δ' αϝικσαντ' επετεσθην, 150
ιδην δ' ͱικανον πολυπιϝδακα, μητερα θηρων·
ͱευρον δ' ευρυοπα κρονιδην ανα γαργαρῷ ακϱῷ
ͱημενον, αμφι δε μιν θυϝοεν νεφος εστεφανῶτο·
τω δε παροιθ' ελθοντε διος νεφεληγερεταϝο
στητην· ουδε σφοϝε ϝιδων εχολῶσατο θυϝμῷ, 155
ͱοτι ͱοι ῶκα ϝεπεσσι φιλης ͱαλοχοϝ' επιθεσθην·
ϝιριν δε προτερην ϝεπεα πτεροεντα προσηῦϝδα·
βασκ' ιθι, ϝιρι ταχυια, ποσειδαϝῶνι ϝανακτι
παντα ταδ' αγγῆλαι, μηδε πσευδαγγελος εεναι·
παϝσαμενον μιν ανωχθι μαχης ηδε πτολεμοϝο 160
ερχεσθαι μετα φυϝλα θεων, η' εις ͱαλα διϝαν.
ει δε μοι ουκ ϝεπεεσ' επιπειθσεται, αλλ' αλογησει,
φραδσεσθω δη επειτα κατα φρενα και κατα θυϝμον,
μη μ' ουδε, κϱατερος περ εων, επιοντα ταλασσῃ
μῆναι· επει ͱεϝο φημι βιῃ πολυ φερτερος εεναι. 165
ͱως εφατ'· ουδ' απιθησε ποδηνεμος ῶκυα ϝιρις· 168
βη δε κατ' ιδαιων ορεων εις ϝιλϝιον ͱιερην.
ͱως δ' ͱοτ' αν εκ νεφεων πταεται νιφας, ηε χαλαδσα 170
πσυϝχρη ͱυπο ρῖπης αιθρηγενεος βοϱεαϝο·
ͱως κϱαιπνως μεμαϝυια διεπταετ' ῶκυα ϝιρις,
αγχοϝο δ' ͱισταμενη προσεφη κλυτον εννοσιγαιον·
αγγελιην τινα τοι, γαιηϝοχε κυϝανοχαιτα,
ηλθον δευρο φεροντσα παραι διος αιγιϝοχοϝο. 175
παϝσαμενον σ' εκελεϝσε μαχης ηδε πτολεμοϝο
ερχεσθαι μετα φυϝλα θεων, η' εις ͱαλα διϝαν.
ει δε ͱοι ουκ ϝεπεεσ' επιπειθσεαι, αλλ' αλογησεις,
ῆπειλεε και εκεινος εναντιβιον πολεμικσων
ενθαδ' ελευθσεσθαι· σε δ' ͱυπεκσαλεϝεσθαι ανωγει 180
χειρας, επει σεϝο φητι βιῃ πολυ φερτερος εεναι. 181
την δε μεγ' οχθησαυς προσεφη κλυτος εννοσιγαιος· 184
ω ποποι! η ρ', αγαθος περ εων, ͱυπεροπλον εϝεσπεν, 185
ει μ' ͱομοτιϝμον εοντα βιῃ αϝεκοντα καθεχσει.
τϱεες γαρ τ' εκ κρονοϝ' εσμεν ͱαδελφεϝοι, ͱοϝς τεκε ρειη,
δσεϝς και εγω, τριτατος δ' αϝιδης ενεροισι ϝανασσων·
τριχθα δε παντα δεδασται, ͱεκαστος δε μορε τιϝμης·
ητοι εγων ελαχον πολιην ͱαλα ναιεμεν αιϝει, 190
παλλομενων, αϝιδης δ' ελαχε δσοφον ῆεροεντα·
δσεϝς δ' ελαχ' ουρανον ευρυν εν αιθερι και νεφελῃσιν·
γαια δ' ετι γσυνη παντων, και μακρος ολυνπος·
τῷ ϱα και ουτι διος βεομαι φρεσιν· αλλα ͱεκηλος,

και κρατερος περ εων, μενετω τριτατῃ ενι μοιρῃ. 195
χερσι δε μη τι με πανχυ, κακον ͱως, δειδισσεσθω· O
θυγατερεσιν γαρ τε και ͱυιεσι κερδιον ειη
εκπαγλοισι ϝεπεσσιν ενισσεμεν, ͱοϝς ετεκ᾽ αϝτος,
ͱοι ͱεθεν οτρυϝνοντος ακοϝσονται και ανανκῃ.
 τον δ᾽ ῆμειβετ᾽ επειτα ποδῆνεμος ὦκυα ϝιρις· 200
ͱοϝτῳ γαρ δη τοι, γαιηͱοχε κυϝανοχαιτα,
τονδε φερω διϊ μυϝθον απηνεα τε, κρατερον τε;
η τι μεταστρεφσεις; στρεφται μεν τε φρενες εσθλων.
ϝοιδσθ᾽, ͱως πρεσβυτεροισιν εριννυες αιϝεν ͱεπονται.
 την δ᾽ αϝτε προσεϝεσπε ποσειδαϝων ενοσιχθων· 205
ϝιρι θεα, μαλα τοϝτο ϝεπος κατα μοιραν εϝεσπες·
εσθλον και το τετυχται, ͱοτ᾽ αγγελος αισιμα ϝειδῃ·
αλλα τοδ᾽ αινον αχος κραδιην και θυϝμον ͱικανει,
ͱοποτε ϝεισϝομορον και ͱομῃ πεπρωμενον αισῃ
νεικειεεν εθελητι χολωτοισιν ϝεπεεσιν. 210
αλλ᾽ ητοι μεν νῦν γε νεμεσῆθενς ͱυποϝεικσω· 211
 ͱως ϝεσπων, λιπε λαϝον αχαιϝικον εννοσιγαιος· 218
δυϝνε δε ποντον ιων, ποθεσαν δ᾽ ͱηρoϝες αχαιϝοι.
και τοτ᾽ απολλῶνα προσεφη νεφεληγερετα δσεϝς· 220
 ερχεο νῦν, φιλε φοιβε, μεθ᾽ εκτορα χαλκοκορυστην·
ηδη μεν γαρ τοι γαιηͱοχος εννοσιγαιος
οιχεται εις ͱαλα διϝαν, αλεϝσαμενος χολον αιπυν
ͱημετερον· μαλα γαρ κε μαχης επυθοντο και αλλοι,
ͱοιπερ νερτεροι εντι θεοι, κρονον αμφις εοντες. 225
αλλα τοδ᾽ ημεν εμοι πολυ κερδιον, ηδε ͱοι αϝτῳ
επλετο, ͱοτι παροιθε νεμεσῆθενς ͱυπεϝεικσεν. 227
αλλα συγ᾽ εν χειρεσι λαβ᾽ αιγιδα θυσσανοεντσαν, 229
την μαλ᾽ επισειων, φοβεεν ͱηροϝας αχαιϝοϝς. 230
 ͱως εφατ᾽· ουδ᾽ αρα πατρος αῆκοϝστησεν απολλων· 236
βη δε κατ᾽ ιδαιων ορεων, ͱιερηκι ϝεϝοικως
ὦκυϊ, φασσοφρονῳ, ͱοστ᾽ ὦκιστος πετεηνων·
ͱευρ᾽ ͱυϊον πριαμοϝο δαϊφρονος, ͱεκτορα διϝον,
ͱημενον, ουδ᾽ ετ᾽ εκειτο· νεϝον δ᾽ εσαγῆρατο θυϝμον, 240
αμφι ͱε γινῶσκων ͱεταροϝς· αταρ ασθμα και ͱιδρως
παϝετ᾽, επει μιν εγειρε διος νοος αιγιͱοχοϝο.
ανχοϝο δ᾽ ͱισταμενος προσεφη ͱεκαϝεργος απολλων·
ͱεκτορ, ͱυϊ πριαμοϝο, τιη δε συ νοσφιν απ᾽ αλλων
ͱησ᾽ ολιγηπελεων; η ποο τι σε κηδος ͱικανει; 245
 τον δ᾽ ολιγοδρανεων προσεφη κορυθαιϝολος ͱεκτωρ·
τις δε συ εσσι, φεριστε θεων, ͱος μ᾽ ειρεαι αντην;
ουκ αϝιεις, ͱο με ναϝσιν επι πρυμνῇσιν αχαιϝων,
ͱοϝς ͱεταροϝς ολεκοντα, βοην αγαθος βαλεν αιϝανς
χερμαδιῳ προς στηθος, επαϝσε δε θοϝριδος αλκης; 250
και δη εγωγ᾽ εφαμην νεκυας και δῶμ᾽ αϝιδαϝο
ͱηματι τῷδ᾽ οπτεσθαι, επει φιλον αϝιον ητορ.

τον δ' αϝτε προσεϝεσπε ϝανακς ͱεκαϝεργος απολλων· O
θαρσεε νῦν, τοιον τοι αϝοσσητηρα κρονιϝων
εκς ιδης προεͱῆκε παρͱεσταμεναι και αμυϝνεεν,
φοιβον απολλῶνα χρυσαͱορον· ͱος σε παρος γε
ρυϝομ', ͱομως αϝτον τε και αιπυινον πτολιεθρον.
αλλ' αγε νῦν, ͱιππεϝσιν εποτρυϝνον πολυεσιν,
ναϝσιν επι γλαφυρῇσιν ελαϝνεμεν ῶκυας ͱιπποϝς·
αϝταρ εγω προπαροιθε κιων, ͱιπποισι κελευθον
παντσαν λεϝανεω, τρεπσω δ' ͱηροϝας αχαιϝοϝς.
ͱως ϝεσπων, ενπνεϝσε μενος μεγα ποιμενι λαϝων.
ͱως δ' ͱοτε τις στατος ͱιππος, ακοστησανς επι φατνῃ,
δεσμον αποϝρῆγσανς θεϝει πεδιοϝο κροαινων·
ͱως ͱεκτωρ λαιπσηρα ποδας και γονϝατ' ενωμα,
οτρυϝνων ͱιππεϝας, επει θεοϝ εκλυεν αυϝδην.
ͱοι δ' ͱωστ' ἠ' ελαφον κεραον, η αγριον αιγα
εσσεϝοντο κυνες τε και ανερες αγροιῶται·
τον μεν τ' ηλιβατος πετρη και δασκιος ͱυλϝη
ηρυϝετ', ουδ' αρα τε σφι κιχημεναι αισιμον ῆεν·
των δε θ' υπο ϝιϝαχης εφανη λις ῆϋγενειος
εις ͱοδον, αιπσα δε παντας απετραπε και μεμαϝωτας·
ͱως δαναοι ͱεϝος μεν ͱομιλϝαδον αιϝεν ͱεποντο,
νυσσοντες χσιφεσιν τε και ενχεσιν αμφιγυοισιν·
αϝταρ επει ϝιδον ͱεκτορ' εποιχομενον στιχας ανδρων,
ταρβησαν, παντσιν δε παραι ποσι κατπεσε θυϝμος.
τοισι δ' επειτ' αγορεϝε θοϝανς, ανδραιμονος ͱυιος,
αιτωλων ͱοχ' αριστος, επισταμενος μεν ακοντι,
εσθλος δ' εν σταδιῃ· αγορῇ δε ͱε παϝροι αχαιϝων
νικαον, ͱοποτε κοϝροι ερισσειαν περι μυϝθων·
ͱο σφιν ͱεΰφρονεων αγορεϝσατο και μετεϝεσπεν·
ω ποποι! η μεγα θαϝμα τοδ' οφθαλμοισιν ͱορῶμαι·
ͱοιον δ' αϝτ' εκσαϝτις ανεστη, κηρας αλυκσανς,
ͱεκτωρ! η θην μιν μαλ' εϝελπετο θυϝμος ͱεκαστοο
χερσιν ͱυπ' αιϝαντος θανεεεν τελαμωνιαδαϝο.
αλλ' αγεθ', ως αν εγω ϝεσπω, πειθωμεθα παντες·
πληθυν μεν ποτι ναϝας ανωγσομεν απονεεσθαι·
αϝτοι δ', ͱοσοι αριστοι ενι στρατῷ ευχομεθ' εεναι,
στειομεν, ει κε πρῶτον ερυκσομεν αντιασαντες,
δορϝατ' ανασχομενοι· τον δ' οιϝω και μεμαϝωτα
θυϝμῷ δδειδσεσθαι δαναων καταδυϝναι ͱομιλϝον.
ͱως εφαθ'· οι δ' αρα τοο μαλα μεν κλυϝον ηδ' επιθοντο.
ͱοι μεν αρ' αμφ' αιϝαντα και ιδομενεϝα ϝανακτα,
τευκρον, μηριονην τε, μεγην θ' αταλαντον αρεϝι,
ͱυσμινην ῆρτυϝνον, αριστεϝας καλεσαντες,
ͱεκτορι και τροϝεσιν εναντιον· αϝταρ οπισσῷ
ͱη πληθυς επι ναϝας αχαιϝων απονεοντο.
τροϝες δε προετυπτσαν ͱαϝολϝεες· ῆρχε δ' αρ' ͱεκτωρ

μακρα βιβανς· προσθεν δ' εκι' αϝτοϝο φοιβος απολλων, O
ϝεσμενος ωμοιϊν νεφελην, ͱεχε δ' αιγιδα θοϝριν,
δδεινην, αμφιδασυιαν, αριπρεπε', ͱην αρα χαλκεϝς
ͱηφαιστος διϊ δω̃κε φορημεναι ες φοβον ανδρων·
την αρ' ͱογ' εν χειρεσιν ͱεχων, ͱηγησατο λαϝων.
αργειϝοι δ' ͱυπεμη̃ναν ͱαϝολϝεες· ω̃ρτο δ' αͱυϝτη
ͱοκσυι' αμφοτερωθεν· απο νευρηφι δ' οϊστοι
θρω̃σκον· πολλα δε δορϝα θρασυιαϝων απο χειρων,
αλλα μεν' εν χρο' επηγνυτ' αρεϝιθοϝων αιδσηων,
πολλα δε και μεσσηγυ, παρος χροα καλον επαϝρεεν,
εν γαιη̨̃ ͱισταντο, λιλαϝομενα χροος ͱαδσαι.
ͱοφρα μεν αιγιδα χερσιν ͱεχ' ατρεμα φοιβος απολλων,
τοφρα μαλ' αμφοτερων βελε' ͱαπτετ', επιπτε δε λαϝος·
αϝταρ επει κατενω̃πα ϝιδων δαναων ταχυπωλων
σεισ', επι δ' αϝτος αͱυϝσε μαλα μεγα, τοισι δε θυϝμον
εν στηθεσσιν εθελγσ', ελαθοντο δε θοϝριδος αλκης.
ͱοι δ' ͱωστ' ηε βοϝων αγελην, η πω̃ϋ μεγ' οϝιων
θηρε δυω κλονεοντι, μελαινης νυκτος αμολγω̨̃,
ελθοντ' εκσαπινης, σημαντορος ου παρεοντος·
ͱως εφοβηθεν αχαιϝοι ααλκιδες· εν γαρ απολλων
ͱη̃κε φοβον, τροϝεσιν δε και ͱεκτορι κυϝδος οπαδσεν.
ενθα δ' ανηρ ͱελεν ανδρα, κεδασθεντσης ͱυσμινης·
ͱεκτωρ μεν στιχιον τε και αρκεσιλαϝον επεφνεν,
τον μεν, βοιωτων ͱηγητορα χαλκοχιτω̃νων,
τον δε, μενεσθεϝος μεγαθυϝμοϝο πιθτον ͱεταιρον.
αινειας δε μεδοντα και ͱιͱασον εκσεναρικσεν·
ητοι ͱο μεν νοθος υϊος ϝιλϝεϝος θειοϝο
εσκε μεδων, αιϝαντος αδελφεϝος· αϝταρ εναιεν
εν φυλακη̨̃, γαιης απο πατριδος, ανδρα κατακτανς
γνω̃τον μητρυϊης εριω̃πιδος, ͱην ͱεχε ϝιλϝεϝς·
ͱιͱασος αϝτ' αρχος μεν αθηναιων ετετυχτο,
ͱυιος δε σφηλοϝο καλεσκετο βοϝκολιδαϝο.
μηκιστεϝ' ͱελε πολυδαμανς, ͱεχιον δε πολι̃της
πρω̃τη̨̃ εν ͱυσμινη̨̃, κλονιον δ' ͱελε διϝος αγη̃νωρ.
δαϝιͱοχον δε παρις βαλε νεϝατον ωμον οπισθε,
φευγοντ' εν προμαχοισι, δια προ δε χαλκον ελασσεν.
ͱοφρ' ͱοι τοϝς εναριδσον απ' εντεα, τοφρα δ' αχαιϝοι
ταφρω̨̃, και σκολοπεσιν, ενιπληγσαντες ορυκτη̨̃
ενθα και ενθ' εφεβοντ', εδυϝοντο δε τειχος ανανκη̨̃.
ͱεκτωρ δε τροϝεσιν εκεκλετο, μακρον αͱυϝσανς·
ναϝσιν επισσεϝεσθαι, εϝα̃ν δ' εναρα βροτοεντα!
ͱον δ' αν εγων απανευθε ναϝων ͱετερωθι νοησω,
αϝτοϝο ͱοι θανατον μητι̃σομαι, ουδε νυ τον γε
γνω̃τοι τε γνω̃ται τε πυρος λελαχωντι θανοντα,
αλλα κυνες ϝερυοντι προ ϝαστυος ͱημετεροϝο.
ͱως ϝεσπων, μαστινγι κατωμαδον ηλασεν ͱιπποϝς,

κεκλομενος τροϝεσι κατα στιχας· ͱοι δε συν αϝτῳ O
παντες ͱομοκλῆσαντες, ͱεχον ϝερυσαρματας ͱιπποϝς,
ϝηχῇ θεσπεσιῇ· προπαροιθε δε φοιβος απολλων
ρεϝ' ͱοχθας καπετοϝο βαθυιης ποδσιν ερειπων
ες μεσσον κατεβαλλε· γεφυϝρωσεν δε κελευθον
μακρην, ηδ' ευρυιαν, ͱοσον τ' επι δορϝος εροϝη
γιγνεται, ͱοποτ' ανηρ σθενεος πειρῶμενος ͱητιν.
τῇ ρ' ͱοιγε προχεϝοντο φαλαγγηδον, προ δ' απολλων,
αιγιδ' ͱεχων εριτιϝμον· ερειπε δε τειχος αχαιϝων
ρεϝα μαλ', ͱως ͱοτε τις πσαμαθον παϊς ανχι θαλασσης,
ͱοστ' επει ῶν ποιησῃ ͱαθυϝρματα νηπιεῃσιν,
απς αϝτις γσυνεχεϝε ποσιν και χερσιν ͱαθυϝρων·
ͱως ρα συ, ͱηϊε φοιβε, πολυν καματον και οϊδσυν
γσυνχεϝες αργειϝων, αϝτοισι δε φυδσαν ενωρσας.
ͱως ͱοι μεν παρα ναϝσιν ερητυϝοντο μενοντες·
αλληλοισι τε κεκλομενοι, και παντσι θεοισιν
χειρας ανͱισχοντες, μεγαλ' ευχεταοντο ͱεκαστος·
νεστωρ αϝτε μαλιστα γερηνιος, ουρος αχαιϝων,
ευχετο, χειρ' ορεγων εις ουρανον αστεροεντα·
δσεϝ πατερ, ει ποτε τις τοι εν αργεϊ περ πολυπυϝρῳ
η βοϝος, η' οϝιος κατα πιϝονα μηρια καϝων,
ευχετο νοστησαι, συ δ' ͱυπεσχεο και κατενευσας,
των μνῆσαι, και αμυϝνον, ολυνπιε, νηλεες ͱημαρ·
μηδ' ͱοϝτῳ τροϝεσιν εϝᾶ δαμνασθαι αχαιϝοϝς.
ͱως εφατ' ευχομενος· μεγα δ' εκτυπε μητιετα δσεϝς.
τροϝες δ', ͱως επυθοντο διος κτυπον αιγιͱοχοϝο,
μαλλον επ' αργειϝοισ' εθορον, μνῆσαντο δε χαρμης.
ͱοι δ' ͱωστε μεγα κυϝμα θαλασσης ευρυποροϝο
ναϝος ͱυπερ τοιχων καταβησεται, ͱοποτ' επειγῃ
ϝις ανεμοϝ· ͱη γαρ τε μαλιστα γε κυϝματ' οφελλει·
ͱως τροϝες μεγαλῃ ϝιϝαχῃ κατα τειχος εβαινον.
ͱιπποϝς δ' εισελασαντες επι πρυμνῃσ' εμαχοντο,
ενχεσιν αμφιγυοισ' αϝτοσχεδον, ͱοι μεν αφ' ιππων,
ͱοι δ' απο ναϝων ͱυπσι μελαιναϝων επιβαντες,
μακροισι χσυστοισι, τα ρα σφ' επι ναϝσιν εκειτο
ναϝμαχα, κολλῆεντα, κατα στομα ϝεσμενα χαλκον.
πατροκλος δ', ͱεϝος μεν αχαιϝοι τε τροϝες τε
τειχεος αμφ' εμαχοντο θοϝαϝων εκτοθι ναϝων,
τοφρ' ͱογ' ενι κλισιῃ αγαπῆνορος ευρυπυλοϝο
ͱηστο τε, και τον ετερπε λογοισ', επι δ' ͱελκεϊ λυγρῳ
φαρμακ', ακεσματ' επασσε μελαιναϝων οδυναϝων·
αϝταρ επειδη τειχος επεσσυμενοϝς ενοησεν
τροϝας, αταρ δαναων γενετο ϝιϝαχη τε φοβος τε,
ῴμωγσεν τ' αρ' επειτα, και ͱω πεπληγετο μηρω
χερσι καταπρηνεσσ', ολοφυϝρομενος δε προσηῦϝδα·
ευρυπυλ', ουκετι τοι δυναμαι, χατεοντι περ ενπης,

ενθαδε παρμενεμεν· δη γαρ μεγα νεικος ορῶρεν·
αλλα σε μεν θεραπων ποτιτερπετω· αϝταρ εγωγε
σπευδσομαι εις αχιλεϝα, ͱιν' οτρυϝνω πολεμιδσεεν.
τις ϝοιδ', ει κεν ͱοι, γσυν δαιμονι, θυϝμον ορινω
παρϝεσπων; αγαθη δε παραιφασις εστιν ͱεταιροο.
τον μεν αρ' ͱως ϝεσποντα ποδες φερον· αϝταρ αχαιϝοι
τροϝας επερχομενοϝς μενον εμπεδον, ουδ' εδυναντο,
παϝροτεροϝς περ εοντας, αποθσασθαι παρα ναϝων,
ουδε ποτε τροϝες δαναων εδυναντο φαλαγγας
ϝρῆγσαμενοι, κλισιῆσι μιγημεναι, ουδε ναϝεσιν.
αλλ' ͱωστε σταθμη δορυ ναϝιον εκσιθυϝνει
τεχτονος εν παλαμῆσι δαημονος, ͱος ρα τε παντσης
ͱευ ϝειδῆ σοφιης, ͱυποθημοσυνῆσιν αθηνης·
ͱως μεν των επι ϝεισϝα μαχη τετατο πτολεμος τε.
αλλοι δ' αμφ' αλλῆσι μαχην εμαχοντο ναϝεσιν·
ͱεκτωρ δ' αντ' αιϝαντος εεισατο κυϝδαλιμοϝο.
τω δε μιης περι ναϝος ͱεχον πονον, ουδ' εδυναντο
ουθ' ο τον εκσελασαι, και ενιπρηθσαι πυρι ναϝας,
ουθ' ο τον απς οθσασθαι, επει ρ' επελασσε γε δαιμων.
ενθ' ͱυϊα κλυτιοϝο καλῆτορα φαιδιμος αιϝας,
πυρ ες ναϝα φεροντα, κατα στηθος βαλε δορϝι·
δουπησεν δε πεσων, δαϝλος δε ͱοι εκπεσε χειρος.
ͱεκτωρ δ' ͱως ενοησεν ανεπσιον οφθαλμοισιν
εν κονιϝῆσι πεσοντα, ναϝος προπαροιθε μελαινης,
τροϝσι τε, και λυκιοισιν εκεκλετο, μακρον αϝυϝσας·
τροϝες, και λυκιοι, και δαρδανοι αγχιμαχηται,
μη δη πῷ χαδσεσθε μαχης εν στεινεϊ τῷδε·
αλλ' ͱυϊα κλυτιοϝο σαῶσατε, μη μιν αχαιϝοι
τευχεα συλϝῆσωντι, ναϝων εν αγῶνι πεσοντα.
ͱως ϝεσπων, αιϝαντος ακοντισε δορϝι φαϝεινῷ·
τοο μεν αμαρθ'· ο δ' επειτα λυκοφρονα, μαστορος ͱυιον,
αιϝαντος θεραποντα, κυθηριον, ͱος ρα παρ' αϝτῷ
ναι', επει ανδρα κατεκτα κυθηροισι δσαθεοισιν·
τον ρ' εβαλεν κεφαλην ͱυπερ οϝατος ͱοκσυϊ χαλκῷ,
ͱεσταοτ' αγχ' αιϝαντος· ͱο δ' ͱυπτιος εν κονιϝῆσιν
ναϝος απο πρυμνης χαμαδις πεσ'· ελῦντο δε γυια.
αιϝας δ' ερῖγησε, κασιγνῆτον δε προσῆυϝδα·
τευκρε πεπον, δη νοϝιν απεκτατο πιθτος ͱεταιρος
μαστοριδης, ͱον νοϝι, κυθηροθεν ενδον εοντα,
ϝεισϝα φιλοισι τοκεϝσιν ετιϝομεν εν μεγαροισιν·
τον δ' ͱεκτωρ μεγαθυϝμος απεκτανε· ποο νυ τοι ͱιϝοι
ῶκυμοροι και τοκσον, ͱο τοι πορε φοιβος απολλων;
ͱως φαθ'· ο δε γσυνεͱῆκε· θεϝων δε ͱοι αγχι παρεστη,
τοκσον ͱεχων εν χειρι παλιντονον, ηδε φαρετρην
ͱιϝοδοκον· μαλα δ' ῶκα βελεα τροϝεσιν εφιϝεεν·
και ρ' εβαλε κλειτον, πειθσῆνορος αγλαϝον ͱυιον,

πολυδαμαντος ͱεταιρον, αγαϜοϜο πανθοϜιδαϜο, O
ͱηνια χερσιν ͱεχοντα, ͱο μεν πεπονῆτο καθ᾽ ιπποϜς᾽
τῇ γαρ ͱεχ᾽, ͱῇ ρα πολυ πλεισται κλονεοντο φαλανγες᾽ 448
ηριπε δ᾽ εκς ͱοχεων, ͱυπεροϜησαν δε ͱοι ͱιπποι, 452
κῆν᾽ ͱοχεα κροτεοντες᾽ Ϝανακς δ᾽ ενοησε ταχιστα
πολυδαμανς, και πρῶτος εναντιον ηλυθεν ͱιππων.
τοϜς μεν ͱο Ϝαστυνοῳ, προτιαϜονος ͱυϊ᾽, εδῶκεν᾽ 455
πολλα δ᾽ επῶτρυϜνε σχεδον ͱισχεμεν εισͱοραοντα
ͱιπποϜς᾽ αϜτος δ᾽ αϜτις ιων προμαχοισιν εμιχθη.
τευκρος δ᾽ αλλον οϊστον εφ᾽ ͱεκτορι χαλκοκορυστῃ
αινυτο, και κεν επαϜσε μαχην επι ναϜσιν αχαιϜων,
ει μιν αριστεϜοντα βαλων εκσͱελλετο θυϜμον᾽ 460
αλλ᾽ ου ληθε διος πυκινον νοον, ͱος ϱ᾽ εφυλασσεν
ͱεκτορ᾽, αταρ τευκρον τελαμωνιον ευχος απῆϜρα,
ͱος ͱοι ͱεϋστρεφεα νευρην εν αμυϜμονι τοκσῳ
Ϝρῆγσ᾽ επι τῳ Ϝερυοντι᾽ παρεπλανχθη δε ͱοι αλλῃ
ͱιͱος χαλκοβαϱης, τοκσον δε ͱοι εκπεσε χειρος. 465
τευκρος δ᾽ εϱῖγησε, κασιγνῆτον δε προσῆυϜδα᾽
ω ποποι! η δη πανχυ μαχης επι μηδεα κειϱει
δαιμων ͱημετερης, ͱος εμοι βιον εκβαλε χειρος᾽
νευρην δ᾽ εκσεϜρῆγσε νεϜοστροφον, ͱην ͱοι εδησα
πρῶϊον, ͱοφρ᾽ ανͱεχοιτο θαμα θρῶσκοντας οϊστοϜς. 470
τον δ᾽ ῆμειβετ᾽ επειτα μεγας τελαμωνιος αιϜανς᾽
ω πεπον, αλλα βιον μεν εϜᾶ και ταρφεας ͱιͱοϜς
κεισθαι, επει γσυνεχεϜε θεος, δαναοισι μεγῆϱανς᾽
αϜταρ χερσιν ͱελων δολιχον δορυ, και σακος ωμῳ,
μαρναο τε τροϜεσι, και αλλοϜς ορνυθι λαϜοϜς᾽ 475
μη μαν ασπουδις γε, δαμασσαμενοι περ, ͱελοιεν
ναϜας ͱεϋσελμοϜς, αλλα μνῆσωμεθα χαρμης.
ͱως φαθ᾽ ο δ᾽ αϜ τοκσον μεν ενι κλισιῆσιν εθηκεν᾽
αϜταρ ͱογ᾽ αμφ᾽ ωμοισι σακος θετο τετραθελυμνον᾽ 479
ͱελλετο δ᾽ αλκιμον ενχος, ακαχμενον ͱοκσυϊ χαλκῳ᾽ 482
βη δ᾽ ιμεναι, μαλα δ᾽ ῶκα θεϜων αιϜαντι παρεστη.
ͱεκτωρ δ᾽, ͱως Ϝειδεν τευκροο βλαφθεντα βελεμνα,
τροϜεσι και λυκιοισιν εκεκλετο, μακρον αͱυϜσανς᾽ 485
τροϜες, και λυκιοι, και δαρδανοι ανχιμαχηται,
ανερες εστε, φιλοι, μνῆσασθε δε θοϜριδος αλκης,
ναϜας ανα γλαφυϱας᾽ δη γαρ Ϝιδον οφθαλμοισιν
ανδρος αριστεϜος διοθεν βλαφθεντα βελεμνα.
ρεϜα δ᾽ αϱιγνῶτος διος ανδρεσι γινεται αλκη. 490
αλλα μαχεσθ᾽ επι ναϜσιν ͱαϜολϜεες᾽ ͱος δε κεν ͱυμεων 494
βλῆμενος, ηε τυπενς, θανατον και ποτμον εφεσπῃ, 495
τεθνατω! ου ͱοι αϜεικες αμυϜνομενῳ περι πατρης
τεθναμεν᾽ αλλ᾽ ͱαλοχος τε σαη και παιδες οπισσῳ,
και Ϝοικος, και κλῆρος ακηρατος, ει κεν αχαιϜοι
οιχωνται γσυν ναϜσι φιλην ες πατριδα γαιαν.

ͱως ϝεσπων, ὣτρυϝνε μενος και θυϝμον ͱεκαστοο.
αιϝανς δ' αϝθ' ετερωθεν εκεκλεθ' εϝοισ' ͱεταροισιν·
αιδως, αργειϝοι! νῦν αρκιον, ἠ' απολεσθαι,
ηε σαῶθηναι, και αποθσασθαι κακα ναϝων.
ἠ' ͱελπεσθ', ην ναϝας ͱελῇ κορυθαιϝολος ͱεκτωρ,
ενβαδον ͱικσεσθαι ͱην πατριδα γαιαν ͱεκαστος;
ἠ' ουκ οτρυϝνοντος ακοϝετε λαϝον ͱαπαντα
ͱεκτορος, ͱος δη ναϝας ενιπρηθσαι μενεαινει;
ου μαν ες γε χορον κελετ' ελθεμεν, αλλα μαχεσθαι.
ͱημῖν δ' ουτις τοοδε νοος και μητις αμεινων,
ἠ' αϝτοσχεδιῇ μιγσαι χειρας τε μενος τε.
βελτερον, ἠ' απολεσθαι ͱενα χρονον, ηε βιϝωναι,
η δηθα στρευγεσθαι εν αινῇ δαϝιοτητι.
ͱως ϝεσπων, ὣτρυϝνε μενο και θυϝμον ͱεκαστοο.
ενθ' ͱεκτωρ μεν ͱελε σχεδιον, περιμηδεος ͱυιον,
αρχον φωκεϝων· αιϝανς δ' ͱελε λαϝοδαμαντα,
ͱηγεμονα πρυλιων, αντῆνορος αγλαϝον ͱυιον·
πολυδαμανς δ' ωτον κυλληνιον εκσεναρικσεν,
φυϝλεϝιδαϝ' ͱεταρον, μεγαθυϝμων αρχον επειων.
τῷ δε μεγης εποροϝσε ϝιδων· ͱο δ' ͱυπαιθ' ελιϝασθη
πολυδαμανς· και τοο μεν απῆμβροτεν· ου γαρ απολλων
ηϝαε πανθοϝοϝ' ͱυιον ενι προμαχοισι δαμηναι·
αϝταρ ͱογε κροισμοο στηθος μεσον ουτασε δορϝι·
δουπησεν δε πεσων, ͱο δ' απ' ωμων τευχε' εσυλϝα.
τοφρα δε τῷ εποροϝσε δολοπς, αιχμης ͱεϋ ϝειδως,
λαμπιαδης, ͱον λαμπος εγῆνατο, φερτατος ανδρων,
λαϝομεδοντιαδης, ͱεϋ ϝειδοτα θοϝριδος αλκης·
ͱος τοτε φυϝλεϝιδαϝο μεσον σακος ουτασε δορϝι,
ενγυθεν ͱορμῆθενς· πυκινος δε ͱοι ῆρκεσε θωρηκς,
τον ρ' εφορεε γυαλοισιν αρῆροτα· τον ποτε φυϝλεϝς
ῆγαγεν εκς εφυρης, ποταμοϝ' απο σελλῆεντος.
χσεινος γαρ ͱοι εδῶκε ϝανακς ανδρων ͱεϋφητης,
ες πολεμον φορεεεν, δαϝιων ανδρων αλεϝωρην·
ͱος ͱοι και τοτε παιδος απο χροος ῆρκεσ' ολεθρον.
τοο δε μεγης κορυθος χαλκηρεος ͱιπποδασυιης
κυμβαχον ακροτατον νυκσ' ενχεϊ ͱοκσυοεντι,
ϝρῆγσε δ' αφ' ιππειον λοφον αϝτοϝο· πανς δε χαμαδσε
κατπεσεν εν κονιϝῆσι, νεϝον φοινικι φαϝεινος.
ͱεϝος ͱο τῷ πολεμιδσε μενων, ετι δ' ͱελπετο νικην,
τοφρα δε ͱοι μενελαϝος αρεϝιος ηλθεν αμυϝντωρ·
στη δ' ευρακς γσυν δορϝι λαθων, βαλε δ' ωμον οπισθεν·
αιχμη δε στερνοϝο διεσσυτο μαιμαϝοντσα,
προσσῶ ͱιϝεμενη· ͱο δ' αρα πρηνης ελιϝασθη.
τω μεν εεισασθην χαλκηρεα τευχε' απ' ωμων
συλϝῆσεεν· ͱεκτωρ δε κασιγνῆτοισι κελεϝεν
παντσι μαλα, πρῶτον δ' ͱικεταϝονιδην ενενῖπεν

ἴφθῖμον μελανͱιππον· ͱο δ' ͱοφρα μεν ͱελλιποδας βοϝς Ο
βοσκ' εν περκωτῃ, δαϝιων απονοσφιν εοντων·
αϝταρ επει δαναων ναϝες ηλυθον αμφιϝελισσαι,
απς εις ϝιλϝιον ηλθε, μετεπρεπε δε τροϝεσιν·
ναιε δε παρ πριαμῳ· ͱο δε μιν τιϝε ϝεισϝα τεκεσσιν·
τον ρ' ͱεκτωρ ενενῖπε, ϝεπος τ' εφατ', εκ τ' ονομαδσεν·
ͱοϝτῳ δη, μελανͱιππε, μεθησομεν; ουδε νυ σοι περ
εντρεπεται φιλον ητορ, ανεπσιοϝο κταμενοϝο;
ουχ' οραεις, ͱοιον δολοπος περι τευχε' ͱεπουτιν;
αλλ' ͱεπε'· ου γαρ ετ' εστιν αποσταδον αργειϝοισιν
μαρνασθαι, πριν γ' ηε κατακταμεν, ηε κατ' ακρης
ϝιλϝιον αιπυινην ͱελεεεν, κτασθαι τε πολῖτας.
ͱως ϝεσπων, ͱο μεν ἦρχ', ͱο δ' ͱαμ' ͱεσπετο ϝεισϝοθεος φῶς.
αργειϝοϝς δ' ὤτρυϝνε μεγας τελαμωνιος αιϝανς·
ω φιλοι, ανερες εστε, και αλκιμον ητορ ͱελεσθε,
αλληλοϝς τ' αιδεεσθε κατα κρατερας ͱυσμινας·
αιδομενων δ' ανδρων πλεονες σαοι, ηε πεφανται·
φευγοντων δ' ουτ' αρ κλεος ορνυται, ουτε τις αλκη.
ͱως εφαθ'· οι δε και αϝτοι αλεκσασθαι μενεαινον·
εν θυϝμῷ δ' εβαλοντο ϝεπος· φρακσαντο δε ναϝας
ͱερκεϊ χαλκειῳ· επι δε δσεϝς τροϝας εγειρεν.
αντιλοχον δ' ὤτρυϝνε βοην αγαθος μενελαϝος·
αντιλοχ', ουτις σεϝο νεϝωτερος αλλος αχαιϝων,
ουτε ποσιν θασσων, ουτ' αλκιμος, ͱως συ, μαχεσθαι·
ει τινα ποο τροϝων εκσͱαλμενος ανδρα βαλῃσθα.
ͱως ϝεσπων, ͱο μεν αϝτις απεσσυτο, τον δ' οροθυϝνεν·
εκ δ' εθορε προμαχων, και ακοντισε δορϝι φαϝεινῷ,
αμφι ͱε παπτῆνανς· ͱυπο δε τροϝες κεχαδοντο,
ανδρος ακοντισσαντος· ͱο δ' ουχ αλιον βελος ͱηκεν,
αλλ' ͱικεταϝονος ͱυιον ͱυπερθυϝμον μελανͱιππον,
νισσομενον πολεμονδ', εβαλε στηθος παρα μαδσον·
δουπησεν δε πεσων, αραβησε δε τευχε' επ' αϝτῷ.
αντιλοχος δ' εποροϝσε, κυων ͱως, ͱοστ' επι νεβρῷ
βλῆμενῳ αͱικσῃ, τοντ' εκς ευνηφι θοροντα
θηρεϝτηρ ετυχησε βαλων, ͱυπελυϝσε δε γυια·
ͱως επι σοι, μελανͱιππε, θορ' αντιλοχος μενεχαρμης,
τευχεα συλϝῆσων· αλλ' ου λαθεν ͱεκτορα διϝον,
ͱος ρα ͱοι αντιος ηλθε, θεϝων ανα δαϝιοτητα.
αντιλοχος δ' ου μῆνε, θοϝος περ εων πολεμιστης,
αλλ' ͱογ' αρ' ετρεσε, θηρι κακον ρεκσαντι ϝεϝοικως,
ͱοστε κυνα κτῆνας, η βοϝκολον αμφι βοϝεσιν,
φευγει, πριν περ ͱομιλϝον ͱαϝολϝισθημεναι ανδρων·
ͱως τρεσε νεστοριδης· επι δε τροϝες τε και ͱεκτωρ
ϝηχῇ θεσπεσιῃ βελεα στονοεντ' εχεϝοντο·
στη δε μεταστρεφθενς, επει ͱικετο ϝεθνος ͱεταιρων.
τροϝες δε, λεϝοντσι ϝεϝοικοτες ωμοφαγοισιν,

ναϝσιν επεσσεϝοντο, διος δ᾽ ετελεϝον εφετμας· O
ͱος σφισιν αιϝεν εγειρε μενος μεγ᾽, εθελγε δε θυϝμον
αργειϝων, και κυϝδος απαινυτο· τοϝς δ᾽ οροθυϝνεν.
ͱεκτορι γαρ ͱοι θυϝμος εβουλετο κυϝδος ορεγσαι
πριαμιδῃ, ͱινα ναϝσι κορωνισι θεσπιδαϝες πυρ
ενβαλῃ ακαματον· θετιδος δ᾽ εκσαισιον αρην
παντσαν επικρῃνειε· το γαρ μενε μητιετα δσεϝς,
ναϝος καϝομενης σελας οφθαλμοισι ϝιδεσθαι·
εκ γαρ δη τοϝ᾽ εμελλε παλιῶκσιν παρα ναϝων
θησεμεναι τροϝων, δαναοισι δε κυϝδος ορεγσαι.
τα φρονεων, ναϝεσιν επι γλαφυρῇσιν εγειρεν
ͱεκτορα πριαμιδην, μαλα περ μεμαϝῶτα και αϝτον.
μαινετο δ᾽, ͱως ͱοτ᾽ αρεϝς ενχεσπαλος, η᾽ ολοϝον πυρ
ορεσι μαινηται, βαθυης εν ταρφεσιν ͱυλϝης·
αφλοισμος δε περι στομ᾽ εγιγνετο, τω δε ͱοι οσσε
λαμπεσθην βλοσυρῇσιν ͱυπ᾽ οφρυσιν· αμφι δε πηληκς
σμερδαλεον κροταφοισ᾽ ετινασσετο μαρναμενοϝο·
και ρ᾽ εθελε ϝρῆγσαι στιχας ανδρων, πειρῃτιδσων
ͱῇ δη πλειστον ͱομιλϝον ͱορα και τευχε᾽ αριστα·
αλλ᾽ ουδ᾽ ͱως δυνατο ϝρῆγσαι, μαλα περ μενεαινων·
ͱισχον γαρ πυργηδον αρῃροτες, ηΰτε πετρη
ηλιβατος, μεγαλη, πολιης ͱαλος ενγυς εοντσα,
ͱητε μενει λιγυων ανεμων λαιπσηρα κελευθα,
κυϝματα τε τροφοεντα, τα τε προσερευγεται αϝτην·
ͱως δαναοι τροϝας μενον ενπεδον, ουδ᾽ εφεβοντο.
αϝταρ ͱο λαμπομενος πυρι παντοθεν ενθορ᾽ ͱομιλϝῳ·
εν δ᾽ επεσ᾽, ͱως ͱοτε κυϝμα θοϝῇ εν ναϝι πεσητιν
λαβρον ͱυπο νεφεων ανεμοτρεφες, ͱη δε τε παντσα
αχνῃ ͱυπεκρυφθη, ανεμοο δε δδεινος αϝητης
ͱιστιῳ εν βρεμεται· τρομεοντι δε τε φρενα ναϝται
δεδδιοτες· τυτθον γαρ ͱυπ᾽ εκ θανατοϝο φερονται·
ͱως εδαΐδσετο θυϝμος ενι στηθεσσιν αχαιϝων.
αϝταρ ͱογ᾽, ͱωστε λεϝων ολοϝοφρων βοϝσιν επελθων,
ͱαι ρα τ᾽ εν ͱῖͱαμενῃ ϝελεος μεγαλοϝο νεμονται
μυριαι, εν δε τε τῃσι νομεϝς ουπῳ σαφα ϝειδως
θηρι μαχησασθαι, ϝελικος βοϝος αμφι φονῃσιν·
ητοι ͱο μεν πρωτῃσι και ͱυστατιῃσι βοϝεσιν
αιϝεν ͱομοστιχαει, ͱο δε τ᾽ εν μεσσῃσιν οροϝσανς
βοϝν εδει, ͱαι δε τε παντσαι ͱυπετρεσαν· ͱως τοτ᾽ αχαιϝοι
θεσπεσιως εφοβηθεν ͱυφ᾽ ͱεκτορι και διϊ πατρι
παντες· ͱο δ᾽ οιον επεφνε μυκηναιον περιφητην,
κοπρεϝος φιλον ͱυιον, ͱος ευρυσθεϝος αϝεθλων
ανγελιης οιχνεσκε βιῃ ͱηρακλεειϝῃ·
τοο γενετ᾽ εκ πατερος πολυ χειρονος ͱυιος αμεινων
παντοιην αρετην, ημεν ποδας, ηδε μαχεσθαι,
και νοον εν πρωτοισι μυκηναιων ετετυχτο·

ͱος ρα τοθ' εκτορι κυϝδος ͱυπερτερον ενγυαλικσεν. O
στρεφθενς γαρ μετοπισθεν εν ασπιδος αντυγ' επαλτο
την αϝτος φορεεσκε, ποδηνεκε' ͱερκος ακοντων·
τῃ ͱογ' ενι βλαφθενς, πεσεν ͱυπτιος· αμφι δε πηληκς
σμερδαλεον κοναβησε περι κροταφοισι πεσοντος.
ͱεκτωρ δ' ͱοκσυ νοησε, θεϝων δε ͱοι ανχι παρεστη,
στηθεϊ δ' εν δορυ πηγσε, φιλων δε μιν ενγυς ͱεταιρων
κτῆν'· ͱοι δ' ουκ εδυναντο, και αχνυμενοι περ ͱεταιροο,
χραϝσμεεν· αϝτοι γαρ μαλ' εδεδδισαν ͱεκτορα διϝον.
εισῶποι δ' εγενοντο ναϝων, περι δ' εσχεθον ακραι
ναϝες, ͱοσαι πρῶται ϝεϝερυατο· τοι δ' επεχῦντο.
αργειϝοι δε ναϝων μεν εχῶρησαν και ανανκῃ
των προτερων, αϝτοο δε παρα κλισιῃσιν εμῆναν
ͱαθροϝοι, ουδ' εκεδασθεν ανα στρατον· ͱισχε γαρ αιδως,
και δδεος· αδσηχες γαρ ͱομοκλεον αλληλοισιν.
νεστωρ αϝτε μαλιστα γερηνιος, ουρος αχαιϝων,
λισσεθ' υπερ τοκεων γουϝῶμενος ανδρα ͱεκαστον·
ω φιλοι, ανερες εστε, και αιδοα θεσθ' ενι θυϝμῳ
αλλων ανθρωπων· επι δε μνῆσασθε ͱεκαστος
παιδων, ηδ' ͱαλοχων, και κτησιος, ηδε τοκεϝων·
των ͱυπερ ενθαδ' εγω γουϝαδσομαι ου παρεοντων,
ͱεσταμεναι κρατερως· μηδε τροπαεσθε φοβονδε.
ͱως ϝεσπων, ῶτρυϝνε μενος και θυϝμον ͱεκαστοο.
ουδ' αρ' ετ' αιϝαντι μεγαλητορι ϝανδανε θυϝμῳ
ͱεσταμεν, ενθα περ αλλοι εφεστασαν ͱυιες αχαιϝων·
αλλ' ͱογε ναϝων ͱικρι' επ' ῴχετο, μακρα βιβασθων,
νωμαε δε χσυστον μεγα ναϝμαχον εν παλαμῃσιν,
κολλῆτον βλῆτροισι, δυω και ϝεικοσι πηχυ.
ͱως δ' ͱοτ' ανηρ ͱιπποισι κελητιδσεεν ͱεϋ ϝειδως,
ͱοστ' επει εκ πολυων πισυρας γσυναͱειρεται ͱιπποϝς,
σσεϝσανς εκ πεδιοϝο μεγα προτι ϝαστυ διηται,
λαϝοφορον καθ' οδον, πολυες τε ͱε θαϝησαντο
ανερες, ηδε γυναικες· ͱο δ' ευπεδον ασφαλες αιϝει
θρῶσκων αλλοτ' επ' αλλον αμειβεται· ͱοι δε πετονται·
ͱως αιϝανς επι πολλα θοϝαϝων ͱικρια ναϝων
φοιταε, μακρα βιβανς, φῶνη δε ͱοι αιθερ' ͱικανεν.
αιϝει δε σμερδνον βοαων δαναοισι κελεϝεν,
ναϝσι δε και κλισιῃσιν αμυϝνεμεν. ουδε μεν ͱεκτωρ
μιμνεν ενι τροϝων ͱομαδῳ πυκα θωρηκταϝων·
αλλ' ͱωστ' ορνιχθων πετεηνων αιετος αιθων
ϝεθνος εφορμαεται, ποταμον παρα βοσκομεναϝων·
ͱως ͱεκτωρ ιθυϝσε ναϝος κυϝανοπρωροϝο
αντιος αͱικσανς· τον δε δσεϝς ῶθσεν οπισθεν
χειρι μαλα μεγαλῃ, ῶτρυϝνε δε λαϝον ͱαμ' αϝτῳ.
αϝτις δε δριμυια μαχη παρα ναϝσιν ετυχθη·
φαιης κ' ακμῆτας και ατειρεας αλληλοισιν

αντεσθ᾽ εν πολεμῳ̃· ͱως εσσυμενως εμαχοντο. O
τοισι δε μαρναμενοισιν ͱοδ᾽ ἦν νοος· ητοι αχαιϝοι
ουκ εφασαν φευγσεσθαι ͱυπ᾽ εκ κακοϝ, αλλ᾽ ολεεσθαι·
τροϝεσι δ᾽ ͱελπετο θυϝμος ενι στηθεσσιν ͱεκαστοο
ναϝας ενιπρηθσεεν, κτενεεεν θ᾽ ηροϝας αχαιϝοϝς.
ͱοι μεν τα φρονεοντες εφεστασαν αλληλοισιν.
ͱεκτωρ δε πρυμνης ναϝος ͱαπτσατο ποντοποροϝο,
καλης, ὦκυͱαλοϝ, ͱη πρω̃τεσιλαϝον ενενκεν
ες τροϝιην, ουδ᾽ αϝτις απῆγαγε πατριδα γαιαν·
τοοπερ δη περι ναϝος αχαιϝοι τε τροϝες τε
δαϝιω̃ν αλληλοϝς αϝτοσχεδον· ουδ᾽ αρα τοιγε
τοκσων αͱικας αμφις μενον, ουδε τ᾽ ακοντων,
αλλ᾽ ͱοιγ᾽ ενγυθεν ͱισταμενοι, ͱενα θυϝμον ͱεχοντες,
ͱοκσυσι δη πελεκυσσι και αγσινῃ̃σ᾽ εμαχοντο,
και χσιφεσιν μεγαλοισι, και ενχεσιν αμφιγυοισιν.
πολλα δε φασγανα καλα, μελανδετα, κωπῆεντα,
αλλα μεν εκ χειρων χαμαδις πεσον, αλλα δ᾽ απ᾽ ωμων
ανδρων μαρναμενων· ρεϝε δ᾽ ͱαιματι γαια μελαινα.
ͱεκτωρ δε πρυμνηθεν επει λαβεν, ουχι μεθιͱεεν,
αφλαστον μετα χερσιν ͱεχων, τροϝεσιν δ᾽ εκελεϝεν·
ͱοισετε πυρ, ͱαμα δ᾽ αϝτοι ͱαϝολϝεες ορνυτ᾽ αͱυϝτην·
νῦν ͱημῖν παντων δσεϝς αγσιον ͱημαρ εδω̃κεν,
ναϝας ͱελεεν, ͱαι δευρο θεων αͱεκητι μολουσαι
ͱημῖν πηματα πολλ᾽ εθεσαν, κακοτητι γεροντων·
ͱοι μ᾽, εθελοντα μαχεσθαι επι πρυμνῃ̃σι ναϝεσιν,
αϝτον θ᾽ ισχαναεσκον, ερητυϝοντο τε λαϝον.
αλλ᾽ ει δη ρα τοτ᾽ εβλαπτε φρενας ευρυοπα δσεϝς
ͱμετερας, νῦν αϝτος εποτρυϝνει και ανωγει.
ͱως εφαθ᾽· οι δ᾽ αρα μαλλον επ᾽ αργειϝοισιν οροϝσαν.
πατροκλος δ᾽ αχιλεϝι παρͱιστατο, ποιμενι λαϝων,
δακρυϝα θερμα χεϝων, ͱωστε κρῆνη μελανͱυϝδρος, Π
ͱητε κατ᾽ αιγιλιπος πετρης δνοφερον χεϝει ͱυϝδωρ.
τον δε ϝιδων ῳ̃κτειρε ποδαρκης διϝος αχιλλεϝς,
και μιν φω̃νησανς ϝεπεα πτεροεντα προσηῦϝδα·
τιπτε δεδακρυϝσαι, πατροκλεες, ηΰτε κοϝρη
νηπιη; ͱηθ᾽ αμα μητρι θεϝοντσ᾽ ανͱελεσθαι ανωγει,
ϝεανοϝ ͱαπτομενη, και τ᾽ εσσυμενην κατερυκει,
δακρυϝοεντσα δε μιν ποτιδερκεται, ͱοφρ᾽ ανͱεληται.
ηε τι μυρμιδονεσι πιφαϝσκεαι, η᾽ εμοι αϝτῳ̃;
ηε τιν᾽ ανγελιην φθιϝης εκς εκλυϝες οιος;
δσαϝεεν μαν ετι φαντι μενοιτιον, ακτορος ͱυιον,
δσαϝει δ᾽ αιϝακιδης πηλεϝς μετα μυρμιδονεσιν,
των κε μαλ᾽ αμφοτερων ακαχοιμεθα τεθνηῶτων.
ηε συγ᾽ αργειϝων ολοφυϝρεαι, ͱως ολεκονται
ναϝσιν επι γλαφυρῇσιν, ͱυπερβασιης ͱενεκα σφης;
εκσαυϝδᾱ, μη κεϝθε νοῳ̃, ͱινα ϝῆδομεν αμφω.

τον δε βαρυ στοναχων προσεφης, πατροκλεες hιππεF· 20
ω αχιλεF, πηλεFος hυϊ, μεγα φερτατ᾽ αχαιFων, Π
μη νεμεσᾶ· τοιον γαρ αχος βεβιῆκεν αχαιFοFς.
hοι μεν γαρ δη παντες, hοσοι παρος ἦσαν αριστοι,
εν ναFεσιν κεαται βεβλῆμενοι, ουταμενοι τε.
βεβλῆται μεν hο τυFδεFιδης κρατερος διομηδης· 25
ουτασται δ᾽ hοδυσεFς δορFικλυτος, ηδ᾽ αγαμεμνων·
βεβλῆται δε και ευρυπυλος κατα μηρον οϊστῳ·
τοFς μεν FιFητροι πολυφαρμακοι αμφιπενονται,
hελκε᾽ ακῆαμενοι· συ δ᾽ αμηχανος επλε᾽, αχιλλεF· 29
νηλεες! ουκ αρα σοιγε πατηρ ἦν hιπποτα πηλεFς, 33
ουδε θετις μητηρ· γλαFκη δε σ᾽ ετικτε θαλασσα,
πετραι τ᾽ ηλιβατοι, hοτι τοι νοος εστιν απηνης. 35
ει δε τινα φρεσι σῇσι θεοπροπιην αλεFεινεις,
και τινα τοι παρ δσῆνος επεφραδε ποτνια μητηρ,
αλλ᾽ εμε περ προhες ὦχ᾽, αμα δ᾽ αλλον λαFον οπασσον
μυρμιδονων, ἦν ποο τι φαFος δαναοισι γενωμαι.
δος δε μοι ωμοιϊν τεFα τευχεα θωρηχθηναι, 40
αι κ᾽ εμε σοι Fισκοντες αποσχωνται πολεμοFο
τροFες, αναπνεFσωντι δ᾽ αρεFιοι hυιες αχαιFων· 42
ρεFα δε κ᾽ ακμῆτες κεκμῆοτας ανδρας αhυFτῇ 44
οθσαιμεν προτι Fαστυ ναFων απο και κλισιαFων. 45
hως φατο λισσομενος, μεγα νηπιος· η γαρ εμελλεν
hοιτ᾽ αFτῷ θανατον τε κακον και κηρα λιτεσθαι.
τον δε μεγ᾽ οχθησανς προσεφη ποδας ὦκυς αχιλλεFς·
ω μοι, διFογενες πατροκλεες, hοιον εFεσπες·
ουτε θεοπροπιης ενπαδσομαι, hηντινα Fοιδα, 50
ουτε τι μοι παρ δσῆνος επεφραδε ποτνια μητηρ·
αλλα τοδ᾽ αινον αχος κραδιην και θυFμον hικανει,
hοποτε δη τον hομοιον ανηρ εθελητιν αμερσαι,
και γερας απς αφελεσθαι, hοτε κρατεϊ προβεβηκεεν
αινον αχος το μοι εστιν, επει παθον αλγεα θυFμῷ. 55
κοFρην, hην αρα μοι γερας εκσhελον hυιες αχαιFων,
δορFι δ᾽ εμῷ κτεατισσα, πολιν hεϋτειχεα περθσανς,
την απς εκ χειρων hελετο κρεFων αγαμεμνων. 58
αλλα τα μεν προτετυχθαι εFᾶσομεν· ουδ᾽ αρα πως ἦν 60
ασπερχες κεχολῶσθαι ενι φρεσιν· ητοι εφην γε
ου πριν μηνιθμον καταπαFσεμεν, αλλ᾽ hοποτ᾽ αν δη
ναFας εμας αφικηται αhυFτη τε, πτολεμος τε.
τυνη δ᾽ ωμοιϊν μεν εμα κλυτα τευχεα δῦθι,
αρχε δε μυρμιδονεσι φιλοπτολεμοισι μαχεσθαι, 65
ει δη κυανεον τροFων νεφος αμφιβεβηκεν
ναFσιν επικρατεως, hοι δε Fρηγμῖνι θαλασσης
κεκλιαται, χωρης ολιγην ετι μοιραν hεχοντες,
αργειFοι, τροFων δε πολις επι παντσα βεβηκεν,
θαρσυFνος· ου γαρ εμης κορυθος λεFσσοντι μετῶπον 70

ενγυθι λαμπομενης· ταχα κεν φευγοντες εναFλοFς Π
πλησειαν νεκυων, ει μοι κρεFων αγαμεμνων
ηπια Fῆδειη· νῦν δε στρατον αμφι μαχονται.
ου γαρ τυFδεFιδεο διομηδεος εν παλαμῇσιν
μαινεται ενχειη, δαναων απο λοιγον αμυFναι· 75
ουδε πω̄ ατρεFιδεο Fοπος εκλυFον αυFδῆσαντος
εχθρης εκ κεφαλης· αλλ' ͱεκτορος ανδροφονοFο,
τροFσι κελεFοντος, περιFαγνυται· ͱοι δ' αλαλητῳ̄
παν πεδιον καθεχοντι, μαχῃ̄ νικῶντες αχαιFοFς.
αλλα και ͱως, πατροκλε, ναFων απο λοιγον αμυFνων 80
ενπεσ' επικρατεως, μη δη πυρος αιθομενοFο
ναFας ενιπρηθσωντι, φιλον δ' απο νοστον ͱελωνται.
πειθεο δ', ͱως τοι εγω μυFθοο τελος εν φρεσι θειω. 83
εκ ναFων ελασανς, ιμεναι παλιν· ει δε κεν αF τοι 87
δῶῃ κυFδος ͱαρεσθαι εριγδουπος ποσις ͱηρης, 88
μη συγ' αγαλλομενος πολεμῳ̄ και δαFιοτητι, 91
τροFας ενͱαιρομενος, προτι FιλFιον ͱηγεμονεFεεν·
μη τις απ' ολυνποFο θεων αιFειγενεταFων
ενβῇῃ· μαλα τοFς γε φιλει ͱεκαFεργος απολλων·
αλλα παλιν τροπαεσθαι, επην φαος εν ναFεσιν 95
θῇῃς, τοFς δ' εFαεεν πεδιον κατα δηριαεσθαι. 96
ͱως ͱοι μεν τοιαFτα προς αλληλοFς αγορεFον. 101
αιFανς δ' ουκετ' εμιμνε, βιαδσετο γαρ βελεεσιν·
δαμναε μιν δσῆνος τε νοος, και τροFες αγαFοι,
βαλλοντες· δδεινην δε περι κροταφοισι φαFεινη
πηληκς βαλλομενη καναχην ͱεχ'· εβαλλετο δ' αιFει 105
κατ φαλαρ' ͱευποιηθ'· ο δ' αριστερον ωμον εκαμνεν,
ενπεδον αιFεν ͱεχων σακος αιFολον· ουδ' εδυναντο
αμφ' αFτῳ̄ πελεμικσαι, ερειδοντες βελεεσιν·
αιFει δ' αργαλεῳ̄ ͱεχετ' ασθματι· κατ δε ͱοι ͱιδρως
παντοθεν εκ μελεων πολυς ερεFεν, ουδε πῃ̄ εσχεν 110
ανπνεFσαι· παντῃ̄ δε κακον κακῳ̄ εστηρικτο.
Fεσπετε νῦν μοι, μοFσαι, ολυνπια δῶμαθ' εχοντσαι,
ͱοπως δη πρῶτον πυρ ενπεσε ναFσιν αχαιFων.
ͱεκτωρ αιFαντος δορυ μειλινον ανχι παρασταν
πληγσ' αͱορι μεγαλῳ̄, αιχμης παρα καFλον οπισθεν· 115
αντικρυς δ' απαραγσε· το μεν τελαμωνιος αιFανς
πηλ' αFτως εν χειρι κολον δορυ· τηλε δ' απ' αFτοο
αιχμη χαλκειη χαμαδις βομβησε πεσοντσα.
γνῶ δ' αιFανς κατα θυFμον αμυFμονα, ρῖγησεν τε,
Fεργα θεων, ͱο ρα πανχυ μαχης επι μηδε' εκειρεν 120
δσεFς ͱυπσιβρεμετης, τροFεσι δ' εβουλετο νικην·
χαδσετο δ' εκ βελεων· τοι δ' ενβαλον ακαματον πυρ
ναFι θοFῃ̄· της δ' αιπσα κατ' ασβεστη κεχυτο φλογς·
ͱως την μεν πρυμνην πυρ αμφεπεν· αFταρ αχιλλεFς
μηρω πληγσαμενος πατροκλεεα προσεFεσπεν· 125

ορσεο, διϝογενες πατροκλεες, ͱιπποκελευθε· Π
λεϝσσω δη παρα ναϝσι πυρος δαϝιοϝ' εροϝην·
μη δη ναϝας ͱελωντι, και ουκετι φυγτα πελωνται!
δυϝσεο τευχεα θασσον, εγω δε κε λαϝον αγῆρω.
ͱως φατο· πατροκλος δε κορυσσετο νωροπι χαλκῷ·
κνημῖδας μεν πρῶτα περι κνημῆσιν εθηκεν
καλας, αργυρεοισιν επισφυριοισ' αραρυιας·
δεϝτερον αϝ θωρηκα περι στηθεσσιν εδυϝνεν,
ποικιλον, αστεροεντα, ποδῶκεος αιϝακιδαϝο·
αμφι δ' αρ' ωμοισιν βαλετο χσιφος αργυροͱηλον,
χαλκεον· αϝταρ επειτα σακος μεγα τε στιβαρον τε·
κρᾶτι δ' επ' ἶφθῖμῷ κυνεην ͱεΰτυχτον εθῆκεν,
ͱιππουριν· δδεινον δε λοφος καθυπερθεν ενευεν.
ͱελλετο δ' αλκιμα δορϝα, τα ͱοι παλαμηφιν αρῆρεεν·
ενχος δ' ουχ ελετ' οιον αμυϝμονος αιϝακιδαϝο,
βριθυ, μεγα, στιβαρον· το μεν ου δυνατ' αλλος αχαιϝων
παλλεμεν, αλλα μιν οιος επιστατο πῆλαι αχιλλεϝς.
ͱιπποϝς δ' αϝτομεδοντα θοϝως δσευγνῦμεν ανωγεν,
τον μετ' αχιλλεϝα ϝρῆγσῆνορ' ετιϝε μαλιστα·
πιθτοτατος δε ͱοι εσκε μαχῇ ενι μῆναι ͱομοκλην.
τῷ δε και αϝτομεδων ͱυπαγε δσυγον ὦκυας ͱιπποϝς,
χσανθον και βαλιον, τω ͱαμα πνοϝῆσ' επετεσθην·
τοϝς ετεκε δσεφυρῷ ανεμῷ ͱαρπυια ποδαργη,
βοσκομενη λειμωνι παρα ροϝον ωκεανοϝο.
εν δε παρῆͱοριῆσιν αμυϝμονα πηδασον ͱιͱεεν,
τον ρα ποτ' ηετιϝῶνος ͱελων πολιν ῆγαγ' αχιλλεϝς·
ͱος και θνῆτος εων ͱεπεθ' ιπποισ' αθανατοισιν.
μυρμιδονας δ' αρ' εποιχομενος θωρηκσεν αχιλλεϝς
παντας ανα κλισιας γσυν τευχεσιν· ͱοι δε, λυκοι ͱως
ωμοφαγοι, τοισιν τε περι φρεσιν ασπετος αλκη,
ͱοιτ' ελαφον κεραον μεγαν ορεσι δαϝιῶσαντες
δαπτοντιν· παντσιν δε παρῆϊον ͱαιματι φοινον·
και τ' αγεληδον ιαντιν, απο κρῆνης μελανͱυϝδροο
λαπτσοντες γλωσσῆσιν ͱαραιῆσιν μελαν ͱυϝδωρ
ακρον, ερεϝγομενοι φονον ͱαιματος· εν δε τε θυϝμος
στηθεσιν ατρομος εστι, περιστενεται δε τε γαστηρ·
τοιοι μυρμιδονων ͱηγητορες, ηδε μεδοντες,
αμφ' αγαθον θεραποντα ποδῶκεος αιϝακιδαϝο
ροϝοντ'· εν δ' αρα τοισιν αρεϝιος ͱιστατ' αχιλλεϝς,
οτρυϝνων ͱιπποϝς τε και ανερας ασπιδιῶτας.
πεντηκοντ' ῆσαν ναϝες θοϝαι, ͱῆσιν αχιλλεϝς
ες τροϝιην ͱηγεετο διϊ φιλος· εν δε ͱεκαστῇ
πεντηκοντ' εσαν ανδρες επι κλεϝιεσιν ͱεταιροι·
πεντε δ' αρ' ͱηγεμονας ποιησατο, τοισ' επεποιθεεν,
σημαινεεν· αϝτος δε μεγα κρατεων εϝανασσεν.
της μεν ιης στιχος ῆρχε μενεσθιος αιϝολοθωρηκς,

ⱶυιος σπερχειοϝο, διϊπετεος ποταμοϝο·
τον τεκε πηλεϝος θυγατηρ, καλη πολυδῶρη,
σπερχειῷ ακαμαντι, γυνη θεῷ ευνηθεντσα·
αϝταρ επικλῆσιν βωρῷ, περιηρεος ⱶυιϊ,
ⱶος ρ᾽ αναφανδον οπυιε, πορων απερεισι᾽ εεδνα.
της δ᾽ ⱶετερης ⱶεϋδῶρος αρεϝιος ⱶηγεμονεϝεν
παρθενιος, τον ετικτε χορῷ καλη πολυμηλη,
φυϝλαντος θυγατηρ· της δε κρατυς αργεϊφοντης
ηρασατ᾽, οφθαλμοισι ϝιδων μετα μελπομενῆσιν
εν χορῷ αρτεμιδος χρυσηλακατοο, κελαδεινης·
αϝτικα δ᾽ εις ⱶυπεροϝι᾽ αναβανς, παρελεχσατο λαθρῆ
ⱶερμειας ακακητ᾽· επορεν δε ⱶοι αγλαϝον ⱶυιον
ⱶευδῶρον, περι μεν θεϝεεν ταχυν, ηδε μαχητην.
αϝταρ επειδη τονγε μογοστοκος ειλειθυια
εκσαγαγεν φαϝοσδε, και ῆελιοο ϝιδεν αϝγας,
την μεν ⱶεχεκλεεος κρατερον μενος ακτοριδαϝο
ῆγαγετο προς δῶματ᾽, επει πορε μυρι᾽ εεδνα·
τον δ᾽ ⱶο γερων φυϝλανς ⱶεϋ ετρεφεν, ηδ᾽ ατιταλλεν,
αμφαγαπαδσομενος, ⱶως ει θ᾽ εϝον ⱶυιον εοντα.
της δε τριτης πειθσανδρος αρεϝιος ⱶηγεμονεϝεν
μαιμαλιδης, ⱶος παντσι μετεπρεπε μυρμιδονεσιν,
ενχεϊ μαρνασθαι, μετα πηλεϝιϝῶνος ⱶεταιρον.
της δε τεταρτης ῆρχε γερων ⱶιππηλατα φοινικς·
πεμπτης δ᾽ αλκιμεδων, λαϝερκεος ⱶυιος αμυϝμων.
αϝταρ επειδη παντας ⱶαμ᾽ ⱶηγεμονεσιν αχιλλεϝς
στησεν εϋ κρῖνανς, κρατερον δ᾽ επι μυϝθον ετελλεν·
μυρμιδονες, μη τις μοι απειλαϝων λελαθεσθω,
ⱶας επι ναϝσι θοϝῆσιν απειλεετε τροϝεσιν,
πανθ᾽ υπο μηνιθμον· και μ᾽ ῆτιαεσθε ⱶεκαστος·
σχετλιε, πηλεϝος ⱶυιε, χολῷ αρα σ᾽ ετρεφε μητηρ·
νηλεες! ⱶος παρα ναϝσιν ⱶεχεις αϝεκοντας ⱶεταιροϝς·
ϝοικαδε περ γσυν ναϝσι νεωμεθα ποντοποροισιν
αϝτις· επει ρα τοι ⱶῶδε κακος χολος ενπεσε θυϝμῷ.
ταϝτα μ᾽ αγειρομενοι θαμ᾽ εβαδσετε· νῦν δε πεφανται
φυϝλϝοπιδος μεγα ϝεργον, ⱶοϝο το πριν γ᾽ εραεσθε·
ενθα τις αλκιμον ητορ ⱶεχων τροϝεσι μαχεσθω.
ⱶως ϝεσπων, ῶτρυϝνε μενος και θυϝμον ⱶεκαστοο·
μαλλον δε στιχες αρθεν, επει βασιλεϝος ακοϝσαν.
ⱶως δ᾽ ⱶοτε τοιχον ανηρ αραρῆ πυκινοισι λιθοισιν
δῶματος ⱶυπσηλοϝο, βιας ανεμων αλεϝεινων·
ⱶως αραρον κορυθες τε και ασπιδες ομφαλοενται·
ασπις αρ᾽ ασπιδ᾽ ερειδε, κορυς κορυθ᾽, ανερα δ᾽ ανηρ·
πσαϝον δ᾽ ⱶιπποκομοι κορυθες λαμπροισι φαλοισιν
νευοντων· ⱶως πυκνοι εφεστασαν αλληλοισιν.
παντων δε προπαροιθε δυ᾽ ανερε θωρησσεσθον,
πατροκλος τε και αϝτομεδων, ⱶενα θυϝμον ⱶεχοντες,

προσθεν μυρμιδονων πολεμιδσεμεν. αϝταρ αχιλλεϝς
βη ρ᾽ ιμεν ες κλισιην· χηλοο δ᾽ απο πῶμ᾽ ανεῷγεν Π
καλης, δαιδαλεης, την ͱοι θετις αργυροπεδσα
θῆκ᾽ επι ναϝος αγεσθαι, ͱεϋ πλησαντσα χιτῶνων,
χλαιναϝων τ᾽ ανεμοσκεπεων, ϝολϝων τε ταπητων.
ενθα δε ͱοι δεπας εσκε τετυχμενον, ουδε τις αλλος
ουτ᾽ ανδρων πιϝνεσκεν απ᾽ αϝτοϝ αιθοπα ϝοινον,
ουτε τεῷ σπενδεσκε θεων, ͱοτε μη διϊ πατρι.
το ρα τοτ᾽ εκ χηλοϝο λαβων εκαθῆρε θεειϝῳ
πρῶτον, επειτα δ᾽ ενιπτσ᾽ ͱυδατος καλῇσι ροϝῇσιν·
νιπτσατο δ᾽ αϝτος χειρας, αφυσσατο δ᾽ αιθοπα ϝοινον·
ευχετ᾽ επειτα στανς μεσῳ ͱερκει, ελειβε δε ϝοινον.
δσεϝ ϝανα, δωδωναιε, πελασγικε, τηλοθι ναιων,
δωδωνης μεδεων δυσχειμεροϝ· αμφι δε σελλοι
σοι ναιονθ᾽ υποφηται ανιπτοποδες, χαμαι ευναι.
η μεν δη ποτ᾽ εμον ϝεπος εκλυϝες ευχσαμενοϝο,
ηδ᾽ ετι και νῦν μοι τοδ᾽ επικραϝῆνον εελδωρ·
αϝτος μεν γαρ εγω μενεω ναϝων εν αγωνι,
αλλ᾽ ͱεταρον πεμπω, πολυσιν μετα μυρμιδονεσιν,
μαρνασθαι· τῷ κυϝδος ͱαμα προͱες, ευρυοπα δσεϝ·
θαρσυϝνον δε ͱοι ητορ ενι φρεσιν, ͱοφρα και ͱεκτωρ
ϝειδσεται, η ρα και οιος επιστηται πολεμιδσεεν
ͱημετερος θεραπων, η ͱοι τοτε χειρες ααπτοι
μαινονθ᾽, οποτ᾽ εγω περ ιω μετα μῶλον αρεϝος.
αϝταρ επει κ᾽ απο ναϝφι μαχην ενοπην τε διηται,
ασκηθης μοι επειτα θοϝας επι ναϝας ͱικοιτο,
τευχεσι τε γσυν παντσι και ανχεμαχοισ᾽ ͱεταροισιν.
ͱως εφατ᾽ ευχομενος· τοϝο δ᾽ εκλυϝε μητιετα δσεϝς·
τῷ δ᾽ ͱετερον μεν εδῶκε πατηρ, ͱετερον δ᾽ ανενευσεν·
ναϝων μεν ͱοι αποθσασθαι πολεμον τε μαχην τε
δῶκε, σαον δ᾽ ανενευσε μαχης εκς απονεεσθαι.
ητοι ͱο μεν, σπενδσανς τε, και ευχσαμενος διϊ πατρι,
απς κλισιην εισηλθε, δεπας δ᾽ απεθῆκ᾽ ενι χηλῷ·
στη δε παροιθ᾽ ελθων κλισιης, ετι δ᾽ ηθελε θυϝμῷ
εισϝιδεεεν τροϝων και αχαιϝων φυϝλϝοπιν αινην.
ͱοι δ᾽ ͱαμα πατροκλῳ μεγαλητορι θωρηχθεντες
εστιχον, ͱοφρ᾽ εν τροϝσι μεγα φρονεοντες οροϝσαν.
αϝτικα δε σφηκεσι ϝεϝοικοτες εκσεχεϝοντο
ενͱοδιοισ᾽, ͱοϝς παιδες εριδμαινωντι ϝεθοντες,
νηπιαχοι· γσυνον δε κακον πολυεσι τιθεντιν·
τοϝς δ᾽ ειπερ παρα τις κε κιων ανθρωπος ͱοδῖτης
κινησητ᾽ αͱεκων, ͱοι δ᾽ αλκιμον ητορ ͱεχοντες
προσσῳ πανς πετεται, και αμυϝνει ϝεϝοισι τεκεσσιν.
των τοτε μυρμιδονες κραδιην και θυϝμον ͱεχοντες,
εκ ναϝων εχεϝοντο· βοη δ᾽ ασβεστος ορωρεεν.
πατροκλος δ᾽ ͱεταροισιν εκεκλετο, μακρον αͱυϝσανς·

*μυρμιδονες, ͱεταροι πηληϝιαδαϝ' αχιληϝος,*
*ανερες εστε, φιλοι, μνῆσασθε δε θοϝριδος αλκης·*
*ͱως αν πηληϝιδην τιϝμῆσομεν, ͱος μεγ' αριστος.*
*ͱως ϝεσπων, ὤτρυϝνε μενος και θυϝμον ͱεκαστοο·*
*εν δ' επεσον τροϝεσιν ͱαϝολϝεες· αμφι δε ναϝες*
*σμερδαλεον κοναβησαν, αͱυϝσαντων ͱυπ' αχαιϝων.*
*τροϝες δ' ͱως ϝειδοντο μενοιτιοϝ' αλκιμον ͱυιον,*
*αϝτον, και θεραποντα, συν εντεσι μαρμαιροντας,*
*παντσιν ορινθη θυϝμος, εκινηθεν δε φαλανγες,*
*ͱελπομενοι παρα ναϝφι ποδῶκεα πηλεϝιϝῶνα*
*μηνιθμον μεν αποριπτσαι, φιλοτητα δ' ͱελεσθαι·*
*παπτῆνεν δε ͱεκαστος, ͱοπῇ φυγοι αιπυν ολεθρον.*
*πατροκλος δε πρῶτος ακοντισε δορϝι φαϝεινῷ*
*αντικρυς κατα μεσσον, ͱοθι πλειστοι κλονεοντο,*
*ναϝι παρα πρυμνῇ μεγαθυϝμοϝο πρωτεσιλαϝοο·*
*και βαλε πυραιχμην, ͱος παιονας ͱιπποκορυστας*
*ἦγαγεν εκς αμυδῶνος, απ' αγσιοϝ' ευρυ ρεϝοντος·*
*τον βαλε δεχσιον ωμον· ͱο δ' ͱυπτιος εν κονιϝῇσιν*
*κατπεσεν οιμωγσανς· ͱεταροι δε μιν αμφ' εφοβηθεν*
*παιονες· εν γαρ πατροκλος φοβον ͱῆκεν ͱαπαντσιν,*
*ͱηγεμονα κτῆνανς, ͱος αριστεϝεσκε μαχεσθαι.*
*εκ ναϝων δ' ελασεν, κατα δ' εσβεσεν αιθομενον πυρ.*
*ͱημιδαϝης δ' αρα ναϝς λιπετ' αϝτοθι· τοι δ' εφοβηθεν*
*τροϝες θεσπεσιῳ ͱομαδῳ· δαναοι δ' επεχῦντο*
*ναϝας ανα γλαφυρας· ͱομαδος δ' αλιϝαστος ετυχθη.*
*ͱως δ' ͱοτ' αφ' υπσηλης κορυφης ορεος μεγαλοϝο*
*κινησῇ πυκινην νεφελην δσεϝς αστεροπητης,*
*εκ τ' εφανεν παντσαι σκοπιαι και πρηονες ακροι,*
*και ναπαι, ουρανοθεν δ' αρ' ͱυπεϝραγη ασπετος αιθηρ·*
*ͱως δαναοι, ναϝων μεν αποθσαμενοι δαϝιον πυρ,*
*τυτθον ανεπνεϝσαν· πολεμοο δ' ου γιγνετ' εροϝη·*
*ου γαρ πῳ τι τροϝες αρεϝιφιλων ͱυπ' αχαιϝων*
*προτροπαδην φοβεοντο μελαιναϝων απο ναϝων,*
*αλλ' ετ' αρ' ανθισταντο, ναϝων δ' ͱυπεϝεικον ανανκῇ.*
*ενθα δ' ανηρ ͱελεν ανδρα, κεδασθεντσης ͱυσμινης,*
*ͱηγεμονων· πρῶτος δε μενοιτιοϝ' αλκιμος ͱυιος*
*αϝτικ' αρα στρεφθεντος αρεϝιλυκοο βαλε μηρον*
*ενχεϊ ͱοκσυοεντι, δια προ δε χαλκον ελασσεν·*
*ϝρῆγσεν δ' οστεον ενχος· ͱο δε πρηνης επι γαιης*
*κατπεσ'. αταρ μενελαϝος αρεϝιος ουτα θοϝαντα,*
*στερνον γυμνωθεντα παρ' ασπιδ'· ελυϝσε δε γυια.*
*φυϝλεϝιδης δ' αμφικλον εφορμηθεντα δοκεϝσανς,*
*εφθη ορεγσαμενος πρυμνον σκελος, ενθα παχιστος*
*μυϝων ανθρωποο πελεται· περι δ' ενχεος αιχμῇ*
*νευρα διεσχισθη· τον δε σκοτος οσσ' εκαλυπτσεν.*
*νεστοριδαι δ', ͱο μεν ουτασ' ατυμνιον ͱοκσυϊ δορϝι*

αντιλοχος, λαπαρης δε διηλασε χαλκεον ενχος· Π
ηριπε δε προπαροιθε· μαρις δ᾽ αϝτοσχεδα δορϝι
αντιλοχῳ εποροϝσε, κασιγνῆτοϝο χολῶθενς,
στανς προσθεν νεκυος· τοϝο δ᾽ αντιθεος θρασυμηδης
εφθη ορεγσαμενος, πρινγ᾽ ουτασαι, ουδ᾽ απαμαρτεν,
ωμον ͱαφαρ· πρυμνον δε βραχιϝονα δορϝος ακωκη
δρυπτσ᾽ απο μυϝῶνων, απο δ᾽ οστεον αχρις αραγσεν·
δουπησεν δε πεσων, κατα δε σκοτος οσσ᾽ εκαλυπτσεν.
αιϝανς δε κλεοβουλον, ͱο ϝιλϝιαδης, εποροϝσανς
δσαϝον ͱελε, βλαφθεντα κατα κλονον· αλλα ͱοι αϝθι
λυϝσε μενος, πληγσανς χσιφει αϝχενα κωπῆεντι.
παν δ᾽ ͱυπεθερμανθη χσιφος ͱαιματι· τον δε κατ᾽ οσσε
ελαβε πορφυρεος θανατος και μοιρα κραταιη.
πηνελαϝος δε λυκων τε συνεδραμον· ενχεσι μεν γαρ
ῆμβροτον αλληλων, μελεον δ᾽ ῆκοντισαν αμφω·
τω δ᾽ αϝτις χσιφεεσι συνεδραμον· ενθα λυκων μεν
ͱιπποκομοο κορυθος φαλον ηλασεν, αμφι δε καϝλον
φασγανον εϝραισθη· ͱο δ᾽ ͱυπ᾽ οϝατος αϝχεν᾽ εθεινεν
πηνελαϝος, παν δ᾽ εισῳ εδῦ χσιφος, εσχεθε δ᾽ οιον
δερμα· παρῆͱερθη δε καρῇ, ͱυπελῦντο δε γυια.
μηριονης δ᾽ ακαμαντα, κιχενς ποσι καρπαλιμοισιν,
νυκσ᾽, ͱιππων επιβησομενον, κατα δεχσιον ωμον·
ηριπε δ᾽ εκς ͱοχεων, κατα δ᾽ οφθαλμων κεχυτ᾽ αχλυς.
ιδομενεϝς δ᾽ ερυμαντα κατα στομα νηλεϊ χαλκῳ
νυκσε· το δ᾽ αντικρυς δορυ χαλκεον εκσεπερῆσεν
νερθεν ͱυπ᾽ ενκεφαλοϝ· εκεασσε δ᾽ αρ᾽ οστεα λεϝκα·
εκ δ᾽ ετιναχθεν οδοντες· ενεπλησθεν δε ͱοι αμφω
ͱαιματος οφθαλμοι· το δ᾽ ανα στομα και κατα ϝρῖνας
πρηθσε χανων· θανατοο δε μελαν νεφος αμφεκαλυπτσεν.
ͱοϝτοι αρ᾽ ͱηγεμονες δαναων ͱελον ανδρα ͱεκαστος.
ͱως δε λυκοι ϝαρνεσιν επεχραϝον, η᾽ εριφοισιν,
σινται, ͱυπ᾽ εκ μηλων ͱαιρεομενοι, ͱαιτ᾽ εν ορεσσιν
ποιμενος αφραδιῇσι διετμαγεν· ͱοι δε ϝιδοντες
αιπσα διͱαρπαδσοντιν ααλκιδα θυϝμον ͱεχοντσας·
ͱως δαναοι τροϝεσιν επεχραϝον· ͱοι δε φοβοϝο
δυσκελαδοο μνησαντ᾽, ελαθοντο δε θοϝριδος αλκης.
αιϝανς δ᾽ ͱο μεγας αιϝεν εφ᾽ εκτορι χαλκοκορυστῇ
ͱιͱετ᾽ ακοντισσαι· ͱο δε ϝιδριιῇ πολεμοϝο,
ασπιδι ταυρειῇ κεκαλυπμενος ευρυας ωμοϝς,
σκεπτετ᾽ οϊστων τε ϝροιδσον και δουπον ακοντων.
η μεν δη γιγνωσκε μαχης ͱετεραλκεα νικην·
αλλα και ͱως ανεμιμνε, σαω δ᾽ εριηρας ͱεταιροϝς.
ͱως δ᾽ ͱοτ᾽ απ᾽ ολυνποο νεφος ερχεται ουρανον εισῳ,
αιθερος εκ διϝης, ͱοτε τε δσεϝς λαιλαπα τεινῇ·
ͱως των εκ ναϝων γενετο ϝιϝαχη τε φοβος τε·
ουδε κατα μοιραν περαον παλιν· ͱεκτορα δ᾽ ͱιπποι

εκφερον ὤκυποδες γσυν τευχεσι· λειπε δε λαϝον
τροϝικον, ͱοϝς αϝεκοντας ορυκτη ταφρος ερυκεν·
πατροκλος δ' ͱεπετο, σφεδανον δαναοισι κελεϝων,
τροϝσι κακα φρονεων· ͱοι δε ϝιϝαχῇ τε φοβῳ τε
παντσας πλησαν ͱοδοϝς, επει ετμαγεν· ͱυπσι δ' αϝελλα
σκιδναθ' υπο νεφεων· τανυοντο δε μωνυχες ͱιπποι
απσοροϝον προτι ϝαστυ ϝελιχθεντων ͱυπ' αχαιϝων·
πατροκλος δ', ͱῇ πλειστον ορινομενον ϝιδε λαϝον,
τῇ ρ' ͱεχ' ͱομοκλησανς· ͱυπο δ' αγσοσι φωτες επιπτον
πρηνεες εκς ͱοχεων, διφροι δ' ανεκυμβαλιαδσον.
αντικρυς δ' αρα ταφρον ͱυπερθορον ὤκυες ͱιπποι,
προσσῳ ͱιͱεμενοι· επι δ' ͱεκτορι κεκλετο θυϝμος·
ͱιͱετο γαρ βαλεεεν· τον δ' εκφερον ὤκυες ͱιπποι.
ͱως δ' ͱυπο λαιλαπι παντσα κελαινη βεβρυχκε χθων
ͱηματ' οπωρεινῳ, ͱοτε λαβροτατον χεϝει ͱυϝδωρ
δσεϝς, ͱοτε δη ρ' ανδρεσι κοτεσσαμενος χαλαπῆνῃ,
ͱοι βιῇ ειν αγορῇ σκολιας κρινωντι θεμιστας,
εκ δε δικην ελασωντι, θεων ϝοπιν ουκ αλεγοντες·
των δε τε παντες μεν ποταμοι πληθοντι ρεϝοντες,
πολλας δε κλῖτυας τοτ' αποτμηγοντι χαραδραι,
ες δ' ͱαλα πορφυρεην μεγαλα στοναχοντι ρεϝοντσαι
εκς ορεων επι καρ· μινυθει δε τε ϝεργ' ανθρωπων·
ͱως ͱιπποι τροϝιαι μεγαλα στοναχοντο θεϝοντσαι.
πατροκλος δ', επει ὦν πρωτας επεκερσε φαλαγγας,
απς επι ναϝας εϝεργε παλινπετες, ουδε πολιστος
ηϝαεν ͱιͱεμενοϝς επιβαινεμεν, αλλα μεσηγυ
ναϝων και ποταμοο και τειχεος ͱυπσηλοϝο
κτεινε μεταϝισσων, πολυων δ' απετιϝνυτο ποινην.
ενθ' ητοι προνοον πρωτον βαλε δορϝι φαϝεινῳ,
στερνον γυμνωθεντα παρ' ασπιδ'· ελυϝσε δε γυια·
δουπησεν δε πεσων· ͱο δε θεστορα, ϝοινοπος ͱυιον,
δεϝτερον ͱορμηθενς· ͱο μεν ͱευχσεστῳ ενι διφρῳ
ͱηστο ͱαλενς· εκ γαρ πληγη φρενας, εκ δ' αρα χειρων
ͱηνι' εαϝιχθησαν· ͱο δ' ενχεϊ νυκσε παραστανς
γναθμον δεχσιτερον, δια δ' αϝτοϝ επειρεν οδοντων·
ͱελκε δε δορϝος ͱελων ͱυπερ αντυγος· ͱως ͱοτε τις φως
πετρῃ επι προβλῆτι καθημενος, ͱιερον ͱιχθυν
εκ ποντοϝο θυραδσε λινῳ και ϝοινοπι χαλκῳ·
ͱως ͱελκ' εκ διφροϝο κεχηνοτα δορϝι φαϝεινῳ,
κατ δ' αρ' επι στομ' εωσε· πεσοντα δε μιν λιπε θυϝμος.
αϝταρ επειτ' ερυλαϝον επεσσυμενον βαλε πετρῳ
μεσσην κατ κεφαλην· ͱη δ' ανδιχα παντσ' εκεασθη
εν κορυθι βριαρῇ· ͱο δ' αρα πρηνης επι γαιῃ
καππεσεν· αμφι δε μιν θανατος χυτο θυϝμοϝραϊστης.
αϝταρ επειτ' ερυμαντα, και αμφοτερον, και επαλτην,
τληπολεμον τε δαμαστοριδην, ͱεχιον τε, πυρην τε,

Ϝῖφεϝα θ᾽, ευͱιππον τε, και αργεαδην πολυμηλον, Π
παντας επασσυτεροϝς πελασε χθονι πολυβοτειρῃ.
σαρπηδων δ᾽ ͱως ὦν ϝιδ᾽ αμιτροχιτῶνας ͱεταιροϝς
χερσ᾽ ͱυπο πατροκλοϝο μενοιτιαδαϝο δαμεντας,
κεκλετ᾽ αρ᾽ αντιθεοισι καθαπτομενος λυκιοισιν·
αιδως, ω λυκιοι, ποσε φευγετε; νῦν θοϝοι εστε·
αντησω γαρ εγω τοϝοδ᾽ ανερος, ͱοφρα δαειω,
ͱοστις ͱοδε κρατεει· και δη κακα πολλα ϝεϝοργεν. 424
ῆ ρα, και εκς ͱοχεων γσυν τευχεσ᾽ εͱαλτο χαμαδσε. 426
πατροκλος δ᾽ ͱετερωθεν, επει ϝιδεν, εκθορε διφροο.
ͱοι δ᾽, ͱωστ᾽ αιγυπιοι, γαμπσωνυχες, ανκυλοχειλαι,
πετρῃ εφ᾽ υπσηλῇ μεγαλα κλαδσοντε μαχωνται·
ͱως ͱοι κεκλῆγοντες επ᾽ αλληλοισιν οροϝσαν.
τοϝς δε ϝιδων ελεησε κρονοο παϊς ανκυλομητεο, 431
ͱαιματοεντσας δε πσιαδας κατεχεϝεν εραδσε, 459
παιδα φιλον τιϝμῶν, τον ͱοι πατροκλος εμελλεν
φθῖσεμεν εν τροϝιῃ εριβῶλακι, τηλοθι πατρης.
ͱοι δ᾽ ͱοτε δη σχεδον ῆσαν επ᾽ αλληλοισιν ιοντες,
ενθ᾽ ητοι πατροκλος αγακλειτον θρασυμηλον,
ͱος ρ᾽ ῆΰς θεραπων σαρπηδονος ῆε ϝανακτος,
τον βαλε νεϝαιραν κατα γαστερ᾽, ελυϝσε δε γυια.
σαρπηδων δ᾽ αϝτοο μεν απῆμβροτε δορϝι φαϝεινῷ,
δεϝτερος ͱορμῆθενς· ͱο δε πηδασον ουτασεν ͱιππον
ενχεϊ δεχσιον ωμον· ͱο δ᾽ εβραχε θυϝμον αͱισθων·
κατ δ᾽ επεσ᾽ εν κονιϝῆσι μακων, απο δ᾽ επτατο θυϝμος.
τω δε διαστητην· κρικε δε δσυγον, ͱηνια δε σφιν
γσυνχυτ᾽, επειδη κειτο παρῆͱορος εν κονιϝῆσιν.
τοϝο μεν αϝτομεδων δορϝικλυτος ͱευρετο τεκμωρ,
σπασσαμενος τανυηκες αͱορ παχυος παρα μηροο,
αͱικσανς απεκοπτσε παρῆͱορον, ουδ᾽ εματῆσεν·
τω δ᾽ ιθυϝνθητην, εν δε ϝρῦτηρσ᾽ ετανυσθην.
τω δ᾽ αϝτις γσυνιτην εριδος περι θυϝμοβοροϝο.
ενθ᾽ αϝ σαρπηδων μεν απῆμβροτε δορϝι φαϝεινῷ,
πατροκλοο δ᾽ ͱυπερ ωμον αριστερον ηλυθ᾽ ακωκη
ενχεος, ουδ᾽ εβαλ᾽ αϝτον· ͱο δ᾽ ͱυστερος ῶρνυτο χαλκῷ
πατροκλος· τοϝο δ᾽ ουχ αλιον βελος εκφυγε χειρος,
αλλ᾽ εβαλ᾽, ενθ᾽ αρα τε φρενες ͱερχαται αμφ᾽ ͱαδινον κεαρ·
ηριπε δ᾽, ͱως ͱοτε τις δρυς ηριπεν, ῆ᾽ αχερωΐς,
ηε πιτυς βλωθρη, τηντ᾽ ορεσι τεχτονες ανδρες
εκσεταμον πελεκυσσι νεϝηκεσι, ναϝιον εεναι·
ͱως ͱο προσθ᾽ ͱιππων και διφροϝ᾽ εκειτο τανυσθενς,
βεβρυχκως, κονιος δεδραγμενος ͱαιματοεντσης.
ηΰτε ταυρον επεφνε λεϝων αγεληφι μετελθων,
αιθῶνα, μεγαθυϝμον, εν ͱελλιποδεσι βοϝεσιν,
ῶλετο τε στοναχων ͱυπο γαμφηλῇσι λεϝοντος·
ͱως ͱυπο πατροκλῷ λυκιων αγος ασπισταϝων

κτεινομενος μενεαινε, φιλον δ' ονομῆνεν ͱεταιρον· Π
γλαϝκε, παρος πολεμιστα μετ' ανδρεσι, νῦν σε μαλα χρὴ
αιχμῆτην τ' εμεναι, και θαρσαλεον πολεμιστην·
νῦν τοι ͱελδεσθω πολεμος κακος, ει θοϝος εσσι.
πρῶτα μεν οτρυϝνον λυκιων ͱηγητορας ανδρας, 495
παντῃ εποιχομενος, σαρπηδονος αμφιμαχεσθαι·
αϝταρ επειτα και αϝτος εμεο περι μαρναο χαλκῷ.
σοι γαρ εγω και επειτα κατηφειη και ονειδος
εσσομαι ͱηματα παντα διανπερες, ει κε μ' αχαιϝοι
τευχεα συλϝῆσωντι, ναϝων εν αγῶνι πεσοντα. 500
αλλ' ͱεχεο κρατερως, οτρυϝνε δε λαϝον ͱαπαντα.
ͱως αρα μιν ϝεσποντα τελος θανατοϝ εκαλυπτσεν,
οφθαλμοϝς, ϝρῖνας θ'· ο δε λακς εν στηθεσι βαινων,
εκ χροος ͱελκε δορυ, προτι δε φρενες αϝτῷ ͱεποντο. 504
γλαϝκῷ δ' αινον αχος γενετο φθογγης αϝιοντι· 508
πρῶτα μεν ὤτρυϝνεν λυκιων ͱηγητορας ανδρας, 532
παντῃ εποιχομενος, σαρπηδονος αμφιμαχεσθαι.
αϝταρ επειτα μετα τροϝας κιε, μακρα βιβᾶσθων,
πολυδαμαντ' επι πανθοϝιδην, και αγῆνορα διϝον· 535
βη δε μετ' αινειαν τε, και ͱεκτορα χαλκοκορυστην,
ανχοϝο δ' ͱισταμενος ϝεπεα πτεροεντα προσηῦϝδα·
ͱεκτορ, νῦν δη πανχυ λελαθμενος εσσ' επικουρων,
ͱοι σεθεν ͱεινεκα, τηλε φιλων, και πατριδος αιης,
θυϝμον αποφθινυθοντι· συ δ' ουκ εθελεις επαμυνεεν. 540
κειται σαρπηδων, λυκιων αγος ασπισταϝων· 541
τον δ' ͱυπο πατροκλῷ δαμασ' ενχεϊ χαλκεος αρεϝς. 543
αλλα, φιλοι, παρστητε, νεμεσῆθητε δε θυϝμῷ,
μη απο τευχε' ͱελωνται, αϝεικισσωντι δε νεκρον, 545
μυρμιδονες, δαναων κεχολῶμενοι, ͱοσσοι ολοντο,
τοϝς επι ναϝσι θοϝῆσιν επεφνομεν ενχειῃσιν.
ͱως εφατο· τροϝας δε κατα κρῆθεν λαβε πενθος
ασχετον, ουκ επιϝεικτον, επει σφισιν ͱερμα πολιστος
εσκε, και αλλοδαπος περ εων· πολυες γαρ ͱαμ' αϝτῷ 550
λαϝοι ͱεποντ', εν δ' αϝτος αριστεϝεσκε μαχεσθαι.
βαν δ' ιθυς δαναων λελιϝημενοι· ῆρχε δ' αρα σφιν
ͱεκτωρ, χωομενος σαρπηδονος. αϝταρ αχαιϝοϝς
ὦρσε μενοιτιαδεο πατροκλεεος λασιον κεαρ. 554
ὦθσαν δε προτεροι τροϝες ϝελικῶπας αχαιϝοϝς· 569
βλῆτο γαρ ου τι κακιστος ανηρ μετα μυρμιδονεσιν, 570
ͱυιος αγακλεεος μεγαθυϝμοϝο, διϝος επειγεϝς,
ͱος ῥ' εν βοϝδειῷ ͱεϋναιομενῷ εϝανασσεν
το πριν· αταρ τοτε γ' εσθλον ανεπσιον εκσεναρικσανς
ες πηλεϝ' ͱικετεϝσε, και ες θετιν αργυροπεδσαν·
ͱοι δ' ͱαμ' αχιλλεϝι ϝρῆγσῆνορ' επεμπον ͱεπεσθαι 575
ϝιλϝιον εις ͱεϋπωλον, ͱινα τροϝεσι μαχοιτο.
τον ρα τοθ' απτομενον νεκυος βαλε φαιδιμος ͱεκτωρ

χερμαδιῳ κεφαλην· ͱη δ' ανδιχα παντσ' εκεασθη Π
εν κορυθι βριαρῃ· ͱο δ' αρα πρηνης επι νεκρῳ
κατπεσεν, αμφι δε μιν θανατος χυτο θυϝμοϝραϊστης.
πατροκλῳ δ' αρ' αχος γενετο φθιμενοϝ ͱεταροϝο·
ιθυϝσεν δε δια προμαχων, ͱιερηκι ϝεϝοικως
ῶκυϊ, ͱοστ' εφοβησε κολοϝοϝς τε, πσαϝρας τε·
ͱως ιθυς λυκιων, πατροκλεες ͱιπποκελευθε,
εσσυο και τροϝων· κεχολῶσο δε κεαρ ͱεταροϝο.
και ρ' εβαλε σθενελαϝον, ιθαιμενεος φιλον ͱυιον,
αϝχενα χερμαδιῳ, ϝρῆγσεν δ' απο τοϝο τενοντας.
ͱοση δ' αιγανεης ριπη ταναοϝο τετυχται,
ͱην ρα τ' ανηρ αφιͱῇ πειρῶμενος η' εν αϝεθλῳ,
ηε και εν πολεμῳ, δαϝιων ͱυπο θυϝμοϝραϊστεων·
τοσον εχῶρησαν τροϝες, ῶθσαντο δ' αχαιϝοι.
γλαϝκος δε πρῶτος, λυκιων αγος ασπισταϝων,
ετραπετ', εκτεινεν δε βαθυκλεεα μεγαθυϝμον,
χαλκῶνος φιλον ͱυιον, ͱος ͱελλαδι ϝοικια ναιων
ολβῳ τε πλουτῳ τε μετεπρεπε μυρμιδονεσιν·
τον μεν αρα γλαϝκος στηθος μεσον ουτασε δορϝι,
στρεφθενς εκσαπινης, ͱοτε μιν κατεμαρπτε διωκων·
δουπησεν δε πεσων· πυκινον δ' αχος ελαβ' αχαιϝοϝς,
ͱως επεσ' εσθλος ανηρ, μεγα δε τροϝες κεχαροντο·
σταν δ' αμφ' αϝτον ιοντες ͱαϝολϝεες· ουδ' αρ' αχαιϝοι
αλκης εκσελαθοντο, μενος δ' ιθυς φερον αϝτων.
ενθ' αϝ μηριονης τροϝων ͱελεν ανδρα κορυστην
λαϝογονον, θρασυν ͱυιον ονητορος, ͱος διος ͱιερεϝς
ιδαιοϝ ετετυχτο, θεος δ' ͱως τιϝετο δημῳ·
τον βαλ' ͱυπο γναθμοϝο και οϝατος· ῶκα δε θυϝμος
ῴχετ' απο μελεων, στυγερος δ' αρα μιν σκοτος ͱελλεν.
αινειας δ' επι μηριονῃ δορυ χαλκεον ͱῆκεν·
ͱελπετο γαρ τευχσεσθαι ͱυπασπιδια προβιβῶντος·
αλλ' ͱο μεν αντα ϝιδων ῆλεϝσατο χαλκεον ενχος,
προσσῳ γαρ κατεκυπτσε, το δ' εκσοπιθεν δορυ μακρον
ουδει ενισκιμφθη, επι δ' ουριαχος πελεμιχθη.
αινειας δ' αρα θυϝμον εχωσατ', εφῶνησεν τε·
μηριονη, ταχα κεν σε, και ορχηστην περ εοντα,
ενχος εμον κατεπαϝσε διανπερες, ει σ' εβαλον περ.
τον δ' αϝ μηριονης δορϝικλυτος αντιον ῆυϝδα·
αινεια, χαλεπον σε, και ἶφθιμον περ εοντα,
παντων ανθρωπων σβεσσαι μενος, ͱος κε σεϝ αντα
ελθῃ αμυϝνομενος· θνῆτος δε νυ και συ τετυχσαι.
ει και εγω σε βαλοιμι τυχων μεσον ͱοκσυϊ χαλκῳ,
αιπσα κε, και κρατερος περ εων και χερσι πεποιθως,
ευχος εμοι δῷης, πσυϝχην δ' αϝιδι κλυτοπωλῳ.
ͱως φατο· τον δ' ενενῖπε μενοιτιοϝ αλκιμος ͱυιος·
μηριονη, τι συ ταϝτα, και εσθλος εων, αγορεϝεις;

ω πεπον, ουτι τροϝες ονειδειοισι ϝεπεσσιν Π
νεκροϝο χωρησοντι, παρος τινα γαια καθεχσει·
εν γαρ χερσι τελος πολεμοο, ϝεπεων δ', ενι βουλῇ·
τῷ ουτι χρη μυϝθον οφελλεμεν, αλλα μαχεσθαι.
ͱως ϝεσπων, ͱο μεν ἦρχ', ͱο δ' ͱαμ' ͱεσπετο ϝεισϝοθεος φῶς.
των δ', ͱωστε δρυτομων ανδρων ορυμαγδος ορῶρεν
ορεος εν βησσῇσ', ͱεκαθεν δε τε γιγνετ' ακοϝη·
ͱως των ωρνυτο δουπος απο χθονος ευρυοδειης,
χαλκοϝο τε, ϝρῖνων τε βοϝων, ͱεϋποιηταϝων,
νυσσομενων χσιφεσιν τε και ενχεσιν αμφιγυοισιν.
ουδ' αν ετι φραδμων περ ανηρ σαρπηδονα διϝον
εγνῶ, επει βελεεσι, και ͱαιματι, και κονιͱῇσιν,
εκ κεφαλης ϝελϝῦτο διανπερες ες ποδας ακροϝς.
ͱοι δ' αιϝει περι νεκρον ͱομιλϝεον, ͱως ͱοτε μυιαι
σταθμῷ ενι βρομεωντι περιγλαγεας κατα πελλας,
ͱωρῇ ϝεαρινῇ, ͱοτε τε γλαγος ανγεα δευει·
ͱως αρα τοι περι νεκρον ͱομιλϝεον· ουδε ποτε δσεϝς
τρεπσεν απο κρατερης ͱυσμινης οσσε φαϝεινω,
αλλα κατ' αϝτοϝς αιϝεν ͱορᾶ, και φραδσετο θυϝμῷ
πολλα μαλ' αμφι φονῷ πατροκλοϝο, μερμηριδσων,
η' ηδη και εκεινον ενι κρατερῇ ͱυσμινῇ
αϝτοϝ επ' αντιθεῷ σαρπηδονι φαιδιμος ͱεκτωρ
χαλκῷ δαϝιῶσητ' απο τ' ωμων τευχε' ͱεληται,
η' ετι και πλεονεσιν οφελλειεν πονον αιπυν.
ͱῶδε δε ͱοι φρονεοντι δοασσατο κερδιον εεναι,
ͱοφρ' ηΰς θεραπων πηληϝιαδαϝ αχιλεϝος
εκσαϝτις τροϝας τε και ͱεκτορα χαλκοκορυστην
οθσαιτο προτι ϝαστυ, πολυων δ' απο θυϝμον ͱελοιτο.
ͱεκτορι δε πρῶτιστῷ ααλκιδα θυϝμον ενͱῆκεν·
ες διφρον δ' αναβανς φυγαδ' ετραπ', εκεκλετο δ' αλλοϝς
τροϝας φευγεμεναι· γνῶ γαρ διος ͱιερα ταλαντα.
ενθ' ουδ' ἶφθῖμοι λυκιοι μενον, αλλ' εφοβηθεν
παντες, επει βασιλεϝα ϝιδον βεβλῆμενον ητορ,
κειμενον εν νεκυων αγυρι· πολυες γαρ επ' αϝτῷ
καππεσον, ευτ' εριδα κρατερην ετανυσσε κρονιϝων.
ͱοι δ' αρ' απ' ωμοιϊν σαρπηδονος εντε ͱελοντο· 663
πατροκλος δ' ͱιπποισι και αϝτομεδοντι κελεϝσανς, 684
τροϝας και λυκιοϝς μετεκιαθε, και μεγ' αϝασθη,
νηπιος! ει δε ϝεπος πηληϝιαδαϝ εφυλακσεν,
ητ' αν ͱυπεκφυγε κηρα κακην μελανος θανατοϝο.
αλλ' αιϝει γε διος κρεισσων νοος ηε περ ανδρων, 688
ͱος ͱοι και τοτε θυϝμον ενι στηθεσσιν ανͱῆκεν. 691
ενθα τινα πρῶτον, τινα δ' ͱυστατον εκσεναρικσας,
πατροκλεες, ͱοτε δη σε θεοι θανατονδ' εκαλεσσαν;
αδρηστον μεν πρῶτα, και αϝτονοον, και ͱεχεκλον,
και περιμον μεγαδην, και επιστορα, και μελανͱιππον·

αϝταρ επειτ' ελασον, και μουλιον, ηδε πυλαρτην·
τοϝς ͱελεν· ͱοι δ' αλλοι φυγαδ' εμναϝοντο ͱεκαστος.
ͱεκτωρ δ' εν σκαιϝῇσι πυλῇσ' ͱεχε μωνυχας ͱιπποϝς·
διδσε γαρ, ηε μαχοιτο κατα κλονον αϝτις ελασσανς,
η λαϝοϝς ες τειχος ͱομοκλησειεν ͱαληναι.
ταϝτ' αρα ͱοι φρονεοντι παρͱιστατο φοιβος απολλων,
ανερι ϝειδσαμενος αιδσηῷ τε, κρατερῷ τε,
ασιῷ, ͱος μητρῶς ῆν ͱεκτορος ͱιπποδαμοϝο,
αϝτοκασιγνῆτος ͱεκαβης, ͱυιος δε δυμαντος,
ͱος φρυγιῇ ναιεσκε ροϝῇσ' επι σαγγαριοϝο·
τῷ μιν ϝειδσαμενος προσεφη διος ͱυιος απολλων·
ͱεκτορ, τιπτε μαχης αποπαϝεαι; ουδε τι σε χρη.
αιθ' ͱοσον ͱησσων ῆμι, τοσον σεϝο φερτερος ειην·
τῷ κε ταχα στυγερως πολεμοϝ' απεροϝησειας.
αλλ' αγε, πατροκλῷ ͱεφεπε κρατερωνυχας ͱιπποϝς,
αι κεν πως μιν ͱελῃς, δῴη δε τοι ευχος απολλων.
ͱως ϝεσπων, ͱο μεν αϝτις εβη θεος αν πονον ανδρων·
κεβριονῃ δ' εκελεϝσε δαϝιφρονι φαιδιμος ͱεκτωρ
ͱιπποϝς ες πολεμον πεπληγεμεν· αϝταρ απολλων
δυϝσαθ' ομιλϝον ιών· εν δε κλονον αργειϝοισιν
ͱῆκε κακον, τροϝεσιν δε και ͱεκτορι κυϝδος οπαδσεν.
ͱεκτωρ δ' αλλοϝς μεν δαναοϝς εϝα', ουδ' εναριδσεν·
αϝταρ ͱο πατροκλῷ εφεπε κρατερωνυχας ͱιπποϝς.
πατροκλος δ' ͱετερωθεν αφ' ιππων ͱαλτο χαμαδσε,
σκαιϝῇ ενχος ͱεχων· ͱετερηφι δε λαδσετο πετρον
μαρμαρον, ακριαεντα, τον ͱοι περι χειρ εκαλυπτσεν.
ͱῆκε δ' ερειδσαμενος· ουδε δην χαδσετο φῶτος,
ουδ' ͱαλιῶσε βελος· βαλε δ' ͱεκτορος ͱηνιͱοχεϝα
κεβριονην, νοθον ͱυιον αγακλεϝός πριαμοϝο,
ͱιππων ͱηνι' ͱεχοντα, μετώπιον ͱοκσυϊ λαϝι·
αμφοτερας δ' οφρυας γσυνͱελεν λιθος, ουδε ͱοι εσχεν
οστεον· οφθαλμοι δε χαμαι πεσον εν κονιϝῇσιν
αϝτοϝο προσθε ποδων· ͱο δε, ϝαρνευτηρι ϝεϝοικως,
κατπεσ' αφ' ευϝεργεος διφροο· λιπε δ' οστεα θυϝμος.
τον δ' επικερτομεων προσεφης, πατροκλεες ͱιππεϝ·
ω ποποι! η μαλ' ελαφρος ανηρ! ͱως ρεϝα κυβιστᾷ!
ει δη ποο και ποντῷ εν ͱιχθυοεντι γενοιτο,
πολλοϝς αν κορεσειεν ανηρ ͱοδε, τηθεα διφῶν,
ναϝος αποθρῶσκων, ει και δυσπεμφελος ειη·
ͱως νῦν εν πεδιῷ εκς ͱιππων ρεϝα κυβιστᾷ·
η ρα και εν τροϝεσι κυβιστῆτηρες εαντιν!
ͱως ϝεσπων, επι κεβριονῃ ͱηροϝ' εβεβηκεεν,
ͱοιμα λεϝοντος ͱεχων, ͱοστε σταθμοϝς κεραϊδσων
εβλῆτο προς στηθος, ͱεϝη τε μιν ῶλεσεν αλκη·
ͱως επι κεβριονῃ, πατροκλεες, ͱαλσο μεμαϝως.
ͱεκτωρ δ' αϝθ' ετερωθεν αφ' ιππων ͱαλτο χαμαδσε.

τω περι κεβριοναϝο, λεϝονθ' ὡς, δηρισθητην,
ͱωτ' ορεος κορυφῇσι περι κταμενης ελαφοϝο,
αμφω πειναϝοντε, μεγα φρονεοντε μαχεσθον·
ͱως περι κεβριοναϝο δυω μηστωρες αͱυϝτης,
πατροκλος τε μενοιτιαδης και φαιδιμος ͱεκτωρ,
ͱιͱεντ' αλληλων ταμεεεν χροα νηλεϊ χαλκῳ.
ͱεκτωρ μεν κεφαληφιν επει λαβεν, ουχι μεθιͱεεν·
πατροκλος δ' ͱετερωθεν ͱεχεν ποδος· ͱοι δε δη αλλοι
τρωϝες και δαναοι γσυναγον κρατερην ͱυσμινην.
ͱως δ' ευρος τε νοτος τ' εριδαινετον αλληλοιϊν,
ορεος εν βησσῃς, βαθυην πελεμιδσεμεν ͱυλϝην,
φηγον τε, μελιην τε, τανυφλοϝον τε κρανειαν,
ͱαιτε προς αλληλας εβαλον τανυηκεας οδσοϝς
ϝηχῇ θεσπεσιῃ, παταγος δε τε ϝαγνυμεναϝων·
ͱως τρωϝες και αχαιϝοι επ' αλληλοισι θοροντες
δαϝιων, ουδ' ͱετεροι μναϝοντ' ολοοϝο φοβοϝο.
πολλα δε κεβριονην αμφ' ͱοκσυα δορϝ' επεπηγεεν,
ͱιͱοι τε πτεροεντες απο νευρηφι θοροντες·
πολλα δε χερμαδια μεγαλ' ασπιδας εστυφελικσεν
μαρναμενων αμφ' αϝτον· ͱο δε στροφαλινγι κονιϝης
κειτο μεγας μεγαλωστι, λελαθμενος ͱιπποσυναϝων.
ͱοφρα μεν ἥελιος μεσον ουρανον αμφεβεβηκεεν,
τοφρα μαλ' αμφοτερων βελε' ϝαπτετ', επιπτε δε λαϝος·
ημος δ' ἥελιος μετενισσετο βοϝλυϝτονδε,
και τοτε δη ρ' ͱυπερ αισαν αχαιϝοι φερτεροι ἦσαν·
εκ μεν κεβριονην βελεων ͱηροϝ' εϝερυσσαν,
τρωϝων εκς ενοπης, και απ' ωμων τευχε' ͱελοντο.
πατροκλος δε τρωϝσι κακα φρονεων ενοροϝσεν·
τρις μεν επειτ' εποροϝσε, θοϝῳ ͱαταλαντος αρεϝι,
σμερδαλεα ϝιϝαχων· τρις δ' ͱεννεα φωτας επεφνεν·
αλλ' ͱοτε δη το τεταρτον επεσσυτο, δαιμονι ϝεισϝος,
ενθ' αρα τοι, πατροκλ', εφανη βιϝοτοϝο τελεϝτη·
ἤντετο γαρ τοι φοιβος ενι κρατερῃ ͱυσμινῃ
δδεινος· ͱο μεν τον ιοντα κατα κλονον ουκ ενοησεν·
ἤερι γαρ πολλῇ κεκαλυπμενος αντεβολησεν·
στη δ' οπιθ', επληγσεν δε μεταφρενον, ευρυε τ' ωμω
χειρι καταπρηνεῖ· στρεφεδινεϝθην δε ͱοι οσσε.
τοο δ' απο μεν κρατος κυνεην βαλε φοιβος απολλων·
ͱη δε κυλινδομενη καναχην ͱεχε ποδσιν ͱυφ' ιππων
αϝλωπις τρυφαλεια· μιανθησαν δε ϝεθειραι
ͱαιματι και κονιϝῃσι· παρος γε μεν ου θεμις ἦεν
ͱιπποκομον πηληκα μιαινεσθαι κονιϝῃσιν·
αλλ' ανδρος θειοϝο καρη, χαριεν τε μετωπον
ρυϝετ' αχιλλεϝος· τοτε δε δσεϝς ͱεκτορι δωκεν
ͱῇ κεφαλῇ φορεεεν· σχεδοθεν δε ͱοι ἦεν ολεθρος·
παν δε ͱοι εν χειρεσ' εϝαγη δολιχοσκιον ενχος,

βριθυ, μεγα, στιβαρον, κεκορυθμενον· αϝταρ απ' ωμων Π
ασπις γσυν τελαμῶνι χαμαι πεσε τερμιοεντσα·
λυϝσε δε ͱοι θωρηκα ϝαναξ, διος ͱυιος, απολλων.
τον δ' αϝατη φρενας ͱελλ', ελυθεν δ' ͱυπο φαιδιμα γυια·
στη δε ταφων· οπιθεν δε μεταφρενον ͱοξσυϊ δορϝι
ωμων μεσσηγυ σχεδοθεν βαλε δαρδανος ανηρ,
πανθοϝιδης ͱεϋφορβος, ͱος ͱηλικιην εκεκαστο
ενχεϊ θ', ιπποσυνῃ τε, ποδεσι τε καρπαλιμοισιν·
ͱος τοι πρῶτος εφῆκε βελος, πατροκλεες ͱιππεϝ,
ουδ' εδαμασσ'· ͱο μεν αϝτις ανεδραμ', εμιγτο δ' ͱομιλϝῳ,
εκ χροος ͱαρπακσανς δορυ μειλινον· ουδ' ͱυπεμῆνεν
πατροκλον, γυμνον περ εοντ', εν δαϝιοτητι.
πατροκλος δε θεοο πληγῇ και δορϝι δαμασθενς,
απς ͱεταρων εις ϝεθνος εχαδσετο, κηρ' αλεϝεινων.
  ͱεκτωρ δ' ͱως ϝειδεν πατροκλεεα μεγαθυϝμον
απς αναχαδσομενον, βεβλῆμενον ͱοξσυϊ χαλκῷ,
ανχιμολον ρα ͱοι ηλθε κατα στιχας, ουτα δε δορϝι
νεϝατον ες κενεῶνα· δια προ δε χαλκον ελασσεν·
δουπησεν δε πεσων, μεγα δ' ῆκαχε λαϝον αχαιϝων.
ͱως δ' ͱοτε συν ακαμαντα λεϝων εβιῆσατο χαρμῃ,
ͱωτ' ορεος κορυφῆσι μεγα φρονεοντε μαχεσθον,
πιϝδακος αμφ' ολιγης· εθελοντι δε πιϝεμεν αμφω·
πολλα δε τ' ασθμαινοντα λεϝων εδαμασσε βιηφιν·
ͱως πολυας πεφνοντα μενοιτιοϝ' αλκιμον ͱυιον
ͱεκτωρ πριαμιδης σχεδον ενχεϊ θυϝμον απῆϝρα·
και ͱοι επευχομενος ϝεπεα πτεροεντ' αγορεϝεν·
  πατροκλ', η ποϝ' εφησθα πολιν κεραϊδσεμεν ͱαμην,
τροϝιαδας δε γυναικας, ελευθερον ͱημαρ απαϝρανς,
αγσεμεν εν ναϝεσι φιλην ες πατριδα γαιαν!
νηπιε! ταϝων δε προσθ' ͱεκτορος ῶκυες ͱιπποι
ποδσιν ορῶρεχαται πολεμιδσεμεν· ενχεϊ δ' αϝτος
τροϝσι φιλοπτολεμοισι μεταπρεπω, ͱος σφιν αμυϝνω
ͱημαρ ανανκαιον· σε δε τ' ενθαδε γυϝπες εδεοντι.
ϝαι δδειλ'! ουδε τοι, εσθλος εων, χραϝσμησεν αχιλλεϝς,
ͱος ποϝο τοι μαλα πολλα μενων επετελλετ' ιοντι,
μη μοι πριν ιμεναι, πατροκλεες ͱιπποκελευθε,
ναϝας επι γλαφυρας, πριν γ' ͱεκτορος ανδροφονοϝο
ͱαιματοεντα χιτῶνα περι στηθεσσι δαϝιξσαι·
ͱως ποϝο σε προσεφη, σοι δε φρενας αφρονι πειθεν.
  τον δ' ολιγοδρανεων προσεφης, πατροκλεες ͱιππεϝ·
ηδη νῦν, ͱεκτορ, μεγαλ' ευχεο· σοι γαρ εδωκεν
νικην δσεϝς κρονιδης και απολλων, ͱοι μ' εδαμασσαν
ρεϝιδιως· αϝτοι γαρ απ' ωμων τευχε' ͱελοντο.
τοιοϝτοι δ' ειπερ μοι ϝεικοσιν αντεβολησαν,
παντες κ' αϝτοθ' ολοντο, εμῷ ͱυπο δορϝι δαμεντες.
αλλα με μοιρ' ολοϝη, και λητοος εκτανεν ͱυιος,

ανδρων δ' ͱευφορβος· συ δε με τριτος εκσεναριδσεις.
αλλο δε τοι ϝερεω, συ δ' ενι φρεσι βαλλεο σῇσιν, Π
ου θην ουδ' αϝτος δηρον βιϝε', αλλα τοι ηδη
ανχι παρεστηκεν θανατος και μοιρα κραταιη,
χερσι δαμεντ' αχιλεϝος αμυϝμονος αιϝακιδαϝο.
ͱως αρα μιν ϝεσποντα τελος θανατοϝ' εκαλυπτσεν·
πσυϝχη δ' εκ ρεθεων πταμενη αϝιδοσδ' εβεβηκεεν·
τον και τεθνῆωτα προσῆυϝδαε φαιδιμος ͱεκτωρ·
πατροκλεες, τι νυ μοι μαντεϝεαι αιπυν ολεθρον;
τις ϝοιδ', ει κ' αχιλεϝς, θετιδος παϊς ῆϋκομοϝο,
φθῆῃ εμῷ ͱυπο δορϝι τυπενς απο θυϝμον ολεσσαι;
ͱως αρα φωνησανς δορυ χαλκεον εκς ωτειλης
ϝερυσε, λακς προσβανς· τον δ' ͱυπτιον ωθσ' απο δορϝος·
αϝτικα δε γσυν δορϝι μετ' αϝτομεδοντ' εβεβηκεεν·
ͱιϝετο γαρ βαλεεεν· τον δ' εκφερον ωκυες ͱιπποι
ανβροτοι, ͱοϝς πηλεϝι θεοι δοσαν αγλαϝα δωρα.
ουδ' ελαθ' ατρεϝος ͱυιον, αρεϝιφιλον μενελαϝον, Ρ
πατροκλος τροϝεσι δαμενς εν δαϝιοτητι·
βη δε δια προμαχων κεκορυθμενος αιθοπι χαλκῷ·
αμφι δ' αρ' αϝτῷ βαιν', ͱως τις περι πορτακι μητηρ,
πρωτοτοκος, κινυρη, ου πριν ϝειδυια τοκοϝο·
ͱως περι πατροκλῳ βαινε χσανθος μενελαϝος.
προσθε δε ͱοι δορυ τ' εσχε και ασπιδα παντοσε ϝεισϝην,
τον κταμεναι μεμαϝως, ͱοστις τοϝογ' αντιος ελθοι.
ουδ' αρα πανθοϝοϝ' ͱυιος ͱεϋμελιης αμελησεν
πατροκλοϝο πεσοντος αμυϝμονος· ανχι δ' αρ' αϝτοο
εστη, και προσεϝεσπεν αρεϝιφιλον μενελαϝον·
ατρεϝιδη μενελαϝε, διοτρεφες, ορχαμε λαϝων,
χαδσεο, λειπε δε νεκρον, εϝᾶ δ' εναρα βροτοεντα·
ου γαρ τις προτερος τροϝων κλῆτων τ' επικουρων
πατροκλον βαλε δορϝι κατα κρατερην ͱυσμινην·
τῷ μ' εϝαε κλεος εσθλον ενι τροϝεσιν ͱαρεσθαι,
μη σε βαλω, απο δε μελιͱηδεα θυϝμον ͱελωμαι.
τον δε μεγ' οχθησανς προσεφη χσανθος μενελαϝος·
δσεϝ πατερ! ου μεν καλον ͱυπερβιον ευχεταεσθαι.
ουτ' ὦν παρδαλιος τοσον μενος, ουτε λεϝοντος,
ουτε συος καπροϝ' ολοϝοφρονος, ͱοο τε μεγιστος
θυϝμος ενι στηθεσσι περι σθενεϊ βλεμεαινει,
ͱοσον πανθοϝοϝ' ͱυιες ͱεϋμελιαι φρονεοντιν.
ουδε μεν ουδε βιη ͱυπερῆνορος ͱιπποδαμοϝο
ͱης ͱηβης απονηθ', οτε μ' ωνοσατ', ηδ' ͱυπεμῆνεν·
και μ' εφατ' εν δαναοισιν ελενχιστον πολεμιστην
εσμεναι· ουδε ͱε φημι ποδεσι γ' ͱεϝοισι κιοντα
ευφρῆναι ͱαλοχον τε φιλην, κεδνοϝς τε τοκεϝας.
ͱως θην και σον εγω λυϝσω μενος, ει κε μεϝ' αντα
στῆῃς· αλλα σ' εγων αναχωρησαντα κελεϝω

ες πληθυν ιμεναι, μηδ' αντιος ͱιστασ' εμεϝο, P
πριν τι κακον παθεεεν· ρεχθεν δε τε νηπιος εγνω̃.
ͱως φατο, τον δ' ου πειθεν· αμειβομενος δε προση̃υϝδα·
νυ̃ν μεν δη̃, μενελαϝε διοτρεφες, η μαλα τιϝσεις
γνω̃τον εμον, τον επεφνες, επευχομενος δ' αγορεϝεις·
χηρω̃σας δε γυναικα μυχῷ θαλαμοϝο νεϝοϝο,
αϝρη̃τον δε τοκεϝσι γοον και πενθος εθη̃κας.
η κε σφιν δδειλοισι γοοο καταπαϝμα γενοιμην,
ει κεν εγω κεφαλην τε τεϝην και τευχε' ενενκανς,
πανθοϝῷ εν χειρεσι βαλω και φροντιδι διϝῇ.
ͱως ϝεσπων, ουτη̃σε κατ' ασπιδα παντοσε ϝεισϝην·
ουδ' εϝρη̃γσεν χαλκον, ανεγναμφθη δε ͱοι αιχμη
ασπιδ' ενι κρατερῇ· ͱο δε δεϝτερος ω̃ρνυτο χαλκῷ
ατρεϝιδης μενελαϝος, επευχσαμενος διϊ πατρι·
απς δ' αναχαδσομενοϝο κατα στομαχοϝο θεμεθλα
νυκσ', επι δ' αϝτος ερειδσε, βαρυιῇ χειρι πιθησανς·
αντικρυς δ' ͱαπαλοϝο δι' αϝχενος ηλυθ' ακωκη·
δουπησεν δε πεσων, αραβησε δε τευχε' επ' αϝτῷ.
ͱαιματι ͱοι δευοντο κομαι, χαριτεσιν ͱομοιαι,
πλοχμοι θ', οι χρυσῷ τε και αργυρῷ εσφηκω̃ντο.
ͱοιον δε τρεφει ερνος ανηρ εριθηλες ελαιης
χω̃ρῳ εν οιοπολῳ, ͱοθ' ͱαλις αναβεβρυχεν ͱυϝδωρ,
καλον, τηλεθαον, το δε τε πνοϝαι δονεοντιν
παντοιων ανεμων, και τε βρυϝει ανθεϊ λεϝκῷ·
ελθων δε εκσαπινης ανεμος, γσυν λαιλαπι πολλῇ,
βοθροϝο τ' εκσεστρεφσε, και εκσετανυσσ' επι γαιῇ·
τοιον πανθοϝοϝ ͱυιον ͱεϋμελιην ͱεϋφορβον
ατρεϝιδης μενελαϝος επει κτανε, τευχε' εσυλϝα.
ͱως δ' ͱοτε τις τε λεϝων ορεσιτροφος, αλκι πεποιθως,
βοσκομενης αγελης βοϝν ͱαρπασῃ, ͱητις αριστη·
της δ' εκς αϝχεν' εϝανγσε, λαβων κρατεροισιν οδοντσιν,
πρω̃τον, επειτα δε θ' αιμα και ενκατα παντα λαφυσσει
δαϝιων, αμφι δε τονγε κυνες τ' ανδρες τε νομεϝες
πολλα μαλ' ιϝυδσοντιν αποπροθεν, ουδ' εθελοντιν
αντιον ελθεμεναι· μαλα γαρ χλωρον δδεος ͱαιρει·
ͱως των ου τινι θυϝμος ενι στηθεσσιν ετολμα
αντιον ελθεμεναι μενελαϝοϝο κυϝδαλιμοϝο.
ενθα κε ρεϝ' εφερεν κλυτα τευχεα πανθοϝιδαϝο
ατρεϝιδης, ει μη ͱοι αγασσατο φοιβος απολλων,
ͱος ρα ͱοι ͱεκτορ' επω̃ρσε, θοϝῷ ͱαταλαντον αρεϝι,
ανερι ϝειδσαμενος κικονων ͱηγητορι μεντῃ·
και μιν φω̃νησανς ϝεπεα πτεροεντα προση̃υϝδα·
ͱεκτορ, νυ̃ν συ μεν ͱῶδε θεϝεις, ακιχητα διωκων
ͱιπποϝς αιϝακιδαϝο δαϝιφρονος· ͱοι δ' αλεγεινοι
ανδρεσι γε θνη̃τοισι δαμη̃μεναι, ηδ' ͱοχεεσθαι,
αλλῷ γ' η' αχιλεϝι, τον αθανατη τεκε μητηρ.

τοφρα δε τοι μενελαFος, αρεFιος ατρεFος ͱυιος, P
πατροκλῳ περιβανς, τροFων τον αριστον επεφνεν,
πανθοFιδην ͱεϋφορβον, επαFσε δε θοFριδος αλκης.
ͱως Fεσπων, ͱο μεν αFτις εβη θεος αν πονον ανδρων·
ͱεκτορα δ' αινον αχος πυκασε φρενας αμφι μελαινας·
παπτῆνεν δ' αρ' επειτα κατα στιχας· αFτικα δ' εγνω
τον μεν απαινυμενον κλυτα τευχεα, τον δ' επι γαιῃ
κειμενον· ερεFε δ' ͱαιμα κατ' ουταμενην ὠτειλην.
βη δε δια προμαχων, κεκορυθμενος αιθοπι χαλκῳ,
ͱοκσυα κεκληγως, φλογι Fεικελος ͱηφαιστοFο
ασβεστῳ· ουδ' ͱυι' ελαθ' ατρεFος ͱοκσυ βοῆσανς·
οχθησανς δ' αρ' εFεσπε προς ͱον μεγαλητορα θυFμον·
ω μοι εγων, ει μεν κε λιπω κατα τευχεα καλα,
πατροκλον θ', ος κειται εμης ͱενεκ' ενθαδε τιFμης,
μη τις μοι δαναων νεμεσῆσεται, ͱος κε Fιδηται·
ει δε κεν ͱεκτορι μουνος εων και τροFσι μαχωμαι
αιδεσθενς, μη πως με περιστῆωνθ' ενα πολλοι·
τροFας δ' ενθαδε παντας αγει κορυθαιFολος ͱεκτωρ.
αλλα τιη μοι ταFτα φιλος διελεγσατο θυFμος;
ͱοποτ' ανηρ εθελῃ προς δαιμονα φῶτι μαχεσθαι,
ͱον κε θεος τιFμᾳ, ταχα ͱοι μεγα πημ' εκυλισθη·
τῷ μ' ουτις δαναων νεμεσῆσεται, ͱος κε Fιδηται
ͱεκτορι χωρησαντ', επει εκ θεοφιν πολεμιδσει.
ει δε ποF' αιFαντος γε βοην αγαθοFο πυθοιμην,
αμφω κ' αFτις ιοντες επιμνῆσαιμεθα χαρμης,
και προς δαιμονα περ, ει πως Fερυσαιμεθα νεκρον
πηλεFιδῃ αχιλεFι· κακων δε κε φερτατον ειη.
ͱεFος ͱο ταFθ' ορμαινε κατα φρενα και κατα θυFμον,
τοφρα δ' επι τροFων στιχες ηλυθον· ῆρχε δ' αρ' ͱεκτωρ.
αFταρ ͱογ' εκσοπισω ανεχαδσετ', ελειπε δε νεκρον
εντροπαλιδσομενος· ͱωστε λῖς ηΰγενειος,
ͱον ρα κυνες τε και ανδρες απο σταθμοFο διωνται
ενχεσι και φωνῃ· τοFο δ' εν φρεσιν αλκιμον ητορ
παχνοεται, αͱεκων δε τ' εβη απο μεσσαFλοFο·
ͱως απο πατροκλοF' εκιε χσανθος μενελαFος.
στη δε μεταστρεφθενς, επει ͱικετο Fεθνος ͱεταιρων,
παπταινων αιFαντα μεγαν, τελαμωνιον ͱυιον·
τον δε μαλ' αιπς ενοησε μαχης επ' αριστερα παντσης,
θαρσυFνονθ' εταροFς, και εποτρυFνοντα μαχεσθαι·
θεσπεσιον γαρ σφιν φοβον ενβαλε φοιβος απολλων.
βη δε θεFεεν, ειθαρ δε παρͱισταμενος Fεπος ηὖFδα·
αιFαν, δευρο, πεπον, περι πατροκλοFο θανοντος
σπευδσομεν, αι κε νεκυν περ αχιλλεFι προφερωμεν
γυμνον· αταρ ταγε τευχε' ͱεχει κορυθαιFολος ͱεκτωρ.
ͱως εφατ'· αιFαντι δε δαFιφρονι θυFμον ορινεν·
βη δε δια προμαχων, ͱαμα δε χσανθος μενελαFος.

ͱεκτωρ μεν πατροκλον, επει κλυτα τευχε' απῆϝρα, 125
ͱελχ', ιν' απ' ωμοιϊν κεφαλην ταμοι ͱοκσυϊ χαλκῷ, P
τον δε νεκυν τρωϝιῇσι ϝερυσσαμενος κυσι δοιη.
αιϝανς δ' ενγυθεν ηλθε, φερων σακος, ηϋτε πυργον.
ͱεκτωρ δ' αψ ες ͱομιλϝον ιων ανεχαδσεθ' εταιρων·
ες διφρον δ' ανοροϝσ'· εδιδω δ' ͱογε τευχεα καλα 130
τρωϝσι φερεεν προτι ϝαστυ, μεγα κλεος εσμεναι αϝτῷ.
αιϝανς δ' αμφι μενοιτιαδῃ σακος ευρυ καλυπτσανς,
ͱεστηκεεν, ͱως τις τε λεϝων περι ͱοισι τεκεσσιν,
ͱῷ ρα τε νηπι' αγοντι συναντῆσονται εν ͱυλϝῃ
ανδρες επαγτηρες, ͱο δε τε σθενεϊ βλεμεαινει, 135
παν δε τ' επισκυνιον κατῳ ͱελκεται, ͱοσσε καλυπτων·
ͱως αιϝανς περι πατροκλῳ ͱηροϝ' εβεβηκεεν.
ατρεϝιδης δ' ͱετερωθεν, αρεϝιφιλος μενελαϝος,
ͱεστηκεεν μεγα πενθος ενι στηθεσσιν αͱεχσων.
γλαϝκος δ', ͱιππολοχοϝο παϊς, λυκιων αγος ανδρων, 140
ͱεκτορ' ͱυποδρα ϝιδων χαλεπῷ ηνιπαπε μυϝθῳ·
ͱεκτορ, ϝειδος αριστε, μαχης αρα πολλον εδεϝεο·
η σ' αϝτως κλεος εσθλον ͱεχει, φυγσηλιν εοντα! 143
πως κε συ χειρονα φῶτα σαῶσειας μεθ' ομιλϝον, 149
σχετλι'! επει σαρπηδον', ͱαμα χσεινον και ͱεταιρον, 150
κατλιπες αργειϝοισιν ͱελωρ και κυρμα γενεσθαι;
ͱος τοι πολλ' οφελος γενετο πτολιϊ τε και αϝτῷ,
δσαϝος εων· νῦν δ' ου ͱοι αλαλκεμεναι κυνας ετλῆς.
τῷ νῦν ει τις εμοι λυκιων επιπειθσεται ανδρων,
ϝοικαδ' ιμεν, τρωϝιῇ δε πεφῆσεται αιπυς ολεθρος. 155
ει γαρ νῦν τρωϝεσι μενος πολυθαρσες ενειη,
ατρομον, ͱοιον τ' ανδρας εσερχεται, ͱοι περι πατρης
ανδρεσι δυσμενεεσι πονον και δηριν εθεντο,
αιπσα κε πατροκλον ϝερυσαιμεθα ϝιλϝιον εισῷ.
ει δ' ͱοϝτος προτι ϝαστυ μεγα πριαμοϝο ϝανακτος 160
ελθοι τεθνηϝως, και μιν ϝερυσαιμεθα χαρμης,
αιπσα κεν αργειϝοι σαρπηδονος εντεα καλα
λυϝσειαν, και κ' αϝτον αγοιμεθα ϝιλϝιον εισῷ. 163
αλλα συγ' αιϝαντος μεγαλητορος ουκ εταλασσας 166
στημεναι αντα, κατ' οσσε ϝιδων δαϝιων εν αϝυϝτῇ,
ουδ' ιθυς μαχεσασθαι· επει σεϝο φερτερος εστιν.
τον δ' αρ' ͱυποδρα ϝιδων προσεφη κορυθαιϝολος ͱεκτωρ·
γλαϝκε, τιη δε συ τοιος εων ͱυπεροπλον εϝεσπές; 170
ω πεπον, ητ' εφαμην σε περι φρενας εσμεναι αλλων· 171
νῦν δε σεϝ' ῶνοσαμην πανχυ φρενας, ͱοιον εϝεσπες· 173
ͱοστε με φῇς αιϝαντα πελωριον ουχ υπομῆναι.
ουτοι εγω ρερῖγα μαχην, ουδε κτυπον ͱιππων· 175
αλλ' αιϝει γε διος κρεισσων νοος αιγιͱοχοϝο,
ͱοστε και αλκιμον ανδρα φοβεῖ, και αφελλετο νικην
ρεϝιδιως, ͱοτε δ' αϝτος εποτρυϝνει μαχεσασθαι.

αλλ᾽ αγε δευρο, πεπον, παρ᾽ εμ᾽ hιστασο, και Fιδε Fεργον᾽ P
ηε πανhημεριος κακος εσσομαι, hως αγορεFεις,
η τινα και δαναων, αλκης μεγα περ μεμαFῶτα,
σχησω αμυFνεμεναι περι πατροκλοFο θανοντος.
hως Fεσπων, τροFεσιν εκεκλετο μακρον αhυFσανς᾽
τροFες, και λυκιοι, και δαρδανοι ανχιμαχηται,
ανερες εστε, φιλοι, μνῆσασθε δε θοFριδος αλκης᾽
hοφρ᾽ αν εγων αχιλεFος αμυFμονος εντεα δυFω
καλα, τα πατροκλοFο βιην εναριξα κατακτανς.
hως αρα φῶνησανς απεβη κορυθαιFολος hεκτωρ
δαFιοF εκ πολεμοFο᾽ θεFων δ᾽ εκιχανεν hεταιροFς,
hοι προτι Fαστυ φερον κλυτα τευχεα πηλεFιδαFο.
στανς δ᾽ απανευθε μαχης πολυδακρυος, εντε᾽ αμειβεν.
ητοι hο μεν hεFα δωκε, φερεεν προτι FιλFιον hιερην,
τροFσι φιλοπτολεμοισιν᾽ hο δ᾽ ανβροτα τευχε᾽ εδυFνεν
πηλεFιδαF᾽ αχιλεFος, hα hοι θεοι ουρανιFῶνες
πατρι φιλῷ επορον᾽ hο δ᾽ αρ᾽ hεFῷ παιδ᾽ εοπασσεν.
hεκτορι δ᾽ ῆρμοσε τευχε᾽ επι χρο᾽᾽ εδῦ δε μιν αρεFς
δδεινος, ενεFαλιος᾽ πλησθεν δ᾽ αρα hοι μελε᾽ εντος
αλκης και σθενεος᾽ μετα δε κλῆτοFς επικουροFς
βη ρα μεγα FιFαχων᾽ FινδαλλετO δε σφισι παντσιν,
τευχεσι λαμπομενος, μεγαθυFμῷ πηλεFιFῶνι.
ῶτρυFνεν δε hεκαστον εποιχομενος Fεπεεσιν,
μεσθλην τε, γλαFκον τε, μεδοντα τε, θερσιλοχον τε,
αστεροπαιον τε, δδειδσῆνορα θ᾽, ιπποθοFον τε,
φορκῦνα, χρομιον τε, και εννομον οιFωνιστην᾽
τοFς hογ᾽ εποτρυFνων Fεπεα πτεροεντα προσῆυFδα᾽
κεκλυτε, μυρια φυFλα περικτιονων επικουρων,
ου γαρ εγω πληθυν διδσημενος, ουδε χατιδσων,
ενθαδ᾽ αφ᾽ υμετερων πολιων ῆγῆρα hεκαστον᾽
αλλ᾽ hινα μοι τροFων hαλοχοFς και νηπια τεκνα
προφρονεως ρυFοισθε φιλοπτολεμων hυπ᾽ αχαιFων᾽
τα φρονεων, δῶροισι κατατρυFχω και εδῶδῇ
λαFοFς, hυμετερον δε hεκαστοFο θυFμον αhεχσω.
τῷ τις νῦν ιθυς τετραπμενος, ῃ᾽ απολεσθω,
ηε σαῶθητω᾽ hη γαρ πολεμοF hοαριστυς.
hος δε κε πατροκλον, και τεθνῆῶτα περ, ενπης
τροFας ες hιπποδαμοFς Fερυσῃ, Fειξσῃ δε hοι αιFανς,
hημισυ των εναρων αποδασσομαι, hημισυ δ᾽ αFτος
hεχσω εγω᾽ το δε hοι κλεος εσσεται, hοσον εμοι περ.
hως εφαθ᾽᾽ οι δ᾽ ιθυς δαναων βριθσαντες εβησαν,
δορFατ᾽ ανασχομενοι᾽ μαλα δε σφισ᾽ εhελπετο θυFμος
νεκρον hυπ᾽ αιFαντος Fερυεεν τελαμωνιαδαFο᾽
νηπιοι! ητε πολυσσιν επ᾽ αFτῷ θυFμον απῆFρα.
και τοτ᾽ αρ᾽ αιFανς Fεσπε βοην αγαθον μενελαFον᾽
ω πεπον, ω μενελαFε διοτρεφες, ουκετι νοFι

ͱελπομαι αϝτω περ νοστησεμεν εκ πολεμοϝο.
ουτι τοσον νεκυος περι δεδδια πατροκλοϝο,
ͱος κε ταχα τροϝων κορεσει κυνας, ηδ' οιϝωνοϝς,
ͱοσον εμῃ κεφαλῃ περι δεδδια, μη τι παθητιν,
και σῃ· επει πολεμοϝο νεφος περι παντα καλυπτει.
αλλ' αγ', αριστεϝας δαναων καλε', ῃν τις ακοϝσῃ.
ͱως εφατ'· ουδ' απιθησε βοην αγαθος μενελαϝος·
ῃͱυϝσεν δε διαπρυσιον δαναοισι γεγωνως·
ω φιλοι, αργειϝων ͱηγητορες, ηδε μεδοντες,
ͱοιτε παρ' ατρεϝιδῃ, αγαμεμνονι ποιμενι λαϝων,
δημια πιϝνοντιν, και σημαινοντιν ͱεκαστος
λαϝοισ'· εκ δε διος τιϝμη και κυϝδος οπηδεῖ.
αργαλεον δε μοι εστι διασκοπιᾶσθαι ͱεκαστον
ͱηγεμονων· τοση γαρ ερις πολεμοϝο δεδῆεν.
αλλα τις αϝτος ιτω, νεμεσιδσεσθω δ' ενι θυϝμῳ
πατροκλον τροϝιῃσι κυσιν μελπηθρα γενεσθαι.
ͱως εφαθ'· οκσυ δ' ακοϝσεν ͱο ϝιλϝεϝος ταχυς αιϝανς·
πρῶτος δ' αντιος ηλθε, θεϝων ανα δαϝιοτητα·
τον δε μετ' ιδομενεϝς και οπαϝων ιδομενεϝος.
τροϝες δε προετυπτσαν ͱαϝολϝεες, ῆρχε δ' αρ' ͱεκτωρ.
ͱως δ' ͱοτ' επι προχοϝῃσι διϊπετεος ποταμοϝο
βεβρυχκεν μεγα κυϝμα ποτι ροϝον, αμφι δε τ' ακραι
ηϊονες βοαοντιν, ερευγομενης ͱαλος εκσῳ·
τοσῃ αρα τροϝες ϝιϝαχῃ ισαν· αϝταρ αχαιϝοι
ͱεστασαν αμφι μενοιτιαδῃ, ͱενα θυϝμον ͱεχοντες,
φραχθεντες σακεσιν χαλκηρεσιν· αμφι δ' αρα σφιν
λαμπρῃσιν κορυθεσι κρονιϝων ῆερα πολλην
χεϝ'· επει ουδε μενοιτιαδην ηχθῆρε παρος γε.
ῶθσαν δε προτεροι τροϝες ϝελικῶπας αχαιϝοϝς·
νεκρον δε προλιποντες ͱυπετρεσαν, ουδε τιν' αϝτων
τροϝες ͱυπερθυϝμοι ͱελον ενχεσιν, ͱιͱεμενοι περ·
αλλα νεκυν ϝερυοντο· μινυνθα δε και τοϝ' αχαιϝοι
μελλον απεσσεσθαι· μαλα γαρ σφεϝας ῶκ' εϝελικσεν
αιϝανς, ͱος περι μεν ϝειδος, και ϝεργ' ετετυχτο
των αλλων δαναων, μετ' αμυϝμονα πηλεϝιϝῶνα·
ιθυϝσεν δε δια προμαχων, συϊ ϝεικελος αλκην
καπριῳ, ͱοστ' εν ορεσσι κυνας θαλεροϝς τ' αιδσηοϝς
ρεϝιδιως εκεδασσε, ϝελικσαμενος δια βησσας·
ͱως υἱος τελαμῶνος αγαϝοϝο, φαιδιμος αιϝανς,
ρεϝα μετεισαμενος τροϝων εκεδασσε φαλαγγας,
ͱοι περι πατροκλῳ βεβασαν, φρονεον δε μαλιστα
ϝαστυ ποτι σφετερον ϝερυεεν, και κυϝδος ͱαρεσθαι.
ητοι τον, ληθοϝο πελασγοϝο φαιδιμος ͱυιος,
ͱιπποθοϝος ποδος ͱελκε κατα κρατερην ͱυσμινην,
δησαμενος τελαμῶνι παρα σφυρον αμφι τενοντας,
ͱεκτορι και τροϝεσι χαριδσομενος· ταχα δ' αϝτῳ

ἠλθε κακον, το ͱοι ουτις ερυκακεν ͱιͱεμενων περ.
τον δ' ͱυιος τελαμῶνος, επαͱιξσανς δι' ͱομιλϝοο,
πληγσ' αϝτοσχεδιην κυνεης δια χαλκοπαρῄοο·
ηρικε δ' ͱιπποδασυια κορυς περι δορϝος ακωκῇ,
ενκεφαλος δε παρ' αϝλον ανεδραμεν εκς ὦτειλης
ͱαιματοενς, τοϝο δ' αϝθ' ελυθη μενος· εκ δ' αρα χειρων
πατροκλοϝο ποδα μεγαλητορος ͱῆκε χαμαδσε
κεισθαι· ͱο δ' ανχ' αϝτοϝ' επεσε πρηνης επι νεκρῷ,
τηλ' απο λαϝρισσης εριβῶλακος· ουδε τοκεϝσιν
τρεϕτρα ϕιλοισ' απεδῶκε, μινυνθαδιος δε ͱοι αιϝων
επλεθ', υπ' αιϝαντος μεγαθυϝμοϝο δορϝι δαμεντι.
ͱεκτωρ δ' αϝτ' αιϝαντος ακοντισε δορϝι ϕαϝεινῷ·
αλλ' ͱο μεν αντα ϝιδων ἠλεϝσατο χαλκεον ενχος
τυτθον· ͱο δε σχεδιον, μεγαθυϝμοϝο ϝιϕιτοϝ' ͱυιον,
ϕωκεϝων ͱοχ' αριστον, ͱος εν κλειτῷ πανοπεϝι
ϝοικια ναιεταεσκε, πολυσσ' ανδρεσι ϝανασσων,
τον βαλ' ͱυπο κλεϝῖδα μεσην· δια δ' ανπερες ακρη
αιχμη χαλκειη παρα νεϝατον ωμον ανεσχεν·
δουπησεν δε πεσων, αραβησε δε τευχε' επ' αϝτῷ.
αιϝανς δ' αϝ ϕορκῦνα δαϝιϕρονα, ϕαινοπος ͱυιον,
ͱιπποθοϝῷ περιβαντα, μεσην κατα γαστερ' ετυπτσεν·
ϝρῆγσε δε θωρηκος γυαλον, δια δ' εντερα χαλκος
ἠϕυσ'· ͱο δ' εν κονιϝῄσι πεσων ͱελε γαιαν αγοστῷ.
χῶρησαν δ' ͱυπο τε προμαχοι και ϕαιδιμος ͱεκτωρ·
αργειϝοι δε μεγ' εϝιϝαχον, ϝερυσαντο δε νεκροϝς,
ϕορκυν', ͱιπποθοϝον τ'· ελυϝοντο δε τευχε' απ' ωμων.
ενθα κεν αϝτε τροϝες αρεϝιϕιλων ͱυπ' αχαιϝων
ϝιλϝιον εισανεβησαν, αλκειῄσι δαμεντες·
αργειϝοι δε κε κυϝδος ͱελον, και ͱυπερ διος αισαν,
καρτεϊ και σθενεϊ σϕετερῷ· αλλ' αϝτος απολλων
αινειαν ὦτρυϝνε, δεμας περιϕαντι ϝεϝοικως,
κηρῦκ' ηπυτιδῇ, ͱος ͱοι παρα πατρι γεροντι
κηρυσσων γηρᾶσκε, ϕιλα ϕρεσι μηδεα ϝειδως·
τῷ μιν ϝειδσαμενος προσεϕη διος ͱυιος απολλων·
αινεια, πως αν και ͱυπερ θεον ερυϝσαισθε
ϝιλϝιον αιπυινην; ͱως δη ϝιδον ανερας αλλοϝς
καρτεϊ τε σθενεϊ τε πεποιθοτας, ἠνορεῇ τε.
ͱημῖν δε δσεϝς μεν πολυ βουλεται η δαναοισιν
νικην· αλλ' αϝτοι τρεετ' ασπετον, ουδε μαχεσθε.
ͱως εϕατ'· αινειας δ' ͱεκατηβολον απολλῶνα
εγνῶ εσαντα ϝιδων· μεγα δ' ͱεκτορα ϝεσπε βοῆσανς·
εκτορ τ', ηδ' αλλοι τροϝων αγοι, ηδ' επικουρων,
αιδως μεν νῦν ͱηδε γ' αρεϝιϕιλων ͱυπ' αχαιϝων
ϝιλϝιον εισαναβηναι, αλκειῄσι δαμεντας.
αλλ' ετι γαρ τις ϕητι θεων, εμοι ανχι παραστανς,
δσῆν', ͱυπατον μηστωρα, μαχης επιταρροθον εεναι·

τῷ ρ' ιθυς δαναων ιομεν, μηδ' ͱοιγε ͱεκηλοι
πατροκλον ναϝεσιν πελασαιατο τεθνηῶτα. P
ͱως φατο· και ρα πολυ προμαχων εκσͱαλμενος εστη.
ͱοι δ' εϝελιχθησαν, και εναντιοι εσταν αχαιϝων.
ενθ' αϝτ' αινειας λεϝοκριτον ουτασε δοϝι,
ͱυιον αρισβαντος, λυκομηδεος εσθλον ͱεταιρον.
τον δε πεσοντ' ελεησεν αρεϝιφιλος λυκομηδης·
στη δε μαλ' ενγυς ιων, και ακοντισε δορϝι φαϝεινῷ,
και βαλεν ͱιππασιδην απισαϝονα, ποιμενα λαϝων,
ͱος ρ' εκ παιονιης εριβῶλακος ηληλουθεεν,
και δε μετ' αστεροπαιον αριστεϝεσκε μαχεσθαι.
τον δε πεσοντ' ελεησεν αρεϝιος αστεροπαιος,
ιθυϝσεν δε και ͱο προφρων δαναοισι μαχεσθαι·
αλλ' ου πως εθ' εχεν· σακεεσι γαρ ͱερχατο παντῃ
ͱεσταοτες περι πατροκλῷ, προ δε δορϝαθ' εχοντο.
αιϝανς γαρ μαλα παντας επῴχετο, πολλα κελεϝων·
ουτε τιν' εκσοπισῷ νεκροο χαδσεσθαι ανωγεν,
ουτε τινα προμαχεσθαι αχαιϝων εκσͱοχον αλλων,
αλλα μαλ' αμφ' αϝτῷ βεβαμεν, σχεδοθεν δε μαχεσθαι.
ͱως αιϝανς επετελλε πελωριος· ͱαιματι δε χθων
δευετο πορφυρεῷ· τοι δ' ανχιστῖνοι επιπτον
νεκροι ͱομοο τροϝων και ͱυπερμενεων επικουρων,
και δαναων· ουδ' ͱοι γαρ αͱαιμωτις γ' εμαχοντο·
παϝροτεροι δε πολυ φθινυθον· μεμνῆντο γαρ αιϝει
αλληλοισ' αν' ͱομιλϝον αλεκσεμεναι πονον αιπυν.
ͱως ͱοι μεν μαρναντο δεμας πυρος· ουδε κε φαιης
ουτε ποτ' ῆελιον σαον εσμεναι, ουτε σεληνην·
ῆερι γαρ καθεχοντο μαχης επι, ͱοσοι αριστοι
ͱεστασαν αμφι μενοιτιαδῃ κατατεθνηῶτι.
ͱοι δ' αλλοι τροϝες και ͱεϋκνημῖδες αχαιϝοι
ͱευκηλοι πολεμιδσον ͱυπ' αιθερ'· επεπτατο δ' αϝγη
ῆελιοϝ ͱοκσυια, νεφος δ' ου φαινετο παντσης
γαιης, ουδ' ορεων· μεταπαϝομενοι δ' εμαχοντο,
αλληλων αλεϝεινοντες βελεα στονοεντα,
πολλον αφεσταοτες· τοι δ' εν μεσῷ αλγε' επασχον
ῆερι και πολεμῷ· τειροντο δε νηλεϊ χαλκῷ.
τοις δε πανͱημεριοισ' εριδος μεγα νεικος ορῶρεεν
αργαλεης· καματῷ δε και ͱιδρῷ νωλεμες αιϝει
γουϝατα τε, κνημαι τε, ποδες θ' υπενερθεν ͱεκαστοο,
χειρες τ', οφθαλμοι τ', επαλασσετο μαρναμενοιϊν,
αμφ' αγαθον θεραποντα ποδωκεος αιϝακιδαϝο.
ͱως δ' ͱοτ' ανηρ ταυροϝο βοϝος μεγαλοϝο βοϝειην
λαϝοισιν δῶῃ τανυεεν, μεθυουσαν αλοιφῇ·
δεχσαμενοι δ' αρα τοιγε διασταντες τανυουσιν.
ͱως ͱοιγ' ενθα και ενθα νεκυν ολιγῃ ενι χῶρῃ
ͱελκεον αμφοτεροι· μαλα γαρ σφισ' εϝελπετο θυϝμος,

τροϝεσι μεν, ϝερυεεν ποτι ϝιλϝιον, αϝταρ αχαιϝοις, P
ναϝας επι γλαφυρας· περι δ' αϝτοϝο μω̃λος ορω̃ρεεν
αγριος· ουδε κ' αρεϝς λαϝοσσοϝος, ουδε κ' αθηνη
τονγε ϝιδοντσ' ονοσαιτ', ουδ' ει μαλα μιν χολος ͱικοι·
τοιον δσεϝς επι πατροκλῳ ανδρων τε και ͱιππων
ͱηματι τῳ̃ ετανυσσε κακον πονον. ουδ' αρα πῳ τι
ϝοιδεε πατροκλον τεθνη̃οτα διϝος αχιλλεϝς·
πολλον γαρ απανευθε ναϝων μαρναντο θοϝαϝων,
τειχει ͱυπο τροϝων· το μιν ου ποτ' εϝελπετο θυϝμῳ̃
τεθναμεν, αλλα δσαϝον, ενιχριμφθεντα πυλη̃σιν,
απς απονοστησεεν· επει ουδε το ͱελπετο πανπαν,
εκπερθσεεν πτολιεθρον ανευ ͱεθεν, ουδε συν αϝτῳ̃.
πολλακι γαρ τογε μητρος επευθετο, νοσφιν ακοϝων,
ͱη ͱοι απανγελλεσκε διος μεγαλοϝο νοημα.
δη τοτε γ' ου ͱοι εϝεσπε κακον τοσον, ͱοσον ετυχθη.
ͱοι δ' αιϝει περι νεκϱον ακαχμενα δορϝαθ' εχοντες,
νωλεμες ενχριμπτοντο, και αλληλοϝς εναριδσον.
ͱω̃δε δε τις ϝεσπεσκεν αχαιϝων χαλκοχιτω̃νων·
ω φιλοι, ου μαν ͱημιν ͱεϋκλεες απονεεσθαι
ναϝας επι γλαφυρας, αλλ' αϝτοϝο γαια μελαινα
παντσι χανοι! το κεν ͱημιν ͱαφαρ πολυ κερδιον ειη,
ει τοϝτον τροϝεσι μεθησομεν ͱιπποδαμοισιν
ϝαστυ ποτι σφετερον ϝερυσαι, και κυϝδος ͱαρεσθαι.
ͱω̃δε τις αϝ τροϝων μεγαθυϝμων αυϝδη̃σασκεν·
ω φιλοι, ει και μοιρα παρ' ανερι τῳ̃δε δαμηναι
παντας ͱομως, μη πῳ̃ τις εϱοϝεετω πολεμοϝο.
ͱως ͱοι μεν μαϱναντο· σιδηρειος δ' ορυμαγδος
χαλκεον ουρανον ͱικε δι' αιθερος ατρυγετοϝο.
ͱιπποι δ' αιϝακιδαϝο, μαχης απανευθεν εοντες,
κλαϝον, επειδη πρω̃τ' επυθεσθην ͱηνιͱοχοϝο
εν κονιϝη̃σι πεσοντος ͱυφ' εκτορος ανδροφονοϝο.
η μαν αϝτομεδων, διϝωρεος αλκιμος ͱυιος,
πολλα μεν αρ μαστινγι θοϝῃ̃ επεμαϝετο θεινων,
πολλα δε μειλιχιοισι προσηυϝδαε, πολλα δ' αρειῃ̃·
τω δ' ουτ' απς επι ναϝας επι πλατυν ͱελλησποντον
ηθελετην ιμεναι, ουτ' ες πολεμον μετ' αχαιϝοϝς·
αλλ' ͱωστε στηλη μενει ενπεδον, ͱητ' επι τυμβῳ̃
ανερος ͱεστηκεε τεθνη̃οτος, ηε γυναικος·
ͱως μενον ασφαλεως περικαλλεα διφρον ͱεχοντε,
ουδει ενισκιμπτσαντε καρη̃ατα· δακρυϝα δε σφιν
θερμα κατα βλεφαρων χαμαδις ϱεϝε μυϝρομενοισιν,
ͱηνιͱοχοϝο ποθῳ̃· θαλερη δε μιαινετο χαιτη,
δσευγλης εκσεριποντσα παρα δσυγον αμφοτερωσε.
μυϝρομενω δ' αρα τωγε ϝιδων ελεησε κρονιϝων,
κινησανς δε καρη̃, προθ' εϝον μυϝθησατο θυϝμον·
ϝαͱ δδειλω! τι σφοϝ' εδομεν πηλεϝι ϝανακτι

θνητῷ; ͱυμεες δ᾽ εστον αγηρω τ᾽, αθανατω τε· P
η᾽ ͱινα δυστηνοισι μετ᾽ ανδρεσιν αλγε᾽ ͱεχητον;
ου μεν γαρ τι ποϝ᾽ εστιν οϊδσυρωτερον ανδρος
παντων, ͱοσα τε γαιαν επι πνεϝει τε και ͱερπει.
αλλ᾽ ου μαν ͱυμῖν γε και ͱαρμασι δαιδαλεοισιν
ͱεκτωρ πριαμιδης εφοχησεται· ου γαρ εϝᾶσω.
η ουχ αλις, ͱως και τευχε᾽ ͱεχει, και επευχεται αϝτως;
σφοϝιν δ᾽ εν γονϝατσι βαλεω μενος ηδ᾽ ενι θυϝμῷ,
ͱοφρα και αϝτομεδοντα σαῶσετον εκ πολεμοϝο
ναϝας επι γλαφυρας· ετι γαρ σφισι κυϝδος ορεγσω,
κτεινεμεν, εις ͱο κε ναϝας ͱεϋσελμοϝς αφικωνται,
δυϝῃ τ᾽ ῆελιος, και επι κνεφας ͱιερον ελθῃ.
ͱως ϝεσπων, ͱιπποισιν ενεπνεϝσεν μενος ηΰ.
τω δ᾽ απο χαιταϝων κονιϝην ουδασδε βαλοντε,
ριμφ᾽ εφερον θοϝον ͱαρμα μετα τροϝας και αχαιϝοϝς.
τοισι δ᾽ επ᾽ αϝτομεδων μαχετ᾽, αχνυμενος περ ͱεταιροο,
ͱιπποισ᾽ αͱισσων, ͱωστ᾽ αιγυπιος μετα χηνας·
ρεϝα μεν αρ φευγεσκεν ͱυπ᾽ εκ τροϝων ορυμαγδοο,
ρεϝα δ᾽ επαͱικσᾶσκε πολυν καθ᾽ ομιλϝον οπαδσων.
αλλ᾽ ουχ αιρεε φῶτας, ͱοτε σσεϝσαιτο διῶκεεν·
ου γαρ πως ῆν, οιον εονθ᾽ ιερῷ ενι διφρῷ,
ενχει εφορμᾶσθαι, και επισχεμεν ὤκυας ͱιπποϝς.
οπσε δε δη μιν ͱεταιρος ανηρ ϝιδεν οφθαλμοισιν
αλκιμεδων, ͱυϊος λαϝερκεος ͱαιμονιδαϝο·
στη δ᾽ οπιθεν διφροϝο, και αϝτομεδοντα προσηῦϝδα·
αϝτομεδον, τις τοι νυ θεων νηκερδεα βουλην
εν στηθεσσιν εθῆκε, και εκσͱελετο φρενας εσθλας;
ͱοιον προς τροϝας μαχεαι πρῶτῳ εν ͱομιλϝῳ
μουνος· αταρ τοι ͱεταιρος απεκτατο· τευχεα δ᾽ ͱεκτωρ
αϝτος ͱεχων ωμοισιν αγαλλεται αιϝακιδαϝο.
τον δ᾽ αϝτ᾽ αϝτομεδων προσεφη, διϝωρεος ͱυιος·
αλκιμεδον, τις τ᾽ αρ τοι αχαιϝων αλλος ͱομοιος,
ͱιππων αθανατων ͱεχεμεν δμῆσιν τε μενος τε,
ει μη πατροκλος, θεοφιν μηστωρ ͱαταλαντος,
δσαϝος εων; νῦν δ᾽ αϝ θανατος και μοιρα κιχανει.
αλλα συ μεν μαστινγα και ͱηνια σιϝαλοεντα
δεχσαι, εγω δ᾽ ͱιππων αποβησομαι, ͱοφρα μαχωμαι.
ͱως εφατ᾽· αλκιμεδων δε βοῃ θοϝον ͱαρμ᾽ εποροϝσανς,
καρπαλιμως μαστινγα και ͱηνι᾽ ελαδσετο χερσιν·
αϝτομεδων δ᾽ αποροϝσ᾽· ενοησε δε φαιδιμος ͱεκτωρ,
αϝτικα δ᾽ αινειαν προσεφῶνεεν ενγυς εοντα·
αινεια, τροϝων βουληφορε χαλκοχιτῶνων,
ͱιππω τωδ᾽ ενοησα ποδῶκεος αιϝακιδαϝο
ες πολεμον προφανεντε συν ͱηνιͱοχοισι κακοισιν·
τῷ κεν ͱελποιμην ͱαιρησεμεν, ει συγε θυϝμῷ
σῷ εθελεις· επει ουκ αν εφορμηθεντε γε νοϝι

τλαῖεν εναντιβιον σταντες μαχεσασθαι αρεϝι.
ϝως εφατ᾽· ουδ᾽ απιθησεν ϝεϋς παϊς ανχισαϝο. P
τω δ᾽ ιθυς βητην, βοϝεῆς ϝελϝῦμενω ωμοϝς
αυϝῆσι, στερεῆσι· πολυς δ᾽ επελῆλατο χαλκος.
τοισι δ᾽ ϝαμα χρομιος τε, και αρῆτος θεοϝειδης,
ηϊσαν αμφοτεροι· μαλα δε σφισ᾽ εϝελπετο θυϝμος
αϝτω τε κτενεεεν, ελαεεν τ᾽ εριαϝχενας ϝιπποϝς·
νηπιοι! ουδ᾽ αρ᾽ εμελλον αϝαιμωτις γε νεεσθαι
αϝτις απ᾽ αϝτομεδοντος· ϝο δ᾽, ευχσαμενος διϊ πατρι,
αλκης και σθενεος πλητο φρενας αμφι μελαινας·
αϝτικα δ᾽ αλκιμεδοντα προσηῦϝδαε, πιθτον ϝεταιρον·
αλκιμεδον, μη δη μοι αποπροθεν ϝισχεμεν ϝιππω,
αλλα μαλ᾽ ενπνεϝοντε μεταφρενῳ· ου γαρ εγωγε
ϝεκτορα πριαμιδην μενεος σχησεσθαι οἴϝω,
πριν γ᾽ επ᾽ αχιλλεϝος καλλιτριχε βημεναι ϝιππω,
νοϝι κατακτῆναντα, φοβησαι τε στιχας ανδρων
αργειϝων· η κ᾽ αϝτος ενι πρωτοισιν ϝαλῴη.
ϝως ϝεσπων, αιϝαντε καλεσσατο, και μενελαϝον·
αιϝαντ᾽, αργειϝων ϝηγητορε, και μενελαϝε,
ητοι μεν τον νεκρον επιτραπεθ᾽, οσοι αριστοι,
αμφ᾽ αϝτῳ βεβαμεν, και αμυϝνεσθαι στιχας ανδρων·
νοϝιν δε δϝαϝοισιν αμυϝνετε νηλεες ϝημαρ.
τῆδε γαρ εβριθσαν πολεμον κατα δακρυϝοεντα
ϝεκτωρ, αινειας θ᾽, οι τροϝων εντιν αριστοι·
αλλ᾽ ητοι μεν ταϝτα θεων εν γουϝασι κειται·
ϝησω γαρ και εγω· τα δε κεν διϊ παντα μελησει.
ῆ ρα, και ανπεπαλων προϝιεε δολιχοσκιον ενχος,
και βαλεν αρῆτοϝο κατ᾽ ασπιδα παντοσε ϝεισϝην·
ϝη δ᾽ ουκ ενχος ερυϝτο, δια προ δ᾽ εεισατο χαλκος,
νεϝαιρῃ δ᾽ εν γαστρι δια δσωστηρος ελασσεν.
ϝως δ᾽ ϝοτ᾽ αν ϝοκσυν ϝεχων πελεκυν αιδσηϊος ανηρ,
κοπτσανς εκσοπιθεν κεραων βοϝος αγραϝλοϝο,
ϝῖνα ταμῃ δια παντσαν, ϝο δε προθορων εριπητιν·
ϝως αρ᾽ ϝογε προθορων πεσεν ϝυπτιος· εν δε ϝοι ενχος
νηδυιοισι μαλ᾽ ϝοκσυ κραδαινομενον λυϝε γυια.
ϝεκτωρ δ᾽ αϝτομεδοντος ακοντισε δορϝι φαϝεινῷ·
αλλ᾽ ϝο μεν αντα ϝιδων ῆλεϝσατο χαλκεον ενχος·
προσσῷ γαρ κατεκυπτσε· το δ᾽ εκσοπιθεν δορυ μακρον
ουδει ενισκιμφθη, επι δ᾽ ουριαχος πελεμιχθη.
και νυ κε δη χσιφεεσ᾽ αϝτοσχεδον ϝορμῆθητην,
ει μη σφοϝ᾽ αιϝαντε διεκρῖναν μεμαϝῶτε,
ϝοι ρ᾽ ηλθον καθ᾽ ομιλϝον, ϝεταιροϝο κικλῆσκοντος.
τοϝς δ᾽ ϝυποταρβησαντες εχῶρησαν παλιν αϝτις
ϝεκτωρ, αινειας τ᾽, ηδε χρομιος θεοϝειδης·
αρῆτον δε κατ᾽ αϝθ᾽ ελιπον, δεδαϝιγμενον ητορ,
κειμενον· αϝτομεδων δε, θοϝῷ ϝαταλαντος αρεϝι,

τευχεα τ' εκσεναριξε, και ευχομενος Fεπος ῆυFδα· P
η δη μαν ολιγον γε μενοιτιαδαFo θανοντος
κεαρ αχεος μετεͱῆκα, χερειονα περ καταπεFνων.
ͱως Fεσπων, ες διφρον ͱελων εναρα βροτοεντα
θῆκ', αν δ' αFτος εβαινε, ποδας και χειρας ͱυπερθεν
ͱαιματοενς, ͱως τις τε λεFων κατα ταυρον εδῆδως.
απς δ' επι πατροκλῳ̃ τετατο κρατερη ͱυσμινη,
αργαλεη, πολυδακρυς· εγειρε δε νεικος αθηνη.
ηΰτε πορφυρεην Fιριν θνῆτοισι τανυσσῃ̃
δσεFς εκς ουρανοθεν, τερας εσμεναι η πολεμοFo,
η και χειμῶνος δυσθαλπεος· ͱος ρα τε Fεργων
ανθρωποFς ανεπαFσεν επι χθονι, μηλα δε κηδει·
ͱως ͱη. πορφυρεῃ̃ νεφελῃ̃ πυκασαντσα ͱεF αFτην,
δυFσατ' αχαιFων Fεθνος, εγειρε δε φῶτα ͱεκαστον.
πρῶτον δ' ατρεFος ͱυιον εποτρυFνοντσα προσῆυFδα,
ῖφθῖμον μενελαFον, ͱο γαρ ρα ͱοι ενγυθεν ῆεν,
Fειδσαμενη φοινῖκι δεμας και ατειρεα φῶνην·
σοι μεν δη, μενελαFε, κατηφειη και ονειδος
εσσεται, ει κ' αχιλεFος αγαFoFo πιθτον ͱεταιρον
τειχει ͱυπο τρoFων ταχυες κυνες ͱελκησωντιν·
αλλ' ͱεχεο κρατερως, οτρυFνε δε λαFον ͱαπαντα.
την δ' αFτε προσεFεσπε βοην αγαθος μενελαFος·
φοινικς, αττα, γεραFε παλαιγενες, ει γαρ αθηνη
δοιη καρτος εμοι, βελεων δ' απερυκοι εροFην·
τῳ̃ κεν εγωγ' εθελοιμι παρͱεσταμεναι και αμυFνεεν
πατροκλῳ̃· μαλα γαρ με θανων εσειασσατο θυFμον·
αλλ' ͱεκτωρ πυρος αινον ͱεχει μενος, ουδ' αποληγει
χαλκῳ̃ δαFιοων· τῳ̃ γαρ δσεFς κυFδος οπαδσει.
ͱως φατ'· εγηθησεν δε θεα γλαFκῶπις αθηνη,
ͱοτι ρα ͱοι πανπρωτα θεων ῆρῆσατο παντων·
εν δε βιην ωμοισι και εν γονFατσιν εθῆκεν,
και ͱοι μυιης θαρσος ενι στηθεσσιν ενͱηκεν,
ͱητε, και ͱεργομενη μαλα περ χροος ανδρομεοFo,
ͱισχαναει δακεεεν, λαFρον τε ͱοι ͱαιμ' ανθρωποο·
τοιοFo μιν θαρσεος πλησεν φρενας αμφι μελαινας.
βη δ' επι πατροκλῳ̃, και ακοντισε δορFι φαFεινῳ̃.
ῆν δε τις εν τροFεσι ποδης, ͱυϊς ηετιFῶνος,
ͱαφνειος τ', αγαθος τε· μαλιστα δε μιν τιFεν ͱεκτωρ
δημοF', επει ͱοι ͱεταιρος εῆν φιλος ͱελλαπιναστης·
τον ρα κατα δσωστηρ' εβαλε χσανθος μενελαFος,
αͱικσαντα φοβονδε· δια προ δε χαλκον ελασσεν·
δουπησεν δε πεσων· αταρ ατρεFιδης μενελαFος
νεκρον ͱυπ' εκ τροFων Fερυσεν μετα Fεθνος ͱεταιρων.
ͱεκτορα δ' ενγυθεν ͱισταμενος ῶτρυFνεν απολλων,
φαινοπι ασιαδῃ̃ εναλινκιος, ͱος ͱοι ͱαπαντων
χσεινων φιλτατος εσκεν, αβυFδοθι Fοικια ναιων·

hεκτορ, τις κε σ' ετ' αλλος αχαιFων ταρβησειεν;
hοιον δη μενελαFον hυπετρεσας, hος το παρος περ P
μαλθακος αιχμῆτης, νῦν δ' οιχεται οιος αhῆραυς
νεκρον hυπ' εκ τροFων· σον δ' εκτανε πιθτον hεταιρον,
εσθλον, ενι προμαχοισι, ποδην, hυϊ' ηετιFῶνος.
hως φατο· τον δ' αχεος νεφελη εκαλυπτσε μελαινα·
βη δε δια προμαχων κεκορυθμενος αιθοπι χαλκῷ.
και τοτ' αρα κρονιδης hελετ' αιγιδα θυσσανοεντσαν,
μαρμαρεην, ιδην δε κατα νεφεεσ' εκαλυπτσεν·
αστραπτσανς δε, μαλα μεγαλ' εκτυπε, την δ' ετινακσεν·
νικην δε τροFεσ' εδιδῶ, εφοβησε δ' αχαιFοFς.
πρῶτος πηνελαFος βοιωτιος ῆρχε φοβοFο·
βλῆτο γαρ ωμον δορFι, προσῶ τετραπμενος αιFει,
ακρον επιλιγδην· γραπτσεν δε hοι οστεον αχρις
αιχμη πολυδαμαντος· hο γαρ εβαλε σχεδον ελθων.
λεFιτον αFθ' εκτωρ σχεδον ουτασε χειρ' επι καρπῷ,
hυιον αλεκτρυονος μεγαθυFμοF', επαFσε δε χαρμης·
τρεσσε δε παπτῆνανς, επει ουκετ' εFελπετο θυFμῷ
ενχος hεχων εν χειρι μαχησεσθαι τροFεσιν.
hεκτορα δ' ιδομενεFς μετα λεFιτον hορμῆθεντα
βεβληκεε θωρηκα κατα στηθος παρα μαδσον·
εν καFλῷ δ' εFαγη δολιχον δορυ· τοι δ' εβοῆσαν
τροFες· hο δ' ιδομενεFος ακοντισε δορFι φαFεινῷ,
διφρῳ εφεσταοτος· τοFο μεν ρ' απο τυτθον αμαρτεν·
πεδσος γαρ τα πρῶτα λιπων ναFας αμφιFελισσας
ηλυθε, και κεν τροFσι μεγα κρατος ενγυαλικσεν,
ει μη κοιρανος ῶκα ποδωκεας ηλασεν hιπποFς·
και τῷ μεν φαFος ηλθεν, αμυFνε δε νηλεες hημαρ·
αFτος δ' ῶλεσε θυFμον hυφ' εκτορος ανδροφονοFο·
τον βαλ' hυπο γναθμοFο και οFατος, εκ δ' αρ' οδοντας
ῶθσε δορυ πρυμνον, δια δε γλωσσαν ταμε μεσσην·
ηριπε δ' εκς hοχεων, κατα δ' hηνι' εχεFεν εραδσε.
και ταγε μηριονης ελαβεν χειρεσι φιλῆσιν
κυπτσανς εκ πεδιοFο, και ιδομενεFα προσῆυFδα·
μαστιε νυν, hεFος κε θοFας επι ναFας hικηαι·
γιγνῶσκεις δε και αFτος, hοτ' ουκετι καρτος αχαιFων.
hως εφατ'· ιδομενεFς δ' hιμασεν καλλιτριχας hιπποFς
ναFας επι γλαφυρας· δη γαρ δδεος ενπεσε θυFμῷ.
ουδ' ελαθ' αιFαντα μεγαλητορα και μενελαFον
δσεFς, hοτε δη τροFεσ' εδιδῶ hετεραλκεα νικην.
τοισι δε μυFθων ῆρχε μεγας τελαμωνιος αιFανς·
ω ποποι! ηδη μεν κε και hος μαλα νηπιος εστιν,
γνοιη, hοτι τροFεσι πατηρ δσεFς κυFδος οπαδσει.
των μεν γαρ παντων βελε' hαπτεται, hοστις αφιhει,
η κακος, η' αγαθος· δσεFς δ' ενπης παντ' ιθυFνει·
hημῖν δ' αFτως παντσι Fετωσια πιπτει εραδσε.

αλλ᾽ αγετ᾽, αϝτοι περ φραδσωμεθα μητιν αριστην,
ημεν ͱοπως τον νεκρον ϝερυσσομεν, ηδε και αϝτοι
χαρμα φιλοισ᾽ ͱεταροισι γενωμεθα νοστησαντες·
ͱοι ποϝο δευρ᾽ ͱοραοντες ακηχεδατ᾽, ουδ᾽ ετι φαντιν
σχησεσθ᾽, αλλ᾽ εν ναϝσι μελαινῇσιν πεσεεσθαι.
ειη δ᾽ ͱοστις ͱεταιρος απαγγῆλειε ταχιστα
πηλεϝιδῇ· επει ου μιν οϊϝομαι ουδε πεπυθθαι
λυγρης αγγελιης, ͱοτι ͱοι φιλος ῶλεθ᾽ εταιρος.
αλλ᾽ ου πῇ δυναμαι ϝιδεεεν τοιοϝτον αχαιϝων·
ῆερι γαρ καθεχονται ͱομως αϝτοι τε και ͱιπποι.
δσεϝ πατερ, αλλα συ ρυϝσαι ͱυπ᾽ ῆερος ͱυιας αχαιϝων,
ποιησον δ᾽ αιθρην, δος δ᾽ οφθαλμοισι ϝιδεσθαι·
εν δε φαϝει και ολεσσον, επει νυ τοι εϝαδεν ͱοϝτως.
ͱως φατο· τον δε πατηρ ολοφυϝρατο δακρυχεϝοντα·
αϝτικα δ᾽ ῆερα μεν σκεδασεν, και απῶθσεν ͱομιχλην·
ῆελιος δ᾽ επελαμπσε, μαχη δ᾽ επι παντσ᾽ εφαϝενθη.
και τοτ᾽ αρ᾽ αιϝανς ϝεσπε βοην αγαθον μενελαϝον·
σκεπτεο νῦν, μενελαϝε διοτρεφες, αι κε ϝιδηαι
δσαϝον ετ᾽ αντιλοχον, μεγαθυϝμοϝο νεστορος ͱυιον·
οτρυϝνον δ᾽ αχιλεϝι δαϝιφρονι θασσον ιοντα
ϝεσπεμεν, ͱοτι ρα ͱοι πολυ φιλτατος ῶλεθ᾽ εταιρος.
ͱως εφατ᾽· ουδ᾽ απιθησε βοην αγαθος μενελαϝος.
βη δ᾽ ιμεναι, ͱως τις τε λεϝων απο μεσσαϝλοϝο,
ͱοστ᾽ επει αρ κε καμητι κυνας τ᾽ ανδρας τ᾽ ερεθιδσων,
ͱοιτε μιν ουκ εϝαοντι βοϝων εκ πιϝαρ ͱελεσθαι,
παννυχοι εγρῆσσοντες· ͱο δε κρεαων εpατιδσων
ιθυϝει, αλλ᾽ ουτι πρῆσσει· θαμεες γαρ ακοντες
αντιοι αͱισσοντι θρασυιαων απο χειρων,
καϝομεναι τε δεται, τας τε τρεει εσσυμενος περ·
ηοαθεν δ᾽ απονοσφιν εβη τετιϝηοτι θυϝμῷ·
ͱως απο πατροκλοϝο βοην αγαθος μενελαϝος
ηϊε πολλ᾽ αͱεκων· περι γαρ δδιε, μη μιν αχαιϝοι
αργαλεοο προ φοβοϝο ͱελωρ δαϝιοισι λιποιεν.
πολλα δε μηριονῇ τε και αιϝαντεσ᾽ επετελλεν·
αιϝαντ᾽, αργειϝων ͱηγητορε, μηριονη τε,
νῦν τις ενηειης πατροκλεεος δδειλοϝο
μνῆσασθω· παντσιν γαρ επιστατο μειλιχος εεναι
δσαϝος εων· νῦν δ᾽ αϝ θανατος και μοιρα κιχανει.
ͱως αρα φῶνησανς απεβη χσανθος μενελαϝος,
παντοσε παπταινων, ͱωστ᾽ αιετος, ͱον ρα τε φαντιν
ͱοκσυτατον δερκεσθαι ͱυπουρανιων πετεηνων,
ͱον τε, και ͱυπσοθ᾽ εοντα, ποδας ταχυς ουκ ελαθε πτῶκς,
θαμνῷ ͱυπ᾽ αμφικομῷ κατακειμενος· αλλα τ᾽ επ᾽ αϝτῷ
εσσυτο, και τε μιν ῶκα λαβων εκσͱελλετο θυϝμον·
ͱως τοτε σοι, μενελαϝε διοτρεφες, οσσε φαϝεινω
παντοσ᾽ εδινεϝθην, πολυων κατα ϝεθνος ͱεταιρων,

ει ποϝο νεστορος ͱυιον ετι δσαϝοντα ϝιδοιο. P
τον δε μαλ' αιπσ' ενοησε μαχης επ' αριστερα παντσης,
θαρσυϝνονθ' εταροϝς, και εποτρυϝνοντα μαχεσθαι·
ανχοϝο δ' ͱισταμενος προσεφη χσανθος μενελαϝος·
αντιλοχ', ειδ' αγε δευρο, διοτρεφες, ͱοφρα πυθηαι
λυγρης αγγελιης, ͱη μη ὦφελλε γενεσθαι.
ηδη μεν σε και αϝτον οϊϝομαι εισͱοραοντα
γιγνῶσκεεν, ͱοτι πημα θεος δαναοισι κυλινδει,
νικη δε τροϝων· πεφαται δ' ͱοχ' αριστος αχαιϝων,
πατροκλος, μεγαλη δε ποθη δαναοισι τετυχται.
αλλα συγ' αιπσ' αχιλεϝι, θεϝων επι ναϝας αχαιϝων,
ϝεσπεμεν, αι κε ταχιστα νεκυν επι ναϝα σαῶσῃ
γυμνον· αταρ ταγε τευχε' ͱεχει κορυθαιϝολος ͱεκτωρ.
ͱως εφατ'· αντιλοχος δε κατεστυγε, μυϝθον ακοϝσανς·
αλλ' ουδ' ͱως μενελαϝοϝ' εφημοσυνης αμελησεν·
βη δε θεϝεεν, τα δε τευχε' αμυϝμονι δῶκεν ͱεταιρῷ
λαϝοδοκῷ, ͱος ͱοι σχεδον εστρεφε μῶνυχας ͱιπποϝς.
τον μεν δακρυχεϝοντα ποδες φερον εκ πολεμοϝο,
πηλεϝιδῃ αχιλεϝι κακον ϝεπος αγγελεοντα.
ουδ' αρα σοι, μενελαϝε διοτρεφες, ηθελε θυϝμος
τειρομενοισ' ͱεταροισιν αμυϝνεμεν, ενθεν απηλθεν
αντιλοχος, μεγαλη δε ποθη πυλιοισιν ετυχθη·
αλλ' ͱογε τοισιν μεν θρασυμηδεα διϝον ανηκεν,
αϝτος δ' αϝτ' επι πατροκλῷ ͱηροϝ' εβεβηκεεν·
στη δε παρ' αιϝαντεσι θεϝων, ειθαρ δε προσηῦϝδα·
κεινον μεν δη ναϝσιν επιπροεͱῆκα θοϝῇσιν,
ελθεμεν εις αχιλεϝα ποδας ταχυν· ουδε μιν οιϝω
νῦν ιμεναι, μαλα περ κεχολῶμενον ͱεκτορι διϝῳ·
ου γαρ πως αν γυμνος εων τροϝεσι μαχοιτο.
ͱημεες δ' αϝτοι περ φραδσωμεθα μητιν αριστην,
ημεν ͱοπως τον νεκρον ϝερυσσομεν, ηδε και αϝτοι
τροϝων εκς ενοπης θανατον και κηρα φυγωμεν.
τον δ' ῆμειβετ' επειτα μεγας τελαμωνιος αιϝανς·
παντα κατ' αισαν εϝεσπες, αγακλεες ω μενελαϝε·
αλλα συ μεν, και μηριονης, ͱυποδῦντε μαλ' ὦκα,
νεκρον αͱῆραντες φερετ' εκ πονοϝ'· αϝταρ οπισσῳ
νοϝι μαχησομεθα τροϝεσιν τε και ͱεκτορι διϝῳ,
ϝεισϝον θυϝμον ͱεχοντες, ͱομωνυμοι, ͱοι το παρος περ
μιμνομεν ͱοκσυν αρεϝα παρ' αλληλοισι μενοντες.
ͱως εφαθ'· οι δ' αρα νεκρον απο χθονος ανκαδσοντο
ͱυπσι μαλα μεγαλως· ϝιϝαχεν δ' επι λαϝος οπισθεν
τροϝικος, ͱως ϝειδοντο νεκυν ͱαιροντας αχαιϝοϝς·
ιθυϝσαν δε, κυνεσι ϝεϝοικοτες, ͱοιτ' επι καπρῳ
βλῆμενῳ αͱικσωντι προ κοϝρων θηρεϝτηρων·
ͱεϝος μεν τε θεϝοντι, διαϝραισαι μεμαϝῶτες,
αλλ' ͱοτε δη ρ' εν τοισι ϝελικσεται, αλκι πεποιθως,

απς τ' ανεχῶρησαν, δια τ' ετρεσαν αλλυδις αλλος· P
ͱως τροϝες ͱεϝος μεν ͱομιλϝαδον αιϝεν ͱεποντο,
νυσσοντες χσιφεσιν τε και ενχεσιν αμφιγυοισιν·
αλλ' ͱοτε δη ρ' αιϝαντε μεταστρεφθεντε κατ' αϝτοϝς
σταιησαν, των δ' ετρεπετο χρως, ουδε τις ετλη
προσσῳ αͱικσανς περι νεκροϝο δηριαεσθαι.
ͱως ͱοιγε μεμαϝῶτε νεκυν φερον εκ πολεμοϝο
ναϝας επι γλαφυρας· επι δε πτολεμος τετατο σφιν
αγριος, ηϋτε πυρ, το, τ' επεσσυμενον πολιν ανδρων
ορμενον εκσαιφνης φλεγεθει, μινυθοντι δε ϝοικοι
εν σελαϊ μεγαλῳ· βρεμεται δ' επι ϝις ανεμοϝο·
ͱως μεν τοισ' ιππων τε και ανδρων αιχμῆταϝων
αδσηχης ορυμαγδος επηϊεν ερχομενοισιν.
ͱοι δ' ͱωσθ' ημιονοι, κρατερον μενος αμφιβαλοντες,
ͱελκωντ' εκς ορεος κατα παιπαλοεντσαν αταρπον,
η δοκον, ηε δορυ μεγα ναϝιον· εν δε τε θυϝμος
τειρεθ' ομοο καματῳ τε και ͱιδρῳ σπευδοντεσιν·
ͱως ͱοιγε μεμαϝῶτε νεκυν φερον· αϝταρ οπισθεν
αιϝανθ' ισχανετην, ͱως πρῆων ͱισχανει ͱυϝδωρ
ͱυλϝῆενς, πεδιοϝο διαπρυσιον τετυχηκως·
ͱοστε και ϊφθϊμων ποταμων αλεγεινα ρεϝεθρα
ͱισχει, ͱαφαρ δε τε παντσι ροϝον πεδιονδε τιθητιν
πλαδσων, ουδε τι μιν σθενεϊ ϝρῆγνυντι ρεϝοντες·
ͱως αιϝει αιϝαντε μαχην ανεͱεργον οπισσῳ
τροϝων· ͱοι δ' ͱαμ' ͱεποντο, δυω δ' εν τοισι μαλιστα,
αινειας τ' ανχισιαδης, και φαιδιμος ͱεκτωρ.
των δ', ͱωστε πσαϝρων νεφος ερχεται, ηε κολοϝων,
ϝολϝον κεκλῆγοντες, ͱοτε προϝιδωντιν ιοντα
κιρκον, ͱος σμικρῃσι φονον φερει ορνιχθεσιν·
ͱως αρ' υπ' αινειᾳ τε και ͱεκτορι κοϝροι αχαιϝων
ϝολϝον κεκλῆγοντες ισαν, ληθοντο δε χαρμης. 759

αντιλοχος δ' αχιλεϝι ποδας ταχυς ανγελος ηλθεν, 2
δακρυϝα θερμα χεϝων, φατο δ' ανγελιην αλεγεινην· 17

ω μοι, πηλεϝος ͱυιε δαϝιφρονος, η μαλα λυγρης Σ
πευθσεαι ανγελιης, ͱη μη ὤφελλε γενεσθαι.
κειται πατροκλος· νεκυος δε δη αμφι μαχονται
γυμνοϝ· αταρ ταγε τευχε' ͱεχει κορυθαιϝολος ͱεκτωρ.

ͱως φατο· τον δ' αχεος νεφελη εκαλυπτσε μελαινα·
αμφοτερῃσι δε χερσιν ͱελων κονιν αιθαλοεντσαν,
χεϝσατο κατ κεφαλης, χαριεν δ' ῄσχυνε προσῶπον·
νεκταρεῳ δε χιτῶνι μελαιν' αμφιδσανε τεφρη.
αϝτος δ' εν κονιϝῃσι μεγας μεγαλωστι τανυσθενς
κειτο, φιλην δε τε χερσι κομην ῄσχυϝνε δαϝιδσων.
δμωαι δ', ͱας αχιλεϝς λεϝισσατο, πατροκλος τε,
θυϝμον ακηχεμεναι μεγ' εϝιϝαχον, εκ δε θυραδσε
εδραμον αμφ' αχιλεϝα δαϝιφρονα· χερσι δε παντσαι

στηθε' επεπληγοντ', ελυθεν δ' ͱυπο γυια ͱεκαστης. Σ
αντιλοχος δ' ͱετερωθεν οδυϝρετο, δακρυϝα λειβων,
χειρας ͱεχων αχιλεϝος· ͱο δ' εστενε κυδαλιμον κεαρ·
δεδδιε γαρ μη λαιμον αποτμῆγσειε σιδηρῳ.
σμερδαλεον δ' ῴμωγσεν· ακοϝσε δε ποτνια μητηρ,
ͱημενη εν βενθεσσιν ͱαλος παρα πατρι γεροντι,
κωκυϝσεν τ' αρ' επειτα· θεαι δε μιν αμφ' αγεροντο
παντσαι, ͱοσαι κατα βενθος ͱαλος νηρεϝιδες ἦσαν.
τεων δε και αργυφεον πλητο σπεϝος· ͱαι δ' ͱαμα παντσαι
στηθε' επεπληγοντο· θετις δ' εκσῆρχε γοοϝο·
κλῦτε, κασιγνῆται νηρεϝιδες, ͱοφρ' ͱεῢ παντσαι
ϝῆδετ' ακοϝοντσαι, ͱοσ' εμῷ ενι κηδεα θυϝμῷ.
ω μοι εγω δδειλη! ω μοι δυσαριστοτοκυια!
ͱητ' επει αρ' τεκον ͱυιον αμυϝμονα τε, κρατερον τε,
εκσͱοχον ͱηροϝων, ͱο δ' ανεδραμεν ερνεϊ ϝεισϝος,
τον μεν εγω τρεφσαντσα, φυτον ͱως γουνϝῷ αλοϝης,
ναϝσιν επιπροεͱῆκα κορωνισι ϝιλϝιον εισῳ,
τροϝσι μαχησομενον· τον δ' ουχ υποδεχσομαι αϝτις
ϝοικαδε νοστησαντα, δομον πηλεϝιον εισῳ,
ͱοφρα δε μοι δσαϝει και ͱορᾳ φαϝος ἠελιοϝο,
αχνυται, ουδε τι ͱοι δυναμαι χραϝσμησαι ιοντσα.
αλλ' ειμ' ͱοφρα ϝιδοιμι φιλον τεκος, ηδ' επακοϝσω,
ͱο τι μιν ͱικετο πενθος, απο πτολεμοϝο μενοντα.
ͱως αρα φωνησαντσ' ελιπε σπεϝος· ͱαι δε συν αϝτῃ
δακρυοεντσαι ισαν, περι δε σφισι κυϝμα θαλασσης
ϝρῆγνυτο. ται δ' ͱοτε δη τροϝιην εριβωλον ͱικοντο,
ακτην εισανεβαινον επισχερῳ, ενθα θαμειαι
μυρμιδονων εϝερῦντο ναϝες ταχυν αμφ' αχιλεϝα.
τῳ δε βαρυ στοναχοντι παρͱιστατο ποτνια μητηρ,
ͱοκσυ δε κωκυϝσαντσα καρῆ λαβε παιδος ͱεϝοϝο·
και ρ' ολοφυϝρομενη ϝεπεα πτεροεντα προσηῦϝδα·
τεκνον, τι κλαϝεις; τι δε σε φρενας ͱικετο πενθος;
εκσαυϝδᾶ, μη κεϝθε· τα μεν δη τοι τετελεσται
εκ διος, ͱως αρα δη πριν γ' ευχεο, χειρας ανασχων,
παντας επι πρυμνῆσιν ͱαλημεναι ͱυιας αχαιϝων,
σεϝ' επιδεϝομενοϝς, παθεεεν τ' αϝεκηλια ϝεργα.
την δε βαρυ στοναχων προσεφη ποδας ὦκυς αχιλλεϝς·
μητερ εμη, τα μεν αρ μοι ολυνπιος εκσετελεσσεν·
αλλα τι μοι των ͱηδος, επει φιλος ὦλεθ' εταιρος
πατροκλος; τον εγω περι παντων τιϝον ͱεταιρων,
ϝεισϝον εμῇ κεφαλῇ, τον απωλεσα· τευχεα δ' ͱεκτωρ
δαϝιωσανς απεδυϝσε πελωρια, θαϝμα ϝιδεσθαι,
καλα· τα μεν πηλεϝι θεοι δοσαν, αγλαϝα δωρα,
ͱηματι τῳ, ͱοτε σε βροτοϝ' ανερος ενβαλον ευνῃ.
αιθ' οφελες συ μεν αϝθι μετ' αθανατῃσ' ͱαλιῃσιν
ναιεεν, πηλεϝς δε θνητην αγαγεσθαι ͱακοιτιν!

νῦν δ' hινα και σοι πενθος ενι φρεσι μυFριον ειη, Σ
παιδος αποφθιμενοFo, τον ουχ υποδεχσεαι αFτις
Fοικαδε νοστησαντ'· επει ουδ' εμε θυFμος ανωγει
δσαFεμεν, ουδ' ανδρεσι μετεσμεναι, αι κε μη hεκτωρ
πρῶτος εμῷ hυπο δορFι τυπεις απο θυFμον ολεσσῃ,
πατροκλοFo δ' hελωρα μενοιτιαδαF' αποτιFσῃ.
τον δ' αFτε προσεFεσπε θετις κατα δακρυ χεFουσα·
ὦκυμορος δη μοι, τεκος, εσσεαι, hοι' αγορεFεις·
αFτικα γαρ τοι επειτα μεθ' εκτορα ποτμος hετοιμος.
την δε μεγ' οχθησανς προσεφη ποδας ὦκυς αχιλλεFς·
αFτικα τεθναιην, επει ουκ αρ' εμελλον hεταιρῳ
κτεινομενῳ επαμυFναι· hο μεν μαλα τηλοθι πατρης
εφθιτ'· εμεFo δ' εδεFσε Fαρης αλκτηρα γενεσθαι.
νῦν δ', επει ου νεομαι γε φιλην ες πατριδα γαιαν,
ουδε τι πατροκλῳ γενομην φαFος, ουδ' hεταροισιν
τοισ' αλλοισ', hοι δη πολυες δαμεν hεκτορι διFῳ·
αλλ' hημαι παρα ναFσι Fετωσιον αχθος αροFρης.
hως ερις εκ τε θεων, εκ τ' ανθρωπων απολοιτο,
και χολος, hος τ' επεhῆκε πολυφρονα περ χαλεπῆναι·
hος τε πολυ γλυκιων μελιτος καταλειβομενοFo
ανδρων εν στηθεσσιν αhεχσεται, ηΰτε καπνος·
hως εμε νῦν εχολῶσε Fαναξ ανδρων αγαμεμνων.
αλλα τα μεν προτετυχθαι εFάσομεν, αχνυμενοι περ,
θυFμον ενι στηθεσσι φιλον δαμασαντες αναγκῃ.
νῦν δ' ειμ', hοφρα φιλης κεφαλης ολετηρα κιχειω
hεκτορα· κηρα δ' εγω τοτε δεχσομαι, hοποτε κεν δη
δσεFς εθελῃ τελεσαι, ηδ' αθανατοι θεοι αλλοι.
ουδε γαρ ουδε βιη hηρακλεεος φυγε κηρα,
hοσπερ φιλτατος εσκε διϊ κρονιFῶνι Fανακτι.
αλλα hε μοιρ' εδαμασσε και αργαλεος χολος hηρης.
hως και εγων, ει δη μοι hομοιη μοιρα τετυχται,
κεισομ', επει κε θανω· νῦν δε κλεος εσθλον hαροιμην,
και τινα τροFιαδων και δαρδανιδων βαθυκολπων,
αμφοτερῃσιν χερσι παρειαFων hαπαλαFων
δακρυF' ομοργσαμενην, hαδινον στοναχησαι εφειην·
γνοιεν δ', hως δη δηρον εγω πολεμοFo πεπαFμαι.
μηδε μ' ερυκε μαχης, φιλεουσα περ· ουδε με πειθσεις.
τον δ' ἦμειβετ' επειτα θεα θετις αργυροπεδσα·
ναι δη τοFτο γε, τεκνον, hετητυμον· ου κακον εστιν
τειρομενοισ' εταροισιν αμυFνεμεν αιπυν ολεθρον·
αλλα τοι εντεα καλα μετα τροFεσιν hεχονται,
χαλκεα, μαρμαιροντα· τα μεν κορυθαιFολος hεκτωρ
αFτος hεχων ωμοισιν αγαλλεται· ουδε hε φημι
δηρον επαγλαFεεσθαι, επει φονος εγγυθεν αFτῳ,
αλλα συ μεν μη πῳ καταδυFσεο μῶλον αρεFος,
πριν γ' εμε δευρ' ελθουσαν εν οφθαλμοισι Fιδηαι.

ἦοαθεν γαρ νεομαι, ͱαμ᾽ ἠελιῳ̃ ανιοντι, Σ
τευχεα καλα Φεροντσα παρ᾽ ͱηΦαιστοFo Fανακτος.
ͱως αρα Φω̃νησαντσα παλιν τραπεθ᾽ ͱυιος ͱεFoFo·
και στρεΦθεντσ᾽, ͱαλιῃ̃σι κασιγνη̃τῃ̃σι μετη̃υFδα·
ͱυμεες μεν νυ̃ν δυFτε θαλασσης ευρυα κολπον,
οπτσομεναι τε γερονθ᾽ αλιον και δω̃ματα πατρος,
και ͱοι παντ᾽ αγορεFσατ᾽· εγω δ᾽ ες μακρον ολυνπον
ειμι παρ᾽ ͱηΦαιστον κλυτοτεχνην, αι κ᾽ εθεληтιν
ͱυιι᾽ εμῳ̃ δομεναι κλυτα τευχεα πανΦαναοντα.
ͱως εΦαθ᾽· αι δ᾽ ͱυπο κυFμα θαλασσης αFτικ᾽ εδυFσαν.
ͱη δ᾽ αFτ᾽ ολυνπονδε θεα θετις αργυροπεδσα
ηϊεν, ͱοΦρα Φιλῳ̃ παιδι κλυτα τευχε᾽ ενενκοι.
την μεν αρ᾽ ολυνπονδε ποδες Φερον· αFταρ αχαιFοι
θεσπεσιῳ̃ αλαλητῳ̃ ͱυΦ᾽ εκτορος ανδροΦονοFo
Φευγοντες, ναFας τε και ͱελλησποντον ͱικοντο.
ουδε κε πατροκλον περ ͱεϋκνημι̃δες αχαιFοι
εκ βελεων Fερυσαντο νεκυν, θεραποντ᾽ αχιλεFoς·
αFτις γαρ δη τονγ᾽ εκιχον λαFoς τε και ͱιπποι,
ͱεκτωρ τε, πριαμοFo παϊς, Φλογι Fεικελος αλκην.
τρις μεν μιν μετοπισθε ποδων λαβε Φαιδιμος ͱεκτωρ,
ͱελκεμεναι μεμαFως, μεγα δε τροFεσιν ͱομοκλα·
τρις δε δυ᾽ αιFαντες, θοFριν επιFεσμενοι αλκην,
νεκροF᾽ απεστυΦελικσαν· ͱο δ᾽ ενπεδον αλκι πεποιθως,
αλλοτ᾽ επαͱικσα̃σκε κατα μοθον, αλλοτε δ᾽ αFτε
στα̃σκε μεγα FιFαχων· οπισῳ̃ δ᾽ ου χαδσετο πανπαν.
ͱως δ᾽ απο σωματος ουτι λεFoντ᾽ αιθω̃να δυνανται
ποιμενες αγραFλοι μεγα πειναFoντα διεσθαι·
ͱως ρα τον ουκ εδυναντο δυω αιFαντε κορυστα
ͱεκτορα πριαμιδην απο νεκροFo δειδικσασθαι.
και νυ κεν εFερυσεν τε, και ασπετον ἠ̃ρατο κυFδος,
ει μη πηλεFιFω̃νι ποδη̃νεμος ω̃κυα Fιρις
ανγελος ηλθε θεFoντσ᾽ απ᾽ ολυνποFo θωρησσεσθαι,
κρυβδα διος, αλλων τε θεων· προ γαρ ͱη̃κε μιν ͱηρη·
ανχοFo δ᾽ ͱισταμενη Fεπεα πτεροεντα προση̃υFδα·
ορσεο, πηλεFιδη, παντων εκπαγλοτατ᾽ ανδρων·
πατροκλῳ̃ επαμυFνον, ͱoF ͱεινεκα ΦυFλFoπις αινη
ͱεστηκε προ ναFων· ͱοι δ᾽ αλληλοFς ολεκοντιν,
ͱοι μεν, αμυνομενοι νεκυος περι τεθνη̃ω̃τος,
ͱοι δε Fερυσσασθαι ποτι FιλFιον ανεμοεντσαν
τροFες επιθυFoντι· μαλιστα δε Φαιδιμος ͱεκτωρ
ͱελκεμεναι μεμονεν· κεΦαλην δε ͱε θυFμος ανωγει
πηγσαι ανα σκολοπεσι, ταμονθ᾽ απαλης απο δειρης.
αλλ᾽ ανα, μηδ᾽ ετι κεισο· σεβας δε σε θυFμον ͱικεσθω,
πατροκλον τροFιῃ̃σι κυσιν μελπηθρα γενεσθαι·
σοι λωβη, αι κεν τι νεκυς ῃ̃σχυνμενος ελθῃ̃.
την δ᾽ ἠ̃μειβετ᾽ επειτα ποδαρκης διFoς αχιλλεFς·

ϝιρι θεα, τις τ' αρ σε θεων εμοι αγγελον ͱῆκεν; Σ
τον δ' αϝτε προσεϝεσπε ποδῆνεμος ὤκυα ϝιρις·
ͱηρη με προεͱῆκε, διος κυδρη παρακοιτις. 184
την δ' απαμειβομενος προσεφη ποδας ὤκυς αχιλλεϝς· 187
πως τ' αϱ' ιω μετα μῶλον; ͱεχοντι δε τευχε' εκεινοι·
μητηϱ δ' ου με φιλη πριν γ' ηϝαε θωρησσεσθαι,
πριν γ' αϝτην ελθουσαν εν οφθαλμοισι ϝιδωμαι· 190
στεϝτο γαρ ͱηφαιστοϝο παρ' ͱοισεμεν εντεα καλα. 191
τον δ' αϝτε προσεϝεσπε ποδῆνεμος ὤκυα ϝιρις· 196
ͱευ νυ και ͱημεες ϝιδμεν, ͱο τοι κλυτα τευχε' ͱεχονται·
αλλ' αϝτως επι ταφρον ιων, τροϝεσι φανηθι,
αι κε σ' ͱυποδδειδσαντες αποσχωνται πολεμοϝο. 199
ͱη μεν αρ' ͱως ϝεσποντσ' απεβη ποδας ὤκυα ϝιρις. 202
αϝταρ αχιλλεϝς ὦρτο διϊ φιλος· αμφι δ' αθηνη
ωμοισ' ἰφθἰμοισ' εβαλ' αιγιδα θυσσανοεντσαν·
αμφι δε ͱοι κεφαλῇ νεφος εστεφε διϝα θεαϝων 205
χρυσεον, εκ δ' αϝτοϝ' εδαϝε φλογα πανφαναοντσαν.
ͱως δ' ͱοτε καπνος ιων εκς ϝαστυϝος αιθεϱ' ͱικηται
τηλοθεν εκ νησοο, την δαϝιοι αμφι μαχονται,
ͱοιτε πανͱημεριοι στυγερῷ κρινονται αρεϝι
ϝαστυϝος εκ σφετεροϝ· ͱαμα δ' ῆελιῳ καταδῦντι 210
πυρσοι τε φλεγεθοντιν επῆτριμοι, ͱυπσοσε δ' αϝγη
γιγνεται αͱισσοντσα, πεϱικτιονεσι ϝιδεσθαι,
αι κεν πως γσυν ναϝσι ϝαϱης αλκτηρες ͱικωνται·
ͱως απ' αχιλλεϝος κεφαλης σελας αιθεϱ' ͱικανεν.
στη δ' επι ταφρον ιων απο τειχεος· ουδ' ες αχαιϝοϝς 215
μισγετο· μητρος γαρ πυκινην ὤπιδσετ' εφετμην.
ενθα στανς ῆͱυϝσ'· απατερθε δε παλλας αθηνη
φθενγσατ'· αταρ τροϝεσιν εν ασπετον ὦρσε κυδοιμον.
ͱως δ' ͱοτ' αριδσηλη φῶνη, ͱοτ' εϝιϝαχε σαλπινγς
ϝαστυ περιπλομενων δαϝιων ͱυπο θυϝμοϝραϊστεων· 220
ͱως τοτ' αϱιδσηλη φῶνη γενετ' αιϝακιδαϝο.
ͱοι δ' ͱως ὦν αϝιον ϝοπα χαλκεον αιϝακιδαϝο,
παντσιν ορινθη θυϝμος· αταρ καλλιτριχες ͱιπποι
αψ ͱοχε' ετϱοπεον· ϝοσσοντο γαρ αλγεα θυϝμῳ.
ͱηνιͱοχοι δ' εκπληγεν, επει ϝιδον ακαματον πυρ 225
δδεινον ͱυπερ κεφαλης μεγαθυϝμοϝο πηλεϝιϝῶνος
δαϝομενον· το δ' εδαϝε θεα γλαϝκῶπις αθηνη.
τρις μεν ͱυπερ ταφϱοο μεγ' εϝιϝαχε διϝος αχιλλεϝς·
τρις δ' εκυκῆθησαν τροϝες, κλῆτοι τ' επικουροι, 229
αμφι σφοισιν ͱοχεσσι και ενχεσιν· αϝταρ αχαιϝοι 231
ασπασιως πατροκλον ͱυπ' εκ βελεων ϝερυσαντες,
κατθεσαν εν λεχεεσι· φιλοι δ' αμφεσταν ͱεταιροι
μυϝρομενοι· μετα δε σφι ποδῶκης ͱεσπετ' αχιλλεϝς,
δακρυϝα θερμα χεϝων, επει εϝιδε πιθτον ͱεταιρον 235
κειμενον εν φερετρῳ, δεδαϝιγμενον ͱοκσυϊ χαλκῷ·

τον ρ᾽ ητοι μεν επεμπε συν Ϝιπποισιν και Ϝοχεσσιν Σ
ες πολεμον, ουδ᾽ αϜτις εδεχσατο νοστησαντα.
ἦελιον δ᾽ ακαμαντα βοϜῶπις ποτνια Ϝηρη
πεμπσεν επ᾽ ωκεανοϜο ροϜας αϜεκοντα νεεσθαι·
ἦελιος μεν εδῦ, παϜσαντο δε διϜοι αχαιϜοι
φυϜλϜοπιδος κρατερης και ϜομοιΐοϜο πτολεμοϜο.
τροϜες δ᾽ αϜθ᾽ ετερωθεν, απο κρατερης Ϝυσμινης
χῶρησαντες, ελυϜσαν Ϝυφ᾽ αρμασιν ῶκυας ϜιπποϜς·
ες δ᾽ αγορην αγεροντο, παρος δορποϜο μεδεσθαι·
ορθων δ᾽ Ϝεσταοτων αγορη γενετ᾽, ουδε τις ετλῆ
Ϝεδσεσθαι· παντας γαρ Ϝεχε τρομος, Ϝοονεκ᾽ αχιλλεϜς
εκσεφανη, δηρον δε μαχης επεπαϜτ᾽ αλεγεινης.
τοισι δε πολυδαμανς πεπνυμενος ἦρχ᾽ αγορεϜεεν
πανθοϜιδης· Ϝο γαρ οιος Ϝορᾶ προσσῷ και οπισσῷ·
Ϝεκτορι δ᾽ ἦεν Ϝεταιρος, ιῇ δ᾽ εν νυκτ᾽ εγενοντο·
αλλ᾽ Ϝο μεν αρ μυϜθοισιν, Ϝο δ᾽ ενχεϊ πολλον ενικα·
Ϝο σφιν Ϝεϋφρονεων αγορεϜσατο και μετεϜεσπεν·
αμφι μαλα φραδσεσθε, φιλοι· κελομαι γαρ εγωγε
Ϝαστυδε νῦν ιμεναι, μη μιμνεμεν ἦοα διϜαν
εν πεδιῷ παρα ναϜσιν· Ϝεκας δ᾽ απο τειχεος εσμεν.
Ϝοφρα μεν ϜοϜτος ανηρ αγαμεμνονι μηνιϜε διϜῷ,
τοφρα δε ρεϜιτεροι πολεμιδσεμεν ἦσαν αχαιϜοι.
χαιρεσκον γαρ εγωγε θοϜῇσ᾽ επι ναϜσιν ϜιαϜων,
Ϝελπομενος ναϜας Ϝαιρησεμεν αμφιϜελισσας·
νῦν δ᾽ αινως δεδδοιδκα ποδωκεα πηλεϜιϜῶνα·
Ϝοιος εκεινοϜο θυϜμος Ϝυπερβιος, ουκ εθελησει
μιμνεμεν εν πεδιῷ, Ϝοθι περ τροϜες και αχαιϜοι
εν μεσῷ αμφοτεροι μενος αρεϜος δατεονται.
τον δ᾽ αρ᾽ Ϝυποδρα Ϝιδων προσεφη κορυθαιϜολος Ϝεκτωρ·
πολυδαμαν, συ μεν ουκ ετ᾽ εμοι φιλα ταϜτ᾽ αγορεϜεις,
Ϝος κελεαι κατα Ϝαστυ Ϝαλημεναι αϜτις ιοντας.
ἠ᾽ ουπῷ κεκορησθε ϜεϜελμενοι ενδοθι πυργων;
πριν μεν γαρ πριαμοϜο πολιν μεροπες ανθρωποι
παντες μυϜθεσκοντο πολυχρυσον, πολυχαλκον·
νῦν δε δη εκσαπολῶλε δομων κειμηλια καλα·
πολλα δε δη φρυγιην και μῃονιην ερατεινην
κτηματα περναμεν᾽ Ϝικει, επει μεγας ῶδυσατο δσεϜς.
νῦν δ᾽ Ϝοτε δη μοι εδωκε κρονοο παϊς ανκυλομητεο
κυϜδος Ϝαρεσθ᾽ επι ναϜσι, και αμφ᾽ Ϝαλα ϜελϜσαι αχαιϜοϜς,
νηπιε! μηκετι ταϜτα νοηματα φαιν᾽ ενι δηϜμῷ·
ου γαρ τις τροϜων επιπειθσεται· ου γαρ εϜᾶσω.
αλλ᾽ αγεθ᾽, ως αν εγων Ϝεσπω, πειθωμεθα παντες.
νῦν μεν δορπον Ϝελεσθε κατα στρατον εν τελεεσιν,
και φυλακης μνῆσασθε, και εγρηγορθε Ϝεκαστος·
πρῶϊ δ᾽ Ϝυπῆοιοι γσυν τευχεσι θωρηχθεντες,
ναϜσιν επι γλαφυρῇσιν εγῆρομεν Ϝοκσυν αρεϜα.

ει δ' ͱετεον παρα ναϝφιν ανεστη διϝος αχιλλεϝς,
αλγιον, αι κ' εθελῃτι, τῷ εσσεται· ου μιν εγωγε Σ
φευγσομαι εκ πολεμοϝο δυσϝηχεος, αλλα μαλ' αντην
στησομαι, η κε φεροιτο μεγα κρατος, η κε φεροιμην·
γσυνος ενεϝαλιος, και τε κτανεοντα κατεκτα.
ͱως ͱεκτωρ αγορεϝ'· επι δε τροϝες κελαδησαν,
νηπιοι! εκ γαρ σφεων φρενας ͱελλετο παλλας αθηνη·
ͱεκτορι μεν γαρ επῆνησαν κακα μητιαοντι,
πολυδαμαντι δ' αρ' ουτις, ͱος εσθλην φραδσετο βουλην.
δορπον επειθ' ελλοντο κατα στρατον· αϝταρ αχαιϝοι
παννυχιοι πατροκλον ανεστοναχοντο γοῶντες·
τοισι δε πηλεϝιδες αδινοϝ' εκσῆρχε γοοϝο,
χειρας επ' ανδροφονοϝς θεμενος στηθεσσιν ͱεταιροο,
πυκνα μαλα στοναχων· ͱωστε λῖς ῆϋγενειος,
ͱῷ ρα θ' υπο σκυμνοϝς ελαφηβολος ͱαρπασεν ανηρ
ͱυλϝης εκ πυκινης· ͱο δε τ' αχνυται ͱυστερος ελθων·
πολλα δε τ' ανκε' επηλθε μετ' ανερος ͱιχνι' ερευνων,
ει ποθεν εκσͱευροι· μαλα γαρ δριμυς χολος ͱαιρει.
ͱως ͱο βαρυ στοναχων μετεφῶνεε μυρμιδονεσιν·
ω ποποι! η ρ' ͱαλιον ϝεπος εκβαλον ͱηματι κεινῷ,
θαρσυϝνων ͱηροϝα μενοιτιον εν μεγαροισιν·
φην δε ͱοι εις οποεντα περικλυτον ͱυιον απαγσεεν,
ϝιλϝιον εκπερθσαντα, λαχοντα τε λεϝιδος αισαν.
αλλ' ου δσεϝς ανδρεσι νοηματα παντα τελεϝτᾷ·
αμφω γαρ πεπρῶται ͱομοιην γαιαν ερευθσαι
αϝτοϝ ενι τροϝιῇ· επει ουδε με νοστησαντα
δεχσεται εν μεγαροισι γερων ͱιππηλατα πηλεϝς,
ουδε θετις μητηρ, αλλ' αϝτοϝο γαια καθεχσει.
νῦν δ' επει ὦν, πατροκλε, σεϝ' ͱυστερος ειμ' ͱυπο γαιαν,
ου σε πριν κτεριῶ, πριν γ' ͱεκτορος ενθαδ' ενενκαι
τευχεα και κεφαλην, μεγαθυϝμοϝο σεϝο φονεϝος·
δῶδεκα δε προπαροιθε πυρης αποδειροτομησω
τροϝων αγλαϝα τεκνα, σεθεν κταμενοϝο χολῶθενς.
τοφρα δε μοι παρα ναϝσι κορωνισι κεισεαι αϝτως·
αμφι δε σε τροϝιδες και δαρδανιδες βαθυκολποι
κλαϝσονται, νυκτας τε και ͱηματα δακρυχεϝονσαι.
ͱως ϝεσπων, ͱεταροισιν εκεκλετο διϝος αχιλλεϝς
αμφι πυρι στησαι τριποδα μεγαν, ͱοφρα ταχιστα
πατροκλον λοϝεσειαν απο βροτον ͱαιματοεντα.
ͱοι δε λοϝετροχοϝον τριποδ' ͱιστασαν εν πυρι κηλεῷ,
εν δ' αρ' ͱυδωρ εχεϝον, ͱυπο δε χσυλ' εδαϝον ͱελοντες·
γαστρην μεν τριποδος πυρ αμφεπ', εθερμετο δ' ͱυϝδωρ.
αϝταρ επειδη δσεσσεν ͱυδωρ ενι ϝοινοπι χαλκῷ,
και τοτε δη λοϝεσαν τε, και ῆλειφσαν λιπ' ελαιῷ·
εν δ' ὦτειλας πλῆσαν αλειφατος ͱεννͱωροϝο·
εν λεχεεσι δε θεντες, εϝανῷ λιτ' εκαλυπτσαν

ες ποδας εκ κεφαλης· καθυπερθε δε, φαϝρεϊ λεϝκῷ. Σ
παννυχιοι μεν επειτα ποδας ταχυν αμφ' αχιλεϝα
μυρμιδονες πατροκλον ανεστοναχοντο γοῶντες.
ⱶηφαιστοο δ' εⱶικανε δομον θετις αργυροπεδσα
αφθιτον, αστεροεντα, μεταπρεπε' αθανατοισιν,
χαλκεον, ⱶον ρ' αϝτος ποιησατο κυλλοποδιϝων.
τον δ' ⱶευρ' ⱶιδρῶοντα, ϝελισσομενον περι φυϝσας,
σπευδοντα· τριποδας γαρ ϝεικοσι παντας ετευχεν,
ⱶεσταμεναι περι τοιχον ⱶεϋσταθεος μεγαροϝο.
χρυσεα δε σφ' ⱶυπο κυκλα ⱶεκαστῳ πυθμεν' εθῆκεν,
ⱶοφρα ⱶοι αϝτοματοι θειον δυϝσαιατ' αγῶνα,
ηδ' αϝτις προς δῶμα νεοιατο, θαϝμα ϝιδεσθαι.
ⱶοι δ' ητοι τοσον μεν ⱶεχον τελος, οϝατα δ' ου πῳ
δαιδαλεα προσεκειτο, τα ρ' ῆρτυ', εκοπτε δε δεσμοϝς.
ⱶοφρ' ⱶογε ταϝτ' επονεετο ϝιδυιῃσι πραπιδεσιν,
τοφρα ⱶοι ενγυθεν ηλθε θεα θετις αργυροπεδσα.
την δ' εϝιδε προμολοντσα χαρις λιπαροκρῆδεμνος,
καλη, την ὦπυιε περικλυτος αμφιγυῆεις,
εν τ' αρα ⱶοι φῦ χειρι, ϝεπος τ' εφατ', εκ τ' ονομαδσεν·
τιπτε, θετι τανυπεπλε, ⱶικανεις ⱶημετερον δῶ,
αιδοιη τε, φιλη τε; παρος γε μεν ουτι θαμιδσεις·
αλλ' ⱶεπεο προτερῳ, ⱶινα τοι παρ χσεινια θειω.
ⱶως αρα φῶνησαντσα προσῳ αγε διϝα θεαϝων·
την μεν επειτα καθεσσεν επι θρονοϝ' αργυροⱶηλοο,
καλοϝο, δαιδαλεοϝ'· ⱶυπο δε θρηνυς ποσιν ῆεν·
κεκλετο δ' ⱶηφαιστον κλυτοτεχνην, ϝεσπε τε μυϝθον·
ⱶηφαιστε, προμολ' ⱶῳδε, θετις νυ τι σεϝο χατιδσει.
την δ' ῆμειβετ' επειτα περικλυτος αμφιγυῆεις·
η ρα νυ μοι δδεινη τε και αιδοιη θεος ενδον,
ⱶη μ' εσαῶσ', ⱶοτε μ' αλγος αφικετο, τηλε πεσοντα,
μητρος εμης ⱶιⱶοτητι κυνῶπιδος, ⱶη μ' εθελησεν
κρυπτσαι χωλον εοντα· τοτ' αν παθον αλγεα θυϝμῳ,
ει μη μ' ευρυνομη τε, θετις θ' υπεδεχσατο κολπῳ.
τῇσι παρ' ⱶενναϝετες χαλκεϝον δαιδαλα πολλα,
εν σπεϝεϊ γλαφυρῳ· περι δε ροϝος ωκεανοϝο
αφρῳ μορμυϝρων ρεϝεν ασπετος· ουδε τις αλλος
ϝοιδεεν, ουτε θεων, ουτε θνῆτων ανθρωπων,
αλλα θετις τε, και ευρυνομη ϝισαν, ⱶαι μ' εσαῶσαν.
ⱶη νῦν ⱶημετερον δομον ⱶικει· τῳ με μαλα χρη
παντα θετιι καλλιπλοκαμῳ δσαϝαγρια τιϝνεεν.
αλλα συ μεν νῦν ⱶοι παραθες χσεινῆϊα καλα,
ⱶοφρ' αν εγω φυϝσας αποθειομαι, ⱶοπλα τε παντα.
ῆ, και απ' ακμοθετοϝο πελωρ αⱶιητον ανεστη,
χωλεϝων, ⱶυπο δε κνημαι ροϝοντο ⱶαραιαι.
φυϝσας μεν ρ' απανευθ' ετιθεε πυρος, ⱶοπλα τε παντα
λαρνακ' ες αργυρεην γσυνελεγσατο, τοισ' επονεετο·

σπογγῷ δ᾽ αμφι προσωπα και αμφω χειρ᾽ απομοργνῦ, Σ
αϝχενα τε στιβαρον, και στηθεα λαχνῆεντα·
δῦ δε χιτῶν᾽· ͱελε δε σκηπτρον παχυ· βη δε θυραδσε
χωλεϝων· ͱυπο δ᾽ αμφιπολοι ροϝοντο ϝανακτι,
χρυσειαι, δσαϝῇσι νεϝηνιδεσιν ϝεϝικυιαι.
τῇσ᾽ εν μεν νοος εστι μετα φρεσιν, εν δε και αυϝδη,
και σθενος, αθανατων δε θεων απο ϝεργα ϝισαντιν.
ͱαι μεν ͱυπαιθα ϝανακτος εποιπνυϝον· αϝταρ ͱο ϝερρων,
πλησιον, ενθα θετις περ, επι θρονοϝ᾽ ͱιδσε φαϝεινοο,
εν τ᾽ αρα ͱοι φῦ χειρι, ϝεπος τ᾽ εφατ᾽, εκ τ᾽ ονομαδσεν·
τιπτε, θετι τανυπεπλε, ͱικανεις ͱημετερον δῶ,
αιδοιη τε, φιλη τε; παρος γε μεν ουτι θαμιδσεις.
αυϝδα᾽ ͱο, τι φρονεεις· τελεσαι δε με θυϝμος ανωγεν. 426
τον δ᾽ ῆμειβετ᾽ επειτα θετις κατα δακρυ χεϝοντσα· 428
ͱηφαιστ᾽, ῆ᾽ αρα δη τις, ͱοσαι θεαι εντ᾽ εν ολυνπῳ,
τοσαδ᾽ ενι φρεσ᾽ ͱεϝῇσιν ανεσχετο κηδεα λυγρα,
ͱοσ᾽ εμοι εκ παντσεων κρονιδης δσεϝς αλγε᾽ εδῶκεν;
εκ μεν μ᾽ αλλαϝων ͱαλιαϝων ανδρι δαμασσεν,
αιϝακιδῃ πηλεϝι, και ετλῆν ανερος ευνην,
πολλα μαλ᾽ ουκ εθελοντσα· ͱο μεν δη γηραϊ λυγρῷ
κειται ενι μεγαροις ϝεϝαρῆμενος· αλλα δε μοι νῦν.
ͱυιον επει μοι εδῶκε γενεσθαι τε, τραφεμεν τε,
εκσͱοχον ͱηροϝων, ͱο δ᾽ ανεδραμεν ερνεϊ ϝεισϝος·
τον μεν εγω τρεφσαντσα, φυτον ͱως γονϝῷ αλοϝης,
ναϝσιν επιπροεͱῆκα κορωνισι ϝιλϝιον εισῳ,
τροϝσι μαχησομενον· τον δ᾽ ουχ υποδεχσομαι αϝτις
ϝοικαδε νοστησαντα, δομον πηλεϝιον εισῳ·
ͱοφρα δε μοι δσαϝει και ͱορᾷ φαϝος ῆελιοϝο,
αχνυται, ουδε τι ͱοι δυναμαι χραϝσμησαι ιοντσα. 443
τοονεκα νῦν τεϝα γονϝαθ᾽ ικανομαι, αι κ᾽ εθελῃσθα 457
υι᾽ εμῳ ῶκυμορῳ δομεν ασπιδα και τρυφαλειαν,
και καλας κνημιδας, επισφυριοισ᾽ αραρυιας,
και θωρηχ᾽· ͱα γαρ ῆν ͱοι, απῶλεσε πιθτος ͱεταιρος,
τροϝσι δαμενς· ͱο δε κειται επι χθονι θυϝμον αχεϝων.
την δ᾽ ῆμειβετ᾽ επειτα περικλυτος αμφιγυῆενς·
θαρσεε, μη τοι ταϝτα μετα φρεσι σῇσι μελοντων.
αι γαρ μιν θανατοϝο δυσϝηχεος ͱῶδε δυναιμην
νοσφιν αποκρυπτσαι, ͱοτε μιν μορος αινος ͱικανοι·
ͱως ͱοι τευχεα καλα παρεσσεται, ͱοια τις αϝτε
ανθρωπων πολυων θαϝμασσεται, ͱος κε ϝιδηται.
ͱως ϝεσπων, την μεν λιπεν αϝτοϝ᾽, εβη δ᾽ επι φυϝσας·
τας δ᾽ ες πυρ ετρεπσ᾽, εκελεϝσε τε ϝεργαδσεσθαι·
φυϝσαι δ᾽ εν χοϝανοισι ϝεϊκοσι παντσαι εφυϝσῶν,
παντοιην ͱεϋπρηθστον αͱυϝτμην εκσανͱιεντσαι,
αλλοτε μεν σπευδοντι παρεσμεναι, αλλοτε δ᾽ αϝτε,
ͱοπως ͱηφαιστος τ᾽ εθελοι, και ϝεργον ανοιτο.

χαλκον δ' εν πυρ' εβαλλεν ατειρεα, κασσιτερον τε, Σ
χρυσον τιϝμῆεντα, και αργυρον· αϝταρ επειτα
θῆκεν εν ακμοθετῷ μεγαν ακμονα· γεντο δε χειρι
ϝραιστηρα κρατερον, ͱετερηφι δε γεντο πυραγρην.
ποιεε δε πρῶτιστα σακος μεγα τε, στιβαρον τε,
παντοσε δαιδαλλων, περι δ' αντυγ' εβαλλε φαϝεινην,
τριπλακα, μαρμαρεην, εκ δ' αργυρεον τελαμῶνα·
πεντε δ' αρ' αϝτοϝ' εσαν σακεος πτυχες· αϝταρ εν αϝτῷ
ποιεε δαιδαλα πολλα ϝιδυιῇσι πραπιδεσιν.
εν μεν γαιαν ετευχσ', εν δ' ουρανον, εν δε θαλασσαν,
ῆελιον τ' ακαμαντα, σεληνην τε πληθουσαν,
εν δε τε τηρεα παντα, τατ' ουρανος εστεφανωτο,
πλεϝιαδας θ', υϝαδας τ', ηδε σθενος ωαριϝῶνος,
αρκτον θ', ην και ͱαμαγσαν επικλησιν καλεοντιν,
ͱητ' αϝτοο στρεφεται, και τ' ωαριϝῶνα δοκεϝει·
οιη δ' αμορος εστι λοϝετρων ωκεανοϝο.
εν δε δυω ποιησε πολιας μεροπων ανθρωπων
καλας· εν τῇ μεν ρα γαμοι τ' ἑσαν, ͱελλαπιναι τε·
νυμφας δ' εκ θαλαμων δαϝιδων ͱυπο λαμπομεναϝων
ῆγινεον ανα ϝαστυ· πολυς δ' ͱυμεναιος ορῶρεεν·
κοϝροι δ' ορχηστηρες εδινεϝον, εν δ' αρα τοισιν
αϝλοι, φορμινγες τε βοην ͱεχον· ͱαι δε γυναικες
ͱισταμεναι θαϝμαδσον επι προθυροισιν ͱεκαστη.
λαϝοι δ' ειν αγορῇ εσαν ͱαθροϝοι· ενθα δε νεικος
ωρῶρεε δυο δ' ανδρες ενεικεον ͱεινεκα ποινης
ανδρος αποκταμενοϝ· ͱο μεν ευχετο παντ' αποδῶναι,
δημῷ πιφαϝσκων· ͱο δ' αaινετο μηδεν ͱελεσθαι.
αμφω δ' ͱιͱεσθην επι ϝιδστορι πειραρ ͱελεσθαι.
λαϝοι δ' αμφοτερωθεν εποιπνυϝον, αμφις αρωγοι·
κηρῦκες δ' αρα λαϝον ερητυϝον· ͱοι δε γεροντες
ͱηατ' επι χσεστοισι λιθοισ', ͱιερῷ ενι κυκλῷ·
σκηπτρα δε κηρῦκων εν χερσ' ͱεχον ῆεροφῶνων·
τοισιν επειτ' ῆͱισσον, αμοιβηδις δ' εδικαδσον.
κειτο δ' αρ' εν μεσσοισι δυο χρυσοϝο ταλαντα,
τῷ δομεν, ͱος μετα τοισι δικην ιθυντατα ϝεσπῃ.
την δ' ͱετερην πολιν αμφι δυο στρατοι ͱηατο λαϝων,
τευχεσι λαμπομενοι· διχα δε σφισ' εϝανδανε βουλη,
ηε διαπραθεεεν, η' ανδιχα παντα δασασθαι.
ͱοι δ' ουπῷ πειθοντο, λοχῷ δ' ͱυπεθωρησσοντο.
τειχος μεν ρ' ͱαλοχοι τε φιλαι, και νηπια τεκνα,
ρυϝατ' εφεσταοτες, μετα δ' ανερες, ͱοϝς ͱεχε γηρας.
ͱοι δ' ισαν· ῆρχε δ' αρα σφιν αρεϝς και παλλας αθηνη,
αμφω χρυσειω, χρυσεια δε ϝεσματ' εϝεσθην,
καλω και μεγαλω γσυν τευχεσιν, ͱωστε θεω περ,
αμφις αριδσηλω· λαϝοι δ' ͱυπολιδσονες ῆσαν.
ͱοι δ' ͱοτε δη ρ' εͱικανον, ͱοθι σφισ' εϝεικε λοχησαι,

εν ποταμῷ, hοθι Fαρδμος εῆν πανтεσι βοτοισιν, Σ
ενθ' αρα τοιγ' hιδσον, FελFῦμενοι αιθοπι χαλκῷ.
τοισι δ' επειτ' απανευθε δυω σκοποι hηατο λαFων,
δεχμενοι hοποτε μηλα Fιδοιατο και Fελικας βοFς.
hοι δε ταχα προγενοντο, δυω δ' hαμ' hεποντο νομεFες,
τερπομενοι συριγγσι· δολον δ' ουτι προνοησαν.
hοι μεν τα προFιδοντες επεδραμον, ῶκα δ' επειτα
ταμνοντ' αμφι βοFων αγελας και πωυFα καλα
αργεννων οFιων· κτεινον δ' επι μηλοβοτηρας.
hοι δ' hως ῶν επυθοντο πολυν κελαδον παρα βοFσιν,
ειραFων προπαροιθε καθημενοι, αFτικ' εφ' ιππων
βαντες αFερσιποδων μετεκιαθον, αιπσα δ' hικοντο.
στησαμενοι δ' εμαχοντο μαχην ποταμοFο παρ' hοχθας,
βαλλον δ' αλληλοFς χαλκηρεσιν ενχειῇσιν.
εν δ' ερις, εν δε κυδοιμος hομιλFεον, εν δ' ολοFη κηρ,
αλλον δσαFον hεχοντσα νεFουτατον, αλλον αουτον,
αλλον τεθνῆωτα κατα μοθον hελκε ποδοιϊν·
Fεσμα δ' hεχ' αμφ' ωμοισι δαφοινεον hαιματι φῶτων.
εν δ' ετιθεε νεFον μαλακην, πιFειραν αροFραν,
ευρυιαν, τριπολον· πολλοι δ' αροτηρες εν αFτῇ
δσευγεα δινεFοντες ελαστρεFον ενθα και ενθα.
hοι δ' hοποτε στρεφσαντες hικοιατο τελσον αροFρης,
τοισι δ' επειτ' εν χερσι δεπας μελιhηδεος Fοινοο
δοσκεν ανηρ επιων· τοι δε στρεφσᾶσκον αν' ογμοFς,
hιFεμενοι νεFοFο βαθυιης τελσον hικεσθαι·
hη δε μελαινετ' οπισθεν, αρῆρομενῃ δ' εFεFοικεεν,
χρυσειη περ εουντσα· το δη περι θαFμ' ετετυχτο.
εν δ' ετιθεε τεμενος βαθυλεFιον· ενθα δ' εριθοι
hαμαον, hοκσυιας δρεπανας εν χερσιν hεχοντες·
δραγματα δ' αλλα μετ' ογμον επῆτριμ' επιπτον εραδσε,
αλλα δ' hαμαλλοδετηρες εν hελλεδανοισ' εδεοντο.
τρεες δ' αρ' hαμαλλοδετηρες εφεστασαν· αFταρ οπισθεν
παιδες δραγμεFοντες, εν ανκαλιδεσι φεροντες,
ασπερχες παρhεχον· βασιλεFς δ' εν τοισι σιωπῇ
σκηπτρον hεχων hεστηκε' επ' ογμοFο γηθοσυνος κεαρ.
κηρῦκες δ' απανευθεν hυπο δρυϊ δαιτ' επενοντο,
βοFν δ' hιερεFσαντες μεγαν αμφεπον· hαι δε γυναικες,
δειπνον εριθοισιν, λεFκ' αλφιτα πολλ' επαλυFνον.
εν δ' ετιθεε σταφυλῇσι μεγα βριθοντσαν αλοFην,
καλην, χρυσειην· μελανες δ' ανα βοτρυες ῆσαν·
hεστηκεε δε χαμακσι διανπερες αργυρεῇσιν.
αμφι δε, κυFανεην καπετον, περι δ' hερκος ελασσεν
κασσιτεροο· μια δ' οιη αταρπιτος ῆεν επ' αFτην,
τῇ νισσοντο φορεFες, hοτε τρυγαοιεν αλοFην.
παρθενικαι δε και ηϊθεοι, αταλα φρονεοντες,
πλεκτοισ' εν ταλαροισ' εφερον μελιhηδεα καρπον.

τοισιν δ' εν μεσσοισι παϊς φορμιγγι λιγυῇ Σ
ͱιμεροεν κιθαριδσε· λινον δ' ͱυπο καλον αϝειδεν 570
λεπταλεῇ φωνῇ· τοι δε ϝρῆσσοντες ͱαμαρτῇ,
μολπῇ τ' ιͱυγμῷ τε, ποσι σκαιροντες, ͱεποντο.
  εν δ' αγελην ποιησε βοϝων ορθοκραιραϝων·
ͱαι δε βοϝες χρυσοϝ' ετετευχατο, κασσιτεροο τε,
μυκηθμῷ δ' απο κοπροϝ' επεσσεϝοντο νομονδε 575
παρ ποταμον κελαδοντα, δια ϝραδαλον δονακεϝα·
χρυσειοι δε νομεϝες ͱαμ' εστιχαοντο βοϝεσιν
τεσσαρες, ͱεννεα δε σφι κυνες ποδας αργοι ͱεποντο.
σμερδαλεω δε λεϝοντε δυ' εν πρωτῇσι βοϝεσιν
ταυρον ερυγμηλον ͱεχετην· ͱο δε μακρα μεμυκκως 580
ͱελκετο· τον δε κυνες μετ' εκιαθον, ηδ' αιδσηοι.
τω μεν αναϝρῆγσαντε βοϝος μεγαλοϝο βοϝειην,
ενκατα και μελαν ͱαιμα λαφυσσετον· ͱοι δε νομεϝες
αϝτως ενδιεσαν, ταχυας κυνας οτρυϝνοντες.
ͱοι δ' ητοι δακεεεν μεν απετροπαοντο λεϝοντας, 585
ͱισταμενοι δε μαλ' ενγυς ͱυλακτεον, εκ τ' αλεϝοντο.
  εν δε νομον ποιησε περικλυτος αμφιγυῆευς
εν καλῇ βησσῇ μεγαν οϝιων αργενναϝων,
σταθμοϝς τε, κλισιας τε κατηρεφεας, τε σηκοϝς.
  εν δε χορον ποικιλλε περικλυτος αμφιγυῆευς. 590
ενθα μεν ηϊθεοι και παρθενοι αλφεσιβοϝιαι 593
ὠρχεοντ', αλληλων επι καρπῷ χειρας ͱεχοντες·
των δ' ͱαι μεν λεπτας ϝοθονας ͱεχον, ͱοι δε χιτῶνας 595
ϝεσσανθ' ευνητοϝς, ͱηκα στιλβοντας ελαιῷ. 596
ͱοι δ' ͱοτε μεν θρεκσᾶσκον επισταμενοισι ποδεσιν 599
ρεϝα μαλ', ͱως ͱοτε τις τροχον αρμενον εν παλαμῇσιν 600
ͱεδσομενος κεραμεϝς πειρῆσεται, αι κε θεϝητιν·
αλλοτε δ' αϝ θρεκσᾶσκον επι στιχας αλληλοισιν.
πολλος δ' ͱιμεροεντα χορον περιͱισταθ' ομιλϝος. 603
  εν δ' ετιθεε ποταμοϝο μεγα σθενος ωκεανοϝο, 606
αντυγα παρ πυματην σακεος πυκα ποιητοϝο.
  αϝταρ επειδη τευχσε σακος μεγα τε, στιβαρον τε,
τευχσ' αρα ͱοι θωρηκα φαϝεινοτερον πυρος αϝγης·
τευχσε δε ͱοι κορυθα βριαρην, κροταφοισ' αραρυιαν, 610
καλην, δαιδαλεην· επι δε χρυσεον λοφον ͱηκεν.
τευχσε δε ͱοι κνημῖδας εϝανοϝο κασσιτεροϝο.
  αϝταρ επει πανθ' οπλ' εκαμε κλυτος αμφιγυῆευς,
μητρος αχιλλεϝος θῆκε προπαροιθεν αͱῆραυς· 615
ͱη δ', ͱιερηκς ͱως, ͱαλτο κατ' ολυνποο νιφοεντος,
τευχεα μαρμαιροντα παρ' ͱηφαιστοϝο φεροντσα.
  ῆως μεν κροκοπεπλος απ' ωκεανοϝο ροϝαϝων Τ
ὤρνυθ', ιν' αθανατοισι φαϝος φεροι, ηδε βροτοισιν·
ͱη δ' ες ναϝας ͱικανε, θεοο παρα δῶρα φεροντσα·
ͱευρε δε πατροκλῷ περικειμενον ͱον φιλον ͱυιον,

κλαFοντα λιγυως· πολυες δ' αμφ' αFτον hεταιροι
μυFρονθ'· η δ' εν τοισι παρhιστατο διFα θεαFων, T
εν τ' αρα hοι φῦ χειρι, Fεπος τ' εφατ', εκ τ' ονομαδσεν·
τεκνον εμον, τοFτον μεν εFᾶσομεν, αχνυμενοι περ,
κεισθαι, επειδη πρῶτα θεων hιFοτητ' εδαμασθη·
τυνη δ' hηφαιστοFο παρα κλυτα τευχεα δεχσο,
καλα μαλ', hοἱ ου πῷ τις ανηρ ωμοισ' εφορησεν.
hως αρα φῶνησαντσα θεα κατα τευχε' εθῆκεν
προσθεν αχιλλεFος· τα δ' ανεβραχε δαιδαλα παντα.
μυρμιδονας δ' αρα παντας hελε τρομος, ουδε τις ετλῆ
αντην εισFιδεεεν, αλλ' ετρεσαν· αFταρ αχιλλεFς
hως Fειδ', hως μιν μαλλον εδῦ χολος· εν δε hοι οσσε
δδεινον hυπο βλεφαρων, hως ει σελας, εκσεφαFενθην·
τερπετο δ' εν χειρεσιν hεχων θεοF αγλαFα δῶρα.
αFταρ επει φρεσ' hεFῇσ' ετεταρπετο, δαιδαλα λεFσσων,
αFτικα μητερ' hεFην Fεπεα πτεροεντα προσῆυFδα·
μητερ εμη, τα μεν hοπλα θεος πορεν, hοἱ επιFεικες
Fεργ' εμεν αθανατων, μηδε βροτον ανδρα τελεσσαι.
νῦν δ' ητοι μεν εγω θωρηκσομαι· αλλα μαλ' αινως
δδειδω, μη μοι τοφρα μενοιτιοF αλκιμον hυιον
μυιαι κατδῦντσαι κατα χαλκοτυποFς ὦτειλας
ευλας ενγῆνωνται, αεικισσωντι δε νεκρον—
εκ δ' αιFων πεφαται—κατα δε χροα παντα σαπῆῃ.
τον δ' ῆμειβετ' επειτα θεα θετις αργυροπεδσα·
τεκνον, μη τοι ταFτα μετα φρεσι σῇσι μελοντων·
τῷ μεν εγω πειρῆσω αλαλκεμεν αγρια φυFλα,
μυιας, hαι ρα τε φῶτας αρεFιφατοFς κατεδοντιν.
ῆνπερ γαρ κῆται γε τελεσφορον εις ενιαFτον,
αιFει τῷδ' εσται χρως ενπεδος, η και αρειων.
αλλα συγ' εις αγορην καλεσανς hηροFας αχαιFοFς,
μηνιν αποFεσπων αγαμεμνονι, ποιμενι λαFων,
αιπσα μαλ' ες πολεμον θωρησσεο, δυFσεο δ' αλκην.
hως αρα φῶνησαντσα μενος πολυθαρσες ενhηκεν·
πατροκλῷ δ' αFτ' ανβροσιην και νεκταρ ερυθρον
στακσε κατα Fρῖνων, hινα hοι χρως ενπεδος ειη.
αFταρ hο βη παρα θῖνα θαλασσης διFος αχιλλεFς,
σμερδαλεα hιFαχων, ῶρσεν δ' hηροFας αχαιFοFς·
και ρ' hοιπερ το παρος γε ναFων εν αγῶνι μενεσκον,
hοἱ τε κυβερνῆται και hεχον hοιηΐα ναFων,
και ταμιαι παρα ναFσιν εσαν, σῖτοFο δοτηρες·
και μην hοι τοτε γ' εις αγορην ισαν, hοονεκ' αχιλλεFς
εκσεφανη, δηρον δε μαχης επεπαFτ' αλεγεινης.
τω δε δυω σκαδσοντ' εβατην αρεFος θεραποντε,
τυFδεFιδης τε μενεπτολεμος, και διFος hοδυσσεFς,
ενχει ερειδομενω· ετι γαρ hεχον hελκεα λυγρα·
κατ δε μετα πρωτῃ αγορῃ hιδσοντο κιοντες.

αϝταρ ͱο δεϝτατος ηλθε ϝανακς ανδρων αγαμεμνων, Τ
ͱελκος ͱεχων· και γαρ τον ενι κρατερῇ ͱυσμινῃ
ουτα καϝων αντῆνοριδης χαλκηρεϊ δορϝι.
αϝταρ επειδη παντες ͱαϝολϝισθησαν αχαιϝοι,
τοισι δ' ανͱισταμενος μετεφη ποδας ὦκυς αχιλλεϝς· 55
ατρεϝιδη, ἠ' αρ τι τοδ' αμφοτεροισιν αμεινον
επλετο, σοι και εμοι· ͱοτε νοϝι περ, αχνυμενω κεαρ,
θυμοβορῳ εριδι μενεῆναμεν ͱεινεκα κοϝρης—
την οφελ' εν ναϝεσι κατακταμεν αρτεμις ͱιϝῳ,
ͱηματι τῳ, ͱοτ' εγων ͱελομην λυρνησσον ολεσσανς· 60
τῳ κ' ου τοσοι αχαιϝοι οδακς ͱελον ασπετον ουδας,
δυσμενεων ͱυπο χερσιν, εμεϝ απομηνιϝσαντος.
ͱεκτορι μεν και τροϝσι το κερδιον· αϝταρ αχαιϝοϝς
δηρον εμης και σης εριδος μνῆσεσθαι οϊϝω.
αλλα τα μεν προτετυχθαι εϝᾶσομεν, αχνυμενοι περ, 65
θυϝμον ενι στηθεσσι φιλον δαμασαντες ανανκῃ.
νῦν δ' ητοι μεν εγω παϝω χολον, ουδε τι με χρη
ασκελεως αιϝει μενεαινεμεν· αλλ' αγε θασσον
οτρυϝνον πολεμονδε καρῆκομαοντας αχαιϝοϝς,
ͱοφρ' ετι και τροϝων πειρῆσομαι αντιος ελθων, 70
αι κ' εθελωντ' επι ναϝσιν ͱιαϝεεν· αλλα τιν' οιϝω
ασπασιως αϝτων γονυ καμπτσεμεν, ͱος κε φυγητιν
δαϝιοϝ εκ πολεμοϝο ͱυπ' ενχεος ͱημετεροϝο.
ͱως εφαθ'· οι δ' εχαρησαν ͱεϋκνημῖδες αχαιϝοι. 74
τοισι δε και μετεϝεσπε ϝανακς ανδρων αγαμεμνων· 76
ω φιλοι, ͱηροϝες δαναοι, θεραποντες αρεϝος, 78
ͱεσταοτος μεν καλον ακοϝεμεν, ουδε ϝεϝοικεν
ͱυπβαλλεεν· χαλεπον γαρ, επισταμενον περ εοντα. 80
ανδρων δ' εν πολλῳ ͱομαδῳ πως κεν τις ακοϝσαι,
η ϝεσποι; βλαβεται δε λιγυς περ εων αγορεϝτης.
πηλεϝιδῃ μεν εγων ενδεικσομαι· αϝταρ ͱοι αλλοι
γσυνθεσθ', αργειϝοι, μυϝθον θ' ευ γνῶτε ͱεκαστος.
πολλακι δη μοι τοϝτον αχαιϝοι μυϝθον εϝεσπον, 85
και τε με νεικειεσκον· εγω δ' ουκ αιτιος ῆμι,
αλλα δσεϝς, και μοιρα, και ῆεροφοιτις εριννυς. 87
αλλ' επει ῆϝασαμην, και μεο φρενας εκσͱελετο δσεϝς, 137
απς εθελω αρεσαι, δομεναι τ' απερεισι' αποινα.
αλλ' ορσεο πολεμονδε, και αλλοϝς ορνυθι λαϝοϝς·
δῶρα δ' εγων ͱοδε παντα παρασχεμεν, ͱοσα τοι ελθων 140
χθιδσος ενι κλισιῃσιν ͱυπεσχετο διϝος ͱοδυσσεϝς.
ει δ' εθελεις, επιμῆνον, επειγομενος περ αρεϝος·
δῶρα δε τοι θεραποντες, εμης παρα ναϝος ͱελοντες,
ͱοισονθ', οφρα ϝιδηαι, ͱο τοι μενοϝεικεα δῶσω.
τον δ' απαμειβομενος προσεφη ποδας ὦκυς αχιλλεϝς· 145
ατρεϝιδη κυϝδιστε, ϝανακς ανδρων αγαμεμνον,
δῶρα μεν, αι κ' εθελῆσθα, παρασχεμεν, ͱως επιϝεικες,

η' ͱεχεμεν, παρα σοι· νῦν δε μνῆσωμεθα χαρμης Τ
αιπσα μαλ'· ου γαρ χρη κλοτοπεϝεμεν ενθαδ' εοντας,
ουδε διατριβεμεν· ετι γαρ μεγα ϝεργον αρεκτον· 150
ͱως κε τις αϝτ' αχιλεϝα μετα πρῶτοισι ϝιδηται
ενχεϊ χαλκειῳ τροϝων ολεκοντα φαλαγγας. 152
τον δ' απαμειβομενος προσεφη πολυμητις ͱοδυσσεϝς· 154
μηδ' ͱοϝτως, αγαθος περ εων, θεοϝεικελ' αχιλλεϝ, 155
νηστιας οτρυϝνε προτι ϝιλϝιον ͱυιας αχαιϝων
τροϝσι μαχησομενοϝς· επει ουκ ολιγον χρονον εσται
φυϝλϝοπις, ευτ' αν πρῶτον ͱομιλϝησωντι φαλαγγες
ανδρων, εν δε θεος πνεϝσῃ μενος αμφοτεροισιν·
αλλα πασασθαι ανωχθι θοϝῇσ' επι ναϝσιν αχαιϝοϝς 160
σῖτοϊο και ϝοινοϊο· το γαρ μενος εστι και αλκη.
ου γαρ ανηρ προπαν ͱημαρ ες ῆελιον καταδῦντα
ακμῆνος σῖτοϊο δυνησεται αντα μαχεσθαι·
ειπερ γαρ θυϝμῳ γε μενοιναϝει πολεμιδσεεν,
αλλα τε λαθρῃ γυια βαρυϝνεται, ηδε κιχανει 165
διπσα τε και λειμος, βλαβεται δε τε γουνϝατ' ιοντι.
ͱος δε κ' ανηρ, ϝοινοϊο κορεσσαμενος και εδῶδης,
ανδρεσι δυσμενεεσι πανͱημεριος πολεμιδσῃ,
θαρσαλεον νυ ͱοι ητορ ενι φρεσιν, ουδε τι γυια
πριν καμνει, πριν παντας εροϝησαι πολεμοϊο. 170
αλλ' αγε, λαϝον μεν σκεδασον, και δειπνον ανωχθι
ͱοπλεεσθαι· τα δε δωρα ϝαναξ ανδρων αγαμεμνων
ͱοισετω ες μεσσην αγορην, ͱινα παντες αχαιϝοι
οφθαλμοισι ϝιδωντι, συ δε φρεσι σῇσιν ιάνθῇς.
ομνυετω δε τοι ͱορκον, εν αργειϝοισιν αναστας, 175
μη ποτε της ευνης επιβημεναι, ηδε μιγηναι. 176
και δε σοι αϝτῳ θυϝμος ενι φρεσιν ͱιλαϝος εστω· 178
αϝταρ επειτα σε δαιτι ενι κλισιῃσ' αρεσασθω
πιϝειρῃ, ͱινα μη τι δικης επιδεϝες ͱεχῇσθα. 180
ατρεϝιδη, συ δ' επειτα δικαιοτερος και επ' αλλῳ
εσσεαι· ου μεν γαρ τι νεμεσσῆτον, βασιλεϝα
ανδρ' απαρεσσασθαι, ͱοτε τις προτερος χαλεπῆνῃ.
τον δ' αϝτε προσεϝεσπε ϝαναξ ανδρων αγαμεμνων·
χαιρω σεο, λαϝερτιαδη, τον μυϝθον ακοϝσανς· 185
εν μοιρῃ γαρ παντα διͱικεο και κατελεγσας.
ταϝτα δ' εγων εθελω ομοσαι, κελεται δε με θυϝμος,
ουδ' επιͱορκησω προς δαιμονος· αϝταρ αχιλλεϝς
μιμνετω αϝθι τεϝος, και επειγομενος περ αρεϝος,
μιμνετε δ' αλλοι παντες ͱαϝολϝεες, ͱοφρα κε δῶρα 190
εκ κλισιης ελθητι, και ͱορκια πιθτα ταμωμεν.
σοι δ' αϝτῳ τοδ' εγων επιτελλομαι, ηδε κελεϝω·
κρῖναμενος κοϝρητας αριστεϝας παναχαιϝων,
δῶρα δ' εμης παρα ναϝος ενενκεμεν, ͱοσ' αχιλεϝι
χθιδσον ͱυπεστημεν δῶσεεν, αγεμεν τε γυναικας. 195

ταλθυβιος δε μοι ὦκα κατα στρατον ευρυν αχαιϝῶν
καπρον ͱετοιμασατω ταμεεεν διϊ τ', ἧελιῳ τε.
τον δ' απαμειβομενος πϱοσεϕη ποδας ὦκυς αχιλλεϝς·
ατρεϝιδη κυϝδιστε, ϝανακς ανδρων αγαμεμνον,
αλλοτε περ και μαλλον οϕελλετε ταϝτα πενεσθαι,
ͱοποτε τις μεταπαϝσωλη πολεμοϝο γενηται,
και μενος ου τοσον ἦτιν ενι στηθεσσιν εμοισιν·
νῦν δ' ͱοι μεν κεαται δεδαϝιγμενοι, ͱοϝς εδαμασσεν
ͱεκτωρ πριαμιδης, ͱοτε ͱοι δσεϝς κυϝδος εδῶκεν.
ͱυμεες δ' ες βρωτυν οτρυϝνετον! ητ' αν εγωγε
νῦν μεν ανωγοιμι πτολεμιδσεμεν ͱυιας αχαιϝων
νηστιας, ακμῆνοϝς· ͱαμα δ' ἧελιῳ καταδῦντι
τευχσεσθαι μεγα δορπον, επῆν τιϝσαιμεθα λωβην.
πριν δ' ουπως αν εμοιγε ϕιλον κατα λαιμον ιειη
ου ποσις, ουδε βρῶσις, ͱεταιροϝο τεθνῆῶτος,
ͱος μοι ενι κλισιῃ δεδαϝιγμενος ͱοκσυϊ χαλκῳ
κειται, ανα πϱοθυρον τετραπμενος· αμϕι δ' ͱεταιροι
μυϝρονται· το μοι ουτι μετα ϕϱεσι ταϝτα μεμῆλεν,
αλλα ϕονος τε, και ͱαιμα, και αργαλεος στονος ανδρων.
τον δ' απαμειβομενος προσεϕη πολυμητις ͱοδυσσεϝς·
ω αχιλεϝ, πηλεϝος ͱυϊ, μεγα ϕερτατ' αχαιϝων,
κρεισσων εσσ' εμεθεν και ϕερτερος ουκ ολιγον περ
ενχει, εγω δε κε σεϝο νοηματι γε προβαλοιμην
πολλον· επει προτερος γενομην, και πλειονα ϝοιδα·
τῷ τοι επιτλῆτω κραδιη μυϝθοισιν εμοισιν.
αιπσα τε ϕυϝλϝοπιδος πελεται κορος ανθρωποισιν,
ͱηστε πλειστην μεν καλαμην χθονι χαλκος εχεϝεν·
ͱαμητος δ' ολιγιστος, επῆν κλινητι ταλαντα
δσεϝς, ͱοστ' ανθρωπων ταμιης πολεμοϝο τετυχται.
γαστερι δ' ουπως εστι νεκυν πενθησαι αχαιϝοϝς·
λιϝην γαρ πολλοι και επῆτριμοι ͱηματα παντα
πιπτοντιν· ποτε κεν τις αναπνεϝσειε πονοϝο;
αλλα χρη τον μεν καταθαπτεμεν, ͱος κε θανητιν,
νηλεα θυϝμον ͱεχοντας, εϕ' ηματι δακρυϝσαντας·
ͱοσοι δ' αν πολεμοϝο περι στυγεϱοϝο λιπωνται,
μεμνῆσθαι ποσιος και εδητυος, ͱοϕρ' ετι μαλλον
ανδρεσι δυσμενεεσι μαχωμεθα νωλεμες αιϝει.
ἦ, και νεστορος ͱυιας οπασσατο κυϝδαλιμοϝο,
ϕυϝλεϝιδην τε μεγητα, θοϝαντα τε, μηριονην τε,
και κρεϝοντιαδην λυκομηδεα, και μελανͱιππον·
βαν δ' ιμεν ες κλισιην αγαμεμνονος ατρεϝιδαϝο.
αϝτικ' επειθ' αμα μυϝθος εῆν, τετελεστο δε ϝεργον·
ͱεπτα μεν εκ κλισιης τριποδας ϕερον, ͱοϝς ͱοι ͱυπεστη,
αιθῶνας δε λεβητας ϝεϊκοσι, δῶδεκα δ' ͱιπποϝς·
εκ δ' αγον αιπσα γυναικας, αμυϝμονα ϝεργα ϝιδυιας,
ͱεπτ', αταρ ͱογδοατην, βρισεϝιδα καλλιπαρῃον.

χρυσοFο δε στησανς hοδυσεFς δεκα παντα ταλαντα, T
ἠρχ', hαμα δ' αλλοι δωρ' εφερον κοFρητες αχαιFων·
και τα μεν εν μεσσῃ αγορῃ θεσαν· αν δ' αγαμεμνων
hιστατο· ταλθυβιος δε, θεῳ εναλινκιος αυFδην,
καπρον hεχων εν χερσι, παρhιστατο ποιμενι λαFων.
ατρεFιδης δε Fερυσσαμενος χειρεσι μαχαιραν,
hη hοι παρ χσιφεος μεγα κουλεον αιFεν αhορτο,
καπροο απο τριχας αρχσαμενος, διϊ χειρας ανασχων,
ευχετο· τοι δ' αρα παντες επ' αFτοφιν hηατο σιγῃ
αργειFοι κατα μοιραν ακοFοντες βασιλεFος.
ευχσαμενος δ' αρ' εFεσπε, Fιδων εις ουρανον ευρυν·
Fιδστω νυν δσεFς πρωτα, θεων hυπατος και αριστος,
γη τε, και ἠελιος, και εριννυες, hαιθ' υπο γαιαν
ανθρωποFς τιFνυνθ', οστις κ' επιhορκον ομοσσῃ·
μη μεν εγω κοFρῃ βρισεFιδι χειρ' επενενκα,
ουτ' ευνης προφασιν κεχρημενος, ουτε τεο αλλοο·
αλλ' εμεν' απροτιμαστος ενι κλισιῃσιν εμῃσιν.
ει δε τι τωνδ' επιhορκον, εμοι θεοι αλγεα δοιεν
πολλα μαλ', hοσα διδονθ', οστις σφ' αλιτηται ομοσσανς.
ἠ, και επι στομαχον καπροο ταμε νηλεϊ χαλκῳ·
τον μεν ταλθυβιος πολιης hαλος ες μεγα λαιτμα
ριπτσ' επιδινεFσανς, βοσιν hιχθυσιν· αFταρ αχιλλεFς
ανστανς αργειFοισι φιλοπτολεμοισι μετηυFδα·
δσεF πατερ, η μεγαλας αFατας ανδρεσι διδοισθα!
ουκ αν δη ποτε θυFμον ενι στηθεσσιν εμοισιν
ατρεFιδης ωρινε διαμπερες, ουδε κε κοFρην
ἠγεν, εμεF αhεκοντος, αμηχανος· αλλα ποθι δσεFς
ηθελ' αχαιFοισιν θανατον πολυεσι γενεσθαι.
νυν δ' ερχεσθ' επι δειπνον, hινα γσυναγωμεν αρεFα.
hως αρ' εφωνησεν· λυFσεν δ' αγορην αιπσηρην.
hοι μεν αρ' εσκιδναντο hεFην επι ναFα hεκαστος·
δωρα δε μυρμιδονες μεγαλητορες αμφ' επενοντο,
βαν δ' επι ναFα φεροντες αχιλλεFος θειοFο·
και τα μεν εν κλισιῃσ' εθεσαν, καθισαν δε γυναικας·
hιπποFς δ' εις αγελην ελασαν θεραποντες αγαFοι·
αFτον δ' αμφι γεροντες αχαιFων ἠγερεθοντο,
λισσομενοι δειπνησαι· hο δ' ἠρνεετο στοναχιδσων·
λισσομαι, ει τις εμοιγε φιλων επιπειθεθ' εταιρων,
μη με πριν σιτοFο κελεFετε μηδε ποτητος
hαδσασθαι φιλον ητορ, επει μ' αχος αινον hικανει·
δυντα δ' ες ἠελιον μενεω, και τλησομαι ενπης.
hως Fεσπων, αλλοFς μεν απεσκεδασεν βασιλεFας·
δοιω δ' ατρειδα μενετην, και διFος hοδυσσεFς,
νεστωρ, ιδομενεFς τε, γερων θ' ιππηλατα φοινιξ,
τερποντες πυκινως ακαχημενον· ουδε τι θυFμῳ
τερπετο, πριν πολεμοο στομα δυFμεναι hαιματοεντος.

μνῆσαμενος δ' ͱαδινως ανενεικατ', εφωνησεν τε· T
η ρα νυ μοι ποτε και συ, δυσαμορε, φιλταθ' εταιρων, 315
αϝτος ενι κλισιῃ λαϝρον παρα δειπνον εθῆκας
αιψα και οτραλεως, ͱοποτε σπερχοιατ' αχαιϝοι
τροϝσιν εφ' ιπποδαμοισι φερεεν πολυδακρυν αρεϝα·
νῦν δε συ μεν κεισαι δεδαϝιγμενος· αϝταρ εμον κεαρ
ακμῆνον ποσιος και εδητυος, ενδον εοντων, 320
σῇ ποθῇ· ου μεν γαρ τι κακωτερον αλλο παθοιμι·
ουδ' ει κεν τοϝο πατρος αποφθιμενοϝο πυθοιμην,
ͱος ποϝο νῦν φθιϝῇ τερενα κατα δακρυϝα λειβει
χητεϊ τοιοϝοδ' ͱυιος· ͱο δ' αλλοδαπῷ ενι δημῳ
ͱεινεκα ρῖγεδανης ͱελενης τροϝεσιν πολεμιδσω· 325
ͱως εφατο κλαϝων· επι δε στοναχοντο γεροντες, 338
μνῆσαμενοι τα ͱεκαστος ενι μεγαροισιν ελειπον. 339
ͱως δ' ͱοτε ταρφειαι νιφαδες διος εκποτεονται, 357
ψυϝχραι ͱυπο ρῖπης αιθρηγενεος βορεαϝο·
ͱως τοτε ταρφειαι κορυθες, λαμπρον γαναοντσαι,
ναϝων εκφορεοντο, και ασπιδες ομφαλοεντσαι, 360
θωρηκες τε κραταιγυαλοι, και μειλινα δορϝα.
αιγλη δ' ουρανον ͱικ', εγελασσε δε παντσα περι χθων
χαλκοϝ' ͱυπ' αστεροπης· ͱυπο δε κτυπος ὦρνυτο ποδσιν
ανδρων· εν δε μεσοισ' εκορυσσετο διϝος αχιλλεϝς. 364
κνημῖδας μεν πρῶτα περι κνημῆσιν εθῆκεν 369
καλας, αργυρεοισιν επισφυριοισ' αραρυιας· 370
δεϝτερον αϝ θωρηκα περι στηθεσσιν εδυϝεν·
αμφι δ' αρ' ωμοισιν βαλετο ξιφος αργυροͱηλον,
χαλκεον· αϝταρ επειτα σακος μεγα τε, στιβαρον τε,
ͱελλετο, του δ' απανευθε σελας γενετ', ηΰτε μηνης.
ͱως δ' ͱοτ' αν εκ ποντοϝο σελας ναϝτῇσι φανῆῃ 375
καϝομενοϝο πυρος, το δε καϝεται ͱυψοθ' ορεσφιν,
σταθμῷ εν οιοπολῷ· τοϝς δ' ουκ εθελοντας αϝελλαι
ποντον εφ' ιχθυοεντα φιλων απανευθε φεροντιν·
ͱως απ' αχιλλεϝος σακεος σελας αιθερ' ͱικανεν
καλοϝο, δαιδαλεοο· περι δε τρυφαλειαν αϝῆρανς 380
κρᾶτι θετο βριαρην· ͱη δ', αστηρ ͱως, απελαμπεν. 381
πειρῆθη δε ͱεϝ' αϝτοϝ εν εντεσι διϝος αχιλλεϝς, 384
ει ͱοι εφαρμοσσειε, και εντρεχοι αγλαϝα γυια· 385
τῷ δ' αϝτε πτερ' εγιγνετ', αϝειρε δε ποιμενα λαϝων. 386
ͱιπποϝς δ' αϝτομεδων τε και αλκιμος αμφιͱεποντες 392
δσευγνυον, αμφι δε καλα λεπαδν' εσαν· εν δε χαλινοϝς
γαμφηλῇσ' εβαλον, κατα δ' ͱηνι' ετῆναν οπισσῳ
κολλητον ποτι διφρον· ͱο δε μαστιγα φαϝεινην 395
χειρι λαβων αραρυιαν εφ' ιπποϊν ανοροϝσεν
αϝτομεδων· οπιθεν δε κορυσσαμενος βη αχιλλεϝς. 397
ͱως ͱοι μεν παρα ναϝσι κορωνισι θωρησσοντο Υ
αμφι σε, πηλεϝος ͱυιε, μαχης ακορητον, αχαιϝοι·

τροϝες δ' αϝθ' ετερωθεν επι θρωσμῷ πεδιοϝο. Υ
δσεϝς δε θεμιστ' εκελεϝσε θεοϝς αγορηνδε καλεσσαι
κρᾶτος απ' ολυνποϝο πολυπτυχοϝ· ͱη δ' αρα παντῃ
φοιτησαντσ' εκελεϝσε διος προς δῶμα νεεσθαι.
ουτε τις ὧν ποταμων απεῆν, νοσφ' ωκεανοϝο,
ουτ' αρα νυμφαϝων, ͱαιτ' αλσεα καλα νεμονται,
και πηγας ποταμων, και πιϝσεα ποιηεντα.
ελθοντες δ' ες δῶμα διος νεφεληγερεταϝο,
χσεστῇσ' αιθουσῃσιν ενͱιδσανον, ͱας διϊ πατρι
ͱηφαιστος ποιησε ϝιδυιῃσι πραπιδεσιν.
ͱως ͱοι μεν διος ενδον αγηγερατ'· ουδ' ενοσιχθων
νηκοϝστησε θεας, αλλ' εκς ͱαλος ηλθε μετ' αϝτοϝς.
ͱιδσε δ' αρ' εν μεσσοισι, διος δ' εκσειρετο βουλην·
τιπτ' αϝτ', αργικεραυνε, θεοϝς αγορηνδ' εκαλεσσας;
η τι περι τροϝων και αχαιϝων μερμηριδσεις;
των γαρ νῦν ανχιστα μαχη πολεμος τε δεδῆεν.
τον δ' απαμειβομενος προσεφη νεφεληγερετα δσεϝς·
εγνῶς, εννοσιγαιε, εμην εν στηθεσι βουλην,
ͱων ͱενεκα γσυναγῆρα· μελοντι μοι, ολϝυμενοι περ.
αλλ' ητοι μεν εγω μενεω πτυχεσ' ολυνποϝο
ͱημενος, ενθ' ͱοραων φρενα τερπσομαι· ͱοι δε δη αλλοι
ερχεσθ', ͱοφρ' αν ͱικησθε μετα τροϝας και αχαιϝοϝς·
αμφοτεροισι δ' αρηγεθ', οπῆ νοος εστιν ͱεκαστοο.
ει γαρ αχιλλεϝς οιος επι τροϝεσι μαχεεται,
ουδε μινυνθ' ͱεχσοντι ποδῶκεα πηλεϝιϝῶνα.
και δε τε μιν και προσθεν ͱυποτρομεεσκον ͱορῶντες·
νῦν δ', ͱοτε δη και θυϝμον ͱεταιροϝο χωεται αινως,
δδειδω, μη και τειχος ͱυπερ μορον εκσαλαπακσῃ.
ͱως εφατο κρονιδης, πολεμον δ' αλιϝαστον εγειρεν.
βαν δ' ιμεναι πολεμονδε θεοι, διχα θυϝμον ͱεχοντες·
ͱηρη μεν μετ' αγῶνα ναϝων και παλλας αθηνη,
ηδε ποσειδαϝων γαιηͱοχος, ηδ' εριουνης
ͱερμειας, ͱος ενι φρεσι πευκαλιμῃσ' εκεκαστο·
ͱηφαιστος δ' ͱαμα τοισ' εκιε, σθενεϊ βλεμεαινων,
χῶλεϝων, ͱυπο δε κνημαι ροϝοντο ͱαραιαι.
ες δε τροϝας αρεϝς κορυθαιϝολος· αϝταρ ͱαμ' αϝτῷ
φοιβος ακερσεκομης, ηδ' αρτεμις ͱιͱοχεαιρα,
λητω τε, χσανθος τε, φιλομειδης τ' αφροδιτη.
ͱεϝος μεν ρ' απανευθε θεοι θνῆτων εσαν ανδρων,
τεϝος αχαιϝοι μεν μεγ' εκυϝδανον, ͱοονεκ' αχιλλεϝς
εκσεφανη, δηρον δε μαχης επεπαϝτ' αλεγεινης·
τροϝας δε τρομος αινος ͱυπηλυθε γυια ͱεκαστον,
δεδδιοτας, ͱοθ' ορῶντο ποδῶκεα πηλεϝιϝῶνα
τευχεσι λαμπομενον, βροτολοιγῷ ϝειϝσον αρεϝι.
αϝταρ επει μεθ' ομιλϝον ολυνπιοι ηλυθον ανδρων,
ὦρτο δ' ερις κρατερη, λαϝοσσοϝος· αυϝε δ' αθηνη,

σταντσ' ϝοτε μεν παρα ταφρον ορυκτην, τειχεος εκτος,
αλλοτ' επ' ακταϝων εριδουπων μακρον αϝυϝτεεν·
αυϝε δ' αρεϝς ϝετερωθεν, ερεμνῇ λαιλαπι ϝεισϝος,
ϝοκσυ κατ' ακροτατης πολιος τροϝεσι κελεϝων,
αλλοτε παρ σιμοεντι θεϝων επι καλλικολωνῃ.
ϝως τοϝς αμφοτεροϝς μακαρες θεοι οτρυϝνοντες
γσυνβαλον, εν δ' αϝτοισ' εριδα ϝρῆγνῦντο βαρυιαν.
δδεινον δ' εβροντησε πατηρ ανδρων τε θεων τε
ϝυπσοθεν· αϝταρ ενερθε ποσειδαϝων ετινακσεν
γαιαν απειρεσιην, ορεων τ' αιπυινα καρῆνα.
παντες δ' εσειοντο ποδες πολυπιδακος ιδης,
και κορυφαι, τροϝων τε πολις, και ναϝες αχαιϝων.
εδδειδσεν δ' ϝυπενερθε ϝαvακς ενερων, αϝιδωνεϝς,
δδειδσανς δ' εκ θρονοϝ' ϝαλτο, και εϝιϝαχεν, μη ϝυπερθεν
γαιαν αναϝρηγσειε ποσειδαϝων ενοσιχθων,
ϝοικια δε θνῆτοισι και αθανατοισι φανειη
σμερδαλε', ευρῶεντα, τα τε στυγεοντι θεοι περ.
ϝως ϝοι μεν θεοι αντα θεων ισαν· αϝταρ αχιλλεϝς
ϝεκτορος αντα μαλιστ' ελιλαϝετο δυϝναι ϝομιλϝον
πριαμιδεο· τοο γαρ ρα μαλιστα ϝε θυϝμος ανωγεν
ϝαιματος ϝαδσαι αρεϝα, ταλαυρινον πολεμιστην.
αινειαν δ' ιθυς λαϝοσσοϝος ὦρσεν απολλων
αντια πηλεϝιϝῶνος, ενϝηκε δε ϝοι μενος ηΰ·
υιϊ δε πριαμοϝο λυκαϝονι ϝεισδατο φῶνην·
αινεια, τροϝων βουληφορε, ποο τοι απειλαι
ϝας τροϝων βασιλεϝσιν ϝυπεσχεο ϝοινοποταδσων,
πηλεϝιδαϝ' αχιλεϝος εναντιβιον πολεμιδσεεν;
τον δ' αϝτ' αινειας απαμειβομενος προσεϝεσπεν·
πριαμιδη, τι με ταϝτα και ουκ εθελοντα κελεϝεις,
αντια πηλεϝιϝῶνος ϝυπερθυμοϝο μαχεσθαι;
ου μεν γαρ νῦν πρῶτα ποδῶκεος αντ' αχιλεϝος
στησομαι, αλλ' ηδη με και αλλοτε δορϝι φοβησεν,
εκς ιδης, ϝοτε βοϝσιν επηλυθεν ϝημετερῇσιν,
περθσε δε λυρνησον και πηδασον· αϝταρ εμε δσεϝς
ρυϝσατο, ϝος μοι επῶρσε μενος λαιπσηρα τε γονϝα.
η κ' εδαμην ϝυπο χερσιν αχιλλεϝος και αθηνης,
ϝη ϝοι προσθεν ιοντσ' ετιθεε φαϝος, ηδ' εκελεϝεν
ενχεϊ χαλκειῷ λελεγας και τροϝας ενϝαιρεεν.
τῷ ουκ εστ' αχιλεϝος εναντιον ανδρα μαχεσθαι·
αιϝει γαρ παρα ϝενς γε θεων, ϝος λοιγον αμυϝνει.
και δ' αλλως τοϝογ' ιθυ βελος πετετ', ουδ' απολη γει,
πριν χροος ανδρομεοϝο διελθεμεν· ει δε θεος περ
ϝεισϝον τῆνειεν πολεμοο τελος, ου κε με ρεϝα
νικησει', ουδ' ει πανχαλκεος ευχεται εεναι.
τον δ' αϝτε προσεϝεσπε ϝανακς, διος ϝυιος, απολλων·
ϝηρως, αλλ' αγε και συ θεοισ' αιϝειγενετῇσιν

ευχεο· και δε σε φαντι διος κοϝρης αφροδῖτης
εκγεγαμεν, κεινος δε χερειονος εκ θεοϝ εστιν. Υ
ͱη μεν γαρ διος εσθ', η δ' εκς ͱαλιοϝο γεροντος.
αλλ' ιθυς φερε χαλκον ατειρεα, μηδε σε πανπαν
λευγαλεοισι ϝεπεσσιν αποτρεπετω και αρειῇ.
ͱως ϝεσπων, ενπνεϝσε μενος μεγα ποιμενι λαϝων·
βη δε δια προμαχων, κεκορυθμενος αιθοπι χαλκῷ.
των δ' ͱαπαν επλησθη πεδιον, και ελαμπετο χαλκῷ
ανδρων ηδ' ͱιππων· καρκαιρε δε γαια ποδεσιν
ορνυμενων ͱαμυδις· δυο δ' ανερες εκσͱοχ' αριστοι
ες μεσον αμφοτερων σσυνιτην, μεμαϝῶτε μαχεσθαι,
αινειας τ' ανχισιαδης, και διϝος αχιλλεϝς.
αινειας δε πρῶτος απειλησανς εβεβηκεεν,
νευσταδσων κορυθι βριαρῇ· αταρ ασπιδα θοϝριν
προσθεν ͱεχε στερνοϝ, ετινασσε δε χαλκεον ενχος.
πηλεϝιδης δ' ͱετερωθεν εναντιον ῶρτο, λεϝων ͱως
σιντης, ͱοντε και ανδρες αποκταμεναι μεμαϝαντιν,
αγρομενοι, πανς δημος· ͱο δε πρῶτον μεν ατιδσων
ερχεται, αλλ' ͱοτε κεν τις αρεϝιθοϝων αιδσηων
δορϝι βαλητ', εϝαλη τε χανων, περι τ' αφρος οδοντας
γιγνεται, εν δε τε ͱοι κραδιῇ στενει αλκιμον ητορ,
ουρῇ δε πλευρας τε και ισχιω αμφοτερωθεν
μαστιεται, ͱεϝα δ' αϝτον εποτρυϝνει μαχεσασθαι·
γλαϝκιαων δ' ιθυς φερεται μενει, ῆν τινα πεφνῃ
ανδρων, η' αϝτος φθιεται πρῶτῳ εν ͱομιλϝῳ·
ͱως αχιλεϝ' ῶτρυϝνε μενος και θυϝμος αγῆνωρ
αντιον ελθεμεναι μεγαλητορος αινειαϝο.
ͱοι δ' ͱοτε δη σχεδον ῆσαν επ' αλληλοισιν ιοντες,
τον προτερος προσεϝεσπε ποδαρκης διϝος αχιλλεϝς·
αινεια, τι συ, τοσον ͱομιλϝοϝο πολλον επελθων,
εστης; η σεγε θυϝμος εμοι μαχεσασθαι ανωγει;
ηδη μεν σεγε, φημι, και αλλοτε δορϝι φοβησα.
η ου μεμνεαι, ͱοτε περ σε βοϝων απο μουνον εοντα
σσεϝσα κατ' ιδαιων ορεων ταχυεσι ποδεσιν
καρπαλιμως; τοτε δ' ουτι μετατροπαλιδσεο φευγων·
ενθεν δ' ες λυρνησον ͱυπεκφυγες· αϝταρ εγω την
περθσα, μεθορμηθενς σσυν αθηνῇ και διϊ πατρι.
τον δ' αϝτ' αινειας απαμειβετ', εφῶνησεν τε·
πηλεϝιδη, μη δη με ϝεπεσσι γε, νηπυτιον ͱως,
ͱελπεο δειδικσεσθαι· επει σαφα ϝοιδα και αϝτος
ημεν κερτομιας ηδ' αισυλα μυϝθησασθαι.
ϝιδμεν δ' αλληλων γενεην, ϝιδμεν δε τοκεϝας,
προκλυτ' ακοϝοντες ϝεπεα θνῆτων ανθρωπων.
ῆ ρα, και εν δδεινῷ σακει ηλασε χαλκεον ενχος,
σμερδαλεῷ· μεγα δ' αμφι σακος μυκε δορϝος ακωκῇ.
πηλεϝιδης δε σακος μεν απο ͱεϝο χειρι παχυῇ

εσχετο, ταρβησανς· φατο γαρ δολιχοσκιον ενχος
ρεϝα διελθεμεναι μεγαλητορος αινειαϝο·
νηπιος! ουδ᾽ ενοησε κατα φρενα και κατα θυϝμον,
ͱως ου ρεϝιδι᾽ εστι θεων ερικυδεα ϝεργα
ανδρεσι γε θνῆτοισι δαμῆμεναι, ουδ᾽ ͱυποϝεικεεν.
ουδε τοτ᾽ αινειαϝο δαϝιφρονος οβριμον ενχος
ϝρῆγσε σακος· χρυσος γαρ ερυκακε, δῶρα θεοϝο.
δεϝτερος αϝτ᾽ αχιλεϝς προͱιͱες δολιχοσκιον ενχος,
και βαλεν αινειαϝο κατ᾽ ασπιδα παντοσε ϝεισϝην,
αντυγ᾽ ͱυπο πρῶτην, ͱῇ λεπτοτατος θεϝε χαλκος·
λεπτοτατη δ᾽ επεῆν ϝρῖνος βοϝος· ͱη δε δια προ
πηλιας ῆͱικσεν μελιη, λακε δ᾽ ασπις ͱυπ᾽ αϝτης.
αινειας δ᾽ εͱαλη, και απο ͱεθεν ασπιδ᾽ ανεσχεν
δδειδσανς· ενχειη δ᾽ αρ᾽ ͱυπερ νωτοϝ ενι γαιῃ
εστη ͱιͱεμενη, δια δ᾽ αμφοτεροϝς ͱελε κυκλοϝς
ασπιδος αμφιβροτης· ͱο δ᾽, αλεϝσαμενος δορυ μακρον,
εστη, κατ δ᾽ αχος ͱοι χυτο μυριον οφθαλμοισιν,
ταρβησανς, ͱο ͱοι ανχ᾽ επαγη βελος· αϝταρ αχιλλεϝς
ενμεμαϝως εποροϝσε, ϝερυσσαμενος χσιφος ͱοκσυ,
σμερδαλεα ϝιϝαχων· ͱο δε χερμαδιον λαβε χειρι
αινειας, μεγα ϝεργον, ͱο κ᾽ ου δυο γ᾽ ανδρε φεροιεν,
ͱοιοι νῦν βροτοι ενθ᾽· ο δε μιν ρεϝ επαλλε και οιος.
ενθα κεν αινειας μεν επεσσυμενον βαλε πετρῳ,
η κορυθ᾽, ηε σακος, το ͱοι ῆρκεσε λυγρον ολεθρον·
τον δε κε πηλεϝιδης σχεδον αϝορι θυϝμον απῆϝρα,
ει μη αρ᾽ ͱοκσυ νοησε ποσειδαϝων ενοσιχθων·
αϝτικα δ᾽ αθανατοισι θεοις μετα μυϝθον εϝεσπεν·
ω ποποι! η μοι αχος μεγαλητορος αινειαϝο,
ͱος ταχα πηλεϝιϝῶνι δαμενς αϝιδοσδε κατειτιν,
πειθομενος μυϝθοισιν απολλῶνος ͱεκατοϝο·
νηπιος! ουδε τι ͱοι χραϝσμησει λυγρον ολεθρον.
αλλα τιη νῦν ͱοϝτος ααιτιος αλγεα πασχει,
μαπς ͱενεκ᾽ αλλοτριων αχεων, κεχαρισμενα δ᾽ αιϝει
δῶρα θεοισι διδῶτι, τοι ουρανον ͱευρυν εχοντιν;
αλλ᾽ αγεθ᾽, ημεες περ μιν ͱυπ᾽ εκ θανατοϝ αγαγωμεν,
μη πως και κρονιδης κεχολῶσεται, αι κεν αχιλλεϝς
τονδε κατακτῆνῃ· μοριμον δε ͱοι εστ᾽ αλεϝεσθαι,
ͱοφρα μη ασπερμος γενεη και αφαντος οληται
δαρδανοϝ, ͱον κρονιδης περι παντων φῖλατο παιδων,
ͱοι ͱεθεν εκσεγενοντο, γυναικων τε θνῆταϝων.
ηδη γαρ πριαμοο γενεην ηχθῆρε κρονιϝων·
νῦν δε δη αινειαϝο βιη τροϝεσι ϝανακσει,
και παιδες παιδων, τοι κεν μετοπισθε γενωνται.
τον δ᾽ ῆμειβετ᾽ επειτα βοϝῶπις ποτνια ͱηρη·
εννοσιγαι᾽, αϝτος συ μετα φρεσι σῇσι νοησον
αινειαν, η κεν μιν ρυϝσεαι, η κεν εϝᾶσεις.

ητοι μεν γαρ νοϝι πολυας ὢμοσσαμεν ͱορκοϝς
παντσι μετ' αθανατοισιν, εγω και παλλας αθηνη, Υ
μη ποτ' επι τροϝεσιν αλεκσησεεν κακον ͱημαρ,
μηδ' ͱοποτ' αν τροϝιη μαλερῷ πυρι παντσα δαϝηται
καϝομενη, καϝωντι δ' αρεϝιοι ͱυιες αχαιϝων.
  αϝταρ επει τογ' ακοϝσε ποσειδαϝων ενοσιχθων,
βη ρ' ιμεν αν τε μαχην και ανα κλονον ενχειαϝων,
ͱικσε δ', ͱοθ' αινειας, ηδ' ͱο κλυτος ἦεν αχιλλεϝς.
αϝτικα τῷ μεν επειτα κατ' οφθαλμων χεϝεν αχλυν·
αινειαν δ' εσσεϝεν απο χθονος ͱυπσοσ' αͱῆρανς·
πολλας δε στιχας ͱηροϝων, πολλας δε και ͱιππων
αινειας ͱυπερͱαλτο, θεοϝ απο χειρος οροϝσανς·
ͱικσε δ' επ' εσχατιην πολυαͱικος πολεμοϝο,
ενθα δε καυκῶνες πολεμον μετα θωρησσοντο·
τῷ δε μαλ' ενγυθεν ηλθε ποσειδαϝων ενοσιχθων,
και μιν φῶνησανς ϝεπεα πτεροεντα προσῆυϝδα·
  αινεια, τις σ' ͱῷδε θεων αϝατεοντα κελεϝει
αντι' αχιλλεϝος πολεμιδσεμεν ηδε μαχεσθαι,
ͱος σεϝ ͱαμα κρεισσων, και φιλτερος αθανατοισιν;
αλλ' αναχωρῆσαι, ͱοτε κε γσυνβλῆσεαι αϝτῷ,
μη και ͱυπερ μοιραν δομον αϝιδος εισαφικηαι·
αϝταρ επει κ' αχιλεϝς θανατον και ποτμον εφεσπῃ,
θαρσησανς δη επειτα μετα πρῶτοισι μαχεσθαι·
ου μεν γαρ τις σ' αλλος αχαιϝων εκσεναρικσει.
  ͱως ϝεσπων, λιπεν αϝτοθ', επει διεπεφραδε παντα.
αιπσα δ' επειτ' αχιλεϝος απ' οφθαλμων σκεδασ' αχλυν
θεσπεσιην· ͱο δ' επειτα μεγ' εκσϝιδεν οφθαλμοισιν·
οχθησανς δ' αρ' εϝεσπε προς ͱον μεγαλητορα θυϝμον·
  ω ποποι! η μεγα θαϝμα τοδ' οφθαλμοισιν ͱορῶμαι·
ενχος μεν τοδε κειται επι χθονος, ουδε τι φῶτα
λεϝσσω, τῷ επεͱηκα, κατακταμεναι μενεαινων.
η ρα και αινειας φιλος αθανατοισι θεοισιν
ἦεν· αταρ μιν εφην μαπς αϝτως ευχεταεσθαι.
ϝερρετω· ου ͱοι θυϝμος εμεϝ ετι πειρῆθηναι
εσσεται, ͱος και νῦν φυγεν ασμενος εκ θανατοϝο.
αλλ' αγε δη, δαναοισι φιλοπτολεμοισι κελεϝσανς,
των αλλων τροϝων πειρῆσομαι αντιος ελθων.
  ἦ, και επι στιχας ͱαλτ'· εκελεϝε δε φωτι ͱεκαστῳ·
μηκετι νῦν τροϝων ͱεκας ͱεστατε, διϝοι αχαιϝοι,
αλλ' αγ', ανηρ αντ' ανδρος ιτω, μεματω δε μαχεσθαι.
αργαλεον δε μοι εστι, και ἴφθῖμῳ περ εοντι,
τοσοϝσδ' ανθρωποϝς εφεπεεν, και παντσι μαχεσθαι·
ουδε κ' αρεϝς, ͱοσπερ θεος ανβροτος, ουδε κ' αθηνη,
τοσησδ' ͱυσμινης εφεποι στομα, και πονεοιτο·
αλλα ͱοσον μεν εγω δυναμαι χερσιν τε, ποσιν τε,
και σθενει, ου με τι φημι μεθησεμεν ουδ' ηβαιον·

αλλα μαλα στιχος ειμι διανπερες, ουδε τιν᾽ οιϝω
τροϝων χαιρησεεν, ͱοστις σχεδον ενχεος ελθῃ.
ͱως φατ᾽ εποτρυϝνων· τροϝεσι δε φαιδιμος ͱεκτωρ
κεκλεθ᾽ ομοκλησανς, φατο δ᾽ ιμεναι αντ᾽ αχιλεϝος·
τροϝες ͱυπερθυϝμοι, μη δεδδιτε πηλεϝιϝωνα·
και κεν εγω ϝεπεεσι και αθανατοισι μαχοιμην,
ενχεϊ δ᾽ αργαλεον, επειη πολυ φερτεροι εντιν·
ουδ᾽ αχιλεϝς παντεσι τελος μυϝθοισ᾽ επιθησει,
αλλα το μεν τελεει, το δε και μεσσηγυ κολοϝει.
τοο δ᾽ εγω αντιος ειμι, και ει πυρι χειρας ϝεϝοικεν,
ει πυρι χειρας ϝεϝοικε, μενος δ᾽ αιθῶνι σιδηρῳ.
ͱως φατ᾽ εποτρυϝνων· ͱοι δ᾽ αντιοι ενχε᾽ αͱειρον
τροϝες· των δ᾽ ͱαμυδις μιχθη μενος, ὦρτο δ᾽ αͱυϝτη.
και τοτ᾽ αρ᾽ ͱεκτορα ϝεσπε παραστανς φοιβος απολλων·
ͱεκτορ, μηκετι πανπαν αχιλλεϝι προμαχιδσε,
αλλα κατα πληθυν τε και εκ φλοισβοϝο δεδεχσο,
μη πως σ᾽ ηε βαλῃ, ηε σχεδον αͱορι τυπτσῃ.
ͱως εφαθ᾽· εκτωρ δ᾽ αϝτις εδυϝσατο ϝολϝαμον ανδρων,
ταρβησανς, ͱοτ᾽ ακοϝσε θεοο ϝοπα φῶνησαντος.
εν δ᾽ αχιλεϝς τροϝεσι θορε, φρεσι ϝεσμενος αλκην,
σμερδαλεα ϝιϝαχων· πρῶτον δ᾽ ͱελε ϝιφιτιϝῶνα,
εσθλον οτρυντεϝιδην, πολυων ͱηγητορα λαϝων,
ͱον νυμφη τεκε ναϝις οτρυντεϝι πτολιπορθῳ,
τμῶλῳ ͱυπο νιφοεντι, ͱυδης εν πιϝονι δημῳ·
τον ρ᾽ ιθυς μεμαϝωτ᾽ εβαλ᾽ ενχεϊ διϝος αχιλλεϝς,
μεσσην κατ κεφαλην· ͱη δ᾽ ανδιχα παντσ᾽ εκεασθη·
δουπησεν δε πεσων· ͱο δ᾽ επευχσατο διϝος αχιλλεϝς·
κεισαι, οτρυντεϝιδη, παντων εκπαγλοτατ᾽ ανδρων,
ενθαδε τοι θανατος· γενεη δε τοι εστ᾽ επι λιμνῃ
γυγαιῃ, ͱοθι τοι τεμενος πατροϝιον εστιν,
ͱυλλῳ εφ᾽ ιχθυοεντι, και ͱερμῳ δινεϝεντι.
ͱως φατ᾽ επευχομενος· τον δε σκοτος οσσ᾽ εκαλυπτσεν·
τον μεν αχαιϝων ͱιπποι επισῶτροις δατεοντο
πρῶτῃ εν ͱυσμινῃ· ͱο δ᾽ επ᾽ αϝτῳ δημολεϝοντα,
εσθλον αλεκσητηρα μαχης, αντῆνορος ͱυιον,
νυκσε κατα κροταφον, κυνεης δια χαλκοπαρῆοο·
ουδ᾽ αρα χαλκειη κορυς εσχεθεν, αλλα δι᾽ αϝτης
αιχμη ͱιͱεμενη ϝρῆγσ᾽ οστεον, ενκεφαλος δε
ενδον ͱαπανς πεπαλακτ᾽· εδαμασσε δε μιν μεμαϝῶτα.
ͱιπποδαμαντα δ᾽ επειτα καθ᾽ ιππων αͱικσαντα,
προσθεν ͱεθεν φευγοντα, μεταφρενον ουτασε δορϝι·
αϝταρ ͱο θυϝμον αͱισθε και ηρυγεν, ͱως ͱοτε ταυρος
ηρυγεν ͱελκομενος ͱελικωνιον αμφι ϝανακτα,
κοϝρων ͱελκοντων· γανυται δε τε τοισ᾽ ενοσιχθων·
ͱως αρα τονγ᾽ ερυγοντ᾽ ελιπ᾽ οστεα θυϝμος αγῆνωρ.
αϝταρ ͱο βη γσυν δορϝι μετ᾽ αντιθεον πολυδῶρον,

πριαμιδην· τον δ' ουτι πατηρ εϝαεσκε μαχεσθαι, Υ
ͱοονεκα ͱοι μετα παισι νεϝωτατος εσκε γονοϝο,
και ͱοι φιλτατος εσκε, ποδεσι δε παντας ενικα.
δη τοτε νηπιεῄσι, ποδων αρετην αναφαινων,
θυϝνε δια προμαχων, ͱεϝος φιλον ὤλεσε θυϝμον.
τον βαλε μεσσον ακοντι ποδαρκης διϝος αχιλλεϝς,
νωτα παραͱισσοντος, ͱοθι δσωστηρος ͱοχεϝες
χρυσειοι γσυνͱεχον, και διπλοϝος ἦντετο θωρηκς·
αντικρυς δε διεσχε παρ' ομφαλον ενχεος αιχμη·
γνυκς δ' εριπ' οιμωγσανς· νεφελη δε μιν αμφεκαλυπτσεν
κυϝανεη, προτι ͱοι δ' ελαβ' εντερα χερσι λιϝασθενς.
ͱεκτωρ δ' ͱως ενοησε κασιγνῆτον πολυδῶρον,
εντερα χερσιν ͱεχοντα, λιϝαδσομενον προτι γαιῄ,
κατ ρα ͱοι οφθαλμων κεχυτ' αχλυς, ουδ' αρ' ετ' ετλῆ
δηρον ͱεκας στροφαεσθ', αλλ' αντιος ηλθ' αχιλεϝος,
ϝοκσυ δορυ κραδαων, φλογι ϝεικελος· αϝταρ αχιλλεϝς
ͱως ϝειδ', ͱως ανεπαλτο, και ευχομενος ϝεπος ηὖϝδα·
ενγυς ανηρ, ͱος εμον γε μαλιστ' εσεμασσατο θυϝμον,
ͱος μοι ͱεταιρον επεϝνε τετιϝμενον· ουδ' αρ' ετι δην
αλληλοϝς πτώσσοιμεν ανα πτολεμοϝο γεφυϝρας.
ῆ, και ͱυποδρα ϝιδων προσεϝφῶνεεν ͱεκτορα διϝον·
ασσον ιθ', ͱως κεν θασσον ολεθροϝο πειραθ' ικηαι.
τον δ' ου ταρβησανς προσεφη κορυθαιϝολος ͱεκτωρ·
πηλεϝιδη, μη δη με ϝεπεσσι γε, νηπυτιον ͱως,
ͱελπεο δειδικσεσθαι· επει σαφα ϝοιδα και αϝτος
ημεν κερτομιας ηδ' αισυλα μυϝθησασθαι·
ϝοιδα δ', ͱοτι συ μεν εσθλος, εγω δε σεθεν πολυ χειρων.
αλλ' ητοι μεν ταϝτα θεων εν γουϝασι κειται,
αι κε σε χειροτερος περ εων απο θυϝμον ͱελωμαι,
δορϝι βαλων· επειη και εμον βελος ͱοκσυ παροιθεν.
ῆ ρα, και ανπεπαλων προͱιͱεε δορυ, και τογ' αθηνη
πνοϝῄ αχιλλεϝος παλιν ετραπε κυϝδαλιμοϝο,
ͱηκα μαλα πσυϝχσαντσα· το δ' απς ͱικεθ' εκτορα διϝον,
αϝτοϝο δε προπαροιθε ποδων πεσεν· αϝταρ αχιλλεϝς
ενμεμαως εποροϝσε, κατακταμεναι μενεαινων,
σμερδαλεα ϝιϝαχων· τον δ' εκσͱαρπακσεν απολλων
ρεϝα μαλ', ͱωστε θεος, εκαλυπτσε δ' αρ' ῆερι πολλῄ.
τρις μεν επειτ' εποροϝσε ποδαρκης διϝος αχιλλεϝς
ενχεϊ χαλκειῴ, τρις δ' ῆερ' ετυπτσε βαθυιαν·
δδεινα δ' ͱομοκλησανς ϝεπεα πτεροεντα προσηὖϝδα·
εκς αϝ νῦν εφυγες θανατον, κυον· η τε τοι ανχι
ηλθε κακον, νυν αϝτε σ' ερυϝσατο φοιβος απολλων.
η θην σ' εκσανυω γε και ͱυστερον αντιβολησανς,
ει ποϝο τις και εμοιγε θεων επιταρροθος εστιν·
νῦν δ' αλλοϝς τροϝων επιεισομαι, ͱον κε κιχειω.
ͱως ϝεσπων, δρυοπ' ουτα κατ' αϝχενα μεσσον ακοντι·

ηριπε δε προπαροιθε ποδων· ho δε τον μεν εFασεν, Υ
δημοhοχον δε φιλητοριδην ἦϋν τε μεγαν τε
κατ γονυ δορFι βαλων ηρυκακε· τον μεν επειτα
ουταδσων χσιφεϊ μεγαλῳ, εκσαινυτο θυFμον.
αFταρ ho λαFογονον και δαρδανον, huιε βιαντος,
αμφω εφορμηθενς, εκς hιππων ὦθσε χαμαδσε,
τον μεν δορFι βαλων, τον δε σχεδον αFορι τυπτσανς.
τροFα δ' αλαστοριδην· ho μεν αντιος ηλυθε, γονFων,
ει πως hεο πεφιδοιτο, λαβων, και δσαFον αφειη,
μηδε κατακτῆνειεν, hομηλικιην ελεησανς·
νηπιος! ουδε το Fοιδε', ho ου πειθσεσθαι εμελλεν.
ου γαρ τι γλυκυθυFμος ανηρ ἦν, ουδ' αγανοφρων,
αλλα μαλα μεμαFως· ho μεν hαπτετο χειρεσι γονFων,
hιhεμενος λισσεσθ', ο δε φασγανῳ ουτα καθ' ηπαρ·
εκ δε hοι hηπαϱ ολισθεν, αταρ μελαν hαιμα κατ' αFτοο
κολπον ενεπλησεν, τον δε σκοτος οσσ' εκαλυπτσεν,
θυFμοFο δεFομενον· ho δε μουλιον ουτα παραστανς
δοϱFι κατ' οFας· hαφαρ δε δι' οFατος ηλθ' hετεροFο
αιχμη χαλκειη· ho δ' αγῆνορος huιον hεχεκλον
μεσσην κατ κεφαλην χσιφει ηλασε κωπῆεντι·
παν δ' huπεθερμανθη χσιφος hαιματι· τον δε κατ' οσσε
ελαβε πορφυρεος θανατος και μοιρα κραταιη.
δευκαλιFῶνα δ' επειθ', ινα τε γσυνhεχοντι τενοντες
ανκῶνος, τῇ τον γε φιλης δια χειρος επειϱεν
αιχμῇ χαλκειῃ· ho δε μιν μενε χειρα βαρυνθενς,
προσθ' hοραων θανατον· ho δε φασγανῳ αFχενα θῆνανς
τηλ' αFτῇ πηληκι καρη βαλε, μυFελος αFτε
σφονδυλιων εκπαλθ'· ο δ' επι χθον' εκειτο τανυσθενς.
αFταρ ho βη ρ' ιμεναι μετ' αμυFμονα πειροFοF huιον,
ριγμον, hος εκ θρεFικης εριβῶλακος ηληλουθεεν·
τον βαλε μεσσον ακοντι, παγη δ' εν νηδυϊ χαλκος·
ηριπε δ' εκς hοχεων· ho δ' αρεFιθοFον θεραποντα,
απς hιπποFς στρεφσαντα, μεταφϱενον hοκσυϊ δορFι
νυκσ', απο δ' hαρματος ὦθσ'· εκυκῆθησαν δε hοι hιπποι.
hως δ' αναμαιμαFει βαθυ' ανκεα θεσπιδαFες πυρ
ορεος αδσαλεοFο, βαθυια δε καFεται huλFη,
παντῇ τε κλονεων ανεμος φλογα FελFυφαFει·
hως hογε παντῇ θυFνε συν ενχεϊ, δαιμονι FεισFος,
κτεινομενοFς εφεπων, ϱεFε δ' hαιματι γαια μελαινα.
hως δ' hοτε τις δσευγσῇ βοFας αρσενας ευϱυμετῶποFς,
τριβεμεναι κρῖ λεFκον hεϋκτιμενῇ εν αλοFῇ,
ϱιμφα τε λεπτ' εγενοντο βοFων huπο ποδσ' εριμῦκων·
hως huπ' αχιλλεFος μεγαθυFμοFο μωνυχες hιπποι
στειβον hομοο νεκυας τε και ασπιδας· hαιματι δ' αγσων
νερθεν hαπανς πεπαλακτο, και αντυγες hαι περι διφρον,
hας αρ' αφ' ιππειων hοπλεων ραθαμινγες εβαλλον,

ͱαι τ' απ' επισῶτρων· ͱο δε ͱιϝετο κυϝδος ͱαϱεσθαι Υ
πηλεϝιδης, λυθϱῷ δ' επαλασσετο χειρας ααπτοϝς.

αλλ' ͱοτε δη πορον ͱικσαν ͱεϋρεϝος ποταμοϝο Φ
χσανθοϝο δινεϝεντος, ͱον αθανατος τεκετο δσεϝς,
ενθα διατμῆγσανς, τοϝς μεν πεδιονδ' εδιῶκεν
προς πολιν, ͱῇπερ αχαιϝοι ατυδσομενοι φοβεοντο
ͱηματι τῷ προτερῷ, ͱοτ' εμαινετο φαιδιμος ͱεκτωρ·
τῇ ρ' ͱοιγε προχεϝοντο πεφυδσοτες· ῆερα δ' ͱηρη
πιτναε προσθε βαθυιαν, ερυκεμεν· ͱημισυες δε
ες ποταμον ϝελϝεοντο βαθυροϝον, αργυροδινην·
εν δ' επεσον μεγαλῷ παταγῷ· βραχε δ' αιπα ϱεϝεθρα,
ͱοχθαι δ' αμφι περι μεγ' εϝιϝαχον· ͱοι δ' αλαλητῷ
ενναϝον ενθα και ενθα, ϝελισσομενοι κατα δινας.
ͱως δ' ͱοθ' υπο ῥῖπης πυρος ακριδες αͱερεθονται
φευγεμεναι ποταμονδε, το δε φλεγει ακαματον πυρ
ορμενον εκσαιφνης, ται δε πτῶσσοντι καθ' υϝδωρ·
ͱως ͱυπ' αχιλλεϝος χσανθοο βαθυδινεϝεντος
πλῆτο ροϝος κελαδων επιμιγς ͱιππων τε και ανδρων.

αϝταρ ͱο διϝογενης δορυ μεν λιπεν αϝτοϝ εφ' οχθῇ
κεκλιμενον μυρικῇσιν· ͱο δ' εσθορε, δαιμονι ϝεισϝος,
φασγανον οιον ͱεχων, κακα δε φρεσ' εμηδετο ϝεργα·
τυπτε δ' επιστροφαδην· των δε στονος ῶρνυτ' αϝεικης
αͱορι θεινομενων, ερυθαινετο δ' ͱαιματι ͱυϝδωρ.
ͱως δ' ͱυπο δελφῖνος μεγακητεος ͱιχθυες αλλοι
φευγοντες πιμπλαντι μυχοϝς λιμενος ͱεϋͱορμοο,
δεδδιοτες· μαλα γαρ τε κατεσθιει, ͱον κε λαβητιν·
ͱως τϱοϝες ποταμοϝο κατα δδεινοϝο ρεϝεθϱα
πτῶσσον ͱυπο κρημνοϝς· ͱο δ', επει καμε χειϱας ενͱαιϱων,
δσαϝοϝς εκ ποταμοϝο δυωδεκ' ελεγσατο κοϝροϝς,
ποινην πατροκλοϝο μενοιτιαδαϝο θανοντος·
τοϝς εκσῆγε θυραδσε τεθῆποτας, ηΰτε νεβροϝς,
δησε δ' οπισσῷ χειρας ͱεϋτμῆτοισιν ͱιμαντσιν,
τοϝς αϝτοι φορεεσκον επι στρεφτοισι χιτῶσιν·
δῶκε δ' ͱεταιροισιν καταγεεν κοιλας επι ναϝας·
αϝταϱ ͱογ' απς εποροϝσε, δαϝιδσεμεναι μενεαινων.

ενθ' ͱυϊι πϱιαμοϝο συνῆντετο δαρδανιδαϝο,
εκ ποταμοο φευγοντι, λυκαϝονι· τον ρα ποτ' αϝτος
ῆγε, λαβων εκ πατρος αλοϝης ουκ εθελοντα,
εννυχιος προμολων· ͱο δ' ερινεον ͱοκσυϊ χαλκῷ
ταμνε, νεϝοϝς οϱπηκας, ͱιν' ͱαρματος αντυγες ειεν·
τῷ δ' αρ' αοιϝιστον κακον ηλυθε διϝος αχιλλεϝς·
και τοτε μεν μιν λημνον ͱεϋκτιμενην επερασσεν,
ναϝσιν αγων· αταϱ ͱυιος ιησονος ῶνον εδῶκεν·
κειθεν δε χσεινος μιν ελυϝσατο, πολλα δ' εδῶκεν,
ιμβριος ηετιϝων, πεμπσεν δ' ες διϝαν αρισβην·
ενθεν ͱυπεκπϱοφυγων, πατϱοϝιον ͱικετο δῶμα.

ͱενδεκα δ' ͱηματα θυϝμον ετερπεθ' εϝοισι φιλοισιν,
ελθων εκ λημνοϝο· δυωδεκατῃ δε μιν αϝτις Φ
χερσιν αχιλλεϝος θεος ενβαλεν, ͱος μιν εμελλεν
πεμπσεμεν εις αϝιδαϝο, και ουκ εθελοντα νεεσθαι.
τον δ' ͱως ὢν ενοησε ποδαρκης διϝος αχιλλεϝς
γυμνον ατερ κορυθος τε και ασπιδος, ουδ' ͱεχεν ενχος,
αλλα τα μεν ρ' απο παντα χαμαι βαλ'· ετειρε γαρ ͱιδρῶς
φευγοντ' εκ ποταμοο, καματος δ' ͱυπο γουνϝατ' εδαμνα·
οχθησανς δ' αρ' εϝεσπε προς ͱον μεγαλητορα θυϝμον·
ω ποποι! η μεγα θαϝμα τοδ' οφθαλμοισιν ͱορῶμαι·
η μαλα δη τροϝες μεγαλητορες, ͱοϝσπερ επεφνον,
αϝτις αναστησονται ͱυπο δσοφοϝ ἦεροεντος·
ͱοιον δη και ͱοδ' ηλθε, φυγων ͱυπο νηλεες ͱημαρ,
λημνον ες αγαθεην πεπερῆμενος· ουδε μιν εσχεν
ποντος ͱαλος πολιης, ͱος πολλ' αͱεκοντας ερυκει.
αλλ' αγε δη και δορϝος ακωκης ͱημετεροϝο
γεύσεται, ͱοφρα ϝιδωμαι ενι φρεσιν, ηδε δαειω,
ἠ' αρ' ͱομως και κειθεν ελευθσεται, η μιν ερυκσει
γη φυϝσιδσαϝος, ͱητε κατα κρατερον περ' ερυκει.
ͱως ͱορμαινε μενων· ͱο δε ͱοι σχεδον ηλθε τεθῆπως,
γουνϝων ͱαπτσασθαι μεμαϝως· περι δ' ηθελε θυϝμῳ
εκφυγεεεν θανατον τε κακον και κηρα μελαιναν.
ητοι ͱο μεν δορυ μακρον ανεσχετο διϝος αχιλλεϝς,
ουταμεναι μεμαϝως· ͱο δ' ͱυπεδραμε και λαβε γουνϝων,
κυπτσανς· ενχειη δ' αρ' ͱυπερ νωτοϝ ενι γαιῃ
εστη, ͱιͱεμενη χροος ͱαδμεναι ανδρομεοϝο.
αϝταρ ͱο τῃ ͱετερῃ μεν ͱελων ελισσετο γουνϝων,
τῃ δ' ͱετερῃ ͱεχεν ενχος ακαχμενον, ουδε μεθιͱεεν·
γουνϝοομαι σ', αχιλεϝ· συ δε μ' αιδεο, και μ' ελεησον·
αντι τοι ἠμ' ͱικεταϝο, διοτρεφες, αιδοϊοϝο.
παρ γαρ σοι πρώτῳ πασαμην δημητερος ακτην,
ͱηματι τῷ, ͱοτε μ' ͱελλες ͱεϋκτιμενῃ εν αλοϝῃ,
και μ' επερασσας, ανευθεν αγων πατερος τε, φιλων τε,
λημνον ες αγαθεην· ͱεκατονβοϝιον δε τοι ἦλφον.
νῦν δ' ελυμην, τρις τοσα πορων· ἦως δε μοι εστιν
ͱηδε δυωδεκατη, ͱοτ' ες ϝιλϝιον ηλήλουθα,
πολλα παθων· νῦν αϝ με τεϝῆσ' εν χερσιν εθῆκεν
μοιρ' ολοϝη· μελλω ποϝ απεχθεσθαι διϊ πατρι,
ͱος με σοι αϝτις εδῶκε· μινυνθαδιον δε με μητηρ
γῆνατο λαϝοθοϝη, θυγατηρ αλταϝο γεροντος,
αλταϝο, ͱος λελεγεσι φιλοπτολεμοισι ϝανασσει,
πηδασον αιπῆεντσαν ͱεχων επι σατνιοεντι.
τοο δ' εχε θυγατερα πριαμος, πολλας δε και αλλας·
τησδε δυω γενομεσθα, συ δ' αμφω δειροτομησεις·
ητοι τον πρώτοισι μετα πρυλιεσ' εδαμασσας,
αντιθεον πολυδῶρον, επει βαλες ͱοκσυϊ δορϝι·

νῦν δε δη ενθαδε μοι κακον εσσεται· ου γαρ οἴϝω Φ
σας χειρας φευγσεσθαι, επει ρ᾽ επελασσε γε δαιμων.
αλλο δε τοι ϝερεω, συ δ᾽ ενι φρεσι βαλλεο σῇσιν·
μη με κτειν᾽, επει ουχ ομογαστριος ͱεκτορος ῆμι,
ͱος τοι ͱεταιρον επεφνεν ενηεα τε, κρατερον τε.
ͱως αρα μιν πριαμοϝο προσηῦϝδαε φαιδιμος ͱυιος,
λισσομενος ϝεπεσιν· ͱο δ᾽ αμειλικτον ϝοπ᾽ ακοϝσεν·
νηπιε! μη μοι αποινα πιφαϝσκεο, μηδ᾽ αγορεϝε·
πριν μεν γαρ πατροκλον εφεσπεμεν αισιμον ͱημαρ,
τοφρα τι μοι πεφιδεσθαι ενι φρεσι φιλτερον ῆεν
τροϝων, και πολλοϝς δσαϝοϝς ͱελον, ηδ᾽ επερασσα·
νῦν δ᾽ ουκ εσθ᾽, οστις θανατον φυγοι, ͱον κε θεος γε
ϝιλϝιοϝο προπαροιθεν εμῇσ᾽ εν χερσι βαλητιν,
και παντων τροϝων, περι δ᾽ αϝ πριαμοϝο γε παιδων.
αλλα, φιλος, θανε και συ· τιη ολοφυϝρεαι ͱοϝτως;
κατθανε πατροκλος, ͱοσπερ σεϝο πολλον αμεινων.
ουχ οραεις, ͱοιος και εγω, καλος τε, μεγας τε;
πατρος δ᾽ ῆμ᾽ αγαθοϝο, θεα δε μ᾽ εγῆνατο μητηρ·
αλλ᾽ επι τοι και εμοι θανατος και μοιρα κραταιη.
ͱως φατο· τοο δ᾽ αϝτοο λυτο γουϝατα και φιλον ητορ.
ενχος μεν ρ᾽ απεͱῆκεν, ͱο δ᾽ ͱεδσετο χειρε πετασσανς
αμφοτερας· αχιλεϝς δε ϝερυσσαμενος χσιφος ͱοκσυ
τυπτσε κατα κλεϝιδα παρ᾽ αϝχενα· παν δε ͱοι εισῳ
δῦ χσιφος αμφηκες· ͱο δ᾽ αρα πρηνης επι γαιῃ
κειτο ταθενς· εκ δ᾽ ͱαιμα μελαν ρεϝε, δευε δε γαιαν.
τον δ᾽ αχιλεϝς ποταμονδε, λαβων ποδος, ͱηκε φερεσθαι,
και ͱοι επευχομενος ϝεπεα πτεροεντ᾽ αγορεϝεν·
ενταϝθοι νῦν κεισο μεθ᾽ ιχθυσιν, ͱοι σ᾽ ὧτειλης
ͱαιμ᾽ απολιχμῆσονται, ακηδεες· ουδε σε μητηρ
ενθεμενη λεχεεσι γοῆσεται· αλλα καμανδρος
ͱοισει δινεϝενς εισῳ ͱαλος ευρυα κολπον.
θρῶσκων τις κατα κυϝμα μελαιναν φρῖχ᾽ υπαλυκσει
ͱιχθυς, ͱος κε φαγητι λυκαϝονος αργετα δημον.
ͱως αρ᾽ εφη· ποταμος δ᾽ εχολῶσατο κεαροθι μαλλον·
ͱορμῆνεν δ᾽ ανα θυϝμον, ͱοπως παϝσειε πονοϝο
διϝον αχιλλεϝα, τροϝεσι δε λοιγον αλαλκοι.
τοφρα δε πηλεϝος ͱυιος, ͱεχων δολιχοσκιον ενχος,
αστεροπαιῳ εφαλτο, κατακταμεναι μενεαινων,
ͱυιῐ πηλεγονος· τον δ᾽ αγσιος ευρυρεϝεθρος
γῆνατο, και περιβοϝια, ακεσσαμενοϝο θυγατρων
πρεσβυτατη· τῇ γαρ ρ᾽ εμιγη ποταμος βαθυδινης.
τῳ ρ᾽ αχιλεϝς εποροϝσεν· ͱο δ᾽ αντιος εκ ποταμοϝο
εστη, ͱεχων δυο δορϝε· μενος δε ͱοι εν φρεσ᾽ εθῆκεν
χσανθος, επει κεχολῶτο δαϝι κταμενων αιδσηων,
τοϝς αχιλεϝς εδαϝιδσε κατα ροϝον, ουδ᾽ ελεαιρεν.
ͱοι δ᾽ ͱοτε δη σχεδον ῆσαν επ᾽ αλληλοισιν ιοντες,

τον προτερος προσεϝεσπε ποδαρκης διϝος αχιλλεϝς· Φ
τις, ποθεν εσσ᾽ ανδρων, ͱος μεο τλης αντιος ελθεεν;
δυστηνων δε τε παιδες εμῳ̃ μενει αντιαοντιν.
τον δ᾽ αϝ πηλεγονος προσεφω̃νεε φαιδιμος ͱυιος·
ειμ᾽ εκ παιονιης εριβω̃λοϝο, τηλοθ᾽ εουτσης,
παιονας ανδρας αγων δολιχενχεας· ͱηδε δε μοι νυ̃ν
ἠ̃ως ͱενδεκατη, ͱοτ᾽ ες ϝιλϝιον ηληλουθα·
αϝταρ εμοι γενεη εκς αγσιοϝ ευρυ ρεϝοντος,
ͱος τεκε πηλεγονα κλυτον ενχεϊ· τον δε με φαντιν
γη̃νασθαι· νυ̃ν αϝτε μαχωμεθα, φαιδιμ᾽ αχιλλεϝ.
ͱως φατ᾽ απειλησανς· ͱο δ᾽ ανεσχετο διϝος αχιλλεϝς
πηλιαδα μελιην· ͱο δ᾽ ͱαμαρτῃ̃ δορϝασιν αμφις
ͱηρως αστεροπαιος, επει περιδεχσιος ἠ̃εν·
και ρ᾽ ͱετερῳ μεν δορϝι σακος βαλεν, ουδε δια προ
ϝρη̃γσε σακος· χρυσος γαρ ερυκακε, δω̃ρα θεοϝο·
τῳ̃ δ᾽ ͱετερῳ̃ μιν πηχυν επιγραβδην βαλε χειρος
δεχσιτερης, σσυτο δ᾽ ͱαιμα κελαινεφες· ͱη δ᾽ ͱυπερ αϝτοο
γαιῃ̃ ενεστηρικτο, λιλαϝομενη χροος ͱαδσαι.
δεϝτερος αϝτ᾽ αχιλεϝς μελιην ιθυπτιϝω̃να
αστεροπαιῳ̃ εφη̃κε, κατακταμεναι μενεαινων·
και τοϝο μεν ρ᾽ απαμαρτεν· ͱο δ᾽ ͱυπσηλην βαλεν ͱοχθην,
μεσσοπαγες δ᾽ αρ᾽ εθη̃κε καθ᾽ οχθης μειλινον ενχος.
πηλεϝιδης δ᾽, αͱορ ͱοκσυ ϝερυσσαμενος παρα μηροο,
ͱαλτ᾽ επι ͱοι μεμαϝως· ͱο δ᾽ αρα μελιην αχιλεϝος
ου δυνατ᾽ εκ κρη̃μνοϝο ϝερυσσαι χειρι παχυιῃ̃·
τρις μεν μιν πελεμικσε ϝερυσσασθαι μενεαινων,
τρις δε μεθη̃κε βιῃ̃· το δε τετρατον, ηθελε θυϝμῳ̃
ϝανγσαι επιγναμπτσανς δορυ μειλινον αιϝακιδαϝο,
αλλα πριν αχιλεϝς σχεδον αͱορι θυϝμον απη̃ϝρα·
γαστερα γαρ μιν ετυπτσε παρ᾽ ομφαλον· εκ δ᾽ αρα παντσαι
χυ̃ντο χαμαι χολαδες· τον δε σκοτος οσσ᾽ εκαλυπτσεν
ασθμαινοντ᾽· αχιλεϝς δ᾽ αρ᾽ ενι στηθεσσιν οροϝσανς,
τευχεα τ᾽ εκσεναρικσε, και ευχομενος ϝεπος ἠ̃υϝδα·
κεισ᾽ ͱοϝτῳ̃· χαλεπον τοι ερισθενεος κρονιϝω̃νος
παιδσιν εριδσεμεναι, ποταμοϝο περ εκγεγαω̃τι.
φησθα συ μεν ποταμοο γενος εσμεναι ευρυ ρεϝοντος·
αϝταρ εγω γενεην μεγαλοο διος ευχομαι εεναι·
τικτε μ᾽ ανηρ, πολλοισι ϝανασσων μυρμιδονεσιν,
πηλεϝς αιϝακιδης· ͱο δ᾽ αρ᾽ αιϝακος εκ διος ἠ̃εν·
τῳ̃ κρεισσων μεν δσεϝς ποταμων ͱαλιμυϝρη̃εντων·
κρεισσων δ᾽ αϝτε διος γενεη ποταμοϝο τετυχται.
και γαρ σοι ποταμος γε παρα μεγας, ει δυναται τι
χραϝσμεεν· αλλ᾽ ουκ εστι διϊ κρονιϝω̃νι μαχεσθαι·
τῳ̃ ουδε κρεϝων αχελοϝος ϝεισϝοφαριδσει,
ουδε βαθυρεϝταϝο μεγα σθενος ωκεανοϝο,
εκς ͱοϝοπερ παντες ποταμοι, και παντσα θαλασσα,

και παντσαι κρῆναι, και φρεϝατα μακρα ναϝοντιν· Φ
αλλα και hως δεδδοιδκε διος μεγαλοϝο κεραυνον,
δδεινην τε βροντην, hοτ' απ' ουρανοθεν σμαραγητιν.
ἦ ρα, και εκ κρημνοϝ' εϝερυσσατο χαλκεον ενχος.
τον δε κατ' αϝτοθ' ελειπεν, επει φιλον ητορ απῆϝρα,
κειμενον εν πσαμαθοισ', εδιαινε δε μιν μελαν hυϝδωρ.
τον μεν αρ' ενχελυες τε και hιχθυες αμφ' επενοντο,
δημον ερεπτομενοι επινεφριδιον κειροντες.
αϝταρ hο βη ρ' ιμεναι μετα παιονας hιπποκορυστας,
hοι ρ' ετι παρ ποταμον πεφοβῆατο δινεϝεντα,
hως ϝειδον τον αριστον ενι κρατερῆ hυσμινῆ
χερσ' hυπο πηλεϝιδαϝο και αhορι ϝῖφι δαμεντα.
ενθ' hελε θερσιλοχον τε, μυδῶνα τε, ϝαστυπυλον τε,
μνῆσον τε, θρασιον τε, και αινιον, ηδ' οφελεστην·
και νυ κ' ετι πλεονας κτανε παιονας ὦκυς αχιλλεϝς,
ει μη χωσαμενος προσεφη ποταμος βαθυδινης· 212
ω αχιλεϝ, περι μεν κρατεεις, περι δ' αισυλα ρεδσεις 214
ανδρων· αιϝει γαρ τοι αμυϝνοντιν θεοι αϝτοι.
ει τοι τροϝας εδῶκε κρονοο παις παντας ολεσσαι,
εκς εμεθεν γ' ελασανς, πεδιον κατα μερμερα ρεδσε·
πληθει γαρ δη μοι νεκυων ερατεινα ρεϝεθρα,
ουδε τι πῆ δυναμαι προχεϝεεν ροϝον εις hαλα διϝαν,
στεινομενος νεκυεσι· συ δε κτεινεις αϝιδηλως.
αλλ' αγε δη και εϝᾶσον· αγη μ' hεχει, ορχαμε λαϝων.
τον δ' απαμειβομενος προσεφη ποδας ὦκυς αχιλλεϝς·
εσται ταϝτα, καμανδρε διοτρεφες, hως συ κελεϝεις·
τροϝας δ' ου πριν ληγσω hυπερφιαλοϝς εναριδσων,
πριν ϝελϝσαι κατα ϝαστυ, και hεκτορι πειρῆθηναι
αντιβιην, η κεν με δαμασσεται, η κεν εγω τον.
hως ϝεσπων, τροϝεσιν επεσσυτο, δαιμονι ϝεισϝος, 227
κρημνοϝ' απαhικσανς· hο δ' επεσσυτο, hοιδματι θυϝων· 234
παντα δ' ορινε ρεϝεθρα κυκῶμενος· ὦθσε δε νεκροϝς
πολλοϝς, hοι ρα κατ' αϝτον hαλις εσαν, hοϝς κταν' αχιλλεϝς·
τοϝς εκβαλλε θυραδσε, μεμυκκως ηΰτε ταυρος,
χερσονδε· δσαϝοϝς δ' εσαω κατα καλα ρεϝεθρα,
κρυπτων εν δινῆσι βαθυιῆσιν μεγαλῆσιν
δδεινον δ' αμφ' αχιλεϝα κυκῶμενον hιστατο κυϝμα,
ὦθεε δ' εν σακεϊ πιπτων ροϝος, ουδε ποδεσιν
ηϝᾶ στηρικσασθαι· hο δε πτελεην hελε χερσιν
hευφυϝεα, μεγαλην· hη δ' εκ ϝριδσων εριπουτσα
κρημνον hαπαντα διῶθσεν, επεσχε δε καλα ρεϝεθρα
οδσοισιν πυκινοισι· γεφυϝρωσεν δε μιν αϝτον,
εισω πάντσ' εριπουτσ'· hο δ' αρ' εκ λιμνης ανορϝσανς,
ῆhικσεν πεδιοϝο ποσι κραιπνοισι πετεσθαι,
δδειδσανς· ουδ' ετ' εληγε μεγας θεος, ὦρτο δ' επ' αϝτον
ακροκελαινιαων, hινα μιν παϝσειε πονοϝο. 249

πηλεϝιδης δ' αποροϝσεν, ͱοσον τ' επι δορϝος εροϝη, 251
αιετοϝ' ͱοιμαθ' ͱεχων μελανος, τοϝο θηρεϝτηρος, Φ
ͱος θ' αμα καρτιστος τε και ὤκιστος πετεηνων·
τῷ ϝεϝικως ῆͱικσεν· επι στηθεσσι δε χαλκος
σμερδαλεον κοναβιδσεν· ͱυπαιθα δε τοϝο λιϝασθεις 255
φευγ', ͱο δ' οπισθε ρεϝων ͱεπετο μεγαλῳ ορυμαγδῳ.
ͱως δ' ͱοτ' ανηρ ͱοχετῆγος απο κρῆνης μελανͱυϝδροο
αν φυτα και κηποϝς ͱυδατος ροϝον ͱηγεμονεϝῃ,
χερσι μακελλαν ͱεχων, ͱαμαρης δ' εκς ͱεχματα βαλλων·
τοο μεν τε προρεϝοντος, ͱυπο πσηφῖδες ͱαπαντσαι 260
οχλεονται, το δε τ' ὦκα κατειβομενον κελαρυδσει
χῶρῳ ενι προͱαλει, φθανεει δε τε και τον αγοντα·
ͱως αιϝει αχιλεϝ' εκιχησατο κυϝμα ροϝοϝο,
και λαιπσηρον εοντα· θεοι δε τε φερτεροι ανδρων.
ͱοσακι δ' ͱορμῆσειε ποδαρκης διϝος αχιλλεϝς 265
στηναι εναντιβιον, και γνῶμεναι, ει μιν ͱαπαντες
αθανατοι φοβεοντι, τοι ουρανον ευρυν ͱεχοντιν,
τοσακι μιν μεγα κυϝμα διϊπετεος ποταμοϝο
πλαδσ' ωμοϝς καθυπερθεν· ͱο δ' ͱυπσοσε ποδσιν επηδα,
θυϝμῷ ανιϝαδσων· ποταμος δ' ͱυπο γουϝατ' εδαμνα 270
λαβρος, ͱυπαιθα ρεϝων, κονιϝην δ' ͱυπερεπτε ποδοιῖν·
πηλεϝιδης δ' ῴμωγσε, ϝιδων εις ουρανον ευρυν·
δσεϝ πατερ, ͱως ουτις με θεων ελεεινον ͱυπεστη
εκ ποταμοϝο σαῶσαι! επειτα δε και τι παθοιμι. 274
ͱως μ' οφελ' ͱεκτωρ κτῆναι, ͱος ενθαδε γ' ετραφ' αριστος! 279
τῷ κ' αγαθον μεν επεφν', αγαθος δε κεν εκσεναρικσεν· 280
νῦν δε με λευγαλεῳ θανατῳ εμεμαρτο ͱαλῶναι,
ϝερχθεντ' εν μεγαλῳ ποταμῳ, ͱως παιδα συφορβον,
ͱον ρα τ' εναϝλος αποϝερσῃ χειμῶνι περῶντα.
ͱως φατο· τῷ δε μαλ' ὦκα ποσειδαϝων και αθηνη
στητην εγγυς ιοντε, δεμας δ' ανδρεσ' εϝεϊκτην· 285
χειρι δε χειρα λαβοντες επιθτῶσαντο ϝεπεσσιν· 286
πηλεϝιδη, μητ' αρ τι λιϝην τρεε, μητι τι ταρβεε· 288
τοιω γαρ τοι νοϝι θεων επιταρροθω εσμεν· 289
ͱως ου τοι ποταμῷ γε δαμημεναι αισιμον εστιν· 291
αλλ' ͱοδε μεν ταχα λωφῆσει, συ δε ϝειδσεαι αϝτος. 292
τω μεν αρ' ͱως ϝεσποντε μετ' αθανατοϝς απεβητην· 298
αϝταρ ͱο βη, μεγα γαρ ρα θεων ὦτρυϝνεν εφετμη,
ες πεδιον· το δε παν πληθ' υϝδατος εκχυμενοϝο· 300
πολλα δε τευχεα καλα δαϝι κταμενων αιδσηων
πλοϝον, και νεκυες· τοϝο δ' ͱυπσοσε γουϝατ' επηδα
προς ροϝον αͱισσοντος αν' ιθυν· ουδε μιν εσχεν
ευρυ ρεϝων ποταμος· μεγα γαρ σθενος ενβαλ' αθηνη·
ουδε καμανδρος εληγεν ͱεϝον μενος, αλλ' ετι μαλλον 305
χωετο πηλεϝιϝῶνι, κορυσσε δε κυϝμα ροϝοϝο,
ͱυπσοσ' αͱειρομενος· σιμοεντι δ' εκεκλετ' αϝυϝσανς·

*φιλε κασιγνῆτε, σθενος ανερος αμφοτεροι περ* Φ
*σχωμεν, επει ταχα ϝαστυ μεγα πριαμοιο ϝανακτος*
*εκπερθσει, τροϝες δε κατα μοθον ου μενεοντιν·*
*αλλ᾽ επαμυϝνε ταχιστα, και ενπιπληθι ρεϝεθρα*
*ͱυϝδατος εκ πηγεων, παντας δ᾽ οροθυϝνον εναϝλοϝς·*
*ͱισταε δε μεγα κυϝμα· πολυν δ᾽ ορυμαγδον ορινε*
*φιτρων και λαϝων, ͱινα παϝσομεν αγριον ανδρα,*
*ͱος δη νῦν κρατεει, μεμονεν δ᾽ ͱογε ϝεισϝα θεοισιν.*
*φημι γαρ ουτε βιην χραϝσμησεμεν, ουτε τι ϝειδος,*
*ουτε τα τευχεα καλα, τα ποο μαλα νεϝοθι λιμνης*
*κεισεθ᾽ υπο ϝιλϝυος κεκαλυπμενα· κατ δε μιν αϝτον*
*ϝελϝῦσω πσαμαθοισιν, ͱαλις χεραδος περιχεϝσανς*
*μυϝριον, ουδε ͱοι οστε᾽ επιστησονται αχαιϝοι*
*ανλεγσαι· τοσην ͱοι ασιν καθυπερθε καλυπτσω.*
*αϝτοιο ͱοι και σημα τετευχσεται, ουδε τι χρεϝω*
*εσται τυμβοχοϝης, ͱοτε μιν θαπτωντιν αχαιϝοι.*
*ῆ, και επῶρτ᾽ αχιλεϝι κυκώμενος, ͱυπσοσε θυϝων,*
*μορμυϝρων αφρῷ τε, και ͱαιματι, και νεκυεσιν.*
*πορφυρεον δ᾽ αρα κυϝμα διϊπετεος ποταμοιο*
*ͱιστατ᾽ αϝειρομενον, κατα δ᾽ ͱαιρεε πηλεϝιϝῶνα.*
*ͱηρη δε μεγ᾽ αϝυϝσε, περιδδειδσαντσ᾽ αχιλεϝι,*
*μη μιν αποϝερσειε μεγας ποταμος βαθυδινης·*
*αϝτικα δ᾽ ͱηφαιστον προσεφῶνε᾽ ͱεϝον φιλον ͱυιον·*
*ορσεο, κυλλοποδιϝον, εμον τεκος· αντα σεθεν γαρ*
*χσανθον δινεϝεντα μαχῃ ϝεϊσκομεν εεναι·*
*αλλ᾽ επαμυϝνε ταχιστα, πιφαϝσκεο δε φλογα πολλην·*
*αϝταρ εγω δσεφυροιο και αργεσταϝο νοτοιο*
*εισομαι εκς ͱαλοθεν χαλεπην ορσοντσα θυϝελλαν,*
*ͱη κεν απο τροϝων κεφαλας και τευχεα κῆαι,*
*φλεγμα κακον φορεοντσα· συ δε χσανθοιο παρ᾽ ͱοχθας*
*δενδρεα καϝ᾽, εν δ᾽ αϝτον ͱιϝεε πυρι· μηδε σε πανπαν*
*μειλιχιοισι ϝεπεσσιν αποτρεπετω και αρειῃ·*
*μηδε πριν γ᾽ αποπαϝε τεϝον μενος, αλλ᾽ ͱοποτ᾽ αν δη*
*φθενγσομ᾽ εγω ϝιϝαχοντσα, τοτε σχεμεν ακαματον πυρ.*
*ͱως εφαθ᾽· ηφαιστος δε τιτυσκετο θεσπιδαϝες πυρ.*
*πρῶτα μεν εν πεδιῳ πυρ δαϝετο, καϝε δε νεκροϝς·*
*παν δ᾽ εχσηρᾶνθη πεδιον, σχετο δ᾽ αγλαϝον ͱυϝδωρ.*
*ͱως δ᾽ ͱοτ᾽ οπωρεινος βορεης νεϝοϝαρδε᾽ αλοϝην*
*αιπσα χσηραινῃ, χαιρει δε μιν ͱοστις ϝεθειρῃ·*
*ͱως εχσηρᾶνθη πεδιον παν, κατ δ᾽ αρα νεκροϝς*
*κῆεν, ͱο δ᾽ ες ποταμον τρεπσε φλογα πανφαναοντσαν·*
*καϝοντο πτελεαι, και ϝιτεαι, ηδε μυρικαι,*
*καϝετο δε λωτος τ᾽, ηδε θρυον, ηδε κυπειρον,*
*τα περι καλα ρεϝεθρα ͱαλις ποταμοιο επεφυϝκεεν·*
*τειροντ᾽ ενχελυες τε, και ͱιχθυες, ͱοι κατα δινας,*
*ͱοι κατα καλα ρεϝεθρα κυβισταον ενθα και ενθα,*

πνοϝῇ τειρομενοι πολυμητιος hηφαιστοϝο.
καϝετο ϝις ποταμοϝο, ϝεπος τ' εφατ', εκ τ' ονομαδσεν· Φ
hηφαιστ', ουτις σοιγε θεων δυνατ' αντιφεριδσεεν,
ουδ' αν εγω σοιγ' hῷδε πυρι φλεγεθοντι μαχοιμην·
ληγ' εριδος· τροϝας δε και αϝτικα διϝος αχιλλεϝς
ϝαστυϝος εκσελασειε· τι μοι εριδος και αρωγης;
φη πυρι καϝομενος· ανα δ' εφλυϝε καλα ρεϝεθρα.
hως δε λεβης δσεϝει ενδον, επειγομενος πυρι πολλῷ,
κνισσην μελδομενος hαπαλοτρεφεος σιϝαλοϝο,
παντοθεν ανβολαδην, hυπο δε χσυλα κανκανα κειται·
hως τοϝο καλα ρεϝεθρα πυρι φλεγετ', εδσεϝε δ' hυϝδωρ·
ουδ' εθελε προρεϝεεν, αλλ' hισχετ'· ετειρε δ' αϝυτμη,
hηφαιστοϝο βιηφι πολυφρονος· αϝταρ hογ' hηρην,
πολλα λισσομενος, ϝεπεα πτεροεντα προσηῦϝδα·
hηρη, τιπτε σος hυιος εμον ροϝον εχραϝε κηδεεν
εκς αλλων; ου μεν τοι εγω τοσον αιτιος ἦμι,
hοσον hοι αλλοι παντες, hοσοι τροϝεσιν αρωγοι.
αλλ' ητοι μεν εγων αποπαϝσομαι, ει συ κελεϝεις·
παϝεσθω δε και hοϝτος· εγω δ' επι και τοδ' ομοομαι,
μη ποτ' επι τροϝεσιν αλεκσησεεν κακον hημαρ,
μηδ' hοποτ' αν τροϝιη μαλερῷ πυρι παντσα δαϝηται
καϝομενη, καϝωντι δ' αρεϝιοι hυιες αχαιϝων.
αϝταρ επει τογ' ακοϝσε θεα λεϝκωλενος hηρη,
αϝτικ' αρ' hηφαιστον προσεφωνε' hεϝον φιλον hυιον·
hηφαιστε, σχεο, τεκνον αγακλεες· ου γαρ ϝεϝοικεν
αθανατον θεον hῷδε βροτων hενεκα στυφελιδσεεν.
hως εφαθ'· ηφαιστος δε κατεσβεσε θεσπιδαϝες πυρ·
απσοροϝον δ' αρα κυϝμα κατεσσυτο καλα ρεϝεθρα.
αϝταρ επει χσανθοϝ' εδαμη μενος, hοι μεν επειτα
παϝσασθην· hηρη γαρ ερυκακεν. αϝταρ αχιλλεϝς 384
τροϝας hομως αϝτοϝς τ' ολεκεν και μωνυχας hιπποϝς. 521
hως δ' hοτε καπνος ιων εις ουρανον ευρυν hικανει
ϝαστυϝος αιθομενοϝο, θεων δε hε μηνις ανhῆκεν·
παντσι δ' εθῆκε πονον, πολλοισι δε κηδε' εφῆκεν·
hως αχιλεϝς τροϝεσι πονον και κηδε' εθῆκεν.
hεστηκεε δ' hο γερων πριαμος θειοϝ' επι πυργοο,
ες δ' ενοησ' αχιλεϝα πελωριον· αϝταρ hυπ' αϝτοο
τροϝες hαφαρ κλονεοντο πεφυδσοτες, ουδε τις αλκη
γιγνεθ'· ο δ' οιμωγσανς απο πυργοϝ' εβαινε χαμαδσε,
οτρυνεων παρα τειχος αγακλειτοϝς πυλαῶροϝς·
πεπταμενας εν χερσι πυλας hεχετ', εις hο κε λαϝοι
ελθωντι προτι ϝαστυ πεφυδσοτες· η γαρ αχιλλεϝς
ενγυς hοδε κλονεων· νῦν οιϝω λοιγι' εσεσθαι·
αϝταρ επει κ' ες τειχος αναπνεϝσωντιν hαλεντες,
αϝτις επ' απς θεμεναι σανιδας πυκινως αραρυιας·
δεδδια γαρ, μη ολοϝος ανηρ ες τειχος hαληται.

ͱως εφαθ'· οι δ' ανͱεσαν τε πυλας, και απῶθσαν ͱοχεϝας·
ͱαι δε πετασθενσαι τευχσαν φαϝος. αϝταρ απολλων Φ
αντιος εκσεθορε, τροϝων ͱινα λοιγον αλαλκοι.
ͱοι δ' ιθυς πολιος και τειχεος ͱυπσηλοϝο,
διπσῇ καρχαλεοι, κεκονιϝμενοι, εκ πεδιοϝο
φευγον· ͱο δε σφεδανον εφεπ' ενχεϊ· λυσσα δε ͱοι κεαρ
αιϝεν ͱεχε κρατερη, μενεαινε δε κυϝδος ͱαρεσθαι.
ενθα κεν ͱυπσιπυλον τροϝιην ͱελον ͱυιες αχαιϝων,
ει μη απολλων φοιβος αγῆνορα διϝον ανͱῆκεν,
φῶτ', αντῆνορος ͱυιον, αμυϝμονα τε, κρατερον τε.
εν μεν ͱοι κραδιῃ θαρσος βαλε, παρ δε ͱοι αϝτος
εστη, ͱοπως θανατοϝο βαρυιας χειρας αλαλκοι,
φηγῷ κεκλιμενος· κεκαλυπτο δ' αρ' ῆερι πολλῇ.
αϝταρ ͱογ', ͱως ενοησεν αχιλλεϝα πτολιπορθον,
εστη, πολλα δε ͱοι κραδιη πορφυϝρε μενοντι·
οχθησανς δ' αρ' εϝεσπε προς ͱον μεγαλητορα θυϝμον·
ω μοι εγων, ει μεν κεν ͱυπο κρατεροϝ' αχιλεϝος
φευγω, τῇπερ ͱοι αλλοι ατυδσομενοι φοβεονται,
ͱαιρησει με και ͱως, και ααλκιδα δειροτομησει·
ει δ' αν εγω τοϝτοϝς μεν ͱυποκλονεεσθαι εϝᾶσω
πηλεϝιδῃ αχιλεϝι, ποσιν δ' απο τειχεος αλλῇ
φευγω προς πεδιον ϝιλϝεϝιον, ͱοφρ' αν ͱικωμαι
ιδης τε κνημοϝς, κατα τε ρωπῆϊα δυϝω,
ϝεσπεριος δ' αν επειτα λοϝεσσαμενος ποταμοϝο,
ͱιδρο' αποπσυϝχθενς, ποτι ϝιλϝιον απονεοιμην.
αλλα τιη μοι ταϝτα φιλος διελεγσατο θυϝμος;
μη μ' απαͱειρομενον πολιος πεδιονδε νοησῃ,
και με μεταͱικσανς μαρπτσητι ταχυσσι ποδεσσιν·
ουκ ετ' επειτ' εσσεται θανατον και κηρας αλυκσαι·
λιϝην γαρ κρατερος περι παντων εστ' ανθρωπων.
ει δε κεν ͱοι προπαροιθε πολιος κατεναντιον ελθω·
και γαρ θην τοϝτῳ τρῶτος χρῶς ͱοκσυϊ χαλκῷ,
εν δε μια πσυϝχη, θνῆτον δε ͱε φαντ' ανθρωποι.
ͱως ϝεσπων, αχιλεϝα ͱαλενς μενεν· εν δε ͱοι ητορ
αλκιμον ͱορμαετο πτολεμιδσεμεν ηδε μαχεσθαι.
ηΰτε παρδαλις ειτι βαθυιης εκ χσυλοχοϝο
ανδρος θηρεϝτηρος εναντιον, ουδε τι θυϝμῷ
ταρβεει, ουδε φοβεεται, επει κεν ͱυλαγμον ακοϝσῃ·
ειπερ γαρ φθαμενος μιν η ουτασῃ, ηε βαλητιν,
αλλα τε και περι δορϝι πεπαρμενη ουκ απολληγει
αλκης, πριν γ' ηε γσυνβλῆμεναι, ηε δαμῆναι·
ͱως αντῆνορος ͱυιος αγαϝοϝο, διϝος αγῆνωρ,
ουκ εθελεν φευγεεν, πριν πειρῆσαιτ' αχιλεϝος.
αλλ' ͱογ' αρ' ασπιδα μεν προσθ' εσχετο παντοσε ϝεισϝην,
ενχειῃ δ' αϝτοϝο τιτυσκετο, και μεγ' αͱυϝτεεν·
η δη ποο μαλ' ͱεͱολπας ενι φρεσι, φαιδιμ' αχιλλεϝ,

ͱηματι τῳδε πολιν περθσεεν τροϝων αγερωχων· Φ
νηπυτι! η τ' ετι πολλα τετευχσεται αλγε' επ' αϝτῃ·
εν γαρ ͱοι πολυες τε και αλκιμοι ανερες εσμεν.
ῆ ρα, και ͱοκσυν ακοντα βαρυιης χειρος αφῆκεν·
και ρ' εβαλε κνημην ͱυπο γονϝατος, ουδ' απαμαρτεν·
αμφι δε μιν κνημις νεοτευχτοϝο κασσιτεροϝο
σμερδαλεον κοναβησε· παλιν δ' απο χαλκος οροϝσεν
βλῆμενοϝ', ουδ' επερῆσε· θεοο δ' ηρυκακε δῶρα.
πηλεϝιδης δ' ͱορμῆσατ' αγῆνορος αντιθεοϝο
δεϝτερος· ουδ' ετ' εϝᾶσεν απολλων κυϝδος ͱαρεσθαι,
αλλα μιν εκσͱαρπακσ', εκαλυπτσε δ' αρ' ῆερι πολλῇ,
ͱησυχιον δ' αρα μιν πολεμοϝ' εκπεμπε νεεσθαι.
αϝταρ ͱο πηλεϝιϝῶνα δολῳ αποͱεργαθε λαϝοο·
αϝτῳ γαρ ͱεκαϝεργος, αγῆνορι παντα ϝεϝοικως,
εστη προσθε ποδων, ͱο δ' επεσσυτο ποδσι διῶκεεν.
ͱεϝος ͱο τον πεδιοϝο διωκετο πυϝροφοροϝο,
τρεπσανς παρ ποταμον βαθυδινεϝεντα καμανδρον,
τυτθον ͱυπεκπροθεϝοντα· δολῳ δ' αρ' εθελγεν απολλων,
ͱως αιϝει ͱελποιτο κιχησεσθαι ποσ' ͱεϝοισιν·
τοφρ' αλλοι τροϝες πεφοβημενοι ηλθον ͱομιλϝῳ
ασπασιοι προτι ϝαστυ· πολις δ' ενπλητο ͱαλεντων.
ουδ' αρα τοι γ' ετλᾶν πολιος και τειχεος εκτος
μῆναι ετ' αλληλοϝς, και γνῶμεναι, ͱος τε πεφευγοι,
ͱος τ' εθαν' εν πολεμῳ· αλλ' ασπασιως εσεχῦντο.
ͱως ͱοι μεν κατα ϝαστυ πεφυδσοτες, ηΰτε νεβροι, Χ
ͱιδρο' απεπσυϝχοντ', επιϝον τ', ακεοντο τε διπσαν,
κεκλιμενοι καλῇσιν επαλκσεσιν· αϝταρ αχαιϝοι
τειχεος ασσον ισαν, σακε' ωμοισι κλῖναντες.
ͱεκτορα δ' αϝτοϝο μῆναι ολοϝη μοιρ' επεδησεν
ϝιλϝιοϝο προπαροιθε, πυλαϝων τε σκαιαϝων.
αϝταρ πηλεϝιϝῶνα προσηϋδαε φοιβος απολλων·
τιπτε με, πηλεϝος ͱυιε, ποσιν ταχυεσι διῶκεις,
αϝτος θνῆτος εων θεον ανβροτον; ουδε νυ πῳ με
εγνῶς, ͱως θεος ῆμι, συ δ' ασπερχες μενεαινεις.
τον δε μεγ' οχθησανς προσεφη ποδας ῶκυς αχιλλεϝς·
εβλαπτσας μ', ͱεκαϝεργε, θεων ολοϝωτατε παντων,
ενθαδε νῦν τρεπσανς απο τειχεος· η κ' ετι πολλοι
γαιαν οδακς ͱελλον, πριν ϝιλϝιον εισαφικεσθαι.
νῦν δ' εμε μεν μεγα κυϝδος αφελλεο, τοϝς δ' εσαῶσας
ρεϝιδιως, επει ουτι τισιν γ' εδδειδσας οπισσῳ·
η σ' αν τιϝσαιμην, ει μοι δυναμις γε παρειη.
ͱως ϝεσπων, προτι ϝαστυ μεγα φρονεων εβεβηκεεν,
σσεϝσαμενος, ͱωσθ' ιππος αϝεθλοφορος γσυν ͱοχεσσιν,
ͱος ρα τε ρεϝα θεϝητι τιταινομενος πεδιοϝο·
ͱως αχιλεϝς λαιπσηρα ποδας και γουϝατ' ενωμα.
τον δ' ͱο γερων πριαμος πρῶτος ϝιδεν οφθαλμοισιν,

πανφαινονθ᾽, ωστ᾽ αστερ᾽, επεσσυμενον πεδιοϝο, X
ͱος ρα τ᾽ οπωρης ειτιν· αριδσηλοι δε ͱοι αϝγαι
φαινονται πολλοισι μετ᾽ αστρεσι νυκτος αμολγῷ·
ͱον τε κυν᾽ ωαριϝῶνος επικλῆσιν καλεοντιν·
λαμπροτατος μεν ͱογ᾽ εστι, κακον δε τε σημα τετυχται,
και τε φερει πολλον πυρετον δδειλοισι βροτοισιν·
ͱως τοϝο χαλκος ελαμπε περι στηθεσσι θεϝοντος.
ῷμωγσεν δ᾽ ͱο γερων, κεφαλην δ᾽ ͱογ᾽ εκοπτσατο χερσιν,
ͱυπσοσ᾽ ανασχομενος, μεγα δ᾽ οιμωγσανς εγεγωνεν,
λισσομενος φιλον ͱυιον· ͱο δε προπαροιθε πυλαϝων
ͱεστηκεεν, αμοτον μεμαϝως αχιλεϝι μαχεσθαι·
τον δ᾽ ͱο γερων ελεεινα προσῆυϝδαε, χειρας ορεγνυνς·
ͱεκτορ, μη μοι μιμνε, φιλον τεκος, ανερα τοϝτον
οιος, ανευθ᾽ αλλων· ͱινα μη ταχα ποτμον εφεσπῃς,
πηλεϝιϝῶνι δαμενς· επει η πολυ φερτερος εστιν.
σχετλιος! αιθε θεοισι φιλος τοσονδε γενοιτο,
ͱοσον εμοι· ταχα κεν ͱε κυνες και γυϝπες εδοιεν
κειμενον· η κε μοι αινον απο πραπιδων αχος ελθοι·
ͱος μ᾽ υἵων πολλων τε και εσθλων ευνιν εθῆκεν,
κτεινων, και περνανς νησων επι τηλεδαπαϝων.
και γαρ νῦν δυο παιδε λυκαϝονα και πολυδῶρον
ου δυναμαι ϝιδεεεν, τροϝων εις ϝαστυ ͱαλεντων,
τοϝς μοι λαϝοθοϝη τεκετο, κρεϝοντσα γυναικων.
αλλ᾽ ει μεν δσαϝοντι μετα στρατῷ, η τ᾽ αν επειτα
χαλκοϝο τε χρυσοο τ᾽ απολυϝσομεθ᾽· εστι γαρ ενδον·
πολλα γαρ ῶπασε παιδι γερων ονομακλυτος αλτης.
ει δ᾽ ηδη τεθναντι, και ειν αϝιδαϝο δομοισιν,
αλγος εμῷ θυϝμῷ και μητερι, τοι τεκομεσθα.
λαϝοισιν δ᾽ αλλοισι μινυνθαδιωτερον αλγος
εσσεται, ην μη και συ θανῃς, αχιλεϝι δαμασθενς.
αλλ᾽ εισερχεο τειχος, εμον τεκος, ͱοφρα σαῶσῃς
τροϝας και τροϝιδας, μηδε μεγα κυϝδος ορεγσῃς
πηλεϝιδῃ, αϝτος δε φιλης αιϝῶνος αμερθῃς·
προς δ᾽ εμε τον δυστηνον ετι φρονεοντ᾽ ελεαιρε,
δυσμορον, ͱον ρα πατηρ κρονιδης επι γηραος ουδῷ
αισῃ εν αργαλεῃ φθῖσει, κακα πολλα ϝιδοντα,
ͱυιας τ᾽ ολϝυμενοϝς, ͱελκηθεντσας τε θυγατρας,
και θαλαμοϝς κεραϊδσομενοϝς, και νηπια τεκνα
βαλλομενα προτι γαιῃ, εν αινῃ δαϝιοτητι,
ͱελκομενας τε νυοϝς ολοϝῃσ᾽ ͱυπο χερσιν αχαιϝων.
αϝτον δ᾽ αν πυματον με κυνες πρωτῃσι θυρῃσιν
ωμησται ϝερυοντιν, επει κε τις ͱοκσυϊ χαλκῷ
τυπτσανς, ηε βαλων, ρεθεων εκ θυϝμον ͱεληται. 68
ῆ ρ᾽ ͱο γερων, πολιας δ᾽ αρ᾽ ανα τριχας ͱελκετο χερσιν, 77
τιλλων εκ κεφαλης· ουδ᾽ ͱεκτορι θυϝμον επειθεν.
μητηρ δ᾽ αϝθ᾽ ετερωθεν οδυϝρετο δακρυχεϝοντσα,

κολπον ανͱιͱεμενη, ͱετερηφι δε μαδσον ανεσχεν,
και μιν δακρυχεϝοντσα ϝεπεα πτεροεντα προσῆυϝδα· X
ͱεκτορ, τεκνον εμον, ταδε τ' αιδεο, και μ' ελεησον
αϝτην, ει ποτε τοι λαθικηδεα μαδσον επεσχον,
των μνῆσαι, φιλε τεκνον· αμυϝε δε δαϝιον ανδρα
τειχεος εντος εων· μη δε προμος ͱιστασο τοϝτῳ·
σχετλιος! ειπερ γαρ σε κατακτενε', ου σ' ετ' εγωγε
κλαϝσομαι εν λεχεεσι, φιλον θαλος, ͱον τεκον αϝτη,
ουδ' ͱαλοχος πολυδῶρος· ανευθε δε σε μεγα νοϝιν
αργειϝων παρα ναϝσι κυνες ταχυες κατεδεοντιν.
ͱως τω γε κλαϝοντε προσαυϝδῆτην φιλον ͱυιον,
πολλα λισσομενω· ουδ' ͱεκτορι θυϝμον επειθον·
αλλ' ͱογ' εμιμν' αχιλεϝα πελωριον ασσον ιοντα.
ͱως δε δρακων επι χεϝῆ ορεστερος ανδρα μενητιν,
βεβρῶκως κακα φαρμακ', εδῦ δε τε μιν χολος αινος,
σμερδαλεον δε δεδορκε, ϝελισσομενος περι χεϝῆ·
ͱως ͱεκτωρ, ασβεστον ͱεχων μενος, ουχ υπεχῶρεεν
πυργῳ επι προͱεχοντι φαϝεινην ασπιδ' ερειδσανς.
οχθησανς δ' αρ' εϝεσπε προς ͱον μεγαλητορα θυϝμον·
ω μοι εγων! ει μεν κε πυλας και τειχεα δυϝω,
πολυδαμανς μοι πρῶτος ελενχειην καταχεϝει,
ͱος μ' εκελεϝε τροϝεσι ποτι πτολιν ͱηγησασθαι
νυχθ' υπο τηνδ' ολοϝην, ͱοτε τ' ῶρετο διϝος αχιλλεϝς.
αλλ' εγω ου πιθομην· η τ' αν πολυ κερδιον ῆεν·
νῦν δ' επει ῶλεσα λαϝον ατασθαλιῆσιν εμῆσιν,
αιδεομαι τροϝας και τροϝιδας ͱελκεσιπεπλοϝς,
μη ποτε τις ϝεσπητι κακωτερος αλλος εμεϝο,
ͱεκτωρ ͱηφι βιηφι πιθησανς ῶλεσε λαϝον.
ͱως ϝερεοντιν· εμοι δε τοτ' αν πολυ καλλιον ειη,
αντην η' αχιλεϝα κατακτῆναντα νεεσθαι,
ηε κεν αϝτον ολεσθαι ͱεϋκλειως προ πολιστος.
ει δε κεν ασπιδα μεν καταθειομαι ομφαλοεντσαν,
και κορυθα βριαρην, δορυ δε προς τειχος ερειδσανς,
αϝτος ιων αχιλεϝος αμυϝμονος αντιος ελθω,
και ͱοι ͱυποσχωμαι ͱελενην, και κτημαθ' αμ' αϝτῆ
παντα μαλ', ͱοσα τ' αλεκσανδρος κοιλῆσ' ενι ναϝσιν
ῆγαγετο τροϝιηνδ', ͱη τ' επλετο νεικεος αρχη,
δῶσεμεν ατρεϝιδῆσιν αγεεν, ͱαμα τ' αμφις αχαιϝοις
αλλ' αποδασσεσθαι, ͱοσα πτολις ͱηδε κεκεϝθεν·
τροϝεσι δ' αϝ μετοπισθε γεροντιον ͱορκον ͱελωμαι,
μη τι κατακρυπτσεεν, αλλ' ανδιχα παντα δασεσθαι.
αλλα τιη μοι ταϝτα φιλος διελεγσατο θυϝμος;
μη μιν εγω μεν ͱικωμαι ιων· ͱο δε μ' ουκ ελεησει,
ουδε τι μ' αιδεσεται, κτενεει δε με, γυμνον εοντα.
ου μεν πως νῦν εστιν απο δρυος ουδ' απο πετρης
τῷ ͱοαριδσεμεναι, ͱατε παρθενος ηΐθεος τε,

παρθενος ηΐθεος θ' οαριδσετον αλληλοισιν. X
βελτερον αϝτ' εριδι γσυνελαϝνεμεν· ͱοτι ταχιστα
ϝηδομεν, ͱοποτερῳ κεν ολυνπιος ευχος ορεγσῃ. 130
ͱως ͱορμαινε μενων· ͱο δε ͱοι σχεδον ηλθεν αχιλλεϝς, 131
σειων πηλιαδα μελιην κατα δεχσιον ωμον, 133
δδεινην· αμφι δε χαλκος ελαμπετο ϝεικελος αϝγῃ
η πυρος αιθομενοϝ, η' ῃελιοϝ ανιοντος. 135
ͱεκτορα δ', ͱως ενοησεν, ͱελε τρομος, ουδ' αρ' ετ' ετλῃ
αϝθι μενεεν, οπισῳ δε πυλας λιπε, βη δε φοβηθευς.
πηλεϝιδης δ' εποροϝσε, ποσι κραιπνοισι πεποιθως·
ηΰτε κιρκος ορεσφιν, ελαφροτατος πετεηνων,
ρεϝιδιως ͱοιμῃσε μετα τρηρῶνα πελειαν· 140
ͱη δε θ' υπαιθα φοβεεται· ͱο δ' ενγυθεν ͱοκσυ λελῃκως
ταρφε' επαϝισσει, ͱελεεεν τε ͱε θυϝμος ανωγει·
ͱως αρ' ͱογ' ενμεμαϝως ιθυς πετετο· τρεσε δ' ͱεκτωρ
τειχος ͱυπο τροϝων, λαιπσηρα δε γουϝατ' ενωμα.
ͱοι δε παρα σκοπιην και ερινεον ανεμοεντα 145
τειχεος αιϝεν ͱυπ' εκ καθ' αμαγσιτον εσσεϝοντο·
κροϝνω δ' ͱικανον καλλιροϝω, ενθα δε πηγαι
δοιαι αναϝισσοντι καμανδροϝο δινεϝεντος.
ͱη μεν γαρ ͱυδατι χλιαρῳ ρεϝει, αμφι δε καπνος
γιγνεται εκς αϝτης, ͱως ει πυρος αιθομενοϝο· 150
ͱη δ' ͱετερη θερεϊ προρεϝει ϝεϝικυια χαλαδσῃ,
η χιϝονι πσυχρῃ, η' εκς ͱυδατος κρυσταλλῳ.
ενθα δ' επ' αϝταϝων πλυνοι ευρυες ενγυς εαντιν
καλοι, λαϝινεοι, ͱοθι ϝεσματα σιϝαλοεντα
πλυϝνεσκον τροϝων ͱαλοχοι, καλαι τε θυγατρες, 155
το πριν επ' ειρηνης, πριν γ' ελθεμεν ͱυιας αχαιϝων.
τῃ ρα παραδραμετην, φευγων, ͱο δ' οπισθε διῶκων·
προσθε μεν εσθλος εφευγε, διῶκε δε μιν μεγ' αμεινων
καρπαλιμως· επει ουχ ιερεϝιον, ουδε βοϝειην
ͱαρνυσθην, ͱα τε ποδσιν αϝεθλια γιγνεται ανδρων, 160
αλλα περι πσυϝχης θεϝον ͱεκτορος ͱιπποδαμοϝο. 161
ͱως δ' ͱοτε νεβρον ορεσφι κυων ελαφοϝο διηται, 189
ορσανς εκς ευνης, δια τ' ανκεα, και δια βησσας· 190
τον δ', ειπερ κε λαθητι καταπτηκσανς ͱυπο θαμνῳ,
αλλα τ' ανιχνεϝων θεϝει ενπεδον, ͱοφρα κεν ͱευρῃ·
ͱως ͱεκτωρ ου ληθε ποδῶκεα πηλεϝιϝῶνα.
ͱοσακι δ' ͱορμῃσειε πυλαϝων δαρδανιαϝων
αντιον αϝικσασθαι, ͱεϋδμῃτοϝς ͱυπο πυργοϝς, 195
ει πως ͱοι καθυπερθεν αλαλκοιεν βελεεσιν·
τοσακι μιν προπαροιθεν αποστρεφσᾶσκε παραφθανς
προς πεδιον· αϝτος δε ποτι πτολιος πετετ' αιϝει. 198
πως δε κεν ͱεκτωρ κηρας ͱυπεκσεφυγεν θανατοϝο, 202
ει μη ͱοι πυματον τε και ͱυστατον ῃντετ' απολλων
ενγυθεν, ͱος ͱοι επῶρσε μενος λαιπσῃρα τε γουϝα;

λαϝοισιν δ' ανενευε καρῆατι διϝος αχιλλεϝς, 205
ουδ' εϝα' ͱιͱεμεναι επι ͱεκτορι πικρα βελεμνα· X
μη τις κυϝδος ͱαροιτο βαλων, ͱο δε δεϝτερος ελθοι.
αλλ' ͱοτε δη το τεταρτον επι κροϝνοϝς αφικοντο,
και τοτε δη χρυσεια πατηρ ετιταινε ταλαντα·
εν δ' ετιθεε δυο κηρε τανηλεγεος θανατοϝο, 210
την μεν, αχιλλεϝος, την δ', ͱεκτορος ͱιπποδαμοϝο·
ͱελκε δε μεσσα λαβων· ρεπε δ' ͱεκτορος αισιμον ͱημαρ·
ῳχετο δ' εις αϝιδαϝο· λιπεν δε ͱε φοιβος απολλων.
πηλεϝιϝῶνα δ' ͱικανε θεα γλαϝκῶπις αθηνη,
ανχοϝο δ' ͱισταμενη ϝεπεα πτεροεντα προσῆυϝδα· 215
νῦν δη νοϝι γ' ͱεͱολπα, διϊ φιλε, φαιδιμ' αχιλλεϝ,
ͱοισεσθαι μεγα κυϝδος αχαιϝοισι προτι ναϝας,
ͱεκτορα δαϝιῶσαντε, μαχης αϝατον περ εοντα.
ου ͱοι νῦν ετι γ' εστι πεφυγμενον αμμε γενεσθαι,
ουδ' ει κεν μαλα πολλα παθοι ͱεκαϝεργος απολλων, 220
προπρο κυλινδομενος πατερος διος αιγιͱοχοϝο.
αλλα συ μεν νῦν στηθι και ανπνυε· τονδε δ' εγω τοι
οιχομενη πεπιθησω εναντιβιον μαχεσασθαι.
ͱως φατ' αθηναιη· ͱο δ' επειθετ', εχαιρε δε θυϝμῷ·
στη δ' αρ' επι μελιης χαλκογλωχινος ερειδσθενς. 225
ͱη δ' αρα τον μεν ελειπ', εκιχησατο δ' ͱεκτορα διϝον,
δαϝιφοβῳ ϝεϝικυια δεμας και ατειρεα φῶνην·
ανχοϝο δ' ͱισταμενη ϝεπεα πτεροεντα προσῆυϝδα·
ηθει', η μαλα δη σε βιαδσεται ῶκυς αχιλλεϝς· 229
αλλ' αγε δη στεωμεν, και αλεκσωμεσθα μενοντες. 231
την δ' αϝτε προσεϝεσπε μεγας κορυθαιϝολος ͱεκτωρ·
δαϝιφοβ', η μεν τοι το παρος πολυ φιλτατος ησθα· 233
νῦν δ' ετι και μαλλον νοεω φρεσι τιϝμῆσασθαι, 235
ͱως ετλῆς εμεϝ' ͱεινεκ', επει ϝιδες οφθαλμοισιν,
τειχεος εκσελθεεν, αλλοι δ' εντοσθε μενοντιν.
τον δ' αϝτε προσεϝεσπε θεα γλαϝκῶπις αθηνη·
ηθει', η κεν πολλα πατηρ και ποτνια μητηρ
λισσονθ', εχσειης γονϝοομενοι, αμφι δ' ͱεταιροι, 240
αϝθι μενεεν· τοιον γαρ ͱυποτρομεοντιν ͱαπαντες·
αλλ' εμος ενδοθι θυϝμος ετειρετο πενθεϊ λυγρῷ.
νῦν δ' ιθυς μεμαϝῶτε μαχωμεθα, μηδ' ετι δορϝων
εστω φειδωλη, ͱινα ϝῆδομεν, ει κεν αχιλλεϝς
νοϝι κατακτῆνανς, εναρα βροτοεντα φερηται 245
ναϝας επι γλαφυρας, η κεν σῷ δορϝι δαμειη.
ͱως φαμενη, και κεροδοσυνῃ ͱηγησατ' αθηνη.
ͱοι δ' ͱοτε δη σχεδον ῆσαν επ' αλληλοισιν ιοντες,
τον προτερος προσεϝεσπε μεγας κορυθαιϝολος ͱεκτωρ·
ου σ' ετι, πηλεϝος ͱυιε, φοβησομαι, ͱως το παρος περ· 250
αλλ' αγε, δευρο θεοϝς επιδῶμεθα· τοι γαρ αριστοι 254
μαρτυροι εσσονται και επισκοποι αρμονιαϝων· 255

ου γαρ εγω σ' εκπαγλον αϝεικιω, αι κεν εμοι δσεϝς
δωῃ καρμονιην, σην δε πσυϝχην αφελωμαι·
αλλ' επει αρ κε σε συλϝῆσω κλυτα τευχε', αχιλλεϝ,
νεκρον αχαιϝοισιν δωσω παλιν· ͱως δε συ ρεδσεεν.
τον δ' αρ' ͱυποδρα ϝιδων προσεφη ποδας ωκυς αχιλλεϝς·
ͱεκτορ, μη μοι, αλαστε, συνͱημοσυνας αγορεϝε.
ͱως ουκ εστι λεϝοντσι και ανδρεσιν ͱορκια πιθτα,
ουδε λυκοι και ϝαρνες ͱομοφρονα θυϝμον ͱεχοντιν,
αλλα κακα φρονεοντι διανπερες αλληλοισιν·
ͱως ουκ εστ' εμε και σε φιλημεναι, ουτε τι νοϝιν
ͱορκιον εσσεται, πριν γ' η' ͱετερον γε πεσοντα
ͱαιματος ͱαδσαι αρεϝα, ταλαϝρινον πολεμιστην.
παντοιης αρετης μιμνῆσκεο· νυν σε μαλα χρη
αιχμητην τ' εμεναι και θαρσαλεον πολεμιστην.
ου τοι ετ' εσθ' υπαλυκσις, ͱαφαρ δε σε παλλας αθηνη
ενχει εμῳ δαμαει· νυν δ' ͱαθροϝα παντ' αποτιϝσεις
κηδε' εμων ͱεταρων, ͱοϝς εκτανες ενχεϊ θυϝων.
ῆ ρα, και ανπεπαλων προͱιͱεε δολιχοσκιον ενχος·
και το μεν αντα ϝιδων ηλεϝσατο φαιδιμος ͱεκτωρ·
ͱεδσετο γαρ προϝιδων, το δ' ͱυπερπτατο χαλκεον ενχος,
εν γαιῃ δ' επαγη· ανα δ' ͱαρπασε παλλας αθηνη,
αψ δ' αχιλεϝι διδω, λαθε δ' ͱεκτορα, ποιμενα λαϝων.
ͱεκτωρ δε προσεϝεσπεν αμυϝμονα πηλεϝιϝωνα·
ημβροτες, ουδ' αρα πω τι, θεοισ' επιϝεικελ' αχιλλεϝ,
εκ διος εϝειδεες τον εμον μορον, ητοι εφης γε·
αλλα τις αρτιϝεπης και επικλοπος επλεο μυϝθων,
ͱοφρα σ' ͱυποδδειδσανς μενεος αλκης τε λαθωμαι.
ου μεν μοι φευγοντι μεταφρενῳ εν δορυ πηγσεις,
αλλ' ιθυς μεμαϝωτι δια στηθεσφιν ελασσον,
ει τοι εδωκε θεος· νυν αϝτ' εμον ενχος αλεϝσαι
χαλκεον, ͱως δη μιν σῳ ενι χροϊ παν κομισαιο.
και κεν ελαφροτερος πολεμος τροϝεσι γενοιτο,
σεϝο κατακταμενοϝο· συ γαρ σφισι πημα μεγιστον.
ῆ ρα, και ανπεπαλων προͱιͱεε δολιχοσκιον ενχος,
και βαλε πηλεϝιδαϝο μεσον σακος, ουδ' απαμαρτεν·
τηλε δ' απεπλανχθη σακεος δορυ· χωσατο δ' ͱεκτωρ,
ͱοτι ρα ͱοι βελος ωκυ ϝετωσιον εκφυγε χειρος·
στη δε κατηφησανς, ουδ' αλλ' ͱεχε μειλινον ενχος·
δαϝιφοβον δ' εκαλεε λεϝκασπιδα, μακρον αͱυϝσανς,
ητεε μιν δορυ μακρον· ͱο δ' ουτι ͱοι ενγυθεν ηεν.
ͱεκτωρ δ' εγνω ͱεϝῆσιν ενι φρεσ', εφωνησεν τε·
ω ποποι! η μαλα δη με θεοι θανατονδ' εκαλεσσαν·
δαϝιφοβον γαρ εγωγ' εφαμην ͱηροϝα παρεεναι·
αλλ' ͱο μεν' εν τειχει, εμε δ' εκσαπατησεν αθηνη.
νυν δε δη ενγυθι μοι θανατος κακος, ουδε τ' ανευθεν.
μη μαν ασπουδις γε και ακλειως απολοιμην, 304

αλλα μεγα ρεκσανς τι και εσσομενοισι πυθεσθαι.
  ͱως αρα φω̃νησανς, εϝερυσσατο φασγανον ͱοκσυ, X
το ͱοι ͱυπο λαπαρὴν τετατο μεγα τε, στιβαρον τε·
ͱοιμη̃σεν δε ͱαλενς, ͱωστ' αιετος ͱυπσιπετη̃ενς,
ͱοστ' ειτιν πεδιονδε δια νεφεων ερεβεννων,
ͱαρπακσων η ϝαρν' αμαλην, η πτω̃κα λαγοϝον·
ͱως ͱεκτωρ ͱοιμη̃σε τινασσων φασγανον ͱοκσυ.
ͱορμηθη δ' αχιλεϝς, μενεος δ' ενπλησατο θυϝμον
αγριοϝο· προσθεν δε σακος στερνοϝ' εκαλυπτσεν
καλον, δαιδαλεον· κορυθι δ' επενευε φαϝεινῃ̃,
τετραφαλῳ̃, καλαι δε περι σειοντο ϝεθειραι.
  ͱοιος δ' αστηρ ειτι μετ' αστρεσι νυκτος αμολγῳ̃
ϝεσπερος, ͱος καλλιστος εν ουρανῳ̃ ͱισταται αστηρ·
ͱως αιχμης απελαμφ' εΰη̃κεος, ͱην αρ' αχιλλεϝς
παλλεν δεχσιτερῃ̃, φρονεων κακον ͱεκτορι διϝῳ̃,
εισͱοραων χροα καλον, ͱοπῃ̃ ϝεικσειε μαλιστα.
τοο δε και αλλο τοσον μεν ͱεχε χροα χαλκεα τευχεα,
καλα, τα πατροκλοϝο βιην εναρικσε κατακτανς·
φαινετο δ', ͱῃ̃ κλεϝι̃δες απ' ωμων αϝχεν' ͱεχοντιν,
λαϝκανιης, ͱινα τε πσυϝχης ω̃κιστος ολεθρος·
τῃ̃ ρ' επι ͱοι μεμαϝως ελασ' ενχεϊ διϝος αχιλλεϝς·
αντικρυς δ' ͱαπαλοϝο δι' αϝχενος ηλυθ' ακωκη·
ουδ' αρ' απ' ασφαραγον μελιη ταμε χαλκοβαρυια.
ηριπε δ' εν κονιϝῃ̃σ'· ͱο δ' επευχσατο διϝος αχιλλεϝς·
  ͱεκτορ, αταρ ποϝ' εφης, πατροκλεε' εκσεναριδσων,
σαος εσεσθ', εμε δ' ουδεν οπιδσεο νοσφιν εοντα·
νηπιε! τοϝο δ' ανευθεν αϝοσσητηρ μεγ' αμεινων
ναϝσιν επι γλαφυρῃσιν εγω μετοπισθ' ελελειπμην,
ͱος τοι γονϝατ' ελυϝσα· σε μεν κυνες ηδ' οιϝωνοι
ͱελκησοντι κακως, τον δε κτεριουντιν αχαιϝοι.
  τον δ' ολιγοδρανεων προσεφη κορυθαιϝολος ͱεκτωρ·
λισσομ' ͱυπερ πσυϝχης, και γονϝων, σων τε τοκεϝων,
μη μ' εϝαε παρα ναϝσι κυνας καταδαπτσαι αχαιϝων·
αλλα συ μεν χαλκον τε ͱαλις χρυσον τε δεδεχσο,
δω̃ρα, τα τοι δω̃σοντι πατηρ και ποτνια μητηρ·
σωμα δε ϝοικαδ' εμον δομεναι παλιν, ͱοφρα πυρος με
τροϝες και τροϝων ͱαλοχοι λελαχωντι θανοντα.
  τον δ' αρ' ͱυποδρα ϝιδων προσεφη ποδας ω̃κυς αχιλλεϝς·
μη με, κυον, γονϝων γονϝαδσεο, μηδε τοκεϝων.
αι γαρ πως αϝτον με μενος και θυϝμος ανͱειη
ωμ' αποταμνομενον κρεα' εδμεναι, ͱοια ϝεϝοργας·
ͱως ουκ εσθ', ος σης γε κυνας κεφαλης απαλαλκοι·
ουδ' ει κεν δεκακις και ϝεικοσινηριτ' αποινα
στησωντ' ενθαδ' αγοντες, ͱυποσχωνται δε και αλλα·
ουδ' ει κεν σ' αϝτον χρυσῳ̃ ϝερυσασθαι ανωγοι
δαρδανιδης πριαμος· ουδ' ͱως σε γε ποτνια μητηρ

ενθεμενη λεχεεσι γοησεται, ͱον τεκεν αFτη, X
αλλα κυνες τε και οιFωνοι κατα παντα δασονται.
τον δε καταθνησκων προσεφη κορυθαιFολος ͱεκτωρ· 355
η σ' ͱεῦ γιFνωσκων προτιFοσσομαι, ουδ' αρ' εμελλον
πειθσεμεν· η γαρ σοι γε σιδηρεος ενδοθι θυFμος.
φραδσεο νῦν, μη τοι τι θεων μηνιFμα γενωμαι
ͱηματι τῳ̃, ͱοτε κεν σε παρις και φοιβος απολλων,
εσθλον εοντ', ολεσωντιν ενι σκαιῃ̃σι πυλῃ̃σιν. 360
ͱως αρα μιν Fεσποντα τελος θανατοF' εκαλυπτσεν· 361
τον και τεθνηῶτα προσηυFδαε διFος αχιλλεFς· 364
τεθναθι· κηρα δ' εγω τοτε δεχσομαι, ͱοποτε κεν δη 365
δσεFς εθελῃ̃ τελεσαι, ηδ' αθανατοι θεοι αλλοι.
ῆ ρα, και εκ νεκροF' εFερυσσατο χαλκεον ενχος·
και τογ' ανευθεν εθῆχ', ο δ' απ' ωμων τευχε' εσυλFα
ͱαιματοεντ'· αλλοι δε περι δραμον ͱυιες αχαιFων,
ͱοι και θαFησαντο φυFην και Fειδος αγητον. 370
ͱῳ̃δε δε τις Fεσπεσκε Fιδων ες πλησιον αλλον· 372
ω ποποι! η μαλα δη μαλακωτερος αμφαφαεσθαι
ͱεκτωρ, η' ͱοτε ναFας ενεπρηθσεν πυρι κηλεῳ̃.
ͱως αρα τις Fεσπεσκε, και ουτησασκε παραστανς. 375
τον δ' επει εκσεναριξσε ποδαρκης διFος αχιλλεFς,
στανς εν αχαιFοισιν Fεπεα πτεροεντ' αγορεFεν·
ω φιλοι, αργειFων ͱηγητορες, ηδε μεδοντες,
επειδη τονδ' ανδρα θεοι δαμασασθαι εδῶκαν,
ͱος κακα πολλ' ερδεσκεν, ͱοσ' ου γσυνπαντες ͱοι αλλοι· 380
ει δ' αγετ', αμφι πολιν γσυν τευχεσι πειρηθωμεν,
ͱοφρα γνῶωμεν τροFων νοον, ͱοντιν ͱεχοντιν·
η καταλειπσοντιν πολιν ακρην, τοοδε πεσοντος,
ηε μενεεν μεμαFαντι, και ͱεκτορος ουκ ετ' εοντος·
αλλα τιη μοι ταFτα φιλος διελεγσατο θυFμος; 385
κειται παρ ναFεσι νεκυς ακλαFστος, αθαπτος,
πατροκλος· τοFο δ' ουκ επιληθσομαι, ͱοφρ' αν εγωγε
δσαFοισιν μετεω, και μοι φιλα γουFατ' ορωρῃ.
ει δε θανοντων περ καταληθοντ' ειν αFιδαFο,
αFταρ εγω και εκειθι φιλοο μεμνησομ' ͱεταιροο. 390
ῆ ρα, και ͱεκτορα διFον αFεικε' εμηδετο Fεργα· 395
αμφοτερων μετοπισθε ποδων τετρηνε τενοντε
ες σφυρον εκ πτερνης, βοFεοFς δ' εκσͱαπτεν ͱιμαντας,
εκ διφροFο δ' εδησε· καρη δ' ͱελκεσθαι εFασεν·
ες διφρον δ' αναβανς, ανα τε κλυτα τευχε' αFηρανς,
μαστινγσεν ρ' ελαεεν, τω δ' ουκ αFεκοντ' επετεσθην. 400
τοο δ' ην ͱελκομενοFο κονισσαλος· αμφι δε χαιται
κυFανεαι πιτναντο, καρη δ' ͱαπαν εν κονιFῃ̃σιν
κειτο, παρος χαριεν· τοτε δε δσεFς δυσμενεεσιν
δῶκεν αFεικισσασθαι ͱεFῃ̃ εν πατριδι γαιῃ̃.
ͱως τοFο μεν κεκονιFτο καρη ͱαπαν· ͱη δε νυ μητηρ 405

τιλλε κομην, απο δε λιπαρην εριπτσε καλυπτρην X
τηλοσε· κωκυFσεν δε μαλα μεγα, παιδα Fιδοντσα.
ῳμωγσεν δ' ελεεινα πατηρ φιλος, αμφι δε λαFοι
κωκυFτῳ̃ τ' εσχοντο, και οιμωγῃ̃ κατα Fαστυ·
τῳ̃ δε μαλιστ' αρ' εῆν εναλινκιον, hως ει hαπαντσα
FιλFιος οφρυοεντσα πυρι σμυχοιτο κατ' ακρης.
λαFοι μεν ρα γεροντα μολις hεχον ασχαλαοντα,
εκσελθεεν μεμαFῶτα πυλαFων δαρδανιαFων·
παντας δ' ελιτανεFε, κυλινδομενος κατα κοπρον,
εκσονομακλῆδην ονομαδσων ανδρα hεκαστον·
σχεσθε, φιλοι, και μ' οιον εFᾶσατε, κηδομενοι περ,
εκσελθοντα πολιστος, hικεσθ' επι ναFας αχαιFων·
λισσωμ' ανερα τοFτον ατασθαλον, οβριμοFεργον,
ῆν πως hηλικιην αιδεσσεται, ηδ' ελεησῃ̃
γηρας· και δε νυ τῳ̃δε πατηρ τοιοσδε τετυχται
πηλεFς, hος μιν ετικτε και ετρεφε, πημα γενεσθαι
τροFσι· μαλιστα δ' εμοι περι παντων αλγε' εθῆκεν·
τοσοFς γαρ μοι παιδας απεκτανε τηλεθαοντας·
των παντων ου τοσον οδυFρομαι, αχνυμενος περ,
hως hενος, hοο μ' αχος hοκσυ καθοισεται αFιδος εισῳ̃,
hεκτορος· hως οφελεν θανεεεν εν χερσιν εμῆσιν!
τῳ̃ κ' εκορεσσαμεθα κλαFοντε τε, μυFρομενω τε,
μητηρ θ', η μιν ετικτε δυσαμορος, ηδ' εγω αFτος.
hως εφατο κλαFων· επι δ' εστοναχοντο πολῖται·
τροFιδεσιν δ' hεκαβη hαδινοF' εκσῆρχε γοοFο·
τεκνον, εγω δδειλη τι νυ βιFομαι, αινα παθοντσα,
σεο τεθνηῶτος; hος μοι νυκτας τε και hημαρ
ευχωλη κατα Fαστυ πελεσκεο, παντσι τ' ονειαρ
τροFσι τε και τροFιδεσι κατα πτολιν, hοι σε, θεον hως,
δεδεχατ'· η γαρ κε σφι μαλα μεγα κυFδος εῆσθα,
δσαFος εων· νῦν αF θανατος και μοιρα κιχανει.
hως εφατο κλαFοντσ'· hαλοχος δ' ουπῳ̃ τι πεπυθτο
hεκτορος· ου γαρ hοι τις hετητυμος ανγελος ελθων
ῆνγῆλ', hοτι ρα hοι ποσις εκτοθ' εμιμνε πυλαFων·
αλλ' hηγ' hιστον hυφαινε, μυχῳ̃ δομοF hυπσηλοFο,
διπλακα, μαρμαρεην, εν δε θρονα ποικιλ' επασσεν·
κεκλετο δ' αμφιπολοισιν hεϋπλοκαμοις κατα δῶμα
αμφι πυρι στησαι τριποδα μεγαν, hοφρα πελοιτο
hεκτορι θερμα λοFετρα μαχης εκ νοστησαντι·
νηπιη! ουδ' ενοησεν, hο μιν μαλα τηλε λοFετρων
χερσιν αχιλλεFος δαμασεν γλαFκῶπις αθηνη.
κωκυFτοο δ' ῆκοFσε και οιμωγης απο πυργοο,
της δ' ελελιχθη γυια, χαμαι δε hοι εκπεσε κερκις·
hη δ' αFτις δμῳ̃ῆσιν hεϋπλοκαμοισι μετηυFδα· 449
αιδοιης hεκυρης Fοπος εκλυFον, εν δε μοι αFτῃ̃ 451
στηθεσι παλλεται ητορ ανα στομα, νερθε δε γουFα

πῆγνυται· ενγυς δη τι κακον πριαμοϝο τεκεσσιν!
ͱως ϕαμενη μεγαροϝο διεσσυτο, μαιναδι ϝεισϝη,
παλλομενη κραδιην· ͱαμα δ' αμφιπολοι κιον αϝτῃ. X
αϝταρ επει πυργον τε και ανδρων ͱικσεν ͱομιλϝον,
εστη παπτῆναντσ' επι τειχεϊ· τον δ' ενοησεν
ͱελκομενον προσθεν πολιος, ταχυες δε μιν ͱιπποι
ͱελκον ακηδεστως κοιλας επι ναϝας αχαιϝων.
την δε κατ' οφθαλμων ερεβεννη νυκς εκαλυπτσεν·
ηριπε δ' εκσοπισῳ, απο δε πσυϝχην εκαπυσσεν.
τηλε δ' απο κρᾶτος χεϝε δεσματα σιϝαλοεντα,
ανπυκα, κεκρυφαλον τ', ηδε πλεκτην αναδεσμην,
κρῆδεμνον θ', ο ρα ͱοι δῶκε χρυσεη αφροδῖτη,
ͱηματι τῷ, ͱοτε μιν κορυθαιϝολος ῆγαγεθ' εκτωρ
εκ δομοϝ ηετιϝῶνος, επει πορε μυρι' εεδνα.
αμφι δε μιν γαλαοι τε και εινατερες ͱαλις εσταν,
ͱαι ͱε μετα σφισιν εσχον ατυδσομενην απολεσθαι.
ͱως ͱοι μεν στοναχοντο κατα πτολιν· αϝταρ αχαιϝοι Ψ
επειδη ναϝας τε και ͱελλησποντον ͱικοντο,
ͱοι μεν αρ' εσκιδναντο ͱεϝην επι ναϝα ͱεκαστος·
μυρμιδονας δ' ουκ ηϝα' αποσκιδνασθαι αχιλλεϝς,
αλλ' ͱογ' ͱεϝοις ͱεταροισι φιλοπτολεμοισι μετῆυϝδα·
μυρμιδονες ταχυπωλοι, εμοι περιηρες ͱεταιροι,
μη δη πῶ ͱυφ' οχεσφι λυϝωμεν μωνυχας ͱιπποϝς,
αλλ' αϝτοισ' ͱιπποισι και ͱαρμασιν ασσον ιοντες
πατροκλον κλαϝωμεν· ͱο γαρ γερας εστι θανοντων.
αϝταρ επει κ' ολοϝοϝο τεταρπωμεσθα γοοϝο,
ͱιπποϝς λυϝσαντες δορπησομεν ενθαδε παντες.
ͱως εφαθ'· οι δ' ῷμωγσαν ͱαϝολϝεες· ῆρχε δ' αχιλλεϝς.
ͱοι δε τρις περι νεκρον ͱεΰτριχας ηλασαν ͱιπποϝς
μυϝρομενοι, μετα δε σφι θετις γοοϝ ͱιμερον ῶρσεν.
δευοντο πσαμαθοι, δευοντο δε τευχεα φῶτων
δακρυσι· τοιον γαρ ποθεον μηστωρα φοβοϝο.
τοισι δε πηλεϝιδης ͱαδινοϝ εκσῆρχε γοοϝο,
χειρας επ' ανδροφονοϝς θεμενος στηθεσσιν ͱεταιροο·
χαιρε μοι, ω πατροκλε, και ειν αϝιδαϝο δομοισιν!
παντα γαρ ηδη τοι τελεω, τα παροιθεν ͱυπεστην.
ῆ ρα, και ͱεκτορα διϝον αϝεικε' εμηδετο ϝεργα,
πρηνεα παρ λεχεεσι μενοιτιαδαϝο τανυσσανς
εν κονιϝῆσ'· ͱοι δ' εντε' αφοπλιδσοντο ͱεκαστος
χαλκεα, μαρμαιροντ'· ελυϝον δ' ͱυπσϝηχεας ͱιπποϝς.
κατ δ' ͱιδσον παρα ναϝι ποδῶκεος αιϝακιδαϝο
μυϝριοι· αϝταρ ͱο τοισι ταφον μενοϝεικεα δαινῦ.
πολλοι μεν βοϝες αργοι ορεχθεον αμφι σιδηρῷ,
σφαδσομενοι, πολλοι δ' οϝιες και μηκαδες αιγες·
πολλοι δ' αργιοδοντες ͱυες, θαλεθοντες αλοιφῇ,
ͱεϝομενοι τανυοντο δια φλογος ͱηφαιστοϝο·

παντῃ̃ δ' αμφι νεκυν κοτυληρυτον ερεFεν ͱαιμα. Ψ
αFταρ τονγε Fανακτα ποδω̃κεα πηλεFιFω̃να
εις αγαμεμνονα διFον αγον βασιλεFες αχαιFων,
σπουδῃ̃ παρπεπιθοντες, ͱεταιροFο χωομενον κεαρ.
ͱοι δ' ͱοτε δη κλισιην αγαμεμνονος ͱικσαν ιοντες,
αFτικα κηρῦκεσι λιγυφθονγοισ' εκελεFσαν,
αμφι πυρι στησαι τριποδα μεγαν· ει πεπιθοιεν
πηλεFιδην λοFεσασθαι απο βροτον ͱαιματοεντα.
αFταρ ͱογ' ἠρνεετο στερεως, επι δ' ͱορκον ομοσσεν·
ου μα δσῆν', ͱοστις τε θεων ͱυπατος και αριστος,
ου θεμις εστι λοFετρα καρῆατος ασσον ͱικεσθαι,
πριν γ' ενι πατροκλον θεμεναι πυρι, σημα τε χεFσαι,
κῆρασθαι τε κομην· επει ου μ' ετι δεFτερον ͱω̨̃δε
ͱικσετ' αχος κραδιην, ͱοφρα δσαFοισι μετειω.
αλλ' ητοι νῦν μεν στυγερῆ πειθωμεθα δαιτι·
ἦοαθεν δ' οτρυFνε, Fανακς ανδρων αγαμεμνον,
ͱυλFην τ' αγσεμεναι, παρα τε σχεμεν, ͱως επιFεικες·
ͱοφρ' ητοι τοFτον μεν επιφλεγῆ ακαματον πυρ
θασσον απ' οφθαλμων, λαFοι δ' επι Fεργα τραπωνται.
ͱως εφαθ'· οι δ' αρα τοο μαλα μεν κλυFον, ηδ' επιθοντο.
εσσυμενως δ' αρα δορπον εφοπλισσαντες ͱεκαστοι
δαινῦντ'· ουδε τι θυFμος εδεFετο δαιτος FεϊσFης.
αFταρ επει ποσιος και εδητυος εκς ερον ͱεντο,
ͱοι μεν κατκειοντες εβαν κλισιηνδε ͱεκαστος·
πηλεFιδης δ' επι θῖνι πολυφλοισβοFο θαλασσης
κειτο βαρυ στοναχων, πολυσιν μετα μυρμιδονεσιν,
εν καθαρῳ̃, ͱοθι κυFματ' επ' ηϊονος κλυδσεσκον·
ευτε τον ͱυπνος εμαρπτε, λυFων μελεδηματα θυFμοο,
ͱηδυμος αμφιχυθενς· μαλα γαρ καμε φαιδιμα γυια,
ͱεκτορ' επαͱισσων προτι FιλFιον ανεμοεντσαν.
ηλθε δ' επι πσυFχη πατροκλεεος δδειλοFο,
παντ' αFτῳ̃, μεγαθος τε και οπματα καλα, Fικυια,
και φω̃νην· και τοια περι χροϊ Fεσματ' εFεστο·
στη δ' αρ' ͱυπερ κεφαλης, και μιν προς μυFθον εFεσπεν·
ͱευδεις, αFταρ εμεFο λελαθμενος επλε', αχιλλεF;
ου μεν μεο δσαFοντος ακηδεις, αλλα θανοντος·
θαπτε με ͱοτι ταχιστα, πυλας αFιδαFο περῆσω.
τηλε με ͱεργουσι πσυFχαι, Fειδωλα καμοντων,
ουδε με πω̃ μισγεσθαι ͱυπερ ποταμοF εFαουσιν·
αλλ' αFτως αλαλημαι αν' ευρυπυλες αFιδος δω̃.
και δε σοι αFτῳ̃ μοιρα, θεοισ' επιFεικελ' αχιλλεF,
τειχει ͱυπο τροFων ῆυγενεων απολεσθαι.
αλλο δε τοι Fερεω συ δ' ενι φρεσι βαλλεο σῆσιν·
μη εμα σων απανευθε τιθημεναι οστε', αχιλλεF·
αλλ' ͱομοF ͱως ετραφημεν εν ͱυμετεροισι δομοισιν,
ευτε με τυτθον εοντα μενοιτιος εκς οποεντος

ἤγαγεν ͱυμετερονδ᾽, ανδροκτασιης ͱυπο λυγρης,
ͱηματι τῷ, ͱοτε παιδα κατεκτανον αμφιδαμαντος,
νηπιος, ουκ εθελων, αμφ᾽ αστραγαλοισι χολῶθενς·
ενθα με δεχσαμενος εν δῶμασιν ͱιπποτα πηλεϝς,
ετρεφε τ᾽ ενδυκεως, και σον θεραποντ᾽ ονομῆνεν.
   τον δ᾽ απαμειβομενος προσεφη ποδας ὤκυς αχιλλεϝς·
τιπτε μοι, ηθειη κεφαλη, δευρ᾽ ηληλουθας,
και μοι ταϝτα ͱεκαστ᾽ επιτελλεαι; αϝταρ εγω τοι
παντα μαλ᾽ εκτελεω, και πειθσομαι, ͱως συ κελεϝεις.
αλλα μοι ασσον στηθι· μινυνθα περ αμφιβαλοντε
αλληλοϝς, ολοϝοϝο τεταρπωμεσθα γοοϝο.
   ͱως αρα φῶνησανς ὦρεγσατο χερσι φιλῇσιν,
ουδ᾽ ελαβε· πσυϝχη δε κατα χθονος, ηΰτε καπνος,
ᾦχετο τετριῖγυια· ταφων δ᾽ ανοροϝσεν αχιλλεϝς,
χερσι τε συνπλαταγησε, ϝεπος τ᾽ ολοφυδνον εϝεσπεν·
   ω ποποι! η ρα τις εστι και ειν αϝιδαϝο δομοισιν
πσυϝχη και ϝειδωλον, αταρ φρενες ουκ ενι πανπαν·
παννυχιη γαρ μοι πατροκλεεος δδειλοϝο
πσυϝχη εφεστηκεε γοαοντσα τε, μυϝρομενη τε,
και μοι ͱεκαστ᾽ επετελλ᾽· εϝεϊκτο δε θεσκελον αϝτῷ.
   ͱως φατο· τοισι δε παντσιν ͱυφ᾽ ιμερον ὦρσε γοοϝο·
μυϝρομενοισι δε τοισ᾽ εφανη ϝροδοδακτυλος ἦως
αμφι νεκυν ελεεινον. αταρ κρεϝων αγαμεμνων
ουρεϝας τ᾽ ὤτρυϝνε και ανερας, αγσεμεν ͱυλϝην,
παντοθεν εκ κλισιεων· επι δ᾽ ανηρ εσθλος ορῶρεεν
μηριονης, θεραπων αγαπῆνορος ιδομενεϝος.
ͱοι δ᾽ ισαν ͱυλϝοτομοϝς πελεκυας εν χερσιν ͱεχοντες,
σειρας θ᾽ ευπλεκτοϝς· προ δ᾽ αρ᾽ ουρεϝες κιον αϝτων·
πολλα δ᾽ αναντα, καταντα, παραντα τε, δοχμια τ᾽ ηλθον·
αλλ᾽ ͱοτε δη κνημοϝς προσεβαν πολυπιϝδακος ιδης,
αϝτικ᾽ αρα δρυας ͱυπσικομοϝς ταναηκεϊ χαλκῷ
ταμνον επειγομενοι· ται δε μεγαλα κτυπεοντσαι
πιπτον· τας μεν επειτα διαπλησσοντες αχαιϝοι
εκδεον ͱημιονων, ται δε χθονα ποδσ᾽ εδατεοντο,
ͱελδομεναι πεδιοϝο, δια ρωπῆϊα πυκνα.
παντες δ᾽ ͱυλϝοτομοι φιτροϝς φερον· ͱως γαρ ανωγεν
μηριονης, θεραπων αγαπῆνορος ιδομενεϝος·
κατ δ᾽ αρ᾽ επ᾽ ακτης βαλλον επισχερῶ, ενθ᾽ αρ᾽ αχιλλεϝς
φρασσατο πατροκλῷ μεγα ͱηριον, ηδε ͱοι αϝτῷ.
   αϝταρ επει παντῇ παρακατβαλον ασπετον ͱυλϝην,
ͱηατ᾽ αρ᾽ αϝθι μενοντες ͱαϝολϝεες· αϝταρ αχιλλεϝς
αϝτικα μυρμιδονεσι φιλοπτολεμοισ᾽ εκελεϝσεν
χαλκον δσωννυσθαι, δσευγσαι δ᾽ ͱυφ᾽ οχεσσιν ͱεκαστον
ͱιπποϝς· ͱοι δ᾽ ὤρνῦντο, και εν τευχεσσιν εδυϝνον.
αν δ᾽ εβαν εν διφροισι παραιβαται, ͱηνιͱοχοι τε·
προσθε μεν ͱιππεϝες, μετα δε νεφος ͱεσπετο πεδσων,

μυϝριοι· εν δε μεσοισ' εφερον πατροκλον ϝεταιροι. Ψ
θριξσι δε παντα νεκυν καταϝεννυον, ϝας επεβαλλον
κειρομενοι· οπιθεν δε καρη̃ ϝεχε διϝος αχιλλεϝς
αχνυμενος· ϝεταρον γαρ αμυϝμον' επεμπ' αϝιδοσδε.
ϝοι δ' ϝοτε χω̃ρον ϝικανον, ϝοθι σφισ' επεφραδ' αχιλλεϝς,
κατθεσαν· αιπσα δε ϝοι μενοϝεικε' εναϝεον ϝυλϝην.
ενθ' αϝτ' αλλ' ενοησε ποδαρκης διϝος αχιλλεϝς·
στανς απανευθε πυρη̃ς χσανθην απεκη̃ρατο χαιτην,
την ρα σπερχειω̨̃ ποταμω̨̃ τρεφε τηλεθαοντσαν·
οχθησανς δ' αρ' εϝεσπεν, ϝιδων επι ϝοινοπα ποντον·
σπερχει', αλλως σοι γε πατηρ η̃ρη̃σατο πηλεϝς,
κεισε με νοστησαντα φιλην ες πατριδα γαιαν,
σοι τε κομην κερεεεν, ρεκσεεν θ' ιερην ϝεκατονβην·
πεντηκοντα δ' ενορχα παρ' αϝτοθι μηλ' ϝιερεϝσεεν
ες πηγας, ϝοθι τοι τεμενος βωμος τε θυϝηενς.
ϝως η̃ρα̃θ' ο γερων, συ δε ϝοι νοον ουκ ετελεσσας.
νυ̃ν δ' επει ου νεομαι γε φιλην ες πατριδα γαιαν,
πατροκλω̨̃ ϝηροϝι κομην οπασαιμι φερεσθαι.
ϝως ϝεσπων, εν χερσι κομην ϝεταροϝο φιλοϝο
θη̃κεν· τοισι δε παντσιν ϝυφ' ιμερον ω̃ρσε γοοϝο·
και νυ κ' οδυϝρομενοισιν εδυ̃ φαϝος η̃ελιοϝο,
ει μη αχιλλεϝς αιπσ' αγαμεμνονι ϝεσπε παραστανς·
ατρεϝιδη, σοι γαρ τε μαλιστα γε λαϝος αχαιϝων
πειθσονται μυϝθοισι, γοοϝο μεν εστι και ϝαδσαι.
νυ̃ν δ' απο πυρκαϊης σκεδασον, και δειπνον ανωχθι
ϝοπλεσθαι· ταδε δ' αμφι πονησομεθ', ϝοισι μαλιστα
κηδεος εστι νεκυς· παρα δ' ϝοι τ' αγοι αμμι μενοντων.
αϝταρ επει τογ' ακοϝσε ϝαναξ ανδρων αγαμεμνων,
αϝτικα λαϝον μεν σκεδασεν κατα ναϝας ϝεϊσϝας,
κηδεμονες δε παρ' αϝθ' εμενον, και εναϝεον ϝυλϝην.
ποιησαν δε πυρην ϝεκατονπεδον ενθα και ενθα·
εν δε πυρη̨̃ ϝυπατη̨̃ νεκρον θεσαν, αχνυμενοι κεαρ.
πολλα δε ϝῖφια μηλα, και ϝελλιποδας ϝελικας βοϝς
προσθε πυρης εδερον τε, και αμφεπον· εκ δ' αρα παντων
δημον ϝελων εκαλυπτσε νεκυν μεγαθυϝμος αχιλλεϝς
ες ποδας εκ κεφαλης, περι δε δρατα σωματ' εναϝεεν.
εν δ' ετιθεε μελιτος και αλειφατος αμφιφορεϝας,
προς λεχεα κλινων· πισυρας δ' εριαϝχενας ϝιπποϝς
εσσυμενως ενεβαλλε πυρη̨̃, μεγαλα στοναχιδσων.
ϝεννεα τω̨̃γε ϝανακτι τραπεδσεϝες κυνες η̃σαν,
και μεν των ενεβαλλε πυρη̨̃ δυο δειροτομησανς·
δω̃δεκα δε τροϝων μεγαθυϝμων ϝυιας εσθλοϝς,
χαλκω̨̃ δαϝιοων· κακα δε φρεσ' εμηδετο ϝεργα·
εν δε πυρος μενος ϝη̃κε σιδηρεον, ϝοφρα νεμοιτο.
ω̨̃μωγσεν τ' αρ' επειτα, φιλον δ' ονομη̃νεν ϝεταιρον·
χαιρε μοι, ω πατροκλε, και ειν' αϝιδαϝο δομοισιν!

παντα γαρ ηδη τοι τετελεσμενα hωσπερ hυπεστην.
δωδεκα μεν τροFων μεγαθυFμων hυιιας εσθλοFς, Ψ
τοFς hαμα σοι παντας πυρ εσθιει· hεκτορα δ' ουτι
δωσω πριαμιδην πυρι δαπτεμεν, αλλα κυνεσιν.
hως φατ' απειλησανς· τον δ' ου κυνες αμφ' επενοντο·
αλλα κυνας μεν αλαλκε διος θυγατηρ αφροδιτη
hηματα και νυκτας· Fροδοεντι δ' εχριFεν ελαιῳ,
ανβροσιῳ, hινα μη μιν αποδρυφοι hελκυσταδσων·
τῳ δ' επι κυFανεον νεφος ηγαγε φοιβος απολλων
ουρανοθεν πεδιονδ'· εκαλυπτσε δε χωρον hαπαντα,
hοσον επεσχε νεκυς, μη πριν μενος ηελιοFο
σκηλει' αμφι περι χροα FFινεσιν, ηδε μελεσσιν.
ουδε πυρη πατροκλοF' εκαFετο τεθνηωτος·
ενθ' αFτ' αλλ' ενοησε ποδαρκης διFος αχιλλεFς,
στανς απανευθε πυρης δοιοισ' ηρατ' ανεμοισιν,
βορεῃ και δσεφυρῳ, και hυπεσχετο hιερα καλα·
πολλα δε και σπενδων δεπαϊ χρυσεῳ λιτανεFεν
ελθεμεν, hοφρα ταχιστα πυρι φλεγεθοιατο νεκροι,
hυλFη τε σσεFσαιτο καFημεναι. ωκα δε Fιρις
αραFων αϊFοντσα μετ' ανγελος ηλθ' ανεμοισιν.
hοι μεν αρα δσεφυροFο δυσαhεFος hαθροFοι ενδον
hελλαπινην δαινυντο· θεFοντσα δε Fιρις επεστη
βηλῳ επι λιθεῳ· τοι δ' hως Fιδον οφθαλμοισιν,
παντες ανηhιξαν, καλεον τε μιν εις hε hεκαστος·
hη δ' αFθ' εδσεσθαι μεν αηνατ' εFεσπε δε μυFθον·
ουχ εδος· ειμι γαρ αFθις επ' ωκεανοFο ρεFεθρα,
αιθιοπων ες γαιαν, hοθι ρεδσονθ' εκατονβας
αθανατοισ', hινα δη και εγω μεταδαισομαι hιερων·
αλλ' αχιλεFς βορεην ηδε δσεφυρον κελαδεινον
ελθεμεν αραται, και hυφισχεται hιερα καλα,
hοφρα πυρην ορσητε καFημεναι, hῃ ενι κειται
πατροκλος, τον παντες αναστοναχοντιν αχαιFοι.
hη μεν αρ' hως Fεσποντσ' απεβησατο· τοι δ' ορεοντο
Fηχῃ θεσπεσιῃ, νεφεα κλονεοντε παροιθεν·
αιπσα δε ποντον hικανον αhημεναι· ωρτο δε κυFμα
πνοFῃ hυπο λιγυρῃ· τροFιην δ' εριβωλον hικεσθην,
εν δε πυρῃ πεσετην, το δ' εFιFαχε θεσπιδαFες πυρ·
παννυχιοι δ' αρα τοιγε πυρης hαμυδις φλογ' εβαλλον,
φυFσωντες λιγυως· hο δε παννυχος ωκυς αχιλλεFς
χρυσεοF' εκ κρητηρος, hεχων δεπας αμφικυπελλον,
Fοινον αφυσσομενος χαμαδις χεF', εδευε δε γαιαν,
πσυFχην κικλησκων πατροκλεεος δδειλοFο.
hως δε πατηρ hοFο παιδος οδυFρεται οστεα καFων
νυμφιοF', hοστε θανων δδειλοFς ακαχησε τοκεFας·
hως αχιλεFς ωδυFρεθ' εταιροF' οστεα καFων,
hερπυδσων παρα πυρκαFιην, hαδινα στοναχιδσων.

ἡμος δε κροκοπεπλος ͱυπερ ͱαλα κιδναται ἠως,
τημος πυρκαFιη εμαραινετ', επαFσατο δε φλογς. Ψ
ͱοι δ' ανεμοι παλιν αFτις εβαν Fοικονδε νεεσθαι,
θρεFικιον κατα ποντον· ͱο δ' εστενεν, ͱοιδματι θυFων.
πηλεFιδης δ' απο πυρκαFιης ͱετερωσε λιFασθενς,
κλῖνθη κεκμῆως, επι δε γλυκυς ͱυπνος οροFσεν.
ͱοι δ' αμφ' ατρεFιFῶνα ͱαFολFεες ἦγερεθοντο,
των μιν επερχομενων ͱομαδος και δουπος εγειρεν.
ͱεδσετο δ' ορθῶθενς, και σφεας προς μυFθον εFεσπεν·
ατρεFιδη τε, και αλλοι αριστεFες παναχαιFων,
πρῶτον μεν κατα πυρκαFιην σβεσατ' αιθοπι Fοινῷ
παντσαν, ͱοποσον επεσχε πυρος μενος· αFταρ επειτα
οστεα πατροκλοFο μενοιτιαδαFο λεγωμεν,
ͱευ διαγιγνῶσκοντες· αριφραδεα δε τετυχται·
εν μεσσῇ γαρ εκειτο πυρῇ, τοι δ' αλλοι ανευθεν
εσχατιῇ καFοντ' επιμιγς ͱιπποι τε και ανδρες·
και τα μεν εν χρυσεῃ φιαλῃ και διπλακι δημῷ
θειομεν, εις ͱο κεν αFτος εγων αFιδος κεFθωμαι.
τυμβον δ' ου μαλα πολλον εγω πονεεσθαι ανωγα,
αλλ' επιFεικεα τοιον· επειτα δε και τον αχαιFοι
ευρυν θ' υπσηλον τε τιθημεναι, ͱοι κεν εμεFο
δεFτεροι εν ναFεσι πολυκλεFιδσι λιπησθε.
ͱως εφαθ'· οι δ' επιθοντο ποδῶκεϊ πηλεFιFῶνι·
πρῶτον μεν κατα πυρκαFιην σβεσαν αιθοπι Fοινῷ,
ͱοσον επι φλογς ηλθε, βαθυια δε κατπεσε τεφρη·
κλαFοντες δε ͱεταιροF ενηεος οστεα λεFκα
ανλεγον ες χρυσεην φιαλην, και διπλακα δημον·
εν κλισιῃσι δε θεντες εFᾶνῷ λῖτ' εκαλυπτσαν·
τορνῶσαντο δε σημα, θεμηλια τε προβαλοντο
αμφι πυρην· ειθαρ δε χυτην επι γαιαν εχεFσαν·
χεFσαντες δε το σημα, παλιν κιον. αFταρ αχιλλεFς
αFτοFο λαFον ερυκε, και ͱιδσανεν ευρυν αγῶνα.
ͱιππεFσιν μεν πρῶτα ποδῶκεσιν αγλαF αFεθλα
θῆκε, γυναικ' αγαγεσθαι, αμυFμονα Fεργα Fιδυιαν,
και τριποδ' οFατοεντα δυω και Fεικοσι μετρον,
τῷ πρωτῷ· αταρ αF τῷ δεFτερῷ ͱιππον εθῆκεν
ͱεκσFετε', αδμῆτην, βρεφος ͱημιονον κυFεοντσαν·
αFταρ τῷ τριτατῷ απυρον κατεθῆκε λεβητα,
καλον, τεσσαρα μετρα κεχανδοτα, λεFκον ετ' αFτως·
τῷ δε τεταρτῷ εθῆκε δυο χρυσοFο ταλαντα·
πεμπτῷ δ' αμφιθετον φιαλην απυρωτον εθῆκεν·
στη δ' ορθος, και μυFθον εν αργειFοισιν εFεσπεν·
ατρεFιδη τε, και αλλοι ͱεϋκνημῖδες αχαιFοι,
ͱιππεFας ταδ' αFεθλα δεδεχμενα κειτ' εν αγῶνι.
ͱως φατο πηλεFιδης· ταχυες δ' ͱιππεFες εγερθεν·
ὦρτο πολυ πρῶτος μεν Fανακς ανδρων ͱεϋμηλος,

αδμητοο φιλος hυιος, hος hιπποσυνῃ εκεκαστο· Ψ
τῳ δ' επι τυϝδεϝιδης ὦρτο κρατερος διομηδης,
hιπποϝς δε τρωϝιοϝς hυπαγε δσυγον, hοϝς ποτ' απηϝρα
αινειαν, αταρ αϝτον hυπεκσεσαωσεν απολλων.
τῳ δ' αρ' επ' ατρεϝιδης ὦρτο χσανθος μενελαϝος,
διϝογενης, hυπο δε δσυγον ἦγαγεν ὠκυας hιπποϝς,
αιθην την αγαμεμνονεην, τον hεϝον τε ποδαργον·
την αγαμεμνονι δωκ' αγχισιαδης hεχεπωλος
δωρ', hινα μη hοι hεποιθ' υπο ϝιλϝιον ανεμοεντσαν,
αλλ' αϝτοο τερποιτο μενων, μεγα γαρ hοι εδωκεν
δσευς hαφενος, ναιεν δ' hογ' εν ευρυχορῳ σικυωνι·
την hογ' hυπο δσυγον ἦγε μεγα δρομοϝ hισχαναοντσαν.
αντιλοχος δε τεταρτος hεϋτριχας hοπλισαθ' ιπποϝς,
νεστορος αγλαϝος hυιος, hυπερθυϝμοϝο ϝανακτος,
τοο νηλεϝιαδαϝο· πυλοιγενεες δε hοι hιπποι
ὠκυποδες φερον hαρμα· πατηρ δε hοι αγχι παρασταυς
μυϝθεετ' εις αγαθα φρονεων νοεοντι και αϝτῳ·
αντιλοχ', ητοι μεν σε, νεϝον περ εοντ', εφιλησαν
δσευς τε, ποσειδαϝων τε, και hιπποσυνας εδιδακσαν
παντοιας· τῳ και σε διδασκεμεν ουτι μαλα χρη.
ϝοισθα γαρ hευ περι τερμα ϝελισσεμεν· αλλα τοι hιπποι
βαρδιστοι θεϝεμεν, τῳ τ' οιϝω λοιγι' εσεσθαι·
των δ' hιπποι μεν εαντιν hαφαρτεροι, ουδε μεν αϝτοι
πλειονα ϝιδσαντιν σεθεν αϝτοϝο μητιϝσασθαι.
αλλ' αγε δη συ, φιλος, μητιν ενβαλλεο θυϝμῳ
παντοιην, hινα μη σε παρεκπροφυγητιν αϝεθλα.
μητι τοι δρυτομος μεγ' αμεινων, ηε βιηφι·
μητι δ' αϝτε κυβερνητης ενι ϝοινοπι ποντῳ
ναϝα θοϝην ιθυϝνει ερεχθομενην ανεμοισιν·
μητι δ' hηνιhοχος περιγιγνεται hηνιhοχοϝο.
αλλος μεν θ' ιπποισι και hαρμασ' hεϝοισι πεποιθως,
αφραδεως επι πολλα ϝελισσεται ενθα και ενθα,
hιπποι δε πλαναονται ανα δρομον, ουδε καθισχει·
hος δε κε κερδεα ϝειδῃ, ελαϝνων hησσονας hιπποϝς,
αιϝει τερμ' hορεων, στρεφει ενγυθεν, ουδε hε ληθει
hοπως τον πρωτον τανυσῃ βοϝεοισιν hιμαντσιν·
αλλ' hεχει ασφαλεως, και τον προhεχοντα δοκεϝει.
σημα δε τοι ϝερεω μαλ' αριφραδες, ουδε σε ληθσει·
hεστηκε χσυλον αυϝον, hοσον τ' οργυι', hυπερ αιης,
η δρυος, η πευκης, το μεν ου καταπυϝθεται ομβρῳ·
λαϝε δε τοϝ' hεκατερθεν ερηρεδαται δυο λεϝκω,
εν χσυνhοχῃσιν hοδοο· λεϝος δ' hιπποδρομος αμφις.
τῳ συ μαλ' ενχριμπσαυς ελαεεν σχεδον hαρμα και hιπποϝς·
αϝτος δε κλινθηναι hεϋπλεκτῳ ενι διφρῳ,
hηκ' επ' αριστερα τοιϊν· αταρ τον δεχσιον hιπποον
κενσαι hομοκλησαυς, ϝεικσαι τε hοι hηνια χερσιν.

εν νυσσῇ δε τοι ͱιππος αριστερος ενχριμφθητω,
ͱως αν τοι πλημνη γε δοασσεται ακρον ͱικεσθαι
κυκλοϝο ποιητοϝο· λιθοο δ' αλεϝεσθαι επαϝρεεν,
μη πως ͱιπποϝς τε τρωσῇς, κατα θ' αρματα ϝαγνσῇς·
χαρμα δε τοισ' αλλοισιν, ελενχειη δε σοι αϝτῷ
εσσεται· αλλα, φιλος, φρονεων πεφυλαγμενος εεναι·
ει γαρ κ' εν νυσσῇ γε παρεκσελασῇσθα διωκων,
ουκ εσθ', ος κε σ' ͱεληντι μεθαλμενος, ουδε παρελθῇ.
ͱως ϝεσπων νεστωρ νηλεϝιος απς ενι χωρῃ
ͱεδσετ', επει ͱῷ παιδι ͱεκαστοϝο πειρατ' εϝεσπεν.
μηριονης δ' αρα πεμπτος ͱεϋτριχας ͱοπλισαθ' ιπποϝς.
αν δ' εβαν ες διφροϝς, εν δε κλῆροϝς εβαλοντο·
παλλ' αχιλεϝς, εκ δε κλῆρος θορε νεστοριδαϝο
αντιλοχοο· μετα τον δ' ελαχε κρεϝων ͱεϋμηλος·
τῷ δ' αρ' επ' ατρεϝιδης δορϝικλειτος μενελαϝος·
τῷ δ' επι μηριονης λαχ' ελαϝνεμεν· ͱυστατος αϝτε
τυϝδεϝιδης, ͱοχ' αριστος εων, λαχ' ελαϝνεμεν ͱιπποϝς.
σταν δε μεταστοιχις· σημῆνε δε τερματ' αχιλλεϝς,
τηλοθεν εν λεϝῷ πεδιῳ· παρα δε σκοπον ͱεσσεν
αντιθεον φοινῖκα, οπαϝονα πατρος ͱεϝοϝο,
ͱως μεμνεοιτο δρομοο, και αληθειην αποϝεσποι.
ͱοι δ' ͱαμα παντες εφ' ιπποισιν μαστινγας αͱῆραν,
πεπληγον τε ͱιμαντσιν, ͱομοκλῆσαν τε ϝεπεσσιν,
εσσυμενως· ͱοι δ' ωκα διεπρησσον πεδιοϝο,
νοσφι ναϝων, ταχυως· ͱυπο δε στερνοισι κονιϝη
ͱιστατ' αͱειρομενη, ͱωστε νεφος, ηε θυϝελλα·
χαιται δ' εροϝοντο μετα πνοϝῆσ' ανεμοϝο.
ͱαρματα δ' αλλοτε μεν χθονι πιλνατο πολυβοτειρῃ,
αλλοτε δ' αͱικσᾶσκε μετῆͱορα· τοι δ' ελατηρες
ͱεστασαν εν διφροισ'· επατασσε δε θυϝμος ͱεκαστοο
νικης ͱιͱεμενων· κεκλοντο δ' ͱεϝοισιν ͱεκαστος
ͱιπποισ', ͱοι δ' επετοντο κονιϝοντες πεδιοϝο.
αλλ' ͱοτε δη πυματον τελεον δρομον ωκυες ͱιπποι
απς εφ' αλος πολιης, τοτε δη αρετη γε ͱεκαστοο
φαινεθ', αφαρ δ' ͱιπποισ' εταθη δρομος· ωκα δ' επειτα
ͱαι φηρητιαδαϝο ποδωκεες εκφερον ͱιπποι.
τας δε μετ' εκσεφερον διομηδεος αρσενες ͱιπποι
τροϝιοι· ουδε τι πολλον ανευθ' εσαν, αλλα μαλ' ενγυς·
αιϝει γαρ διφροϝ' επιβησομενοισ' εϝεϊκτην·
πνοϝῃ δ' ͱευμηλοϝο μεταφρενον, ευρυε τ' ωμω,
θερμετ'· επ' αϝτῷ γαρ κεφαλας καταθεντ' επετεσθην.
και νυ κεν η παρελασσ', η' αμφηριστον εθῆκεν,
ει μη τυϝδεϝος υιϊ κοτεσσατο φοιβος απολλων,
ͱος ρα ͱοι εκ χειρων εβαλεν μαστινγα φαϝεινην.
τοϝο δ' απ' οφθαλμων χυτο δακρυϝα χωομενοϝο,
ͱοονεκα τας μεν ͱορᾶ ετι και πολυ μαλλον ιοντσας,

ͱοι δε ͱοι εβλαφθησαν, ανευ κεντροϝο θεϝοντες. Ψ
ουδ' αρ' αθηναιην ελεφῆραμενος λαθ' απολλων
τυϝδεϝιδην, μαλα δ' ὦκα μετεσσυτο ποιμενα λαϝων·
δῶκε δε ͱοι μαστινγα, μενος δ' ͱιπποισιν ενͱῆκεν.
ͱη δε μετ' αδμῆτοϝ ͱυϊον κοτεοντσ' εβεβηκεεν,
ͱιππειον δε ͱοι εϝανγσε δσυγον· ͱαι δε ͱοι ͱιπποι
αμφις ͱοδοο δραμετην, ρυϝμος δ' επι γαιαν ελυσθη.
αϝτος δ' εκ διφροϝο παρα τροχον εκσεκυλισθη,
ανκῶνας τε περιδρυφθη, στομα τε, ϝρῖνας τε,
θρυλλιχθη δε μετῶπον επ' οφρυσι· τω δε ͱοι οσσε
δακρυϝοφιν πλησθην, θαλερη δε ͱοι εσχετο φῶνη.
τυϝδεϝιδης δε παρατρεπσανς ͱεχε μωνυχας ͱιπποϝς,
πολλον των αλλων εκσͱαλμενος· εν γαρ αθηνη
ͱιπποισ' ͱῆκε μενος, και επ' αϝτῳ κυϝδος εθηκεν.
τῷ δ' αρ' επ' ατρεϝιδης εσχε χσανθος μενελαϝος.
αντιλοχος δ' ͱιπποισιν εκεκλετο πατρος ͱεϝοϝο·
ενβητον, και σφοϝι τιταινετον ͱοτι ταχιστα.
ητοι μεν κεινοισιν εριδσεμεν ουτι κελεϝω·
ͱιπποϝς δ' ατρεϝιδαϝο κιχανετε, μηδε λιπησθον,
καρπαλιμως, μη σφοϝιν ελενχειην καταχεϝῃ
αιθη, θηλυς εοντσα· τιη λειπεσθε, φεριστοι;
ͱῷδε γαρ εκσϝερεω, και μην τετελεσμενον εσται·
ου σφοϝιν κομιδη παρα νεστορι ποιμενι λαϝων
εσσεται, αϝτικα δ' υμμε κατακτενε' ͱοκσυι χαλκῷ,
αι κ' αποκηδησαντε φερωμεθα χειρον αϝεθλον·
αλλ' εφομαρτεετον, και σπευδετον ͱοτι ταχιστα·
ταϝτα δ' εγων αϝτος τεχνησομαι, ηδε νοησω,
στεινῶπῳ εν ͱοδῷ παραδυϝμεναι, ουδε με λησει.
ͱως εφαθ'· οι δε ϝανακτος ͱυποδδειδσαντες ͱομοκλῆν
μαλλον επιδραμετην ολιγον χρονον· αιπσα δ' επειτα
στεινος ͱοδοο κοιλης ϝιδεν αντιλοχος μενεχαρμης·
ϝρῶχμος εῆν γαιης, ͱῇ χειμεριον ͱαλεν ͱυϝδωρ
εκσεϝρῆγσεν ͱοδοϝο, βαθυϝνε δε χῶρον ͱαπαντα·
τῇ ρ' εσχεν μενελαϝος, ͱαματροχιας αλεϝεινων.
αντιλοχος δε παρατρεπσανς ͱεχε μωνυχας ͱιπποϝς
εκτος ͱοδοϝ, ολιγον δε παρακλῖνανς εδιῶκεν·
ατρεϝιδης δ' εδδεισε, και αντιλοχῷ εγεγωνεν·
αντιλοχ', αφραδεως ͱιππαδσεαι· αλλ' ανͱεχ' ͱιπποϝς·
στεινῶπος γαρ ͱοδος, ταχα δ' ευρυτερῇ παρελασσεις·
μη πως αμφοτεροϝς δηλησεαι, ͱαρματι κυρσανς.
ͱως εφατ'· αντιλοχος δ' ετι και πολυ μαλλον ελαϝνεν,
κεντρῷ επισπερχων, ͱως ουκ αϝιοντι ϝεϝοικως.
ͱοσα δε δισκοϝ ουρα κατωμαδιοϝο πελονται,
ͱοντ' αιδσηος αφῆκεν ανηρ, πειρῶμενος ͱηβης,
τοσον επεδραμετην· ͱαι δ' ηροϝησαν οπισσῳ
ατρεϝιδαϝ· αϝτος γαρ ͱεκων μετεͱῆκεν ελαϝνεεν,

μη πως γσυνκυρσειαν ͱοδῷ ενι μωνυχες ͱιπποι,
διφροϝς τ' ανστρεφσειαν ͱεϋπλεκεας, κατα δ' αϝτοι Ψ
εν κονιϝῇσι πεσοιεν, επειγομενοι περι νικης.
τον και νεικειων προσεφη χσανθος μενελαϝος·
αντιλοχ', ουτις σεϝο βροτων ολοϝωτερος αλλος·
ϝερρ'· επει ου σ' ͱετυμον γε φαμεν πεπνῦσθαι αχαιϝοι.
αλλ' ου μαν ουδ' ͱως ατερ ͱορκοϝο ͱοισε' αϝεθλον.
ͱως ϝεσπων, ͱιπποισιν εκεκλετ', εφῶνησεν τε·
μη μοι ερυκεσθον, μηδ' ͱεστατον αχνυμενω κεαρ·
φθησονται τοϝτοισι ποδες και γονϝα καμοντα,
ή' ͱυμῖν· αμφω γαρ ατεμβονται νεϝοτητος.
ͱως εφαθ'· οι δε ϝανακτος ͱυποδδειδσαντες ͱομοκλῆν
μαλλον επεδραμετην, ταχα δε σφισιν ανχ' εγενοντο.
αργειϝοι δ' εν αγῶνι καθημενοι εισͱοραοντο.
πρῶτος δ' ιδομενεϝς, κρητων αγος, εφρασαθ' ιπποϝς·
ͱηστο γαρ εκτος αγῶνος ͱυπερτατος εν περιῶπῃ·
τοϝο δ', ανευθεν εοντος, ͱομοκλῆτηρος ακοϝσανς
εγνῶ· φρασσατο δ' ͱιππον αριπρεπεα προͱεχοντα,
ͱος το μεν αλλο τοσον φοινικς ῆν, εν δε μετῶπῳ
λεϝκον σημ' ετετυχτο περιτροχον, ηϋτε μηνη.
στη δ' ορθος, και μυϝθον εν αργειϝοισιν εϝεσπεν·
ω φιλοι, αργειϝων ͱηγητορες, ηδε μεδοντες,
οιος εγων ͱιπποϝς αϝγαδσομαι, ηε και ͱυμεες;
αλλοι μοι δοκεοντι παροιτεροι εσμεναι ͱιπποι,
αλλος δ' ͱηνιͱοχος ϝινδαλλεται· ͱαι δε ποϝ' αϝτοο
εβλαβεν εν πεδιῷ, ͱαι κεισε γε φερτεραι ῆσαν·
ητοι γαρ τας πρῶτ' εϝιδον περι τερμα βαλοντσας,
νῦν δ' ου πῃ δυναμαι ϝιδεεεν, παντῃ δε μοι οσσε
τροϝικον αν πεδιον παπταινετον εισͱοραοντι·
ηε τον ͱηνιͱοχον φυγον ͱηνια, ουδ' εδυνασθη
ͱευ σχεθεεεν περι τερμα, και ουκ ετυχησε ϝελικσανς·
ενθα μιν εκπεσεεεν οϊϝω, γσυν θ' αρματα ϝανγσαι·
ͱαι δ' εκσηροϝησαν, επει μενος ελαβε θυϝμον.
αλλα ϝιδεσθε και υμμες ανασταδον· ου γαρ εγωγε
ͱευ διαγιγνῶσκω· δοκεει δε μοι εσμεναι ανηρ
αιτωλος γενεην, μετα δ' αργειϝοισι ϝανασσει,
τυϝδεϝος ͱιπποδαμοϝ' ͱυϊος κρατερος διομηδης.
τον δ' αισχρως ενενισπεν ͱο ϝιλϝεϝος ταχυς αιϝανς·
ιδομενεϝ, τι παρος λαβρεϝεαι; ͱαι δε τ' ανευθεν
ͱιπποι αͱερσιποδες πολυος πεδιοϝο διενται·
ουτε νεϝωτατος εσσι μετ' αργειϝοισι τοσοϝτον,
ουτε τοι ͱοκσυτατον κεφαλης εκδερκετον οσσε·
αλλ' αιϝει μυϝθοις λαβρεϝεαι· ουδε τι σε χρη.
ͱιπποι δ' αϝται εαντι παροιτεραι, ͱαι το παρος περ,
ͱευμηλοϝ', εν δ' αϝτος ͱεχων ευληρα βεβηκεν.
τον δε χολῶσαμενος κρητων αγος αντιον ῆυϝδα·

αιϝαν, νεικος αριστε, κακοφραδες· αλλα δε παντα Ψ
δεϝεαι αργειϝων, ͱοτι τοι νοος εστιν απηνης·
δευρ' αγε νῦν, τριποδος περιδωμεθον, ηε λεβητος·
ϝιδστορα δ' ατρεϝιδην αγαμεμνονα θειομεν αμφω,
ͱοποτεραι προσθ' ͱιπποι· ͱινα γνοιης αποτιϝνων.
ͱως εφατ'· ὦρνυτο δ' αϝτιχ' ο ϝιλϝεϝος ταχυς αιϝανς,
χωομενος, χαλεποισιν αμειβσασθαι ϝεπεεσιν.
και νυ κε δη προτερῳ ετ' ερις γενετ' αμφοτεροισιν,
ει μη αχιλλεϝς αϝτος ανͱιστατο, και φατο μυϝθον·
μηκετι νῦν χαλεποισιν αμειβεσθον ϝεπεεσιν,
αιϝαν, ιδομενεϝ τε, κακοισ'· επει ουδε ϝεϝοικεν·
αλλ' ͱυμεες εν αγῶνι καθημενοι εισͱοραεσθε
ͱιπποϝς· ͱοι δε ταχ' αϝτοι επειγομενοι περι νικης
ενθαδ' ελευθσονται· τοτε δε γνῶσεσθε ͱεκαστος
ͱιπποϝς αργειϝων, ͱοι δεϝτεροι, ͱοι τε παροιθεν.
ͱως φατο· τυϝδεϝιδης δε μαλα σχεδον ηλθε διῶκων,
μαστιι δ' αιϝεν ελαϝνε κατωμαδον· ͱοι δε ͱοι ͱιπποι
ͱυψσοσ' αͱειρεσθην ριμφα πρησσοντε κελευθον.
αιϝει δ' ͱηνιͱοχον κονιϝης ραθαμιγγες εβαλλον·
ͱαρματα δε χρυσῷ πεπυκασμενα κασσιτερῷ τε
ͱιπποισ' ὦκυποδεσιν επετρεχον· ουδε τι πολλη
γιγνετ' επισῶτρων ͱαρματροχιη κατοπισθεν
εν λεπτῇ κονιϝῃ· τω δε σπευδοντ' επετεσθην.
στη δε μεσῳ εν αγῶνι, πολυς δ' ανεκηκιεν ͱιδρως
ͱιππων, εκ τε λοφων και απο στερνοϝο χαμαδσε.
αϝτος δ' εκ διφροϝο χαμαι θορε πανφαναοντος,
κλῖνε δ' αρα μαστιγα ποτι δσυγον· ουδ' εματῆσεν
ῖφθῖμος σθενελος, αλλ' εσσυμενως λαβ' αϝεθλον·
δῶκε δ' αγεεν ͱεταροισιν ͱυπερθυϝμοισι γυναικα,
και τριποδ' οϝατοεντα φερεεν· ͱο δ' ελυϝεν ͱυφ' ιπποϝς.
τῷ δ' αρ' επ' αντιλοχος νηλεϝιος ηλασεν ͱιπποϝς,
κερδεσιν, ουτι ταχει γε, παραφθαμενος μενελαϝον·
αλλα και ͱως μενελαϝος ͱεχ' εγγυθεν ὦκυας ͱιπποϝς·
ͱοσον δε τροχοϝ ͱιππος αφισταται, ͱος ρα ϝανακτα
ͱελκητιν πεδιοϝο τιταινομενος γσυν ͱοχεσσιν·
τοσον δη μενελαϝος αμυϝμονος αντιλοχοϝο
λειπετ'· αταρ τα πρῶτα και ες δισκουρ' ελελειπτο,
αλλα μιν αιπσ' εκιχανεν· οφελλετο γαρ μενος ἦυ
ͱιπποϝο της αγαμεμνονεης καλλιτριχος αιθης·
ει δε κ' ετι προτερῳ γενετο δρομος αμφοτεροισιν,
τῷ κεν μιν παρελασσ', ουδ' αμφηριστον εθῆκεν.
αϝταρ μηριονης, θεραπων ͱεῦς ιδομενεϝος,
λειπετ' αγακλεεος μενελαϝοϝο δορϝος εροϝην·
βαρδιστοι μεν γαρ ͱοι εσαν καλλιτριχες ͱιπποι,
ͱηκιστος δ' ην αϝτος ελαϝνεμεν ͱαρμ' εν αγῶνι.
ͱυιος δ' αδμῆτοϝο πανͱυστατος ηλυθεν αλλων.

τον δε ϝιδων ῳκτειρε ποδαρκης διϝος αχιλλεϝς·
σταυς δ' αϱ' εν αργειϝοις ϝεπεα πτεϱοεντ' αγορεϝεν·
λοισθος ανηρ ͱοχ' αριστος ελαϝνει μωνυχας ͱιπποϝς· Ψ
αλλ' αγε ͱοι δῶωμεν αϝεθλιον, ͱως επιϝεικες,
δεϝτεϱ'· αταρ τα πρῶτα φερεσθω τυϝδεϝος ͱυιος·
ͱως εφαθ'· οι δ' αρα παντες επῄνεον, ͱως εκελεϝεν.
και νυ κεν ͱοι ποϱεν ͱιππον, επῄνησαν γαρ αχαιϝοι,
ει μη αρ' αντιλοχος, μεγαθυϝμοϝο νεστοϱος ͱυιος,
πηλεϝιδην αχιλεϝα δικῃ ἠμειβσατ' ανασταυς·
ω αχιλεϝ, μαλα τοι κεχολῶσομαι, αι κε τελεσσῃς
τοϝτο ϝεπος· μελλεις γαρ αφαιρησεσθαι αϝεθλον,
τα φρονεων, ͱοτι ͱοι βλαβεν ͱαρματα και ταχυ' ͱιππω,
αϝτος τ' εσθλος εων· αλλ' ὦφελεν αθανατοισιν
ευχεσθαι, τῷ κ' ουτι πανͱυστατος ηλθε διῶκων.
ει δε μιν οικτειρεις, και τοι φιλον επλετο θυϝμῷ,
εστι τοι εν κλισιῃ χρυσος πολυς, εστι δε χαλκος,
και πϱοβατ', εντι δε τοι δμῶαι, και μωνυχες ͱιπποι·
των ͱοι επειτ' ανͱελων δομεναι και μειδσον αϝεθλον,
ηε και αϝτικα νῦν, ͱινα σ' αινησωντιν αχαιϝοι.
την δ' εγω ου δῶσω· περι δ' αϝτης πειρῆθητω
ανδρων ͱος κ' εθελητιν εμοι χειρεσι μαχεσθαι.
ͱως φατο· μειδησεν δε ποδαρκης διϝος αχιλλεϝς,
χαιρων αντιλοχῷ, ͱοτι ͱοι φιλος ἦεν ͱεταιρος·
και μιν αμειβομενος ϝεπεα πτεροεντα προσηῦϝδα·
αντιλοχ', ει μεν δη με κελεϝεις ϝοικοθεν αλλο
ͱευμηλῷ επιδῶναι, εγω δε κε και το τελεσσω·
δῶσω ͱοι θωρηκα, τον αστεϱοπαιον απηῦϝρων,
χαλκεον, ͱῷ περι χεϝμα φαεινοϝο κασσιτεροϝο
αμφιδεδινεϝται· πολυος δε ͱοι αγσιος εσται.
ἦ ϱα, και αϝτομεδοντι φιλῷ εκελεϝσεν ͱεταιρῷ
ͱοισεμεναι κλισιηθεν· ͱο δ' ῴχετο, και ͱοι ενενκεν.
τοισι δε και μενελαϝος ανͱιστατο, θυϝμον αχεϝων,
αντιλοχῷ αμοτον κεχολῶμενος· εν δ' αρα κηρυκς
χερσι σκηπτρον εθῆκε, σιωπησαι τ' εκελεϝσεν
αργειϝοϝς· ͱο δ' επειτα μετηῦϝδαε ϝεισϝοθεος φῶς·
αντιλοχε, προσθεν πεπνῦμενε, ποιον ερεκσας;
ῄσχῦνας μεν εμην αρετην, βλαπτσας δε μοι ͱιπποϝς,
τεϝοϝς προσθε βαλων, ͱοι τοι πολυ χειρονες ἦσαν.
αλλ' αγετ', αργειϝων ͱηγητορες, ηδε μεδοντες,
ες μεσον αμφοτεροισι δικασσατε, μηδ' επ' αρωγῄ·
μη ποτε τις ϝεσπητιν αχαιϝων χαλκοχιτῶνων,
αντιλοχον πσευδεσσι βιῆσαμενος μενελαϝος
οιχεται ͱιππον αγων, ͱοτι ͱοι πολυ χειρονες ἦσαν
ͱιπποι, αϝτος δε κρεισσων αϱετῄ τε, βιῄ τε.
ει δ' αγ', εγων αϝτος δικασω, και μ' ουτινα φημι
αλλον επιπληγσεεν δαναων· ιθυια γαρ εσται.

αντιλοχ', ει δ' αγε δευρο, διοτρεφες, ͱῇ θεμις εστιν, Ψ
στανς ͱιππων προπαροιθε και ͱαρματος, αFταρ ͱιμασθλην
χερσιν ͱεχε Fραδινην, ͱῇπερ το προσθεν ελαFνες,
ͱιππων ͱαπτσαμενος, γαιηͱοχον εννοσιγαιον
ομνυθι, μη μεν ͱεκων το δ' εμον δολῳ ͱαρμα πεδῆσαι.
τον δ' αFτ' αντιλοχος πεπνῦμενος αντιον ῆυFδα·
ανσχεο νῦν, πολλον γαρ εγωγε νεFωτερος ῆμι
σεFο, Fαναкς μενελαFε, συ δε προτερος και αρειων.
Fοιδσθ' ͱοιαι νεFοF ανδρος ͱυπερβασιαι τελεθοντιν·
κραιπνοτερος μεν γαρ τε νοος, λεπτη δε τε μητις·
τῳ τοι επιτλῆτω κραδιη· ͱιππον δε τοι αFτος
δῶσω, την ͱαρομην· ει και νυ κε Fοικοθεν αλλο
μειδσον επαιτησειας, ͱαφαρ κε τοι αFτικα δῶναι
βουλοιμην, η σοι γε, διοτρεφες, ͱηματα παντα
εκ θυFμοο πεσεεεν, και δαιμοσιν εεναι αλιτρος.
ῆ ρα, και ͱιππον αγων μεγαθυFμοFο νεστορος ͱυιος
εν χειρεσ' ετιθεε μενελαFοFο· τοFο δε θυFμος
ειανθη, ͱως ει τε περι σταχυεσιν εερση
λεFιοF αλδησκοντος, ͱοτε φρισσοντιν αϱοFϱαι·
και μιν φῶνησανς Fεπεα πτεροεντα προσῆυFδα·
αντιλοχε, νῦν μεν τοι εγων ͱυποFεικσομαι αFτος,
χωομενος· επει ουτι παρῆͱορος, ουδ' αͱεσιφρων,
ησθα παρος· νῦν αFτε νοον νικησε νεFοιη.
δεFτερον αFτ' αλεFεσθαι αμεινονας ηπεροπεFεεν·
ου γαρ κεν με ταχ' αλλος ανηρ παρεπειθσεν αχαιFων·
αλλα συ γαρ δη πολλ' επαθες, και πολλ' εμογησας,
σος τε πατηρ αγαθος, και αδελφεFος, ͱεινεκ' εμεFο·
τῳ τοι λισσομενῳ επιπειθσομαι, ηδε και ͱιππον
δῶσω, εμην περ εουτσαν· ͱινα γνῶωντι και ͱοιδε,
ͱως εμος ου ποτε θυFμος ͱυπερφιαλος και απηνης.
ῆ ϱα, και αντιλοχοFο νοημονι δῶκεν ͱεταιρῳ
ͱιππον αγεεν· ͱο δ' επειτα λεβηθ' ελε πανφαναοντα.
μηριονης δ' αναͱειρε δυο χρυσοFο ταλαντα
τετρατος, ͱως ελασεν· πεμπτον δ' ͱυπελειπετ' αFεθλον,
αμφιθετος φιαλη· την νεστορι δῶκεν αχιλλεFς,
αργειFων αν' αγῶνα φερων, και εFεσπε παραστανς·
τη νῦν, και σοι τοFτο, γερον, κειμηλιον εστω,
πατροκλοFο ταφοο μνημ' εσμεναι· ου γαρ ετ' αFτον
οπτσε' εν αϱγειFοισι· διδωμι δε τοι τοδ' αFεθλον
αFτως· ου γαρ πυγς γε μαχησεαι, ουδε παλαισεις,
ουδε τ' ακοντιστυν εσδυFσεαι, ουδε ποδεσιν
θεFσεαι· ηδη γαρ χαλεπον κατα γηρας επειγει.
ͱως Fεσπων, εν χεϱσ' ετιθεεν ͱο δ' εδεχσατο χαιρων,
και μιν φῶνησανς Fεπεα πτεροεντα προσῆυFδα·
ναι δη ταFτα γε παντα, τεκος, κατα μοιραν εFεσπες·
ου γαρ ετ' ευπεδα γυια, φιλος, ποδες, ουδ' ετι χειϱες

ωμων αμφοτερωθεν επαͱισσονται ελαφραι. Ψ
ειθ᾽ ͱως ͱηβαϝοιμι, βιη τε μοι ενπεδος ειη,
ͱως ͱοποτε κρεϝοντ᾽ αμαρυνκεα θαπτον επειοι
βοϝπρασιῳ, παιδες δ᾽ εθεσαν βασιλεϝος αϝεθλα.
ενθ᾽ ουτις μοι ͱομοιος ανηρ γενετ᾽, ουτ᾽ αρ᾽ επειων,
ουτ᾽ αϝτων πυλιων, ουτ᾽ αιτωλων μεγαθυϝμων.
πυγς μεν ενικησα κλυτομηδεα, ϝοινοπος ͱυιον·
ανκαιον δε παλῃ πλεϝρωνιον, ͱος μοι ανεστη·
ϝιφικλον δε ποδεσι παρεδραμον, εσθλον εοντα·
δορϝι δ᾽ ͱυπερεβαλον φυϝλεϝα τε, και πολυδῶρον·
οιοισιν μ᾽ ͱιπποισι παρηλασαν ακτοριϝῶνε,
πληθει προσθε βαλοντες, αγασσαμενοι περι νικης,
ͱοονεκα δη τα μεγιστα παρ᾽ αϝτοφ᾽ ελειπετ᾽ αϝεθλα.
ͱως ποτ᾽ εον, νῦν αϝτε νεϝωτεροι αντιαοντων
ϝεργων τοιοϝτων· εμε δε χρη γηραϊ λυγρῳ
πειθεσθαι, τοτε δ᾽ αϝτε μετεπρεπον ͱηροϝεσιν.
αλλ᾽ ιθι, και σον ͱεταιρον αϝεθλοισι κτερεϊδσε.
τοϝτο δ᾽ εγω προφρων δεχομαι, χαιρει δε μοι ητορ,
ͱως μεϝ αϝει μεμνησαι ενηεος· ουδε σε ληθω,
τιϝμης ͱης με ϝεϝοικε τετιϝμῆσθαι μετ᾽ αχαιϝοις.
σοι δε θεοι τωνδ᾽ αντι χαριν μενοϝεικεα δοιεν.
ͱως φατο· πηλεϝιδης δε πολυν καθ᾽ ομιλον αχαιϝων
ῴχετ᾽, επει παντ᾽ αινον επεκλυϝε νηλεϝιδαϝο.
αϝταρ ͱο πυγμαχιης αλεγεινης θῆκεν αϝεθλα·
ͱημιονον ταλαϝεργον αγων κατεδησ᾽ εν αγῶνι
ͱεκσϝετε᾽, αδμῆτην, ͱητ᾽ αλγιστη δαμασασθαι·
τῷ δ᾽ αρα νικῆθεντι τιθεε δεπας αμφικυπελλον.
στη δ᾽ ορθος, και μυϝθον εν αργειϝοισιν εϝεσπεν·
ατρεϝιδη τε, και αλλοι ͱεϋκνημῖδες αχαιϝοι,
ανδρε δυω περι τωνδε κελεϝομεν, ͱωσπερ αριστω,
πυγς μαλ᾽ ανασχομενω πεπληγεμεν· ͱῷ δε κ᾽ απολλων
δωῄ κατμονιην, γνῶωντι δε παντες αχαιϝοι,
ͱημιονον ταλαϝεργον αγων κλισιηνδε νεεσθω·
αϝταρ ͱο νικῆθενς δεπας ͱοισεται αμφικυπελλον.
ͱως εφατ᾽· ῶρνυτο δ᾽ αϝτικ᾽ ανηρ ηΰς τε μεγας τε,
ϝειδως πυγμαχιης, ͱυϊος πανοπεϝος επειος·
ͱαπτσατο δ᾽ ͱημιονοο ταλαϝεργοϝ, εφῶνησεν τε·
ασσον ιτω, ͱοστις δεπας ͱοισεται αμφικυπελλον,
ͱημιονον δ᾽ ου φημι τιν᾽ αγσεμεν αλλον αχαιϝων,
πυγμῃ νικῆσαντ᾽· επει ευχομαι εεναι αριστος.
η ουχ αλις, ͱοτι μαχης επιδεϝομαι; ουδ᾽ αρα πως ῆν
εν παντσιν ϝεργοισι δαημονα φῶτα γενεσθαι.
ͱῶδε γαρ εκσϝερεω, το δε και τετελεσμενον εσται,
αντικρυς χροα τε ϝρῆγσω, γσυν τ᾽ οστε᾽ αραγσω.
κηδεμονες δε ͱοι ενθαδ᾽ ͱαϝολϝεες αϝθι μενοντων,
ͱοι κε μιν εκσͱοισοντιν, εμῆσ᾽ ͱυπο χερσι δαμεντα.

ͱως εφαθ'· οι δ' αρα παντες ακην εγενοντο σιωπῇ. Ψ
ευρυͱαλος δε ͱοι οιος ανͱιστατο, ϝεισϝοθεος φῶς,
μηκιστεϝος ͱυïς, ταλαïϝονιδαϝο ϝανακτος,
ͱος ποτε θηβασδ' ηλθε δεδουποτος οιδιποδαϝο
ες ταφον· ενθα δε παντας ενῖκαε καδμεïϝωνας.
τον μεν τυϝδεϝιδης δορϝικλυτος αμφ' επονεετο,
θαρσυϝνων ϝεπεσιν, μεγα δ' αϝτῷ εβουλετο νικην.
δσῶμα δε ͱοι πρῶτον παρακατβαλεν, αϝταρ επειτα
δῶκεν ͱιμαντας ͱεϋτμητοϝς βοϝος αγραϝλοϝο.
τω δε δσῶσαμενω βητην ες μεσσον αγῶνα·
αντα δ' ανασχομενω χερσι στιβαρῇσιν ͱαμ' αμφω
γσυν ρ' επεσον, γσυν δε σφι βαρυιαι χειρες εμιχθεν.
δδεινος δε χρομαδος γενυων γενετ', ερεϝε δ' ͱιδρως
παντοθεν εκ μελεων· επι δ' ῶρνυτο διϝος επειος,
κοπτσε δε παπτῆναντα παρῆïον, ουδ' αρ' ετι δην
ͱεστηκεεν· αϝτοο γαρ ͱυπηριπε φαιδιμα γυια.
ͱως δ' ͱοθ' υπο φρῖκος βορεαϝ αναπαλλεται ͱιχθυς
θῖν' επι φυϝκιοεντι, μελαν δε ͱε κυϝμ' εκαλυπτσεν·
ͱως πληγενς ανεπαλτ'· αϝταρ μεγαθυϝμος επειος
χερσι λαβων ῶρθῶσε· φιλοι δ' αμφεσταν ͱεταιροι,
ͱοι μιν αγον δι' αγῶνος εφελκομενοισι ποδεσιν,
ͱαιμα παχυ πτυϝοντα, καρῆ βαλλονθ' ετερωσε·
κατ δ' αλλοφρονεοντα μετα σφισιν ͱεσσαν αγοντες·
αϝτοι δ' οιχομενοι κομισαν δεπας αμφικυπελλον.
πηλεϝιδης δ' αιπσ' αλλα κατα τριτ' εθῆκεν αϝεθλα,
δεικνυμενος δαναοισι, παλαισμοσυνης αλεγεινης·
τῷ μεν νικῆσαντι μεγαν τριποδ' ενπυριβητην,
τον δε δυωδεκαβοϝιον ενι σφισ' ετιϝον αχαιϝοι·
ανδρι δε νικῆθεντι γυναικ' ες μεσσον εθῆκεν,
πολλα δ' επιστατο ϝεργ', ετιϝον δε ͱε τεσσαραβοϝιον.
στη δ' ορθος, και μυϝθον εν αργειϝοισιν εϝεσπεν·
ορνυσθ', ͱοι και τοϝτοϝ αϝεθλοϝο πειρῆσεσθον·
ͱως εφατ'· ῶρτο δ' επειτα μεγας τελαμωνιος αιϝανς·
αν δ' ͱοδυσεϝς πολυμητις ανͱιστατο, κερδεα ϝειδως.
δσῶσαμενω δ' αρα τωγ' εβατην ες μεσσον αγῶνα,
ανκας δ' αλληλων λαβετην χερσι στιβαρῇσιν,
ͱως ͱοτ' αμειβοντες, τοϝστε κλυτος ῆραρε τεχτων,
δῶματος ͱυπσηλοϝο, βιας ανεμων αλεϝεινων.
τετρῖγεε δ' αρα νῶτα, θρασυιαϝων απο χειρων
ͱελκομενα στερεως, κατα δε νοτιος ρεϝεν ͱιδρως·
πυκναι δε σμωδινγες ανα πλεϝρας τε και ωμοϝς
ͱαιματι φοινικοεντσαι ανεδραμον· ͱοι δε μαλ' αιϝει
νικης ͱιϝεσθην, τριποδος περι ποιητοϝο.
ουθ' οδυσεϝς δυνατο σφῆλαι, ουδει τε πελασσαι,
ουτ' αιϝανς δυνατο, κρατερη δ' ͱεχε ϝις ͱοδυσεϝος.
αλλ' ͱοτε δη ρ' ανιϝαδσον ͱεϋκνημῖδες αχαιϝοι,

δη τοτε μιν προσεϝεσπε μεγας τελαμωνιος αιϝανς·
  διϝογενες λαϝερτιαδη, πολυμηχαν᾽ ͱοδυσσεϝ,
η μ᾽ αναͱειρ᾽, η᾽ εγω σε· τα δ᾽ αϝ διϊ παντα μελησει.
  ͱως ϝεσπων, αναͱειρε· δολοο δ᾽ ου ληθεθ᾽ οδυσσεϝς·
κοπτσ᾽ οπιθεν κωληπα τυχων, ͱυπελυϝσε δε γυια·
κατ δ᾽ εβαλ᾽ εκσοπισῳ· επι δε στηθεσσιν ͱοδυσσεϝς
κατπεσε· λαϝοι δ᾽ αϝ θαϝεοντο τ᾽, εθαμβησαν τε·
δεϝτερος αϝτ᾽ αναͱειρε πολυτλανς διϝος ͱοδυσσεϝς,
κινησεν δ᾽ αρα τυτθον απο χθονος, ουδε τ᾽ αͱειρεν·
εν δε γονυ γναμπτσεν· επι δε χθονι κατπεσον αμφω
πλησιοι αλληλοισι, μιανθησαν δε κονιϝῇ.
και νυ κε το τριτον αϝτις αναͱικσαντ᾽ επαλαιον,
ει μη αχιλλεϝς αϝτος ανͱιστατο, και κατερυκεν·
  μηκετ᾽ ερειδεσθον, μηδε τριβεσθε κακοισιν·
νικη δ᾽ αμφοτεροισιν, αϝεθλα δε ϝεισϝ᾽ ανͱελοντες
ερχεσθ᾽, ͱοφρα και αλλοι αϝεθλεϝωντιν αχαιϝοι.
  ͱως εφαθ᾽· οι δ᾽ αρα τοο μαλα μεν κλυϝον, ηδ᾽ επιθοντο,
και ῥ᾽ απομοῥγσαμενω κονιϝην δυϝσαντο χιτῶνας.
  πηλεϝιδης δ᾽ αιπσ᾽ αλλ᾽ ετιθεε ταχυτητος αϝεθλα,
αργυρεον κρῆτηρα, τετυχμενον· ͱεκς δ᾽ αρα μετρα
χανδανεν, αϝταρ καλλει ενικαε παντσαν επ᾽ αιαν
πολλον, επει σιδονες πολυδαιδαλοι ͱευ ῆσκησαν,
φοινῖκες δ᾽ αγον ανδρες επ᾽ ῆεροϝειδεα ποντον,
στησαν δ᾽ εν λιμενεσι, θοϝαντι δε δῶρον εδῶκαν·
ͱυιος δε πριαμοϝο λυκαϝονος ῶνον εδῶκεν
πατροκλῷ ͱηῥοϝι ιησονιδης ͱεϋναϝος.
και τον αχιλλεϝς θῆκεν αϝεθλον ͱεϝοϝ᾽ ͱεταροϝο,
ͱοστις ελαφροτατος ποδσι κραιπνοισι πελοιτο·
δεϝτεῥῳ αϝ βοϝν θῆκε μεγαν και πιϝονα δημῷ·
ͱημιταλαντον δε χρυσοο λοισθεϝι᾽ εθῆκεν.
στη δ᾽ ορθος, και μυϝθον εν αργειϝοισιν εϝεσπεν·
  οῥνυσθ᾽, ͱοι και τοϝτοϝ᾽ αϝεθλοϝο πειρῆσεσθε.
ͱως εφατ᾽· ῶρνυτο δ᾽ αϝτιχ᾽ ο ϝιλϝεϝος ταχυς αιϝανς,
αν δ᾽ ͱοδυσεϝς πολυμητις, επειτα δε νεστορος ͱυιος
αντιλοχος· ͱο γαῥ αϝτε νεϝοϝς ποσι παντας ενικα.
τοισι δ᾽ απο νυσσης τετατο δρομος· ῶκα δ᾽ επειτα
εκφερε ϝιλϝεϝιδης· επι δ᾽ ῶρνυτο διϝος ͱοδυσσεϝς
ανχι μαλ᾽· ͱως ͱοτε τις τε γυναικος ͱεϋδσωνοϝο
στηθεος εστι κανων, ͱονθ᾽ ευ μαλα χερσι τανυσσῇ,
πηνιοϝ᾽ εκσͱελκοντσα παρεκ μιτον, ανχοθι δ᾽ ͱισχει
στηθεος· ͱως ͱοδυσεϝς θεϝεν ενγυθεν· αϝταρ οπισθεν
ͱιχνι᾽ ετυπτε ποδεσι, παῥος κονιν αμφιχυθηναι·
κατ δ᾽ αρα ͱοι κεφαλης χεϝ᾽ αͱυϝτμενα διϝος ͱοδυσσεϝς,
αιϝει ῥιμφα θεϝων· ϝιϝαχον δ᾽ επι παντες αχαιϝοι
νικης ͱιͱεμενῷ, μαλα δε σπευδοντι κελεϝον.
αλλ᾽ ͱοτε δη πυματον τελεον δρομον, αϝτιχ᾽ οδυσσεϝς

ευχετ᾽ αθηναιῃ γλαϝκῶπιδ᾽ ϝεϝον κατα θυϝμον· Ψ
κλῦθι, θεα, αγαθη μοι επιροθος ελθε ποδοιϊν. 770
ϝως εφατ᾽ ευχομενος· τοϝο δ᾽ εκλυϝε παλλας αθηνη. 771
αλλ᾽ ϝοτε δη ταχ᾽ εμελλον επ᾽ αϝικσεσθαι αϝεθλον. 773
ενθ᾽ αιϝανς μεν ολισθε θεϝων, βλαπτσεν γαρ αθηνη,
τῇ ρα βοϝων κεχυτ᾽ ονθος αποκταμενων εριμῦκων, 775
ϝοϝς επι πατροκλῳ πεφνεν ποδας ὤκυς αχιλλεϝς·
εν δ᾽ ονθοο βοϝεοο πλῆτο στομα τε, ϝρῖνας τε.
κρῆτηρ᾽ αϝτ᾽ ανατειρε πολυτλανς διϝος ϝοδυσσεϝς,
ϝως ηλθε φθαμενος· ϝο δε βοϝν ϝελε φαιδιμος αιϝανς·
στη δε κερας μετα χερσιν ϝεχων βοϝος αγραϝλοϝο, 780
ονθον αποπτυϝων, μετα δ᾽ αργειϝοισιν εϝεσπεν·
ω ποποι! η μ᾽ εβλαπτσε θεα ποδας, ϝη το παρος περ,
μητηρ ϝως, ϝοδυσεϝι παρϝισταται, ηδ᾽ επαρηγει.
ϝως εφαθ᾽· οι δ᾽ αρα παντες επ᾽ αϝτῳ ϝηδυ γελασσαν.
αντιλοχος δ᾽ αρα δη λοισθεϝιον εκφερ᾽ αϝεθλον. 785
αϝταρ πηλεϝιδης κατα μεν δολιχοσκιον ενχος 798
θῆκ᾽ ες αγῶνα φερων, κατα δ᾽ ασπιδα, και τρυφαλειαν,
τευχεα σαρπηδοντος, ϝα μιν πατροκλος απῆϝρα. 800
στη δ᾽ ορθος, και μυϝθον εν αργειϝοισιν εϝεσπεν·
ανδρε δυω περι τωνδε κελεϝομεν, ϝωπερ αριστω,
τευχεα ϝεσσαμενω, ταμεσιχροα χαλκον ϝελοντε,
αλληλων προπαροιθεν ϝομιλϝοϝο πειρῆθηναι·
ϝοποτερος κε φθῇῃ ορεγσαμενος χροα καλον. 805
τῷ μεν εγω δῶσω τοδε φασγανον αργυροϝηλον, 807
καλον, θρεϝικιον, το μεν αστεροπαιον απῆϝρων·
τευχεα δ᾽ αμφοτεροι γσυνῆϊα ταϝτα φερεσθων. 809
ϝως εφατ᾽· ὦρτο δ᾽ επειτα μεγας τελαμωνιος αιϝανς, 811
αν δ᾽ αρα τυϝδεϝιδης ὦρτο κρατερος διομηδης.
ϝοι δ᾽ επει ὦν ϝεκατερθεν ϝομιλϝοϝο θωρηχθησαν,
ες μεσον αμφοτερω γσυνιτην μεμαϝῶτε μαχεσθαι,
δδεινον δερκομενω· θαμβος δ᾽ ϝεχε παντας αχαιϝοϝς. 815
αλλ᾽ ϝοτε δη σχεδον ῆσαν επ᾽ αλληλοισιν ιοντες,
τρις μεν επῆϝικσαν, τρις δε σχεδον ϝορμηθησαν·
ενθ᾽ αιϝανς μεν επειτα κατ᾽ ασπιδα παντοσε ϝεισϝην
νυκσ᾽, ουδε χρο᾽ ϝικανεν· ερυϝτο γαρ ενδοθι θωρηκς.
τυϝδεϝιδης δ᾽ αρ᾽ επειτα ϝυπερ σακεος μεγαλοϝο 820
αιϝεν επ᾽ αϝχενι κυϝρε φαϝεινοϝο δορϝος ακωκῇ.
και τοτε δη ρ᾽ αιϝαντι περιδδειδσαντες αχαιϝοι
παϝσαμενοϝς εκελεϝσαν αϝεθλια ϝεισϝ᾽ ανϝελεσθαι. 823
αϝταρ πηλεϝιδης θῆκεν σολον αϝτοχοϝᾶνον, 826
ϝον πριν μεν ριπτᾶσκε μεγα σθενος ηετιϝῶνος·
αλλ᾽ ητοι τον επεφνε ποδαρκης διϝος αχιλλεϝς,
τον δ᾽ αγετ᾽ εν ναϝεσι συν αλλοισι κτεατεσιν.
στη δ᾽ ορθος, και μυϝθον εν αργειϝοισιν εϝεσπεν· 830
ορνυσθ᾽, ϝοι και τοϝτοϝ αϝεθλοϝο πειρησεσθε·

ει ͱοι και μαλα πολλον αποπροθι πιϝονες αγροι, Ψ
ͱεχσει μιν και πεντε περιπλομενοϝς ενιαϝτοϝς
χρεϝομενος· ου γαρ ͱοι ατεμβομενος γε σιδηροο
ποιμην, ουδ' αροτηρ, ειτ' ες πολιν, αλλα παρͱεχσει.
ͱως εφατ'· ω̃ρτο δ' επειτα μενεπτολεμος πολυποιτης,
αν δε λεϝοντεϝος κρατερον μενος αντιθεοϝο,
αν δ' αιϝανς τελαμωνιαδης, και διϝος επειος·
ͱεχσειης δ' ͱισταντο· σολον δ' ͱελε διϝος επειος,
ͱηκε δε δινεϝσανς· γελασαν δ' επι παντες αχαιϝοι.
δεϝτερος αϝτ' απεͱη̃κε λεϝοντεϝς, οδσος αρεϝος·
το τριτον αϝτ' εριπτσε μεγας τελαμωνιος αιϝανς. 842
αλλ' ͱοτε δη σολον ͱελλε μενεπτολεμος πολυποιτης, 844
ͱοσον τις τ' εριπτσε κελαϝροπα βοϝκολος ανηρ,
ͱη δε ϝελισσομενη πετεται δια βοϝς αγελαιας·
τοσον παντος αγω̃νος ͱυπερβαλε· τοι δ' εβοη̃σαν.
ανσταντες δ' ͱεταροι πολυποιταϝο κρατεροϝο
ναϝας επι γλαφυρας εφερον βασιλεϝος αϝεθλον.
αϝταρ ͱο τοκσεϝτη̃σ' ετιθεε ϝιοεντα σιδηρον,
κατ δ' ετιθεε δεκα μεν πελεκυας, δεκα δ' ͱημιπελεκκα·
ͱιστον δ' εστησεν ναϝος κυϝανοπω̃ροϝο
τηλοϝ επι πσαμαθοισ'· εκ δε τρηρω̃να πελειαν
λεπτῃ̃ μηρινθῳ̃ δησεν ποδος, ͱης αρ' ανωγεν
τοκσεϝεεν· ͱος μεν κε βαλῃ̃ τρηρω̃να πελειαν,
παντας αͱη̃ραμενος πελεκυας κλισιηνδε φερεσθω·
ͱος δε κε μηρινθοϝο τυχῃ̃, ορνιχθος αμαρτων,
ͱησσων γαρ δη κεινος, ͱο δ' ͱοισεται ͱημιπελεκκα.
ͱως εφατ'· ω̃ρτο δ' επειτα βιη τευκροϝο ϝανακτος,
αν δ' αρα μηριονης, θεραπων ͱεῢς ιδομενεϝος.
κλη̃ροϝς δ' εν κυνεῃ̃ χαλκηρει επαλλον ͱελοντες·
τευκρος δε πρω̃τος κλη̃ρῳ̃ λαχεν· αϝτικα δ' ͱιϝον
ͱη̃κεν επικρατεως, ουδ' η̃πειλησε ϝανακτι
ϝαρνων πρω̃τογονων ρεκσεεν κλειτην ͱεκατονβην.
ορνιχθος μεν αμαρτ', εμεγη̃ρε γαρ ͱοι τογ' απολλων,
αϝταρ ͱο μηρινθον βαλε παρ ποδα, τῃ̃ δεδετ' ορνιχς·
αντικρυς δ' απο μηρινθον ταμε πικρος οϊστος.
ͱη μεν επειτ' η̃ͱικσε προς ουρανον, ͱη δε παρͱηθη
μηρινθος προτι γαιαν· αταρ κελαδησαν αχαιϝοι.
σπερχομενος δ' αρα μηριονης επεθη̃κατ' οϊστον
τοκσῳ̃· εν χερσιν γαρ ͱεχεν παλαι· ͱως ιθυϝνεν.
αϝτικα δ' η̃πειλησεν ͱεκηβολῳ̃ απολλωνι
ϝαρνων πρω̃τογονων ρεκσεεν κλειτην ͱεκατονβην·
ͱυπσι δ' ͱυπο νεφεων ϝειδε τρηρω̃να πελειαν,
τῃ̃ ρ' ͱογε δινεϝονσαν ͱυπο πτερυγος βαλε μεσσην·
αντικρυς δε διηλθε βελος· το μεν απς επι γαιῃ̃
προσθεν μηριοναϝ επαγη ποδος· αϝταρ ͱη ορνιχς
ͱιστῳ̃ εφεδσομενη ναϝος κυϝανοπρῳ̃ροϝο,

αFχεν' απεκρεμασε, γσυν δε πτερα πυκν' ελιFασθεν· Ψ
ῶκυς δ' εκ μελεων θυFμος πτατο, τηλε δ' απ' αFτοο
καππεσε· λαFοι δ' αF θαFεοντο τ', εθαμβησαν τε.
αν δ' αρα μηριονης πελεκυας δεκα παντας αͱειρεν,
τευκρος δ' ͱημιπελεκκ' εφερεν κοιλας επι ναFας.
αFταρ πηλεFιδης κατα μεν δολιχοσκιον ενχος,
κατ δε λεβητ' απυρον, βοFος αγσιον, ανθεμοεντα,
θῆκ' ες αγωνα φερων· και ρ' ͱημονες ανδρες ανεσταν·
αν μεν αρ' ατρεFιδης ευρυ κρεFων αγαμεμνων,
αν δ' αρα μηριονης, θεραπων ͱεῦς ιδομενεFος.
τοισι δε και μετεFεσπε ποδαρκης διFος αχιλλεFς·
ατρεFιδη, Fιδμεν γαρ, ͱοσον προβεβηκας ͱαπαντων,
ηδε ͱοσον δυναμιι τε και ͱημασιν επλε' αριστος·
αλλα συ μεν τοδ' αεθλον ͱεχων κοιλας επι ναFας
ερχε' αταρ δορυ μηριονῃ ͱηροFι πορωμεν,
ει συγε σῷ θυFμῷ εθελοις· κελομαι γαρ εγωγε.
ͱως εφατ'· ουδ' απιθησε Fαναξ ανδρων αγαμεμνων.
δῶκε δε μηριονῇ δορυ χαλκεον· αFταρ ͱογ' ͱηρως
ταλθυβιῳ κηρῦκι διδῶ περικαλλες αFεθλον.
λυFτο δ' αγων, λαFοι δε θοFας επι ναFας ͱεκαστοι Ω
εσκιδναντ' ιμεναι· τοι μεν δορποF εμεδοντο
ͱυπνοFο τε γλυκεροο ταρπημεναι· αFταρ αχιλλεFς
κλαFε, φιλοF ͱεταροο μεμνῆμενος, ουδε μιν ͱυπνος
ͱαιρεε πανδαματωρ, αλλ' εστρεφετ' ενθα και ενθα,
ἀλλοτ' επι πλεFρας κατακειμενος, αλλοτε δ' αFτε
ͱυπτιος, αλλοτε δε πρηνης· τοτε δ' ορθος ανασταν̣ς
δινεFεσκ' αλυFων παρα θῖν' ͱαλος· ουδε μιν ῆως
φαινομενη ληθεσκεν ͱυπερ ͱαλα τ' ηϊονας τε.
αλλ' ͱογ', επει δσευγσειεν ͱυφ' αρμασιν ὠκυας ͱιπποFς,
ͱεκτορα δ' ͱελκεσθαι δησᾶσκετο διφροF' οπισθεν·
τρις Fερυσανς περι σημα μενοιτιαδαFο θανοντος,
αFτις ενι κλισιῇ παFεσκετο· τον δ' εFαεσκεν
εν κονι' εκτανυσανς προπρηνεα· τοFο δ' απολλων
παντσαν αFεικειην αφεχε χροϊ, φῶτ' ελεαιρων. 19
ͱως ͱο μεν ͱεκτορα διFον αFεικιδσεν μενεαινων· 22
αλλ' ͱοτε δη ρ' εκ τοFο δυωδεκατη γενετ' ῆως, 31
και τοτ' αρ' αθανατοισι μετῆυFδαε φοιβος απολλων·
σχετλιοι εστε, θεοι, δηλημονες· ου νυ ποθ' υμῖν
ͱεκτωρ μηρι' εκῆε βοFων αιγων τε τελειων;
τον νῦν ουκ ετλῆτε, νεκυν περ εοντα, σαῶσαι,
ͱῇ θ' αλοχῳ Fιδεεεν, και μητερι, και τεκει ͱεFῷ
και πατερι πριαμῳ, λαFοισι τε· τοι κε μιν ὦκα
εν πυρι κῆαιεν, και επι κτερεα κτερισαιεν.
αλλ' ολοFῷ αχιλεFι, θεοι, βουλεσθ' επαρηγεεν,
ͱῷ ουτ' αρ φρενες εντιν εναισιμοι, ουτε νοημα
γναμπτον ενι στηθεσσι· λεFων δ' ͱως αγρια Fοιδεν,

hοστ' επει αρ μεγαλῇ τε βιῇ και αγῆνορι θυϝμῷ Ω
ϝεικσᾶσκ', ειτ' επι μηλα, βροτων hινα δαιτα λαβηtιν·
hως αχιλεϝς ελεον μεν απῶλεσεν, ουδε hοι αιδως. 44
μελλει μεν ποϝο τις και φιλτερον αλλον ολεσσαι, 46
ηε κασιγνῆτον hομογαστριον, ηε και hυιον·
αλλ' ητοι κλαϝσανς και οδυϝραμενος μετεhῆκεν·
τλῆτον γαρ μοιραι θυϝμον θεσαν ανθρωποισιν.
αϝταρ hογ' hεκτορα διϝον, επει φιλον ητορ απῆϝρα, 50
hιππων εκσhαπτων, περι σημ' hεταροϝο φιλοϝο
hελκει· ου μην hοι τογε καλλιον, ουδε τ' αμεινον· 52
κωφην γαρ δη γαιαν αϝεικιδσει μενεαινων. 54
τον δε χολῶσαμενη προσεφη λεϝκωλενος hηρη· 55
ειη κεν και τοϝτο τεϝον ϝεπος, αργυροτοκσε,
ει δη hομην αχιλεϝι και hεκτορι θησετε τιϝμην.
hεκτωρ μεν θνῆτος τε, γυναικα τ' εθῆσατο μαδσον·
αϝταρ αχιλλεϝς εστι θεας γονος, hην εγω αϝτη
τρεφσα τε, και hατιτῆλα, και ανδρι πορον παρακοιτιν 60
πηλεϝι, hος περι κεαρι φιλος γενετ' αθανατοισιν·
παντες δ' αντιαεσθε, θεοι, γαμοϝ· εν δε συ τοισιν
δαινυ', hεχων φορμιγγα, κακων hεταρ', αιϝεν απιθτε.
την δ' απαμειβομενος προσεφη νεφεληγερετα δσεϝς·
hηρη, μη δη πανπαν αποσκυδμαινε θεοισιν· 65
ου μεν γαρ τιϝμη γε μι' εσσεται· αλλα και hεκτωρ
φιλτατος εσκε θεοισι βροτων, hοι εν ϝιλϝιῳ εντιν. 67
αλλ' ει τις καλεσσειε θεϝων θετιν ασσον εμεϝο, 74
hοφρα τι hοι ϝεσπω πυκινον ϝεπος, hως κεν αχιλλεϝς 75
δῶρων εκ πριαμοϝο λαχῇ, απο θ' εκτορα λυϝσῃ.
hως εφατ'· ῶρτο δε ϝιρις αϝελλοπος αγγελεοντσα.
μεσσηγυς δε σαμοο τε και ιμβροϝο παιπαλοεντσης
ενθορε μελανι ποντῳ, επεστοναχησε δε λιμνη.
hη δε, μολυβδαινῃ ϝικελη, ες βυσσον οροϝσεν, 80
hητε κατ' αγραϝλοϝο βοϝος κερας ενβεβαυια
ερχεται ωμηστῆσιν εφ' ιχθυσι κηρα φεροντσα.
hευρε δ' ενι σπεϝεϊ γλαφυρῷ θετιν, αμφι δε τ' αλλαι
hηαθ' ομηγερεες hαλιαι θεαι· hη δ' ενι μεσσῃς
κλαϝε μορον hοϝο παιδος αμυϝμονος, hος hοι εμελλεν 85
φθῖσεσθ' εν τροϝιῃ εριβῶλακι, τηλοθι πατρης.
ανχοϝο δ' hισταμενη προσεφη ποδας ῶκυα ϝιρις·
ορσο, θετι, καλεει δσεϝς αφθιτα μηδεα ϝειδως.
την δ' ῆμειβετ' επειτα θεα θετις αργυροπεδσα·
τιπτε με κεινος ανωγε μεγας θεος; αιδεομαι δε 90
μισγεσθ' αθανατοισιν, hεχω δ' αχε' ακριτα θυϝμῷ.
ειμι μεν· ουδ' hαλιον ϝεπος εσσεται, hο τι κε ϝεσπῃ.
hως αρα φῶνησαντσα, καλυπμ' hελε διϝα θεαϝων
κυϝανεον, τοϝο δ' ουτι μελαντερον επλετο ϝεσθος.
βη δ' ιμεναι, προσθεν δε ποδῆνεμος ῶκυα ϝιρις 95

ͱηγεετ᾽· αμφι δ᾽ αρα σφι λιϝαδσετο κυϝμα θαλασσης. Ω
ακτην δ᾽ εις αναβαντσαι ες ουρανον ἤͱιχθητην·
ͱευρον δ᾽ ευρυοπα κρονιδην, περι δ᾽ αλλοι ͱαπαντες
ͱηαθ᾽ ομηγερεες μακαρες θεοι αιϝεν εοντες·
ͱη δ᾽ αρα παρ διϊ πατρι καθεδσετ᾽, εϝειξε δ᾽ αθηνη.
ͱηρη δε χρυσεον καλον δεπας εν χερ᾽ εθηκεν,
και ρ᾽ ͱευφρῆνε ϝεπεσσι· θετις δ᾽ ὤρεγσε πιϝουτσα.
τοισι δε μυϝθων ἦρχε πατηρ ανδρων τε θεων τε·
ηλυθες ολυμπονδε, θεα θετι, κηδομενη περ,
πενθος αλαστον ͱεχουτσα μετα φρεσι· ϝοιδα και αϝτος·
αλλα και ͱως ϝερεω, τοϝο σ᾽ ͱεινεκα δευρ᾽ εκαλεσσα. 106
αιπσα μαλ᾽ ες στρατον ελθε, και ͱυιϊ σῷ επιτῆλον· 112
σκυδσεσθαι ͱοι ϝεσπε θεοϝς, εμε δ᾽ εκσͱοχα παντων
αθανατων κεχολῶσθαι, ͱοτι φρεσι μαινομενῇσιν
ͱεκτορ᾽ ͱεχει παρα ναϝσι κορωνισιν, ουδ᾽ απελυϝσεν·
αι κεν πως εμε τε δδειδσῃ, απο θ᾽ εκτορα λυϝσῃ.
αϝταρ εγω πριαμῳ μεγαλητορι ϝιριν εφησω,
λυϝσασθαι φιλον ͱυιον, ιοντ᾽ επι ναϝας αχαιϝων,
δῶρα δ᾽ αχιλλεϝι φερεμεν, τα κε θυϝμον ιῄνῃ.
ͱως εφατ᾽· ουδ᾽ απιθησε θεα θετις αργυροπεδσα·
βῆ δε κατ᾽ ολυμποϝο καρῆνων αϝικσαντσα.
ͱικσεν δ᾽ ες κλισιην ͱεϝοϝ ͱυιος, εν δ᾽ αρα τονγε
ͱευρ᾽ ͱαδινα στοναχοντα· φιλοι δ᾽ αμφ᾽ αϝτον ͱεταιροι
εσσυμενως επενοντο, και εντυϝνονθ᾽ αϝαριστον·
τοισι δ᾽ οϝις λασιος μεγας εν κλισιῃ ͱιερεϝτο.
ͱη δε μαλ᾽ ανχ᾽ αϝτοϝο καθεδσετο ποτνια μητηρ,
χειρι τε μιν κατερεκσε, ϝεπος τ᾽ εφατ᾽, εκ τ᾽ ονομαδσεν·
τεκνον εμον, τεο μεχρις οδυϝρομενος και αχεϝων
σην εδεαι κραδιην, μεμνῆμενος ουτε τι σῖτοο,
ουτ᾽ ευνης; αγαθον δε γυναικι περ εν φιλοτητι
μισγεσθ᾽· ου γαρ μοι δηρον βιϝε᾽, αλλα τοι ηδη
ανχι παρͱεστηκεν θανατος και μοιρα κραταιη.
αλλ᾽ εμεθεν γσυνͱες ὦκα, διος δε τοι ανγελος ἦμι·
σκυδσεσθαι σοι φητι θεοϝς, ͱεϝα δ᾽ εκσͱοχα παντων
αθανατων κεχολῶσθαι, ͱοτι φρεσι μαινομενῇσιν
ͱεκτορ᾽ ͱεχεις παρα ναϝσι κορωνισιν, ουδ᾽ απελυϝσας.
αλλ᾽ αγε δη λυϝσον, νεκροϝο δε δεχσαι αποινα·
την δ᾽ απαμειβομενος προσεφη ποδας ὤκυς αχιλλεϝς·
τῇδ᾽ ειη, ͱος αποινα φεροι, και νεκρον αγοιτο,
ει δη προφρονι θυϝμῳ ολυνπιος αϝτος ανωγει.
ͱως ͱοιγ᾽ εν ναϝων αγυρει μητηρ τε και ͱυιος
πολλα προς αλληλοϝς ϝεπεα πτεροεντ᾽ αγορεϝον.
ϝιριν δ᾽ ὤτρυϝνε κρονιδης εις ϝιλϝιον ͱιερην·
βασκ᾽ ιθι, ϝιρι ταχυια, λιπουτσ᾽ ͱεδος ολυνποϝο,
ανγῆλον πριαμῳ μεγαλητορι, ϝιλϝιον εισῳ,
λυϝσασθαι φιλον ͱυιον, ιοντ᾽ επι ναϝας αχαιϝων,

δω̃ρα δ' αχιλλεϝι φερεμεν, τα κε θυϝμον ιηνῇ, Ω
οιον, μηδε τις αλλος ͱαμα τροϝων ιτω ανηρ.
κηρυκς τις ͱοι ͱεποιτο γεραϝτερος, ͱος κ' ιθυϝνοι
ͱημιονοϝς και ͱαμαγσαν ͱεϋτροχον, ηδε και αϝτις
νεκρον αγοι προτι ϝαστυ, τον εκτανε διϝος αχιλλεϝς.
ͱως εφατ'· ω̃ρτο δε ϝιρις αͱελλοπος ανγελεουτσα·
ͱικσεν δ' ες πριαμοϝ'· εκιχεν δ' ενοπην τε γοον τε.
παιδες μεν πατερ' αμφι καθημενοι ενδοθεν αϝλης
δακρυσι ϝεσματ' εφυϝρον· ͱο δ' εν μεσσοισι γεραϝος
εντυπας εν χλαινῇ κεκαλυπμενος, αμφι δε πολλη
κοπρος εη̃ν κεφαλῇ τε και αϝχενι τοϝο γεροντος,
τη̃ν ρα κυλινδομενος καθαμη̃σατο χερσιν ͱεϝῇσιν.
θυγατερες δ' ανα δωματ', ιδε νυοι, ω̃δυϝροντο,
των μιμνη̃σκομεναι, ͱοι δη πολυες τε και εσθλοι
χερσιν ͱυπ' αργειϝων κεατο πσυϝχας ολεσαντες.
στη δε παρα πριαμον διος ανγελος, ηδε προση̃υϝδα,
τυτθον φθενγσαμενη, τον δε τρομος ελαβε γυια·
θαρσεε, δαρδανιδη πριαμε, φρεσι, μηδε τι ταρβεε·
ου μεν γαρ τοι εγω κακα ϝοσσομενη τοδ' ͱικανω,
αλλ' αγαθα φρονεουτσα· διος δε τοι ανγελος η̃μι,
ͱος σεϝ, ανευθεν εων, μεγα κηδεται, ηδ' ελεαιρει·
λυϝσασθαι σ' εκελεϝσεν ολυνπιος ͱεκτορα διϝον,
δω̃ρα δ' αχιλλεϝι φερεμεν, τα κε θυϝμον ιηνῇ,
οιον, μηδε τις αλλος ͱαμα τροϝων ιτω ανηρ.
κηρυκς τις τοι ͱεποιτο γεραϝτερος, ͱος κ' ιθυϝνοι
ͱημιονοϝς και ͱαμαγσαν ͱεϋτροχον, ηδε και αϝτις
νεκρον αγοι προτι ϝαστυ, τον εκτανε διϝος αχιλλεϝς.
ͱη μεν αρ' ͱως ϝεσποντσ' απεβη ποδας ω̃κυα ϝιρις.
αϝταρ ͱογ' ͱυιας ͱαμαγσαν ͱεϋτροχον ͱημιονειην
ͱοπλισαι η̃νωγεν, πειρινθα δε δησαι επ' αϝτης·
αϝτος δ' ες θαλαμον κατεβησατο κη̃ω̃εντα,
κεδρινον, ͱυπσοροφον, ͱος γλη̃νεα πολλ' εκεχανδεεν,
ες δ' ͱαλοχον ͱεκαβην εκαλεσσατ', εφω̃νησεν τε·
δαιμονιη, διοθεν μοι ολυνπιος ανγελος ηλθεν,
λυϝσασθαι φιλον ͱυιον, ιοντ' επι ναϝας αχαιϝων,
δω̃ρα δ' αχιλλεϝι φερεμεν, τα κε θυϝμον ιηνῇ.
αλλ' αγε μοι τοδε ϝεσπε, τι τοι φρεσι ϝειδεται εεναι;
αινως γαρ μ' αϝτον γε μενος και θυϝμος ανωγει
κεισ' ιμεναι επι ναϝας εσῳ στρατον ευρυν αχαιϝων.
ͱως φατ'· εκωκυϝσεν δε γυνη, και αμειβετο μυϝθῳ·
ω μοι, πῇ δη τοι φρενες οιχονθ', ῃ̃ς το παρος περ
εκλε' επ' ανθρωποϝς κσεινοϝς, ηδ' ͱοισι ϝανασσεις;
πως εθελεις επι ναϝας αχαιϝων ελθεμεν οιος,
ανδρος ες οφθαλμοϝς, ͱος τοι πολυας τε και εσθλοϝς
ͱυιιας εκσεναρικσε; σιδηρειον νυ τοι ητορ·
ει γαρ σ' ͱαιρησει και εσοπτσεται οφθαλμοισιν

ωμηστης και απιθτος ανηρ ͱοδε, ου σ' ελεησει, Ω
ουδε τι σ' αιδεσεται· νῦν δε κλαϜωμεν ανευθεν
ͱημενοι εν μεγαρῳ· τῳ δ' ͱως ποθι μοιρα κραταιη
γιγνομενῳ επενησε λινῳ, ͱοτε μιν τεκον αϜτη,
αργιποδας κυνας ͱαδσαι, ͱεϜων απανευθε τοκεϜων!
  την δ' αϜτε προσεϜεσπε γερων πριαμος θεοϜειδης·
μη μ' εθελοντ' ιμεναι κατερυκακε, μηδε μοι αϜτη
ορνιχς ενι μεγαροισι κακος πελε'· ουδε με πειθσεις.
ει μεν γαρ τις μ' αλλος επιχθονιων εκελεϜεν,
η' ͱοι μαντεες εντι, θυϜοσκοοι, η' ͱιερεϜες,
πσευδος κεν φαιμεν, και νοσφιδσοιμεθα μαλλον·
νῦν δ', αϜτος γαρ ακοϜσα θεοο, και εσεδρακον αντην,
ειμι, και ουχ αλιον Ϝεπος εσσεται· ει δε μοι αισα
τεθναμεναι παρα ναϜσιν αχαιϜων χαλκοχιτώνων,
βουλομαι· αϜτικα γαρ με κατακτῆνειεν αχιλλεϜς,
ανκας ͱελοντ' εμον ͱυιον, επην γοοϜ' εκς ερον ͱειην.
  ῆ, και φωριαμων επιθηματα καλ' ανεοιγεν·
ενθεν δώδεκα μεν περικαλλεας εκσͱελε πεπλοϜς,
δώδεκα δ' απλοϊδας χλαινας, τοσοϜς δε ταπητας,
τοσα δε φαϜρεα καλα, τοσοϜς δ' επι τοισι χιτῶνας.
χρυσοϜο δε στησανς εφερεν δεκα παντα ταλαντα·
εκ δε δυ' αιθῶνας τριποδας, πισυρας δε λεβητας,
εκ δε δεπας περικαλλες, ͱο ͱοι θρεϜικες πορον ανδρες
εκσͱεσιην ελθοντι, μεγα κτερας· ουδε νυ τοοπερ
φειδσατ' ενι μεγαροισ' ͱο γερων· περι δ' ηθελε θυϜμῳ
λυϜσασθαι φιλον ͱυιον· ͱο δε τροϜας μεν ͱαπαντας
αιθουσης απεͱεργε, Ϝεπεσσ' αισχροισιν ενισπων·
  Ϝερρετε, λωβητηρες, ελενχεες! ου νυ και ͱυμῖν
Ϝοικοι ενεστι γοος, ͱοτι μ' ηλθετε κηδησοντες;
η' ονεεσθ', ͱοτι μοι κρονιδης δσεϜς αλγε' εδῶκεν,
παιδ' ολεσαι τον αριστον; αταρ γνῶσεσθε και υμμες·
ρεϜιτεροι γαρ μαλλον αχαιϜοισιν δη εσεσθε,
κεινοϜο τεθνῆῶτος, ενͱαιρεμεν· αϜταρ εγωγε,
πριν αλαπαδσομενην τε πολιν, κεραϊδσομενην τε,
οφθαλμοισι Ϝιδεεν, βαιην δομον αϜιδος εισῳ!
  ῆ, και σκηπανιῳ διͱεπ' ανερας· ͱοι δ' ισαν εκσῳ,
σπερχομενοϜο γεροντος· ͱο δ' ͱυιεσ' εϜοισιν ͱομοκλᾶ,
νεικειων ͱελενον τε, παριν τ', αγαθῶνα τε διϜον,
πασμονα τ', αντιφονον τε, βοην αγαθον τε πολῖτην,
δαϜιφοβον τε, και ͱιπποθοϜον, και διϜον' αγαϜον.
ͱεννεα τοισ' ͱο γεραϜος ͱομοκλῆσανς εκελεϜεν·
  σπευδσατε μοι, κακα τεκνα, κατῆφονες! αιθ' ͱαμα παντες
ͱεκτορος ῶφελετ' αντι θοῆσ' επι ναϜσι πεφασθαι!
ω μοι εγω παναποτμος, επει τεκον ͱυιας αριστοϜς,
μηστορα τ' αντιθεον, και τροϜιλον ͱιππιοχαρμην,
ͱεκτορα θ', ος θεος εσκε μετ' ανδρεσιν, ουδ' εϜεϜοικεεν

ανδρος γε θνῆτοο παϊς εσμεναι, αλλα θεοϝο· Ω
τοϝς μεν απῶλεσ' αρεϝς, τα δ' ελενχεα παντα λελειπται,
πσευσται τ', ορχησται τε, χοροιτυπιῇσιν αριστοι,
ϝαρνων ηδ' εριφων επιδημιοι ͱαρπακτηρες.
ουκ αν δη μοι ͱαμαγσαν εφοπλισσαιτε ταχιστα,
ταϝτα τε παντ' επιθειτε, ͱινα πρῆσσωμεν ͱοδοϝο;
ͱως εφαθ'· οι δ' αρα πατρος ͱυποδδειδσαντες ͱομοκλῆν
εκ μεν ͱαμαγσαν αϝῆραν ͱεϋτροχον ͱημιονειην,
καλην, πρῶτοπαγεα· πειρινθα δ' εδησαν επ' αϝτης,
κατ δ' απο πασσαλοϝο δσυγον ͱαιρεον ͱημιονειον,
πυκσινον, ομφαλοεν, ͱεϋ οιηκεσιν αρῆρος·
εκ δ' εφερον δσυγοδεσμον ͱαμα δσυγῷ ͱεννεαπηχυ·
και το μεν ͱευ κατεθῆκαν ͱεϋχσεστῷ επι ρυϝμῷ,
πεδσῇ επι πρώτῃ, επι δε κρικον ͱεστορι βαλλον·
τρις δ' ͱεκατερθεν εδησαν επ' ομφαλον· αϝταρ επειτα
ͱεχσειης κατεδησαν, ͱυπο γλωχῖνα δ' εκαμπτσαν·
εκ θαλαμοο δε φεροντες ͱεϋχσεστοϝ' επ' απηνης
ναϝεον ͱεκτορεης κεφαλης απερεισι' αποινα·
δσευγσαν δ' ͱημιονοϝς κρατερωνυχας, εντεσιϝεργοϝς,
τοϝς ρα ποτε πριαμῷ μυσοι δοσαν, αγλαϝα δωρα.
ͱιπποϝς δε πριαμῷ ͱυπαγον δσυγον, ͱοϝς ͱο γεραϝος
αϝτος ͱεχων ͱατιταλλεν ͱεϋχσεστῷ επι φατνῇ·
τω μεν δσευγνυσθην εν δῶμασιν ͱυπσηλοισιν
κηρυκς και πριαμος, πυκινα φρεσι μηδε' ͱεχοντε.
ανχιμολον δε σφ' ηλθ' ͱεκαβη τετιϝῆοτι θυϝμῷ,
ϝοινον ͱεχοντσ' εν χειρι μελιφρονα δεχσιτερηφιν,
εν δεπαϊ χρυσεῷ, ͱοφρα λειβσαντε κιοιτην·
στη δ' ͱιππων προπαροιθε, ϝεπος τ' εφατ', εκ τ' ονομαδσεν·
τῆ, σπενδσον διϊ πατρι, και ευχεο ϝοικαδ' ͱικεσθαι
απς εκ δυσμενεων ανδρων· επει αρ σεγε θυϝμος
οτρυϝνει επι ναϝας, εμεϝο μεν ουκ εθελοντσης.
αλλ' ευχεο συγ' επειτα κελαινεφεϊ κρονιϝῶνι·
αιτεε δ' οιϝωνον ͱεϝον ανγελον, ͱοστε ͱοι αϝτῷ
φιλτατος οιϝωνων, και ͱοϝο κρατος εστι μεγιστον,
δεχσιον· ͱοφρα μιν αϝτος εν οφθαλμοισι νοησανς
τῷ πιθυνος επι ναϝας ιῃς δαναων ταχυπωλων.
ει δε τοι ου δῶσει ͱεϝον ανγελον ευρυοπα δσεϝς,
ουκ αν εγωγε σ' επειτα εποτρυϝνουτσα κελοιμην
ναϝας επ' αργειϝων ιμεναι, μαλα περ μεμαϝῶτα.
την δ' απαμειβομενος προσεφη πριαμος θεοϝειδης·
ω γυναι, ου μεν τοι τοδ' εφιͱεμενῇ απιθησω·
εσθλον γαρ διϊ χειρας ανασχεμεν, αι κ' ελεησῃ.
ῆ ρα, και αμφιπολον ταμιην ῶτρυϝν' ͱο γεραϝος
χερσιν ͱυδωρ επιχεϝσαι ακηρατον· ͱη δε παρεστη
χερνιβα τ' αμφιπολος, προχοϝον θ' αμα, χερσιν ͱεχοντσα.
νιπτσαμενος δε κυπελλον εδεχσαθ' εϝης ͱαλοχοϝο·

ευχετ' επειτα στανς μεσῷ ͱερκει, ελειβε δε ϝοινον, Ω
ουρανον εισανϝιδων· και φωνησανς ϝεπος ηῦϝδα·
δσεϝ πατερ, ιδηθεν μεδεων, κυϝδιστε, μεγιστε,
δος μ' ες αχιλλεϝος φιλον ελθεμεν, ηδ' ελεεινον·
πεμπσον δ' οιϝωνον τεϝον ανγελον, ͱοστε σοι αϝτῷ
φιλτατος οιϝωνων, και ͱοϝο κρατος εστι μεγιστον,
δεχσιον· ͱοφρα μιν αϝτος εν οφθαλμοισι νοησανς
τῷ πιθυνος επι ναϝας ιω δαναων ταχυπωλων.
ͱως εφατ' ευχομενος, τοϝο δ' εκλυϝε μητιετα δσεϝς·
αϝτικα δ' αιετον ͱῆκε, τελειοτατον πετεηνων,
μορφνον, θηρεϝτηρ', ͱον και περκνον καλεοντιν.
ͱοση δ' ͱυπσοροφοϝο θυρη θαλαμοϝο τετυχται
ανερος ͱαφνειοϝο, ͱεϋ κλεϝιδεσ' αραρυια·
τοσ' αρα τοϝ' ͱεκατερθεν εσαν πτερα· ϝειδσατο δε σφιν
δεχσιος αͱικσανς δια ϝαστυϝος· ͱοι δε ϝιδοντες
γηθησαν, και παντσιν ενι φρεσι θυϝμος ιᾶνθη.
σπερχομενος δ' ͱο γερων χσεστοϝ' επεβησατο διφροο·
εκ δ' ελασε προθυροϝο και αιθοντσης εριδουποο.
προσθε μεν ͱημιονοι ͱελκον τετρακυκλον απηνην,
τας ιδαιος ελαϝνε δαϝιφρων· αϝταρ οπισθεν
ͱιπποι, τοϝς ͱο γερων εφεπων μαστινγι κελεϝεν
καρπαλιμως κατα ϝαστυ· φιλοι δ' ͱαμα παντες ͱεποντο,
πολλ' ολοφυϝρομενοι, ͱως ει θανατονδε κιοντα.
ͱοι δ' επει ὦν πολιος κατεβαν, πεδιον δ' αφικοντο,
ͱοι μεν αρ' απσοροϝοι προτι ϝιλϝιον απονεοντο,
παιδες και γαμβροι· τω δ' ου λαθον ευρυοπα δσεϝν,
ες πεδιον προφανεντε· ϝιδων δ' ελεησε γεροντα.
αιπσα δ' αρ' ͱερμειαν, ͱυιον φιλον, αντιον ηῦϝδα·
ͱερμεια, σοι γαρ τε μαλιστα γε φιλτατον εστιν
ανδρι ͱεταιρισσαι, και τ' εκλυϝες, ͱῷ κ' εθελῇσθα,
βασκ' ιθι, και πριαμον κοιλας επι ναϝας αχαιϝων
ͱως αγαγ', ͱως μη τις τι ϝιδῇ, μητ' αρ τι νοησῇ
των αλλων δαναων, πριν πηλεϝιϝῶναδ' ͱικεσθαι.
ͱως εφατ'· ουδ' απιθησε διακτορος αργεϊφοντης·
αϝτικ' επειθ' υπο ποδσιν εδησατο καλα πεδιλϝα,
ανβροσια, χρυσεια, τα μιν φερον ημεν εφ' υγρην,
ηδ' επ' απειρονα γαιαν, ͱαμα πνοϝῇσ' ανεμοϝο·
ͱελλετο δε ϝραβδον, τῇ τ' ανδρων οπματα θελγει,
ͱων εθελῇ, τοϝς δ' αϝτε και ͱυπνωοντας εγειρει·
την μετα χερσιν ͱεχων πετετο κρατυς αργεϊφοντης.
αιπσα δ' αρα τροϝιην τε και ͱελλησποντον ͱικανεν·
βη δ' ιμεναι, κοϝρῷ αισυμνητηρι ϝεϝοικως,
πρωτον ͱυπηνητῇ, τοϝοπερ χαριεσστατη ͱηβη.
ͱοι δ' επει ὦν μεγα σημα παρεκς ϝιλϝοϝ' εελασσαν,
στησαν αρ' ͱημιονοϝς τε και ͱιπποϝς, ͱοφρα πιϝοιεν,
εν ποταμῷ· δη γαρ και επι κνεφας ηλυθε γαιαν·

τον δ᾽ εκς ανχιμολοϝο ϝιδων εφρασσατο κηρυκς Ω
ͱερμειαν, προτι δε πριαμον φατ᾽, εφῶνησεν τε·
ανδρ᾽ ͱοραω, ταχα δ᾽ αμμε διαϝραισεσθαι οἴϝω.
αλλ᾽ αγε δη φευγωμεν εφ᾽ ιππων· η μιν επειτα
γουϝων ͱαπτσαμενοι λιτανεϝσομεν, αι κ᾽ ελεησῇ.
ͱως φατο· συν δε γεροντι νοος χυτο, δεδδιε δ᾽ αινως·
ορθαι δε τριχες εσταν ενι γναμπτοισι μελεσσιν·
στη δε ταφων· αϝτος δ᾽ εριουνιος ενγυθεν ελθων,
χειρα γεροντος ͱελων, εκσειρετο και προσεϝεσπεν·
πῇ, πατερ, ͱῶδ᾽ ͱιπποϝς τε και ͱημιονοϝς ιθυϝνεις
νυκτα δι᾽ ανβροσιην, ͱοτε θ᾽ ευδοντι βροτοι αλλοι;
ουδε συγ᾽ εδδειδσας μενεα πνεϝοντας αχαιϝοϝς,
ͱοι τοι δυσμενεες και ααρσιοι ενγυς εαντιν;
των ει τις σε ϝιδοιτο, θοϝην δια νυκτα μελαιναν,
τοσαδ᾽ ονειατ᾽ αγοντα, τις αν δη τοι νοος ειη;
ουτ᾽ αϝτος νεϝος εσσι, γερων δε τοι ͱοϝτος οπηδει.
αλλ᾽ εγω ουδεν σε ρεκσω κακον, ηδε κεν αλλον
σεϝ᾽ απαλεκσησαιμι· φιλῷ δε σε πατρι ϝεΐσκω.
τον δ᾽ ῆμειβετ᾽ επειτα γερων πριαμος θεοϝειδης·
ͱοϝτῷ πῇ ταδε γ᾽ εστι, φιλον τεκος, ͱως αγορεϝεις·
αλλ᾽ ετι τις και εμεϝο θεων ͱυπερεσχεθε χειρα,
ͱος μοι τοιονδ᾽ ͱῆκεν ͱοδοιπορον αντιβολησαι
αισιον, ͱοιος δη συ, δεμας και ϝειδος αγῆτον,
πεπνῦσαι τε νοῷ, μακαρων δ᾽ εκς εσσι τοκεϝων.
τον δ᾽ αϝτε προσεϝεσπε διακτορος αργεϊφοντης·
ναι δη ταϝτα γε παντα, γερον, κατα μοιραν εϝεσπες·
αλλ᾽ αγε μοι τοδε ϝεσπε, και ατρεκεως καταλεγσον,
ηε πῇ εκπεμπεις κειμηλια πολλα και εσθλα
ανδρας ες αλλοδαποϝς, ͱινα περ ταδε τοι σαα μιμνῇ;
η᾽ ηδη παντες καταλειπετε ϝιλϝιον ͱιερην
δεδδιοτες; τοιος γαρ ανηρ ͱοχ᾽ αριστος ολῶλεν.
τον δ᾽ ῆμειβετ᾽ επειτα γερων πριαμος θεοϝειδης·
τις δε συ εσσι, φεριστε, τεων δ᾽ εκς εσσι τοκεϝων,
ͱως μοι καλα τον οιτον αποτμοϝο παιδος ενισπες;
τον δ᾽ αϝτε προσεϝεσπε διακτορος αργεϊφοντης·
πειρα᾽ εμεϝο, γεραϝε, και ειρεο ͱεκτορα διϝον·
τον μεν εγω μαλα πολλα μαχῇ ενι κυδιανειρῇ
οφθαλμοισιν οπῶπα, και ευτ᾽ επι ναϝσιν ελασσανς
αργειϝοϝς κτεινεσκε, δαϝιδσων ͱοκσυϊ χαλκῷ·
ͱημεες δ᾽ ͱεσταοτες θαϝμαδσομεν· ου γαρ αχιλλεϝς
ηϝαε μαρνασθαι, κεχολῶμενος ατρεϝιϝῶνι.
τοο γαρ εγω θεραπων, μια δ᾽ ῆγαγε ναϝς ͱεϋϝεργης·
μυρμιδονων δ᾽ εκς ῆμι· πατηρ δε μοι εστι πολυκτωρ·
ͱαφνειος μεν ͱοδ᾽ εστι, γερων δε δη, ͱως συπερ ͱῶδε·
ͱεκς δε ͱοι ͱυιες εαντιν, εγω δε τοι ͱεβδομος ῆμι·
των μετα παλλομενος, κληρῷ λαχον ενθαδ᾽ ͱεπεσθαι·

νῦν δ' ηλθον πεδιονδ' απο ναϝων· ῆοαθεν γαρ Ω
θησονται περι ϝαστυ μαχην ϝελικῶπες αχαιϝοι.
ασχαλαοντι γαρ ͱοιγε καθημενοι, ουδε δυνανται
ͱισχεμεν εσσυμενοϝς πολεμοο βασιλεϝες αχαιϝων.
τον δ' ῆμειβετ' επειτα γερων πριαμος θεοϝειδης·
ει μεν δη θεραπων πηλεϝιαδαϜ αχιλεϝος
εσσ', αγε δη μοι παντσαν αληθειην καταλεγσον,
ῃ' ετι παρ ναϝεσιν εμος παϊς, ηε μιν ηδη
ͱῇσι κυσιν μελεϊστι ταμων προεθῆκεν αχιλλεϝς.
τον δ' αϝτε προσεϝεσπε διακτορος αργεϊφοντης·
ω γερον, ουπῳ̃ τονδε κυνες φαγον, ουδ' οιϝωνοι·
αλλ' ετι κεινος κειται αχιλλεϝος παρα ναϝι
αϝτως εν κλισιῇσι· δυωδεκατη δε ͱοι ͱηδε
κειμενῳ̃, ουδε τι ͱοι χρως σηπεται, ουδε μιν ευλαι
εσθονθ', αι ρα τε φῶτας αρεϝιφατοϝς κατεδοντιν.
η μεν μιν περι σημα ͱεϝοϜ ͱεταροϝο φιλοϝο
ͱελκει ακηδεστως, ῆως ͱοτε διϝα φανητιν·
ουδε μιν αισχυνει· θαϝεοιο κεν αϝτος επελθων,
ͱοιον ͱερσῆενς κειται, περι δ' ͱαιμα νενιπται,
ουδε ποθι μιαρος· γσυν δ' ͱελκεα παντα μεμυϝκεν.
ͱως φατ'· εγηθησεν δ' ͱο γερων, και αμειβετο μυϝθῳ̃·
ω τεκος, η ρ' αγαθον και εναισιμα δῶρα διδῶναι
αθανατοισ'· επει ου ποτ' εμος παϊς, ει ποτ' εῆν γε,
ληθετ' ενι μεγαροισι θεων, ͱοι ολυνπον ͱεχοντιν·
τῳ̃ ͱοι επεμνῆσαντο και εν θανατοϝο περ αισῇ.
αλλ' αγε δη τοδε δεχσαι εμεο παρα καλον αλεισον·
αϝτον τε ρυϝσαι, πεμπσον δε με, συν γε θεοισιν,
ͱοφρα κεν ες κλισιην πηλεϝιαδαϜ αφικωμαι.
τον δ' αϝτε προσεϝεσπε διακτορος αργεϊφοντης·
πειρα' εμεϝο, γεραϝε, νεϝωτεροϜ, ουδε με πειθσεις·
ͱος με κελεαι σεϝο δῶρα παρεκς αχιλεϝα δεχεσθαι.
τον μεν εγω δεδδοιδκα, και αιδεομαι περι κεαρι
συλϝεϝεεν, μη μοι τι κακον μετοπισθε γενηται.
σοι δ' αν εγω πομπος και κε κλυτον αργος ͱικοιμην,
ενδυκεως εν ναϝι θοϝῇ, η πεδσος ͱομαρτεων·
ουκ αν τις τοι, πομπον ονοσσαμενος, μαχεσαιτο.
ῆ, και αναͱικσανς εριουνιος ͱαρμα και ͱιπποϝς
καρπαλιμως μαστινγα και ͱηνια λαδσετο χερσιν·
εν δ' επνεϝσ' ͱιπποισι και ͱημιονοις μενος ῆϋ.
αλλ' ͱοτε δη πυργοϝς τε ναϝων και ταφρον ͱικοντο,
ͱοι δε νεϝον περι δορπα φυλακτηρες πονεοντο·
τοισι δ' εφ' υπνον εχεϝε διακτορος αργεϊφοντης
παντσιν· ͱαφαρ δ' ῶϊγσε πυλας, και απῶθσεν ͱοχεϝας,
ες δ' αγαγε πριαμον τε και αγλαϝα δῶρ' επ' απηνης.
αλλ' ͱοτε δη κλισιην πηλεϝιαδαϜ αφικοντο
ͱυπσηλην, την μυρμιδονες ποιησαν ϝανακτι,

δορF' ελατης κερσαντες· αταρ καθυπερθεν ερεφσαν
λαχνῆεντ' οροφον, λειμωνοθεν ͱαμῆσαντες· Ω
αμφι δε ͱοι μεγαλην αFλην ποιησαν Fανακτι
σταFροισιν πυκινοισι· θυρην δ' ͱεχε μουνος επιβλῆς
ελατινος, τον τρεες μεν επιͱρῆσσεσκον αχαιFοι,
τρεες δ' αναοιγεσκον μεγαλην κληFιδα θυραFων,
των αλλων· αχιλεFς δ' αρ' επιͱρῆσσεσκε και οιος.
δη ρα τοθ' ερμειας εριουνιος ῷγσε γεροντι,
ες δ' αγαγε κλυτα δῶρα ποδώκεϊ πηλεFιFῶνι,
εκς ͱιππων δ' απεβαινεν επι χθον', εφωνησεν τε·
ω γερον, ητοι εγω θεος ανβροτος ηλήλουθα
ͱερμειας· σοι γαρ με πατηρ ͱαμα πομπον οπασσεν·
αλλ' ητοι μεν εγω παλιν εισομαι, ουδ' αχιλεFος
οφθαλμοFς εισειμι· νεμεσῆτον δε κεν ειη,
αθανατον θεον ͱῷδε βροτοFς αγαπαδσεμεν αντην.
ͱως αρα φῶνησανς απεβη προς μακρον ολυνπον
ͱερμειας· πριαμος δ' εκς ͱιππων ͱαλτο χαμαδσε,
ιδαιον δε κατ' αFθ' ελιπεν· ͱο δ' εμιμνεν ερυκων
ͱιπποFς ͱημιονοFς τε· γερων δ' ιθυς κιε Fοικοο,
τῇ ρ' αχιλεFς ͱιδσεσκε, διϊ φιλος· εν δε μιν αFτον
ͱευρ'· ͱεταροι δ' απανευθε καθῆατο· τῷ δε δυ' οιω,
ͱηρως αFτομεδων τε, και αλκιμος οδσος αρεFος,
ποιπνυFον παρεοντε· νεFον δ' απεληγεν εδῶδης
εσθων και πιFνων, ετι και παρεκειτο τραπεδσα.
τοFς δ' ελαθ' εισελθων πριαμος μεγας, ανχι δ' αρα στανς
χερσιν αχιλλεFος λαβε γουFατα, και κυσε χειρας
δδεινας, ανδροφονοFς, ͱαι ͱοι πολυας κτανον ͱυιας.
ͱως δ' ͱοτ' αν ανδρ' αFατη πυκινη λαβῇ, ͱοστ' ενι πατρῇ
φῶτα κατακτῆνανς αλλων εκσͱικετο δημον,
ανδρος ες ͱαφνειοο, θαμβος δ' ͱεχει εισͱοραοντας·
ͱως αχιλεFς θαμβησε, Fιδων πριαμον θεοFειδεα·
θαμβησαν δε και αλλοι, ες αλληλοFς δ' εFιδοντο.
τον και λισσομενος πριαμος προς μυFθον εFεσπεν·
μνῆσαι πατρος σοFο, θεοισ' επιFεικελ' αχιλλεF,
τηλικοF' ͱωσπερ εγων, ολοFῷ επι γηραος ουδῷ.
και μεν ποο κεινον περιναιεται αμφις εοντες
τειροντ', ουδε τις εστι Fαρην και λοιγον αμυFναι·
αλλ' ητοι κεινος γε, σεθεν δσαFοντος ακοFων,
χαιρει τ' εν θυFμῷ, επι θ' ελπεται ͱηματα παντα
οπτσεσθαι φιλον ͱυιον, απο τροFιηθεν ιοντα·
αFταρ εγω παναποτμος, επει τεκον ͱυιας αριστοFς·
των μεν πολλων θοFρος αρεFς ͱυπο γουFατ' ελυFσεν·
ͱος δε μοι οιος εῆν, ηρυFτο δε Fαστυ και αFτοFς,
τον συ πρῶην κτῆνας, αμυFνομενον περι πατρης,
ͱεκτορα· τοο νῦν ͱεινεχ' ικανω ναFας αχαιFων,
λυFσομενος παρα σεFο, φερω δ' απερεισι' αποινα.

αλλ' αιδεεο θεοϝς, αχιλεϝ, αϝτον τ' ελεησον, Ω
μνησαμενος σοϝο πατρος· εγω δ' ελεεινοτερος περ,
ετλην δ', ͱοι ουπω τις επιχθονιος βροτος αλλος,
ανδρος παιδοφονοϝο ποτι στομα χειρ' ορεγεσθαι.
ͱως φατο· τω δ' αρα πατρος ͱυφ' ιμερον ωρσε γοοϝο,
ͱαπτσαμενος δ' αρα χειρος, απωθσατο ͱηκα γεροντα.
τω δε μνησαμενω, ͱο μεν ͱεκτορος ανδροφονοϝο,
κλαϝ' ͱαδινα, προπαροιθε ποδων αχιλεϝος ελυσθενς·
αϝταρ αχιλλεϝς κλαϝεν ͱεϝον πατερ', αλλοτε δ' αϝτε
πατροκλον· των δε στοναχη κατα δωματ' ορωρεεν.
αϝταρ επει ρα γοοϝ ετεταρπετο διϝος αχιλλεϝς,
αϝτικ' απο θρονοϝ ωρτο, γεροντα δε χειρος ανͱιστη,
οικτειρων πολιον τε καρη, πολιον τε γενειον·
και μιν φωνησανς ϝεπεα πτεροεντα προσηϝδα·
ϝαͱ δδειλ'! η δη πολλα κακ' ανσχεο σον κατα θυϝμον.
πως ετλης επι ναϝας αχαιϝων ελθεμεν οιος,
ανδρος ες οφθαλμοϝς, ͱος τοι πολυας τε και εσθλοϝς
ͱυιιας εκσεναρικσε; σιδηρειον νυ τοι ητορ.
αλλ' αγε δη κατ' αρ' ͱεδσε' επι θρονοϝ· αλγεα δ' ενπης
εν θυϝμω κατακεισθαι εϝασομεν, αχνυμενοι περ·
ου γαρ τις πρηκσις πελεται κρυεροϝο γοοϝο.
ͱως γαρ επεκλωθσαντο θεοι δδειλοισι βροτοισιν,
δσαϝεμεν αχνυμενοϝς· αϝτοι δε τ' ακηδεες εντιν.
δοιοι γαρ τε πιθοι κατακειαται εν διος ουδει
δωρων, ͱοια διδωτι, κακων, ͱετερος δε ͱεαϝων·
ͱω μεν κ' αμμιγσανς δωη δσεϝς τερπικεραυνος,
αλλοτε μεν τε κακω ͱογε κυϝρεται, αλλοτε δ' εσθλω·
ͱω δε κε των λυγρων δωη, λωβητον εθηκεν,
και ͱε κακη βοϝβρωστις επι χθονα διϝαν ελαϝνει,
φοιτα δ', ουτε θεοισι τετιϝμενος, ουτε βροτοισιν.
ͱως μεν και πηλεϝι θεοι δοσαν αγλαϝα δωρα
εκ γενετης· παντας γαρ επ' ανθρωποϝς εκεκαστο
ολβω τε, πλοϝτω τ', εϝανασσε δε μυρμιδονεσιν,
και ͱοι θνητω εοντι θεαν ποιησαν ͱακοιτιν·
αλλ' επι και τω εθηκε θεος κακον, ͱοτι ͱοι ουτι
παιδων εν μεγαροισι γονη γενετο κρεϝοντων,
αλλ' ͱενα παιδ' ετεκεν παναͱωριον· ουδε νυ τονγε
γηρασκοντα κομιδσω, επει μαλα τηλοθι πατρης
ͱημαι ενι τροϝιη, σε τε κηδων, ηδε σα τεκνα.
και σε, γερον, το πριν μεν ακοϝομεν ολβιον εεναι,
ͱοσον λεσβος ανω, μακαρος ͱεδος, εντος εεργει,
και φρυγιη καθυπερθε, και ͱελλησποντος απειρων·
των σε, γερον, πλοϝτω τε και ͱυιεσι φαντι κεκασθαι.
αϝταρ επει τοι πημα τοδ' ηγαγον ουρανιϝωνες,
αιϝει τοι περι ϝαστυ μαχαι τ' ανδροκτασιαι τε·
ανσχεο, μηδ' αλιϝαστον οδυϝρεο σον κατα θυϝμον.

τον δ' ἠμειβετ' επειτα γερων πριαμος θεοϝειδης· 552
μη με πῳ̃ ες θρονον ͱιδσε, διοτρεφες, ͱοφρα κεν ͱεκτωρ Ω
κειται ενι κλισιῃ̃σιν ακηδης· αλλα ταχιστα
λυϝσον, ͱιν' οφθαλμοισι ϝιδω· συ δε τωνδ' αποναιο, και ελθοις 555
σην ες πατριδα γαιαν, επει με πρ̨ῶτον εϝᾶσας! 557
τον δ' αρ̨' ͱυποδρα ϝιδων προσεφη ποδας ὠ̃κυς αχιλλεϝς· 559
μηκετι νῦν μ' ερεθιδσε, γερον· νοεω δε και αϝτος 560
ͱεκτορα τοι λυϝσαι· διοθεν δε μοι ανγελος ηλθεν,
μητηρ, ͱη μ' ετεκεν, θυγατηρ ͱαλιοϝο γεροντος.
και δε σε γιγνω̃σκω, πριαμε, φρεσιν, ουδε μη ληθεις,
ͱοτι θεων τις σ' ἠ̃γε θοϝας επι ναϝας αχαιϝων·
ου γαρ κε τλᾶιη βροτος ελθεμεν, ουδε μαλ' ͱηβεων, 565
ες στρατον· ουδε γαρ αν φυλακοϝς λαθοι, ουδε χ' οχεϝας
ρεϝα μετοχλισσειε θυραϝων ͱημετεραϝων.
τῳ̃ νυν μη μοι μαλλον εν αλγεσι θυϝμον ορινῃ̃ς,
μη σε, γερον, ουδ' αϝτον ενι κλισιῃ̃σιν εϝᾶσω,
και ͱικετην περ εοντα, διος δ' αλιτωμαι εφετμας. 570
ͱως εφατ'· εδδειδσεν δ' ͱο γερων, και επειθετο μυϝθῳ̃.
πηλεϝιδης δε, λεϝων ͱως, ϝοικοϝ' εϝαλτο θυραδσε,
ουκ οιος· ͱαμα τῳ̃γε δυω θεραποντ' εͱεποντο,
ͱηρως αϝτομεδων τε και αλκιμος, ͱοϝς ρα μαλιστα
τιϝ' αχιλεϝς ͱεταρων, μετα πατροκλον γε θανοντα. 575
ͱοι τοθ' υπο δσυγοφιν λυϝον ͱιπποϝς ͱημιονοϝς τε,
ες δ' αγαγον κηρ̨ῦκα καλητορα τοϝο γεροντος·
κατ δ' επι διφρ̨οϝ' εͱεσσαν· ͱεῦχσεστοο δ' απ' απηνης
ͱαιρεον ͱεκτορεης κεφαλης απερεισι' αποινα.
κατ δ' ελιπον δυο φαϝρε', ͱεῦνητον τε χιτῶνα, 580
ͱοφρα νεκυν πυκασανς δῳ̃ῃ ϝοικονδε φερεσθαι.
δμῶας δ' εκκαλεσανς λοϝεσαι κελετ', αμφι τ' αλειφσαι,
νοσφιν αͱῆραντσας, ͱως μη πριαμος ϝιδῃ̃ ͱυιον. 583
τον δ' επει ὠ̃ν δμῶαι λοϝεσαν και χριϝσαν ελαιῳ̃, 587
αμφι δε μιν φαϝρος καλον βαλον, ηδε χιτῶνα,
αϝτος τονγ' αχιλεϝς λεχεων επεθῆκεν αͱῆρανς,
γσυν δε ͱεταιροι αͱῆραν ͱεῦχσεστην επ' απηνην. 590
ῳ̃μωγσεν τ' αρ' επειτα, φιλον δ' ονομῆνεν ͱεταιρον·
μη μοι, πατροκλε, σκυδμαινεμεν, αι κε πυθηαι
ειν' αϝιδος περ εων, ͱοτι ͱεκτορα διϝον ελυϝσα. 593
ἠ̃ ρα, και ες κλισιην παλιν ἠϊε διϝος αχιλλεϝς· 596
ͱεδσετο δ' εν κλισμῳ̃ πολυδαιδαλῳ̃, ενθεν ανεστη,
τοιχοϝο τοϝ' ͱετεροο, πρ̨οτι δε πριαμον φατο μυϝθον·
ͱυιος μεν δη τοι λελυται, γερον, ͱως εκελεϝες,
κειται δ' εν λεχεσιν, ͱαμα δ' ἠ̃οῖ φαινομενηφιν 600
οπτσεαι αϝτος αγων· νῦν δε μνῆσωμεθα δορποο.
και γαρ τ' ἠ̃ϋκομος νιοβη εμνῆσατο σῖτοο,
τῃ̃περ δω̃δεκα παιδες ενι μεγαροισιν ο̨λοντο,

ͱεκς μεν θυγατερες, ͱεκς δ' ͱυιιες ͱηβαFοντες· Ω
τοFς μεν απολλων πεφνεν απ' αργυρεοFο βιοFο, 605
χωομενος νιοβῇ, τας δ' αρτεμις ͱιͱοχεαιρα,
ͱοονεκ' αρα λητοι FεισFασκετο καλλιπαρῄῳ. 607
αλλ' αγε δη και νοFι μεδωμεθα, διFε γεραFε, 618
σῖτοF', επειτα κεν αFτε φιλον παιδα κλαFοισθα,
FιλFιον εισαγαγων· πολυδακρυFτος δε τοι εσται. 620
ἦ, και αναͱικσανς οFιν αργυφον ὦκυς αχιλλεFς
σφαγσ'· ͱεταροι δ' εδερον τε και αμφεπον ͱευ κατα κοσμον,
μιστυλλον τ' αρ' επισταμενως, πῆραν τ' οβελοισιν,
ὤπτῆσαν τε περιφραδεως, Fερυσαντο τε παντα.
αFτομεδων δ' αρα σῖτον ͱελων επενῆμε τραπεδσῃ 625
καλοισ' εν κανεοισιν· αταρ κρε' ενῆμεν αχιλλεFς.
ͱοι δ' επ' ονειαθ' ετοιμα προκειμενα χειρας ιαλλον.
αFταρ επει ποσιος και εδητυος εκς ερον ͱεντο,
ητοι δαρδανιδης πριαμος θαFμαδσ' αχιλεFα,
ͱοσος εῆν, ͱοιος τε· θεοισι γαρ αντ' εFεFοικεεν. 630
αFταρ ͱο δαρδανιδην πριαμον θαFμαδσεν αχιλλεFς,
εισͱοραων οπσιν τ' αγαθην, και μυFθον ακοFων.
αFταρ επει ταρπησαν ες αλληλοFς ͱοραοντες,
τον προτερος προσεFεσπε γερων πριαμος θεοFειδης·
λεχσον νῦν με ταχιστα, διοτρεφες, ͱοφρα κεν ηδη 635
ͱυπνῷ ͱυπο γλυκερῷ ταρπωμεθα κοιμῆθεντες·
ου γαρ πῶ μυσαν οσσε ͱυπο βλεφαροισιν εμοισιν,
εκς ͱοFο σῇσ' ͱυπο χερσιν εμος παϊς ὤλεσε θυFμον·
αλλ' αιFει στοναχω και κηδεα μυρια πεσσω. 639
νῦν δη και σῖτοο πασαμην, και τ' αιθοπα Fοινον 641
λαFκανιης κατεͱῆκα· παρος γε μεν ουτι πεπασμην.
ἦ ρ'· αχιλεFς δ' ͱεταροισιν ιδε δμῳῇσ' εκελεFσεν
δεμνι' ͱυπ' αιθουτσῃ θεμεναι, και Fρῆγεα καλα
πορφυρε' ενβαλεεεν, στορεσαι τ' εφυπερθε ταπητας, 645
χλαινας τ' ενθεμεναι FολFας καθυπερθε Fεσασθαι.
ͱαι δ' ισαν εκ μεγαροFο, δαFος μετα χερσιν ͱεχοντσαι·
αιπσα δ' αρ' εστορεσαν δοιω λεχε' ενκονεοντσαι.
τον δ' επικερτομεων προσεφη ποδας ὦκυς αχιλλεFς·
εκτος μεν δη λεχσο, γερον φιλε· μη τις αχαιFων 650
ενθαδ' επελθητιν βουληφορος, ͱοι τε μοι αιFει
βουλας βουλεFοντι παρͱημενοι, ͱῇ θεμις εστιν·
των ει τις σε Fιδοιτο θοFην δια νυκτα μελαιναν,
αFτικ' αν εκσFεσποι αγαμεμνονι ποιμενι λαFων,
και κεν αναβλῆσις λυσιος νεκροFο γενοιτο. 655
αλλ' αγε μοι τοδε Fεσπε, και ατρεκεως καταλεγσον,
ποσͱημαρ μεμονας κτερεϊδσεμεν ͱεκτορα διFον,
ͱοφρα τεFος αFτος τε μενω και λαFον ερυκω.
τον δ' ῆμειβετ' επειτα γερων πριαμος θεοFειδης·
ει μεν δη μ' εθελεις τελεσαι ταφον ͱεκτορι διFῳ, 660

ͱῶδε κε μοι ϱεδσων, αχιλεϝ, κεχαϱισμενα θειης. Ω
ϝοιδσθα γαρ, ͱως κατα ϝαστυ ϝεϝελμεθα, τηλοθι δ' ͱυλϝη
αγσεμεν εκς ορεος· μαλα δε τροϝες δεδδιαντιν.
ͱεννͱημαρ μεν κ' αϝτον ενι μεγαϱοις γοαοιμεν,
τῇ δεκατῇ δε κε θαπτοιμεν, δαινυοιτο τε λαϝος·
ͱενδεκατῇ δε κε τυμβον επ' αϝτῷ ποιησαιμεν,
τῇ δε δυωδεκατῇ πολεμικσομεν, ειπεϱ ανανκη.
  τον δ' αϝτε προσεϝεσπε ποδαρκης διϝος αχιλλεϝς·
εσται τοι και ταϝτα, γερον πριαμ', ͱως συ κελεϝεις·
σχησω γαρ πολεμον τοσον χϱονον, ͱοσον ανῶγας.
  ͱως αρα φῶνησανς, επι καρπῷ χειϱα γεροντος
ελαβε δεχσιτερην, μη πως δειδσει' ενι θυϝμῷ.
ͱοι μεν αρ' εν προδομῷ δομοϝ' αϝτοθ' εκοιμῆσαντο
κηρυκς και πϱιαμος, πυκινα φρεσι μηδε' ͱεχοντες·
αϝταρ αχιλλεϝς ͱευδε μυχῷ κλισιης ͱεϋπηγτοο·
τῷ δ' αρ βρισεϝις παρελεχσατο καλλιπαρῇος.
  αλλοι μεν ρα θεοι τε και ανερες ͱιπποκορυσται
ͱευδον παννυχιοι, μαλακῷ δεδμῆμενοι ͱυπνῷ·
αλλ' ουχ ερμειαν εριουνιον ͱυπνος εμαρπτεν,
ͱοϱμαινοντ' ανα θυϝμον, ͱοπως πριαμον βασιλεϝα
ναϝων εκπεμπσειε, λαθων ͱιεροϝς πυλαῶροϝς.
στη δ' αρ' ͱυπερ κεφαλης, και μιν προς μυϝθον εϝεσπεν·
  ω γερον, ου νυ τι σοι γε μελει κακον· ͱοιον εθ' ευδεις
ανδρεσιν εν δαϝιοισιν, επει σ' ηϝᾶσεν αχιλλεϝς·
και νῦν μεν φιλον ͱυιον ελυϝσαο, πολλα δ' εδῶκας·
σεϝο δε κε δσαϝοο και τρις τοσα δοιεν αποινα
παιδες τοι μετοπισθε λελειπμενοι, αι κ' αγαμεμνων
γνῷη σ' ατϱεϝιδης, γνῶωντι δε παντες αχαιϝοι.
  ͱως εφατ'· εδδειδσεν δ' ͱο γερων, κηρῦκα δ' ανͱιστη.
τοισιν δ' ͱερμειας δσευγσ' ͱιπποϝς ͱημιονοϝς τε·
ριμφα δ' αρ' αϝτος ελαϝνε κατα στρατον, ουδε τις εγνῶ.
  αλλ' ͱοτε δη πορον ͱικσαν ͱεϋρεϝος ποταμοϝο,
χσανθοϝο δινεϝεντος, ͱον αθανατος τεκετο δσεϝς,
ͱερμειας μεν επειτ' απεβη προς μακρον ολυνπον.
ῆως δε κροκοπεπλος εκιδνατο παντσαν επ' αιαν·
ͱοι δ' εις ϝαστυ ελῶν οιμωγῇ τε στοναχῇ τε
ͱιπποϝς, ͱημιονοι δε νεκυν φερον· ουδε τις αλλος
εγνῶ προσθ' ανδρων καλλιδσωνων τε γυναικων·
αλλ' αρα κασσανδρη, ϝικελη χρυσεῇ αφροδῖτῇ,
περγαμον εις αναβαντσα, φιλον πατερ' εισενοησεν
ͱεσταοτ' εν διφρῷ, κηρῦκα τε ϝαστυβοῶτην·
τον δ' αρ' εφ' ημιονων ϝιδε κειμενον εν λεχεεσιν·
κωκυϝσεν τ' αρ' επειτ', εγεγωνε τε παν κατα ϝαστυ·
  οπτσεσθε, τροϝες, και τροϝιδες, ͱεκτορ' ιοντες,
ει ποτε και δσαϝοντι μαχης εκ νοστησαντι
χαιρετ'· επει μεγα χαϱμα πολιι τ' ῆν, παντι τε δημῷ.

ͱως εφατ᾽· ουδε τις αFτοθ᾽ ενι πτολιι λιπετ᾽ ανηρ, Ω
ουδε γυνη· παντας γαρ αͱεσχετον ͱικετο πενθος·
ανχοFο δε γσυνβλῆντο πυλαFων νεκρον αγοντι.
πρῶται τονγ᾽ ͱαλοχος τε φιλη και ποτνια μητηρ
τιλλεσθην, εφ᾽ αμαγσαν ͱεϋτροχον αͱικσαντσαι,
ͱαπτομεναι κεφαλης· κλαFων δ᾽ αμφισταθ᾽ ομιλFος.
και νυ κε δη προπαν ͱημαρ ες ῆελιον καταδῦντα
ͱεκτορα δακρυχεFοντες οδυFροντο προ πυλαFων,
ει μη αρ᾽ εκ διφροFο γερων λαFοισι μετηῦFδα·
Fεικσατε μοι, ουρεFσι διελθεμεν· αFταρ επειτα
ͱαδσεσθε κλαFθμοFο, επην αγαγοιμι δομονδε.
ͱως εφαθ᾽· οι δε διεστησαν, και εFεικσαν απηνῇ.
ͱοι δ᾽ επει εισαγαγον κλυτα δῶματα, τον μεν επειτα
τρητοισ᾽ εν λεχεεσ᾽ εθεσαν, παρα δ᾽ ͱεσσαν αFοιδοFς.
ͱοι μεν αρ᾽ εθρηνεον, επι δ᾽ εστοναχοντο γυναικες.
λαFοισιν δ᾽ ͱο γερων πριαμος μετα μυFθον εFεσπεν·
αγσετε νῦν, τροFες, χσυλα Fαστυδε, μηδε τι θυFμῷ
δδειδσητ᾽ αργειFων πυκινον λοχον· η γαρ αχιλλεFς
πεμπων μ᾽ ͱῶδ᾽ επετελλε μελαιναFων απο ναFων,
μη πριν πημανεεεν, πριν δωδεκατη μολῇ ῆως.
ͱως εφαθ᾽· οι δ᾽ ͱυφ᾽ αμαγσῆσιν βοFας ͱημιονοFς τε
δσευγνυον· αιπσα δ᾽ επειτα προ FαστυFος ῆγερεθοντο.
ͱεννͱημαρ μεν τοιγ᾽ εαγινεον ασπετον ͱυλFην·
αλλ᾽ ͱοτε δη δεκατη εφανη φαFεσιμβροτος ῆως,
και τοτ᾽ αρ᾽ εκσεφερον θρασυν ͱεκτορα δακρυχεFοντες·
εν δε πυρῇ ͱυπατῇ νεκρον θεσαν, εν δ᾽ εβαλον πυρ.
ημος δ᾽ ῆριγενει᾽ εφανη Fροδοδακτυλος ῆως,
τημος αρ᾽ αμφι πυρην κλυτοF ͱεκτορος εγρετο λαFος.
πρῶτον μεν κατα πυρκαFιην σβεσαν αιθοπι Fοινῷ
παντσαν, ͱοποσον επεσχε πυρος μενος· αFταρ επειτα
οστεα λεFκ᾽ ελεγοντο κασιγνῆτοι θ᾽, εταροι τε,
μυFρομενοι, θαλερον δε κατειβετο δακρυ παρειεων.
και ταγε χρυσειην ες λαρνακ᾽ εθῆκαν ͱελοντες,
πορφυρεοις πεπλοισι καλυπτσαντες μαλακοισιν·
αιπσα δ᾽ αρ᾽ ες κοιλην καπετον θεσαν· αFταρ ͱυπερθεν
πυκνοισιν λαFεσσι κατεστορεσαν μεγαλοισιν·
ριμφα δε σημ᾽ εχεFον, περι δε σκοποι ͱηατο παντῇ,
μη πριν εφορμῆσειαν ͱεϋκνημιδες αχαιFοι.
χεFσαντες δε το σημα παλιν κιον· αFταρ επειτα
ͱευ γσυναγῆραμενοι δαινῦντ᾽ ερικυFδεα δαιτα
δῶμασιν εν πριαμοFο διοτρεφεος βασιλεFος.
ͱως ͱοιγ᾽ αμφιͱεπον ταφον ͱεκτορος ͱιπποδαμοFο.

# ΟΔΥΣΣΕΙΑ.

# ͰΟΔΥΣΣΕΙΑ.

---

*ΑΝΔΡΑ* μοι ενεπε, μοϝσα, πολυτροπον, ͱος μαλα πολλα A
πλανχθη, επει τροϝιης ͱιερον πτολιεθρον επερθσεν·
πολλων δ᾽ ανθρωπων ϝιδε ϝαστυϝα, και νοον εγνῶ·
πολλα δ᾽ ͱογ᾽ εν ποντῷ παθεν αλγε᾽ ͱεϝον κατα θυϝμον,
ͱαρνυμενος ͱην τε πσυϝχην και νοστον ͱεταιρων·
αλλ᾽ ουδ᾽ ͱως ͱεταροϝς ηρυϝσατο, ͱιͱεμενος περ,
αϝτων γαρ σφετερῇσιν ατασθαλιῇσιν ολοντο,
νηπιοι! ͱοι κατα βοϝς ͱυπεριονος ῆελιοϝο
ησθιον· αϝταρ ͱο τοισιν αφελλετο νοστιμον ͱημαρ.
των αμοθεν γε, θεα, θυγατερ διος, ϝεσπε και ͱημῖν.
ενθ᾽ αλλοι μεν παντες, ͱοσοι φυγον αιπυν ολεθρον,
ϝοικοι εσαν, πολεμον τε πεφευγοτες ηδε θαλασσαν·
τον δ᾽ οιον, νοστοο κεχρῆμενον ηδε γυναικος,
νυμφη ποτνι᾽ ερυκε καλυπσω, διϝα θεαϝων,
εν σπεϝεσι γλαφυροισι, λιλαϝομενη ποσιν εεναι.
αλλ᾽ ͱοτε δη ϝετος ηλθε, περιπλομενων ενιαϝτων,
τῷ ͱοι επεκλωθσαντο θεοι ϝοικονδε νεεσθαι
εις ιθακην, ουδ᾽ ενθα πεφυγμενος ῆεν αϝεθλων,
και μεθ᾽ εϝοισι φιλοισι· θεοι δ᾽ ελεαιρον ͱαπαντες,
νοσφι ποσειδαϝῶνος· ͱο δ᾽ ασπερχες μενεαινεν
αντιθεῷ ͱοδυσεϝι, παρος ͱην γαιαν ͱικεσθαι.
αλλ᾽ ͱο μεν αιθιοπας μετεκιαθε τηλοθ᾽ εοντας,
αιθιοπας, τοι διχθα δεδαιαται, εσχατοι ανδρων,
ͱοι μεν δυϝσομενοϝ᾽ ͱυπεριονος, ͱοι δ᾽ ανιοντος,
αντιαων ταυρων και ϝαρνειων ͱεκατονβης.
ενθ᾽ ͱογ᾽ ετερπετο δαιτι παρͱημενος· ͱοι δε δη αλλοι
δσῆνος ενι μεγαροισιν ολυνπιοϝ᾽ ͱαθροϝοι ησαν.
τοισι δε μυϝθων ῆρχε πατηρ ανδρων τε θεων τε. 28
ω ποποι! ͱοιον δη νυ θεοϝς βροτοι αιτιαονται· 32
εκς ͱημεων γαρ φαντι κακ᾽ εσμεναι, ͱοι δε και αϝτοι

σφῆσιν ατασθαλιῃσιν ͱυπερ μορον αλγε' ͱεχουντιν. A
ͱως και νῦν αιγισθος ͱυπερ μορον ατρεϝιδαϝο 35
γῆμ' ͱαλοχον μνῆστην, τον δ' εκτανε νοστησαντα,
ϝειδως αιπυν ολεθρον, επει ͱοι εϝεσπομεν ͱημεες,
ͱερμειαν πεμπσαντες ͱεΰσκοπον αργεϊφοντην,
μητ' αϝτον κτεινεεν, μητε μναϝεσθαι ͱακοιτιν. 39
τον δ' ῆμειβετ' επειτα θεα γλαϝκωπις αθηνη· 44
ω πατερ ͱημετερε, κρονιδη, ͱυπατε κρεϝοντων, 45
και λιϝην κεινος γε ϝεϝοικοτι κειται ολεθρῳ· 46
αλλα μοι αμφ' ͱοδυσεϝι δαϝιφρονι δαιεται ητορ 48
δυσμορῳ, ͱος δη δηθα φιλων απο πηματα πασχει,
νησῳ εν αμφιρυτῃ, ͱοθι τ' ομφαλος εστι θαλασσης, 50
νησος δενδρῆεντσα· θεα δ' εν δωματα ναιει
ατλαντος θυγατηρ ολοϝοφρονος, ͱος τε θαλασσης
παντσης βενθεα ϝοιδεν, ͱεχει δε τε κιονας αϝτος
μακρας, ͱαι γαιαν τε και ουρανον αμφις ͱεχοντιν·
τοο θυγατὴρ δυστηνον οδυϝρομενον κατερυκει· 55
αιϝει δε μαλακοισι και ͱαιμυλιοισι λογοισιν
θελγει, ͱοπως ιθακης επιληθσεται· αϝταρ ͱοδυσσεϝς,
ͱιͱεμενος και καπνον αποθρῷσκοντα νοησαι
ͱης γαιης, θανεεεν ͱιμειρεται· ουδε νυ σοι περ
εντρεπεται φιλον ητορ, ολυνπιε! ου νυ θ' οδυσσεϝς 60
ἀργειϝων παρα ναϝσ' εχαριδσετο ͱιερα ρεδσων! 61
την δ' απαμειβομενος προσεφη νεφεληγερετα δσεϝς· 63
τεκνον εμον, ποιον σε ϝεπος φυγεν ͱερκος οδοντων;
πως αν επειθ' οδυσεϝος εγω θειοϝο λαθοιμην, 65
ϝος περι μεν νοον εστι βροτων, περι δ' ͱιερα θεοισιν
αθανατοισιν εδῶκε, τοι ουρανον ευρυν ͱεχοντιν;
αλλα ποσειδαϝων γαιηϝοχος ασκελες αιϝει
κυκλῶπος κεχολῶται, ͱον οφθαλμοϝ' αλαϝῶσεν,
αντιθεον πολυφημον, ͱοϝο κρατος εστι μεγιστον 70
παντεσι κυκλωπεσι· θαϝοντσα δε μιν τεκε νυμφη,
φορκῦνος θυγατηρ ͱαλος ατρυγετοϝο μεδοντος,
εν σπεϝεσι γλαφυροισι ποσειδαϝωνι μιγεντσα.
εκ τοϝο δη ͱοδυσεϝα ποσειδαϝων ενοσιχθων
ου τι κατακτεινει, πλαδσει δ' απο πατριδος αιης. 75
αλλ' αγεθ', ημεες ͱοιδε περιφραδσωμεθα παντες
νοστον, ͱοπως ελθητι· ποσειδαϝων δε μεθησει
ͱον χολον· ου μεν γαρ τι δυνησεται αντια παντων,
αθανατων αϝεκητι θεων, εριδαινεμεν οιος.
τον δ' ῆμειβετ' επειτα θεα γλαϝκῶπις αθηνη· 80
ω πατερ ͱημετερε, κρονιδη, ͱυπατε κρεϝοντων,
ει μεν δη νῦν τοϝτο φιλον μακαρεσι θεοισιν,
νοστησαι ͱοδυσεϝα δαϝιφρονα ͱονδε δομονδε,
ͱερμειαν μεν επειτα διακτορον αργεϊφοντην
νησον ες ωγυγιην οτρυϝνομεν, ͱοφρα ταχιστα 85

*νυμφῇ ͱεϋπλοκαμῳ̃ Fεσπῇ νημερτεα βουλην.* 86
*αFταρ εγων ιθακηνδ᾽ εσελευθσομαι, ͱοφρα ͱοι ͱυιον* 88
*μαλλον εποτρυFνω, και ͱοι μενος εν φρεσι θειω,* A
*εις αγορην καλεσαντα καρῆκομαοντας αχαιFoFς,* 90
*παντσι μνηστηρεσ᾽ αποFεσπεμεν, ͱοιτε ͱοι αιFει*
*μηλ᾽ ͱαδινα σφαδσοντι, και ͱελλιποδας Fελικας βοFς.*
*πεμπσω δ᾽ ες σπαρτην τε και ες πυλον αμαθοεντα,*
*νοστον πευθσομενον πατερος φιλοF, ην ποF ακοFσῃ,*
*ηδ᾽ ͱινα μιν κλεος εσθλον εν ανθρωποισιν ͱεχητιν.* 95
*ͱως Fεσποντσ᾽, ͱυπο ποδσιν εδησατο καλα πεδιλFα,* 96
*βη δε κατ᾽ ολυνποFο καρῆνων αͱικσαντσα·* 102
*στη δ᾽ ιθακης ενι δημῳ̃, επι προθυροισ᾽ ͱοδυσεFος,*
*ουδοF επ᾽ αFλειοο· παλαμῇ δ᾽ ͱεχε χαλκεον ενχος,*
*Fειδομενη χσεινῳ̃, ταφιων ͱηγητορι, μεντῃ.* 105
*ͱευρε δ᾽ αρα μνῆστηρας αγῆνορας· ͱοι μεν επειτα*
*πεσσοισι προπαροιθε θυραFων θυFμον ετερπον,*
*ͱημενοι εν Fρῖνοισι βοFων, ͱοFς εκτανον αFτοι.*
*κηρῦκες δ᾽ αFτοισι και οτρηροι θεραποντες,*
*ͱοι μεν Fοινον εμισγον ενι κρῆτηρσι και ͱυFδωρ,* 110
*ͱοι δ᾽ αFτε σπονγοισι πολυτρῆτοισι τραπεδσας*
*νιδσον, και προτιθεντ᾽, ηδε κρεα πολλα δατεοντο.*
*την δε πολυ πρῶτος Fιδε τηλεμαχος θεοFειδης·*
*ͱηστο γαρ εν μνῆστηρσι φιλον τετιFῆμενος ητορ,*
*Fοσσομενος πατερ᾽ εσθλον ενι φρεσιν, ει ποθεν ελθων* 115
*μνῆστηρων των μεν σκεδασιν κατα δωματα θειη,*
*τιFμην δ᾽ αFτος ͱεχοι, και κτημασ᾽ ͱεFοισι Fανασσοι.*
*τα φρονεων, μνῆστηρσι μεθημενος, εFιδ᾽ αθηνην·*
*βη δ᾽ ιθυς προθυροF, ενεμεσσῆθη δ᾽ ενι θυFμῳ̃*
*χσεινον δηθα θυρῆσιν εφεσταμεν· ενγυθι δε στανς* 120
*χειρ᾽ ͱελε δεχσιτερην, και εδεχσατο χαλκεον ενχος,*
*και μιν φῶνησανς Fεπεα πτεροεντα προσῆυFδα·*
*χαιρε, χσεινε· παρ᾽ αμμι φιλησεαι, αFταρ επειτα*
*δειπνοFο πασσαμενος μυFθησεαι ͱο τεο σε χρη.*
*ͱως Fεσπων ͱηγεεθ᾽, η δ᾽ ͱεσπετο παλλας αθηνη·* 125
*ͱοι δ᾽ ͱοτε δη ρ᾽ εντοσθεν εσαν δομοF ͱυπσηλοFο,*
*ενχος μεν ρ᾽ εστησε φερων προς κιονα μακρην,*
*δορFοδοκης εντοσθεν ͱεϋχσυFοF, ενθα περ αλλα*
*ενχε᾽ ͱοδυσσεFος ταλασιφρονος ͱιστατο πολλα·*
*αFτην δ᾽ ες θρονον ͱεσσεν αγων, ͱυπο λῖτα πετασσανς,* 130
*καλον, δαιδαλεον· ͱυπο δε θρηνυς ποσιν ῆεν.*
*παρ δ᾽ αFτος κλισμον θετο ποικιλον, εκτοθεν αλλων.* 132
*χερνιβα δ᾽ αμφιπολος προχοFῳ̃ επεχεFε φεροντσα* 136
*καλῇ, χρυσειῇ, ͱυπερ αργυρεοFο λεβητος,*
*νιπτσασθαι· παρα δε χσεστην ετανυσσε τραπεδσαν.*
*σῖτον δ᾽ αιδοιη ταμιη παρεθῆκε φεροντσα,*
*ηδατα πολλ᾽ επιθεντσα, χαριδσομενη παρεοντων.* 140

δαιτρος δε κρεαων πινακας παρεθῆκεν αͱῆρανς A
παντοιων, παρα δε σφ' ετιθεε χρυσεια κυπελλα.
κηρυκς δ' αϝτοισιν θαμ' επῴχετο ϝοινοχοϝεϝων.
ες δ' ηλθον μνῆστηρες αγῆνορες· ͱοι μεν επειτα
ͱεχσειης ͱεδσοντο κατα κλισμοϝς τε θρονοϝς τε·
τοισι δε κηρῦκες μεν ͱυδωρ επι χειρας εχεϝον,
σῖτον δε δμῶαι παρεναϝεον εν κανεοισιν·
ͱοι δ' επ' ονειαθ' ετοιμα, προκειμενα, χειρας ιαλλον·
κοϝροι δε κρῆτηρας επεστεφσαντο ποτοϝο.
αϝταρ επει ποσιος και εδητυος εκς ερον ͱεντο
μνῆστηρες, τοισιν μεν ενι φρεσιν αλλ' εμεμῆλεεν,
μολπη τ' ορχηστυς τε· τα γαρ τ' αναθηματα δαιτος.
κηρυκς δ' εν χερσιν κιθαριν περικαλλε' εθῆκεν
φημιῷ, ͱος ρ' ῆϝειδε παρα μνῆστηρσιν ανανκῇ.
ητοι ͱο φορμιδσων ανεβαλλετο καλον αϝειδεεν.
αϝταρ τηλεμαχος προσεφη γλαϝκῶπιν αθηνην,
ανχι σχων κεφαλην, ͱινα μη πευθοιαθ' οι αλλοι·
χσεινε φιλ', ει και μοι νεμεσῆσεαι, ͱο τι κε ϝεσπω;
τοϝτοισιν μεν ταϝτα μελει, κιθαρις και αϝοιδη,
ρεϝ', επει αλλοτριον βιϝοτον νηποινον εδοντιν
ανερος, ͱοο δη ποο λεϝκ' οστεα πυϝθεται ομβρῷ,
κειμεν' επ' ηπειροϝ, ἠ' ειν ͱαλι κυϝμα κυλινδει.
ει κεινον γ' ιθακηνδε ϝιδοιατο νοστησαντα,
παντες κ' αρῆσαιατ' ελαφροτεροι ποδας εεναι,
ἠ' ͱαφνειοτεροι χρυσοϝο τε ϝεσθητος τε.
νῦν δ' ͱο μεν ͱως απολῶλε κακον μορον, ουδε τις ͱημῖν
θαλπωρη, ειπερ τις επιχθονιων ανθρωπων
φητιν ελευθσεσθαι· τοϝο δ' ῶλετο νοστιμον ͱημαρ.
αλλ' αγε μοι τοδε ϝεσπε, και ατρεκεως καταλεγσον,
τις; ποθεν εσσ' ανδρων; ποθι τοι πολις, ηδε τοκεϝες;
και μοι τοϝτ' αγορεϝσον ͱετητυμον, ͱοφρ' ͱεϋ ϝειδω,
ηε νεϝον μεθεπεις, η και πατροϝιος εσσι
χσεινος; επει πολλοι ϝισαν ανερες ͱημετερον δῶ.
τον δ' αϝτε προσεϝεσπε θεα γλαϝκῶπις αθηνη·
τοιγαρ εγω τοι ταϝτα μαλ' ατρεκεως αγορεϝσω·
μεντης ανχιͱαλοϝο δαϝιφρονος ευχομαι εεναι
ͱυιος, αταρ ταφιοισι φιληρετμοισι ϝανασσω.
νῦν δ' ͱῷδε γσυν ναϝι κατηλυθον ηδ' ͱεταροισιν,
πλεων επι ϝοινοπα ποντον επ' αλλοθροοϝς ανθρωποϝς,
ες τεμεσην μετα χαλκον· αγω δ' αιθῶνα σιδηρον.
ναϝς δε μοι ͱῆδ' ͱεστηκεν επ' αγροϝο νοσφι πολιστος,
εν λιμενι ρειθρῷ, ͱυπο νῆϊῷ ͱυλϝῆεντι.
χσεινοι δ' αλληλων πατροϝιοι ευχομεθ' εεναι
εκς αρχης, ειπερ κε γεροντ' ειρῆαι επελθων
λαϝερτην ͱηροϝα· τον ουκετι φαντι πολινδε
ερχεσθ', αλλ' απανευθεν επ' αγροϝο πηματα πασχεεν

γραFι συν αμφιπολῳ, hη hοι βρῶσιν τε ποσιν τε
παρτιθε', ευτ' αν μιν καματος κατα γυια λαβητιν,
hερπυδσοντ' ανα γουFον αλοFης FοινοπεδοFο.
νῦν δ' ηλθον· δη γαρ μιν εφαντ' επιδημιον εεναι
σον πατερ'· αλλα νυ τονγε θεοι βλαπτουτι κελευθοο.
ου γαρ πῶ τεθνῆκεν επι χθονι διFος hοδυσσεFς,
αλλ' ετι ποο δσαFος κατερυκεται ευρυϊ ποντῳ,
νησῳ εν αμφιρυτῃ· χαλεποι δε μιν ανδρες hεχουτιν,
αγριοι, hοι ποFο κεινον ερυκαναουτ' αFεκοντα.
αFταρ νῦν τοι εγω μαντεFσομαι, hως ενι θυFμῷ
αθανατοι βαλλουτι, και hως τελεεσθαι οἴFω,
ουτε τι μαντις εων, ουτ' οιFωνων σαφα Fειδως·
ου τοι ετι δηρον γε φιλης απο πατριδος αιης
εσσεται· αλλ', ειπερ κε σιδηρεα δεσμαθ' εχητιν,
φρασσεται hως κε νεηται, επει πολυμηχανος εστιν.
αλλ' αγε μοι τοδε Fεσπε, και ατρεκεως καταλεγσον,
ει δη εκς αFτοFο τοσος παϊς εσσ' hοδυσεFος.
αινως γαρ κεφαλην τε και οππατα καλα FεFοικας
κεινῷ· επει θαμα τοιον εμισγομεθ' αλληλοισιν,
πριν γε τον ες τροFιην αναβημεναι, ενθα περ αλλοι
αργειFων hοι αριστοι εβαν κοιλῃσ' ενι ναFσιν·
εκ τοFοδ', ουτε hοδυσσεF' εγω Fιδον, ουτ' εμε κεινος.
την δ' αF τηλεμαχος πεπνῦμενος αντιον ηὖFδα·
τοιγαρ εγω τοι, χσεινε, μαλ' ατρεκεως αγορεFσω,
μητηρ μεν τ' εμε φητι τοF' εσμεναι· αFταρ εγωγε
ουκ Fοιδ'· ου γαρ πῷ τις hεFον γονον αFτος ανεγνω.
hως δη εγωγ' οφελον μακαρος νυ τεο εσμεναι hυιος
ανερος, hον κτεατεσιν hεFοισ' επι γηρας ετετμεν·
νῦν δ', hος αποτμοτατος γενετο θνητων ανθρωπων,
τοο μ' εκ φαντι γενεσθαι, επει συ γε τοFτ' ερεεινεις.
τον δ' αFτε προσεFεσπε θεα γλαFκῶπις αθηνη·
ου μεν τοι γενεην γε θεοι νωνυμνον οπισσῷ
θῆκαν· επει σε γε τοιον εγῆνατο πηνελοπεια.
αλλ' αγε μοι τοδε Fεσπε, και ατρεκεως καταλεγσον,
τις δαις, τις δε hομιλFος hοδ' επλετο; τιπτε δε σε χρη;
hελλαπιν', ηε γαμος; επει ουκ ερανος ταδε γ' εστιν·
hως τε μοι hυβριδσοντες hυπερφιαλως δοκεουτιν
δαινυσθαι κατα δῶμα· νεμεσῆσαιτο κεν ανηρ
αισχεα πολλ' hοραων, hοστις πινυτος γε μετελθοι.
την δ' αF τηλεμαχος πεπνῦμενος αντιον ηὖFδα·
χσειν', επει αρ δη ταFτα μ' ανειρεαι ηδε μεταλλᾳς,
μελλεν μεν ποτε Fοικος hοδ' hαφνειος και αμυFμων
εσμεναι, hοφρ' ετι κεινος ανηρ επιδημιος ῆεν·
νῦν δ' hετερως εβαλοντο θεοι, κακα μητιαοντες,
hοι κεινον μεν αFιδστον εποιησαν περι παντων
ανθρωπων· επει ου κε θανοντι περ hῷδ' ακαχοιμην,

ει μεθ' ϝοισ' ͱεταροισ' εδαμη τροϝων ενι δημῳ,
ηε φιλων εν χερσιν, επει πολεμον τολυπεϝσεν·
τῳ κεν ͱοι τυμβον μεν εποιησαν παναχαιϝοι,
ηδε κε και ͱῳ παιδι μεγα κλεος ͱῆρατ' οπισσῳ·
νῦν δε μιν ακλειως ͱαρπυιαι ανηρεπτσαντο·
ῳχετ' αϝιδστος, απυθτος, εμοι δ' οδυνας τε γοοϝς τε
κατλιπεν· ουδ' ετι κεινον οδυϝρομενος στοναχιδσω
οιον, επει νυ μοι αλλα θεοι κακα κηδε' ετευχσαν.
ͱοσσοι γαρ νησοισιν επικρατεοντιν αριστοι,
δουλιχιῳ τε, σαμῃ τε, και ͱυλϝῆεντι δακυνθῳ,
ηδ' ͱοσσοι κραναην ιθακην κατακοιρανεοντιν,
τοσσοι μητερ' εμην μνῶνται, τρυϝχοντι δε ϝοικον.
ͱη δ' ουτ' αρνεεται στυγερον γαμον, ουτε τελεϝτην
ποιησαι δυναται· τοι δε φθινυθοντιν εδοντες
ϝοικον εμον· ταχα δη με διαϝραισοντι και αϝτον.
τον δ' επαλαστησαντσα προσηῦϝδαε παλλας αθηνη·
ω ποποι! η δη πολλον αποιχομενοϝ' ͱοδυσεϝος
δεϝε', ͱο κε μνῆστηρσιν αναιδεσι χειρας εφειη.
ει γαρ νῦν ελθων δομοϝ' εν πρωτῃσι θυρῃσιν
σταιη, ͱεχων πηληκα και ασπιδα και δυο δορϝε,
τοιος εων, ͱοιον μιν εγω τα πρῶτ' ενοησα
ϝοικῳ εν ͱημετερῳ πιϝνοντα τε τερπομενον τε,
εκς εφυρης ανιοντα παρ ϝιλϝοϝο μερμεριδαϝο·
ῳχετο γαρ και εκεισε θοϝης επι ναϝος ͱοδυσσεϝς,
φαρμακον ανδροφονον διδσημενος, ͱοφρα ͱοι ειη
ͱιͱοϝς χριϝεσθαι χαλκηρεας· αλλ' ͱο μεν ουκ ͱοι
δῶκεν, επει ρα θεοϝς νεμεσιδσετο αιϝεν εοντας·
αλλα πατηρ ͱοι εδῶκεν εμος· φιλεεσκε γαρ αινως·—
τοιος εων μνῆστηρσιν ͱομιλϝησειεν ͱοδυσσεϝς,
παντες κ' ῶκυμοροι τε γενοιατο πικρογαμοι τε.
αλλ' ητοι μεν ταϝτα θεων εν γουϝασι κειται·
η κεν νοστησανς αποτιϝσεται, ηε και ουκι,
ͱοισιν ενι μεγαροισι· σε δε φραδσεσθαι ανωγα,
ͱοπως κε μνῆστηρας αποθσεαι εκ μεγαροϝο.
ει δ' αγε νῦν γσυνͱιͱεε, και εμων ενπαδσεο μυϝθων,
αϝριον εις αγορην καλεσανς ͱηροϝας αχαιϝοϝς,
μυϝθον πεφραδε παντσι, θεοι δ' επι μαρτυροι εστων·
μνῆστηρας μεν επι σφετερα σκιδνασθαι ανωχθι·
μητηρ δ', ει ͱοι θυϝμος εφορμαεται γαμεεσθαι,
απς ιτω ες μεγαρον πατερος μεγα δυναμενοϝο.
ͱοι δε γαμον τευχσοντι, και αρτυνεοντιν εεδνα
πολλα μαλ', ͱοσα ϝεϝοικε φιλης επι παιδος ͱεπεσθαι.
σοι δ' αϝτῷ πυκινως ͱυποθησομαι, αι κε πιθηαι·
ναϝ' αρσανς ερετῃσι ϝεϊκοσιν, ͱητις αριστη,
ερχεο πευθσομενος πατερος δην οιχομενοϝο·
ῆν τις τοι ϝεσπητι βροτων, η ϝοσσαν ακοϝσῃς

εκ διος, ͱητε μαλιστα φερει κλεος ανθρωποισιν. A
πρῶτα μεν ες πυλον ελθε, και ειρεο νεστορα διϝον·
κειθεν δε σπαρτηνδε παρα χσανθον μενελαϝον.
ει μεν κεν πατερος βιϝοτον και νοστον ακοϝσῃς,
η τ' αν, τρυϝχομενος περ, ετι τλᾶιης ενιαϝτον·
ει δε κε τεθνῆωτος ακοϝσῃς, μηδ' ετ' εοντος,
νοστησανς δη επειτα φιλην ες πατριδα γαιαν,
σημα τε ͱοι χεϝσαι, και επι κτερεα κτερεϊχσαι
πολλα μαλ', ͱοσα ϝεϝοικε· και ανερι μητερα δῶναι.
αϝταρ επῆν δη ταϝτα τελεϝτησῃς τε και ερχσῃς,
φραδσεσθαι δη επειτα κατα φρενα και κατα θυϝμον,
ͱοπως κε μνῆστηρας ενι μεγαροισι τεϝοισιν
κτεινῃς, ηε δολῳ, η' ανφαδον· ουδε τι σε χρη
νηπιαας ͱοχεϝεεν, επει ουκ ετι τηλικος εσσι.
η ουκ αϝιεις, ͱοιον κλεος ελαβε διϝος ορεστης
παντας επ' ανθρωποϝς, επει εκτανε πατροφονεϝα ;
και συ, φιλος,—μαλα γαρ σ' ͱοραω καλον τε μεγαν τε,—
αλκιμος εσσ', ͱινα τις σε και οπσιγονων ͱεϋ ϝεσπῃ.
αϝταρ εγων επι ναϝα θοϝην κατελευθσομαι ηδη,
ηδ' ͱεταροϝς, ͱοι ποο με μαλ' ασχαλαοντι μενοντες.
σοι δ' αϝτῳ μελετω, και εμων ενπαδσεο μυϝθων.
την δ' αϝ τηλεμαχος πεπνῦμενος αντιον ῆυϝδα·
χσειν', ητοι μεν ταϝτα φιλα φρονεων αγορεϝεις,
ͱως τε πατηρ ͱῳ παιδι, και ουποτε ληθσομαι αϝτων.
αλλ' αγε νῦν επιμῆνον, επειγομενος περ ͱοδοϝο,
ͱοφρα λοϝεσαμενος τε, τεταρπομενος τε φιλον κεαρ,
δῶρον ͱεχων επι ναϝα κιῃς, χαιρων ενι θυϝμῳ,
τιϝμῆεν, μαλα καλον, ͱο τοι κειμηλιον εσται
εχς εμεϝ· ͱοια φιλοι χσεινοι χσεινοισι διδοντιν.
τον δ' ῆμειβετ' επειτα θεα γλαϝκῶπις αθηνη·
μη μ' ετι νῦν κατερυκε, λιλαϝομενον περ ͱοδοϝο·
δῶρον δ', ͱο τι κε μοι δῶναι φιλον ητορ ανωγει,
αϝτις ανερχομενῳ δομεναι ϝοικονδε φερεσθαι,
και μαλα καλον ͱελων· σοι δ' αγσιον εσται αμοιβης.
ͱη μεν αρ' ͱως ϝεσποντσ' απεβη γλαϝκῶπις αθηνη,
ορνιχς δ' ͱως ανοπαια διεπτατο· τῳ δ' ενι θυϝμῳ
θῆκε μενος και θαρσος, ͱυπεμνησεν τε ͱε πατρος
μαλλον ετ' η το παροιθεν· ͱο δε, φρεσ' ͱεϝῆσι νοησανς,
θαμβησεν κατα θυϝμον· οϊϝσατο γαρ θεον εεναι.
αϝτικα δε μνῆστηρας επῳχετο ϝεισϝοθεος φῶς.
τοισι δ' αϝοιδος αϝειδε περικλυτος, ͱοι δε σιωπῃ
ͱῆατ' ακοϝοντες· ͱο δ' αχαιϝων νοστον αϝειδεν
λυγρον, ͱον εκ τροϝιης επετῆλατο παλλας αθηνη.
τοο δ' ͱυπεροϝιοθεν φρεσι συνθετο θεσπιν αϝοιδην
κοϝρη ϝικαριοϝο περιφρων πηνελοπεια·
κλιμακα δ' ͱυπσηλην κατεβησαθ' εϝοϝο δομοϝο,

ουκ οιη, ͱαμα τῆγε και αμφιπολοι δυ' ͱεποντο.
ͱη δ' ͱοτε δη μνῆστηρας αφικετο διϝα γυναικων,
στη ρα παρα σταθμον τεγεος πυκα ποιητοϝο,
αντα παρειαϝων σχομενη λιπαρα κρῆδεμνα·
αμφιπολος δ' αρα ͱοι κεδνη ͱεκατερθε παρεστη·
δακρυϝσαντσα δ' επειτα προσῆυϝδαε θειον αϝοιδον·
φημιε, πολλα γαρ αλλα βροτων θελγτηρια ϝοιδας,
ϝεργ' ανδρων τε θεων τε, τα τε κλειοντιν αϝοιδοι·
των ͱεν γε σφιν αϝειδε παρͱημενος· ͱοι δε σιωπῇ
ϝοινον πιϝνοντων· ταϝτης δ' αποπαϝε' αϝοιδης
λυγρης, ͱητε μοι αιϝει ενι στηθεσσι φιλον κεαρ
τειρει· επει με μαλιστα καθικετο πενθος αλαστον·
τοιην γαρ κεφαλην ποθεω, μεμνῆμενη αιϝει
ανδρος, τοο κλεος ευρυ καθ' ελλαδα και μεσον αργος.
την δ' αϝ τηλεμαχος πεπνῦμενος αντιον ῆυϝδα·
μητερ εμη, τι τ' αρα φθονεεις εριῆρον αϝοιδον
τερπεμεν, ͱοπῇ ͱοι νοος ορνυται; ου νυ τ' αϝοιδοι
αιτιοι, αλλα ποθι δσεϝς αιτιος, ͱοστε διδῶτιν
ανδρεσιν αλφηστῆσιν, ͱοπως εθελητιν ͱεκαστῳ.
τοϝτῳ δ' ου νεμεσις, δαναων κακον οιτον αϝειδεεν·
την γαρ αϝοιδην μαλλον επικλειοντ' ανθρωποι,
ͱητις ακοϝοντεσσι νεϝωτατη αμφιπεληται.
σοι δ' επιτολμαετω κραδιη και θυϝμος ακοϝεεν·
ου γαρ ͱοδυσσεϝς οιος απῶλεσε νοστιμον ͱημαρ
εν τροϝιῇ, πολλοι δε και αλλοι φῶτες ολοντο.
ͱη μεν θαμβησαντσα παλιν ϝοικονδ' εβεβηκεεν·
παιδος γαρ μυϝθον πεπνῦμενον ενθετο θυϝμῳ.
ες δ' ͱυπεροϝι' αναβαντσα συν αμφιπολοισι γυναικσιν
κλαϝεν επειθ' οδυσεϝα φιλον ποσιν, ͱοφρα ͱοι ͱυπνον
ͱηδυν επι βλεφαροισ' εβαλε γλαϝκῶπις αθηνη.
μνῆστηρες δ' ͱομαδησαν ανα μεγαρα σκιοεντα·
τοισι δε τηλεμαχος πεπνῦμενος ῆρχετο μυϝθων·
μητρος εμης μνῆστηρες, ͱυπερβιον ͱυβριν ͱεχοντες,
νῦν μεν δαινυμενοι τερπωμεθα, μηδε βοῆτυς
εστω· επει τογε καλον ακοϝεμεν εστιν αϝοιδοο
τοιοϝοδ', ͱοιος ͱοδ' εστι, θεοισ' εναλινκιος αυϝδην.
ῆοαθεν δ' αγορηνδε καθεδσωμεσθα κιοντες
παντες, ͱιν' ͱυμῖν μυϝθον απηλεγεως αποϝεσπω,
εκσιεναι μεγαρων· αλλας δ' αλεγυϝνετε δαιτας,
ͱυμα κτηματ' εδοντες, αμειβομενοι κατα ϝοικοϝς.
ει δ' ͱυμῖν δοκεει τοδε λαϝιτερον και αμεινον
εσμεναι, ανδρος ͱενος βιϝοτον νηποινον ολεσσαι,
κειρετ', εγω δε θεοϝς επιδῶσομαι αιϝεν εοντας,
αι κε δσεϝς δῶητι παλιντιτα ϝεργα γενεσθαι·
νηποινοι κεν επειτα δομων εντοσθεν ολοισθε.
ͱως εφαθ'· οι δ' αρα παντες οδακς εν χειλεσι φῦντες

τηλεμαχον θαϝμαδσον, ͱο θαρσαλεως αγορεϝεν. A
τον δ' αϝ αντινοος προσεφη ͱεϋπειθεος ͱυιος·
τηλεμαχ', ἡ μαλα δη σε διδασκουτιν θεοι αϝτοι
ͱυπσαγορην τ' εμεναι, και θαρσαλεως αγορεϝεεν·
μη σεγ' εν αμφιͱαλῷ ιθακῇ βασιλεϝα κρονιϝων
ποιησειεν· ͱο τοι γενεῇ πατροϝιον εστιν.
τον δ' αϝ τηλεμαχος πεπνῦμενος αντιον ῆυϝδα·
αντινο', ειπερ μοι και αγασσεαι, ͱο τι κε ϝεσπω,
και κεν τοϝτ' εθελοιμι, διος γε διδοντος, ͱαρεσθαι.
η φῇς τοϝτο κακιστον εν ανθρωποισι τετυχθαι;
ου μεν γαρ τι κακον βασιλεϝεμεν· αιπσα τε ͱοι δῶ
ͱαφνειον πελεται, και τιϝμῆεστερος αϝτος.
αλλ' ητοι βασιλεϝες αχαιϝων εντι και αλλοι
πολλοι εν αμφιͱαλῷ ιθακῇ, νεϝοι ηδε παλαιοι·
των κεν τις τοδ' ͱεχητιν, επει θανε διϝος ͱοδυσσεϝς·
αϝταρ εγω ϝοικοϝο ϝανακς εσομ' ͱημετεροϝο,
και δμῶων, ͱοϝς μοι λεϝισσατο διϝος ͱοδυσσεϝς.
τον δ' αϝ ευρυμαχος πολυβοο παϊς αντιον ῆυϝδα·
τηλεμαχ', ητοι ταϝτα θεων εν γουϝασι κειται,
ͱοστις εν αμφιͱαλῷ ιθακῇ βασιλεϝσει αχαιϝων·
κτηματα δ' αϝτος ͱεχοις, και δῶμασι σοισι ϝανασσοις.
μη γαρ ͱογ' ελθοι ανηρ, ͱοστις σ' αͱεκοντα βιηφιν
κτηματ' αποϝραισει', ιθακης ετι ναιεταοντσης.
αλλ' εθελω σε, φεριστε, περι χσεινοϝ' ερεεσθαι,
ͱοποθεν ͱοϝτος ανηρ, ποιης δ' εκς ευχεται εεναι
γαιης· ποο δε νυ ͱοι γενεη και πατρις αροϝρα·
ηε τιν' αγγελιην πατερος φερει ερχομενοϝο,
ἠ' ͱεϝον αϝτοο χρεϝος εελδομενος τοδ' ͱικανει;
ͱοιον αναͱικσανς ͱαφαρ οιχεται, ουδ' ͱυπεμῆνεν
γνῶμεναι· ου μεν γαρ τι κακῷ εις ωπ' εϝεϝοικεεν.
τον δ' αϝ τηλεμαχος πεπνῦμενος αντιον ῆυϝδα·
ευρυμαχ', ητοι νοστος απῶλετο πατρος εμοϝο·
ουτ' ῶν αγγελιῇ ετι πειθομαι, ει ποθεν ελθοι,
ουτε θεοπροπιης ενπαδσομαι, ῆν τινα μητηρ
ες μεγαρον καλεσαντσα θεοπροπον εκσερεηται.
χσεινος δ' ͱοϝτος εμος πατροϝιος εκ ταφοϝ' εστιν,
μεντης δ' αγχιͱαλοϝο δαϝιφρονος ευχεται εεναι
ͱυιος· αταρ ταφιοισι φιληρετμοισι ϝανασσει.
ͱως φατο τηλεμαχος· φρεσι δ' αθανατην θεον εγνῶ.
ͱοι δ' εις ορχηστυν τε και ͱιμεροεντσαν αϝοιδην
τρεπσαμενοι τερποντ'· εμενον δ' επι ϝεσπερον ελθεεν.
τοισι δε τερπομενοισι μελανς επι ϝεσπερος ηλθεν·
δη τοτε κατκειοντες εβαν ϝοικονδε ͱεκαστος.
τηλεμαχος δ', ͱοθι ͱοι θαλαμος περικαλλεος αϝλης
ͱυπσηλος δεδμῆτο, περισκεπτῷ ενι χωρῷ,
ενθ' εβη εις ευνην, πολλα φρεσι μερμηριδσων.

τῷ δ' αρ' ͱαμ' αιθομενας δαϝιδας φερε κεδνα ϝιδυια A
ευρυκλει', ὥπος θυγατηρ πειθσηνοριδαϝο·
την ποτε λαϝερτης πριατο κτεατεσιν ͱεϝοισιν,
πρώθηβην ετ' εοντσαν, ϝεϊκοσαβοϝια δ' εδωκεν.
ϝεισϝα δε μιν κεδνῇ ͱαλοχῳ τιϝεν εν μεγαροισιν·
ευνῇ δ' ου ποτ' εμιγτο, χολον δ' αλεϝεινε γυναικος.
ͱη ͱοι ͱαμ' αιθομενας δαϝιδας φερε, και ͱε μαλιστα
δμῶαϝων φιλεεσκε, και ετρεφε τυτθον εοντα.
ὤϊγσεν δε θυρας θαλαμοο πυκα ποιητοϝο·
ͱεδσετο δ' εν λεκτρῳ, μαλακον δ' εκδυϝνε χιτῶνα·
και τον μεν γραϝης πυκιμηδεος ενβαλε χερσιν.
ͱη μεν τον πτυχσαντσα και ασκησαντσα χιτῶνα,
πασσαλῳ ανκρεμασαντσα παρα τρῆτοισι λεχεσσιν.
βη ρ' ιμεν εκ θαλαμοϝο· θυρην δ' εϝερυσσε κορωνῃ
αργυρεῃ· επι δε κλεϝῖδ' ετανυσσεν ͱιμαντι.
ενθ' ͱογε παννυχιος, κεκαλυπμενος οϝιος αͱωτῳ,
βουλεϝε φρεσ' ͱεϝῇσιν ͱοδον, την πεφραδ' αθηνη.

ημος δ' ῆριγενει' εφανη ϝροδοδακτυλος ῆως, B
ὤρνυτ' αρ' εκς ευνηφιν ͱοδυσσεϝος φιλος ͱυιος,
ϝεσματα ϝεσσαμενος· περι δε χσιφος ͱοκσυ θετ' ωμῷ·
ποδσι δ' ͱυπο λιπαροισιν εδησατο καλα πεδιλϝα·
βη δ' ιμεν εκ θαλαμοϝο θεῳ εναλινκιος αντην.
αιπσα δε κηρῦκεσι λιγυφθογγοισ' εκελεϝσεν
κηρυσσεεν αγορηνδε καρῆκομαοντας αχαιϝοϝς.
ͱοι μεν εκηρυσσον, τοι δ' ῆγειροντο μαλ' ὦκα.
αϝταρ επει ρ' ῆγερθεν, ͱομῆγερεες τ' εγενοντο,
βη ρ' ιμεν εις αγορην, παλαμῇ δ' ͱεχε χαλκεον ενχος,
ουκ οιος· ͱαμα τῷγε δυω κυνες αργοι ͱεποντο.
θεσπεσιην δ' αρα τῷγε χαριν κατεχεϝεν αθηνη·
τον δ' αρα παντες λαϝοι επερχομενον θαϝεοντο.
ͱεδσετο δ' εν πατερος θαϝακῳ, ϝεικσαν δε γεροντες.
τοισι δ' επειθ' ηρως αιγυπτιος ῆρχ' αγορεϝεεν,
ͱος δη γηραϊ κυφος εῆν, και μυϝρια ϝοιδεεν.
και γαρ τοο φιλος ͱυιος ͱαμ' αντιθεῳ ͱοδυσεϝι
ϝιλϝιον εις ͱεϋπωλον εβη κοιλῇσ' ενι ναϝσιν,
αντιφος αιχμῆτης· τον δ' αγριος εκτανε κυκλωπς
εν σπεϝεϊ γλαφυρῳ, πυματον δ' ͱοπλισσατο δορπον.
τρεες δε ͱοι αλλοι εσαν· και ͱο μεν μνῆστηρσιν ͱομιλϝεεν
ευρυνομος, δυο δ' αιϝεν ͱεχον πατροϝια ϝεργα·
αλλ' ουδ' ͱως τοϝ' εληθετ' οδυϝρομενος και αχεϝων.
τοισ' ͱογε δακρυχεϝων αγορεϝσατο και μετεϝεσπεν·
κεκλυτε δη νῦν μεϝ', ιθακησιοι, ͱο τι κε ϝεσπω·
ουδε ποθ' ημετερη αγορη γενετ', ουδε θαϝακος,
εκς ͱοϝ' ͱοδυσσεϝς διϝος εβη κοιλῇσ' ενι ναϝσιν·
νῦν δε τις ͱῷδ' ῆγῆρε; τινα χρεϝω τοσον ͱικει;
ηε τιν' αγγελιην στρατοϝ' εκλυϝεν ερχομενοϝο,

ͱην χ' ημῖν σαφα ϝεσποι, ͱοτε προτερος γε πυθοιτο; B
ηε τι δημιον αλλο πιφαϝσκεται, ηδ' αγορεϝει;
εσθλος μοι δοκε' εεναι, ονημενος· ειθε ͱοι αϝτῷ
δσεϝς αγαθον τελεσσειεν, ͱο τι φρεσ' ͱεϝῇσι μενοινᾷ.
ως φατ'· εχαιρε δε φημῃ ͱοδυσσεϝος φιλος ͱυιος,
ουδ' αρ' ετι δην ͱηστο, μενοινῆσεν δ' αγορεϝεεν·
στη δε μεσῃ αγορῃ· σκηπτρον δε ͱοι ενβαλε χειρι
κηρυκς πειθσῆνωρ, πεπνῦμενα μηδεα ϝειδως.
πρῶτον επειτα γεροντα καθαπτομενος προσεϝεσπεν·
ω γερον, ουχ εκας ͱοϝτος ανηρ,—ταχα ϝειδσεαι αϝτος,—
ͱος λαϝον ῆγῆρα· μαλιστα δε μ' αλγος ͱικανει.
ουτε τιν' ανγελιην στρατοϝ' εκλυϝον ερχομενοϝο,
ͱην χ' υμῖν σαφα ϝεσπω, ͱοτε προτερος γε πυθοιμην,
ουτε τι δημιον αλλο πιφαϝσκομαι, ουδ' ἀγορεϝω·
αλλ' εμον αϝτοο χρεϝος, ͱο μοι κακον ενπεσε ϝοικῳ,
δοια· το μεν, πατερ' εσθλον απῶλεσα, ͱος ποτ' εν ͱυμῖν
τοισδεσσιν βασιλεϝε, πατηρ δ' ͱως ηπιος ῆεν.
νῦν δ' αϝ και πολυ μειδσον, ͱο δη ταχα ϝοικον ͱαπαντα
πανχυ διαϝραισει, βιοτον δ' απο πανπαν ολεσσει.
μητερι μοι μνῆστηρες επεχραϝον ουκ εθελοντσῃ,
των ανδρων φιλοι ͱυιες, ͱοι ενθαδε γ' εντιν αριστοι·
ͱοι πατερος μεν ες ϝοικον αποριγαντι νεεσθαι
ϝικαριοϝ', ͱως κ' αϝτος εεδνωσαιτο θυγατρα,
δοιη δ', ͱῷ κ' εθελοι, και ͱοι κεχαρισμενος ελθοι.
ͱοι δ' εις ͱημετερον πωλεϝμενοι ͱηματα παντα,
βοϝς ͱιερεϝοντες και οϝιας και πιϝονας αιγας,
ͱελλαπιναδσοντιν, πιϝνοντιν τ' αιθοπα ϝοινον
μαψιδιως· τα δε πολλα κατανεται· ου γαρ επ' ανηρ,
ͱοιος ͱοδυσσεϝς εσκε, ϝαρην απο ϝοικοϝ' αμυϝναι·
ͱημεες δ' ου νυ τι τοιοι αμυϝνεμεν· η και επειτα
λεϝγαλεοι τ' εσομεσθα, και ου δεδαηκοτες αλκην·
η τ' αν αμυϝναιμην, ει μοι δυναμις γε παρειη.
ου γαρ ετ' ανσχετα ϝεργα τετευχαται, ουδ' ετι καλως
ϝοικος εμος διολῶλε· νεμεσσῆθητε και αϝτοι,
αλλοϝς τ' αιδεσθητε περικτιονας ανθρωποϝς,
ͱοι περιναιεταοντι· θεων δε δδειδσατε μηνιν,
μη τι μεταστρεφσωντιν αγασσαμενοι κακα ϝεργα.
λισσομαι ημεν δσηνος ολυνπιοϝ', ηδε θεμιστος,
ͱητ' ανδρων αγορας ημεν λυϝει, ηδε καθιδσει,
σχεσθε, φιλοι, και μ' οιον εϝᾶσατε πενθεϊ λυγρῷ
τειρεσθ'· ει μη ποο τι πατηρ εμος εσθλος ͱοδυσσεϝς
δυσμενεων κακ' ερεκσεν ͱεϋκνημῖδας αχαιϝοϝς·
των μ' αποτιϝνυμενοι κακα ρεδσετε δυσμενεοντες,
τοϝτοϝς οτρυϝνοντες· εμοι δε κε κερδιον ειη
ͱυμεας εσθεμεναι κειμηλια τε προβασιν τε·
ει χ' υμεες γε φαγοιτε, ταχ' αν ποτε και τισις ειη.

τοφρα γαρ αν κατα ϝαστυ ποτιπτυσσοιμεθα μυϝθῷ, B
χρηματ᾽ απαιτιδσοντες, ͱεϝος κ᾽ απο παντα δοθειη·
νῦν δε μοι απρῆκτοϝς οδυνας ενβαλλετε θυϝμῷ.
ͱως φατο χωομενος, ποτι δε σκηπτρον βαλε γαιῇ,
δακρυϝ᾽ αναπρηθσανς· οικτος δ᾽ ͱελε λαϝον ͱαπαντα.
ενθ᾽ αλλοι μεν παντες ακην εσαν, ουτε τις ετλῆ
τηλεμαχον μυϝθοισιν αμειβσασθαι χαλεποισιν·
αντινοος δε μιν οιος αμειβομενος προσεϝεσπεν·
τηλεμαχ᾽ ͱυπσαγορη, μενος ασχετε, ποιον εϝεσπες,
ͱημεας αισχυϝνων; εθελεις δε κε μωμον αναπτσαι.
σοι δ᾽ ουτι μνῆστηρες αχαιϝων αιτιοι εντιν,
αλλα φιλη μητηρ, ͱη τοι περι κερδεα ϝοιδεν·
ηδη γαρ τριτον εστι ϝετος, ταχα δ᾽ ειτι τεταρτον,
εκς ͱοϝ᾽ ατεμβει θυϝμον ενι στηθεσσιν αχαιϝων·
παντας μεν ρ᾽ ͱελπει, και ͱυφισχεται ανδρι ͱεκαστῷ,
ανγελιας προͱιͱεντσα· νοος δε ͱοι αλλα μενοινᾷ.
ͱη δε δολον τονδ᾽ αλλον ενι φρεσι μερμηριξσεν·
στησαμενη μεγαν ͱιστον ενι μεγαροισιν ͱυφαινεν,
λεπτον και περιμετρον· ͱαφαρ δ᾽ ͱημῖν μετεϝεσπεν·
κοϝροι, εμοι μνῆστηρες, επει θανε διϝος ͱοδυσσεϝς,
μιμνετ᾽ επειγομενοι τον εμον γαμον, εις ͱο κε φαϝρος
εκτελεσω,—μη μοι μεταμωνια νηματ᾽ οληται,—
λαϝερτῇ ͱηροϝι ταφῆϊον, εις ͱοτε κεν μιν
μοιρ᾽ ολοϝη καθεληϊ τανηλεγεος θανατοϝο·
μη τις μοι κατα δημον αχαιϝιαδων νεμεσῆσῇ,
αι κεν ατερ σπειροο κηται, πολλα κτεατισσανς.
ͱως εφαθ᾽· ημῖν δ᾽ αϝτ᾽ επεπειθετο θυϝμος αγῆνωρ.
ενθα και ͱηματιη μεν ͱυφαινεσκεν μεγαν ͱιστον,
νυκτας δ᾽ ανλυϝεσκεν, επῆν δαϝιδας παραθειτο.
ͱως τριϝετες μεν εληθε δολῷ, και επειθεν αχαιϝοϝς·
αλλ᾽ ͱοτε τετρατον ηλθε ϝετος, και επηλυθον ͱωραι,
και τοτε δη τις εϝεσπε γυναικων, ͱη σαφα ϝοιδεεν,
και τηνγ᾽ ανλυϝοντσαν εφευρομεν αγλαϝον ͱιστον.
ͱως το μεν εκσετελεσσε, και ουκ εθελοντσ᾽, ͱυπ᾽ ανανκης.
σοι δ᾽ ͱῷδε μνῆστηρες ͱυποκρινονθ᾽, ινα ϝειδῇς
αϝτος σῷ θυϝμῷ, ϝειδωντι δε παντες αχαιϝοι·
μητερα σην αποπεμπσον, ανωχθι δε μιν γαμεεσθαι.
ει δ᾽ ετ᾽ αντιͱησει γε πολυν χρονον ͱυιας αχαιϝων,
τα φρονεοντσ᾽ ανα θυϝμον, ͱα ͱοι περιδῶκεν αθηνη,
ϝεργα τ᾽ επιστασθαι περικαλλεα, και φρενας εσθλας,
κερδεα θ᾽, οἱ ουπῷ τιν᾽ ακοϝομεν ουδε παλαιεων·
τοφρα γαρ ῶν βιϝοτον τε τεϝον και κτηματ᾽ εδεοντι,
ͱοφρα κε κεινη τοϝτον ͱεχῇ νοον, ͱοντινα ͱοι νῦν
εν στηθεσσι τιθεντι θεοι· μεγα μεν κλεος αϝτῇ
ποιεετ᾽, αϝταρ σοιγε ποθην πολυος βιϝοτοϝο.
ͱημεες δ᾽ ουτ᾽ επι ϝεργα παρος γ᾽ ιμεν, ουτε πῇ αλλῇ,

πριν γ' αϝτην γῆμασθαι αχαιϝων, ͱῷ κ' εθελητιν. 
τον δ' αϝ τηλεμαχος πεπνῦμενος αντιον ῆυϝδα·
αντινο', ουπως εστι δομων αͱεκοντσαν αποθσαι,
ͱη μ' ετεχ', η μ' ετρεφσε· πατηρ δ' εμος αλλοθι γαιης
δσαϝει ͱογ', η τεθνηκε· κακον δε με πολλ' αποτιϝνεεν
ϝικαριῷ, αι κ' αϝτος ͱεκων απο μητερα πεμπσω.
εκ γαρ τοο πατερος κακα πειθσομαι, αλλα δε δαιμων
δωσει· επει μητηρ στυγερας αρῆσετ' εριννυας
ϝοικοϝ απερχομενη, νεμεσις δε μοι εκς ανθρωπων.
ͱυμετερος δ' ει μεν θυϝμος νεμεσιδσεται αϝτων,
εκσιτε μοι μεγαρων, αλλας δ' αλεγυϝνετε δαιτας,
ͱυμα κτηματ' εδοντες, αμειβομενοι κατα ϝοικοϝς.
ει δ' ͱυμιν δοκεει τοδε λαϝιτερον και αμεινον
εσμεναι, ανδρος ͱενος βιϝοτον νηποινον ολεσσαι,
κειρετ', εγω δε θεοϝς επιδῶσομαι αιϝεν εοντας,
αι κε δσεϝς δῶητι παλιντιτα ϝεργα γενεσθαι·
νηποινοι κεν επειτα δομων εντοσθεν ολοισθε.
ͱως φατο τηλεμαχος· τῶ δ' αιετω ευρυοπα δσεϝς
ͱυπσοθεν εκ κορυφης ορεος προεͱηκε πετεσθαι.
τω δ' ͱεϝος ρ' επετοντο μετα πνοϝῇσ' ανεμοϝο,
πλησιω αλληλοισι τιταινομενω πτερυγεσιν·
αλλ' ͱοτε δη μεσσην αγορην πολυφημον ͱικεσθην,
ενθ' επιδινεϝθεντ' ετιναχσασθην πτερα πυκνα,
ες δ' εϝιδον παντων κεφαλας, ϝοσσοντο δ' ολεθρον·
δρυπτσαμενω δ' ονυχεσι παρειας, αμφι τε δειρας,
δεχσιω ῆͱικσαν δια ϝοικια και πολιν αϝτων.
θαμβησαν δ' ορνιχθας επει ϝιδον οφθαλμοισιν,
ͱορμῆναν δ' ανα θυϝμον, ͱαπερ τελεεσθαι εμελλον.
τοισι δε και μετεϝεσπε γερων ͱηρως ͱαλιθερσης
μαστοριδης· ͱο γαρ οιος ͱομηλικιην εκεκαστο,
ορνιχθας γνῶναι, και εναισιμα μυϝθησασθαι·
ͱος σφιν ͱεϋφρονεων αγορεϝσατο και μετεϝεσπεν·
κεκλυτε δη νῦν μεϝ, ιθακησιοι, ͱο τι κε ϝεσπω·
μνῆστηρσιν δε μαλιστα πιφαϝσκομενος ταδε ϝερπω·
τοισιν γαρ μεγα πημα κυλινδεται· ου γαρ ͱοδυσσεϝς
δην απανευθε φιλων ͱων εσσεται, αλλα ποϝ ηδη
ενγυς εων τοισδεσσι φονον και κηρα φυτεϝει
παντεσιν· πολυσιν δε και αλλοισιν κακον εσται,
ͱοι νεμομεσθ' ιθακην ͱεϋδεϝελον· αλλα πολυ πριν
φραδσωμεσθ', ͱως κεν καταπαϝσομεν· ηδε και αϝτοι
παϝεσθων· και γαρ σφιν ͱαφαρ τοδε λαϝιον εστιν.
ου γαρ απειρῆτος μαντεϝομαι, αλλ' ͱεῢ ϝειδως·
και γαρ εκεινῷ φημι τελεϝτηθηναι ͱαπαντα,
ͱως ͱοι εμυϝθεομην, ͱοτε ϝιλϝιον εισανεβαινον
αργειϝοι, μετα δε σφιν εβη πολυμητις ͱοδυσσεϝς·
φην κακα πολλα παθοντ', ολεσαντ' απο παντας ͱεταιροϝς,

αγνῶστον παντεσι, ϝεϊκοστῷ ενιαϝτῷ,
ϝοικαδ' ελευθσεσθαι· ταδε δη νῦν παντα τελεεται. B
τον δ' αϝ ευρυμαχος πολυβοο παϊς αντιον ἦυϝδα·
ω γερον, ει δ' αγε νῦν μαντεϝεο σοισι τεκεσσιν,
ϝοικαδ' ιων, μη ποο τι κακον πασχωντιν οπισσῷ·
ταϝτα δ' εγω σεϝο πολλον αμεινων μαντεϝεσθαι.
ορνιχθες δε τε πολλοι ⱶυπ' αϝγας ἦελιοϝο
φοιτῶντ', ουδε τι παντες εναισιμοι· αϝταρ ⱶοδυσσεϝς
ὦλετο τηλ'· ⱶως και συ καταφθισθαι γσυν εκεινῷ
ὦφελες! ουκ αν τοσα θεοπροπεων αγορεϝες,
ουδε κε τηλεμαχον κεχολῶμενον ⱶῷδ' ανⱶιⱶειης,
σῷ ϝοικῷ δῶρον ποτιδεχμενος, αι κε πορητιν.
αλλ' εκ τοι ϝερεω, τοδε και τετελεσμενον εσται,
αι κε νεϝωτερον ανδρα, παλαια τε πολλα τε ϝειδῶς,
παρφαμενος ϝεπεεσιν εποτρυϝνῇς χαλεπαινεεν,
αϝτῷ μεν ⱶοι πρῶτον ανιϝηρεστερον εσται,
σοι δε, γερον, θῶην επιθησομεν, ⱶην κ' ενι θυϝμῷ
τιϝνων ασχαλλῇς· χαλεπον δε τοι εσσεται αλγος.
τηλεμαχῷ δ' εν παντσιν εγων ⱶυποθησομαι αϝτος,
μητερ' ⱶεϝην ες πατρος ανωγετω απονεεσθαι·
ⱶοι δε γαμον τευχσοντι, και αρτυνεοντιν εεδνα
πολλα μαλ', ⱶοσα ϝεϝοικε φιλης επι παιδος ⱶεπεσθαι.
ου γαρ πριν παϝσασθαι οϊϝομαι ⱶυιας αχαιϝων
μνῆστυος αργαλεης· επει ουτινα δεδδιμεν ενπης,
ουτ' ὦν τηλεμαχον, μαλα περ πολυμυϝθον εοντα·
ουτε θεοπροπιης ενπαδσομεθ', ⱶην συ, γεραϝε,
μυϝθεαι ακραϝαντον, απεχθανεαι δ' ετι μαλλον.
τον δ' αϝ τηλεμαχος πεπνῦμενος αντιον ἦυϝδα·
ευρυμαχ', ηδε και αλλοι, ⱶοσοι μνῆστηρες αγαϝοι,
ταϝτα μεν ουχ υμεας ετι λισσομαι, ουδ' αγορεϝω·
ηδη γαρ τα ϝισαντι θεοι και παντες αχαιϝοι.
αλλ' αγε μοι δοτε ναϝα θοϝην και ϝεικοσ' ⱶεταιροϝς,
ⱶοι κε μοι ενθα και ενθα διαπρῆσσωντι κελευθον.
ειμι γαρ ες σπαρτην τε και ες πυλον αμαθοεντα,
νοστον πευθσομενος πατερος δην οιχομενοϝο,
ἦν τις μοι ϝεσπητι βροτων, η ϝοσσαν ακοϝσω
εκ διος, ⱶητε μαλιστα φερει κλεος ανθρωποισιν.
ει μεν κεν πατερος βιϝοτον και νοστον ακοϝσω,
ητ' αν, τρυϝχομενος περ, ετι τλᾶιην ενιαϝτον·
ει δε κε τεθνῆῶτος ακοϝσω, μηδ' ετ' εοντος,
νοστησανς δη επειτα φιλην ες πατριδα γαιαν
σημα τε ⱶοι χεϝσω, και επι κτερεα κτερεϊκσω
πολλα μαλ', ⱶοσα ϝεϝοικε· και ανερι μητερα δῶσω.
ητοι ⱶογ' ⱶως ϝεσπων κατ' αρ' ⱶεδσετο· τοισι δ' ανεστη
μεντωρ, ⱶος ρ' ⱶοδυσεϝος αμυϝμονος ἦεν ⱶεταιρος,
και ⱶοι ιων εν ναϝσιν επετρεπε ϝοικον ⱶαπαντα,

πειθεσθαι τε γεροντι, και ενπεδα παντα φυλασσεεν. B
ͱο σφιν ͱεΰφρονεων αγορεϝσατο και μετεϝεσπεν·
κεκλυτε δη νῦν μεϝ, ιθακησιοι, ͱο τι κε ϝεσπω·
μη τις ετι προφρων, αγανος τε και ηπιος εστω
σκηπτοͱοχος βασιλεϝς, μηδε φρεσιν αισιμα ϝειδως,
αλλ' αιϝει χαλεπος τ' ειη, και αἴσυλα ρεδσοι·
ͱως ου τις μεμνῆται ͱοδυσσεϝος θειοϝο
λαϝων, ͱοισ' εϝανασσε, πατηρ δ' ͱως ηπιος ῆεν.
αλλ' ητοι μνῆστηρας αγηνορας ουτι μεγαιρω
ϝεργεεν ϝεργα βιαια, κακοραφιῇσι νοοϝο·
σφας γαρ παρθεμενοι κεφαλας, κατεδοντι βιαιως
ϝοικον ͱοδυσσεϝος, τον δ' ουκ ετι φαντι νεεσθαι·
νῦν δ' αλλῳ δημῳ νεμεσιδσομαι· ͱοιον ͱαπαντες
ͱησθ' ααϝοι, αταρ ουτι, καθαπτομενοι ϝεπεεσιν,
παϝροϝς μνῆστηρας κατερυκετε, πολλοι εοντες.
τον δ' ͱευῆνοριδης λαϝοκριτος αντιον ῆυϝδα·
μεντορ αταρτηρε, φρενας ηλεε, ποιον εϝεσπες,
ͱημεας οτρυϝνων καταπαϝεμεν; αργαλεον δε
ανδρεσι και πλεονεσι μαχησασθαι περι δαιτι.
ειπερ γαρ χ' οδυσεϝς ιθακησιος αϝτος επελθων
δαινυμενοϝς κατα δῶμα ͱεϝον μνῆστηρας αγαϝοϝς
εκσελασαι μεγαροϝο μενοινῆσητ' ενι θυϝμῳ,
ου κεν ͱοι κεχαροιτο γυνη, μαλα περ χατεοντσα,
ελθοντ'· αλλα κεν αϝτοϝ' αϝεικεα ποτμον εφεσποι,
ει πλεονεσι μαχοιτο· συ δ' ου κατα μοιραν εϝεσπες.
αλλ' αγε, λαϝοι μεν σκιδνασθ' επι ϝεργα ͱεκαστος·
τοϝτῳ δ' οτρυνεει μεντωρ ͱοδον ηδ' ͱαλιθερσης,
ͱοι τε ͱοι εκς αρχης πατροϝιοι εντιν ͱεταιροι.
αλλ', οἴϝω, και δηθα καθημενος, ανγελιαϝων
πευθσεται ειν ιθακῇ, τελεει δ' ͱοδον ουποτε ταϝτην.
ως αρ' εφῶνησεν· λυϝσεν δ' αγορην αιπσηρην.
ͱοι μεν αρ' εσκιδναντο ͱεϝα προς δῶμαθ' εκαστος·
μνῆστηρες δ' ανα δῶματ' ισαν θειοϝ' ͱοδυσεϝος.
τηλεμαχος δ' απανευθεν ιων επι θῖνα θαλασσης,
χειρας νιπτσαμενος πολιης ͱαλος, ͱευχετ' αθηνῇ·
κλῦθι μεϝ, ͱος χθιδσος θεος ηλυθες ͱημετερον δῶ,
και μ' εν ναϝ εκελεϝσας επ' ῆεροϝειδεα ποντον,
νοστον πευθσομενον πατερος δην οιχομενοϝο,
ερχεσθαι· τα δε παντα διατριβοντιν αχαιϝοι,
μνῆστηρες δε μαλιστα, κακως ͱυπερῆνορεοντες.
ͱως εφατ' ευχομενος· σχεδοθεν δε ͱοι ͱηλθεν αθηνη,
μεντορι ϝειδομενη ημεν δεμας, ηδε και αυϝδην·
και μιν φῶνησαντσα ϝεπεα πτεροεντα προσῆυϝδα·
τηλεμαχ', ουδ' οπιθεν κακος εσσεαι, ουδ' ανοημων,
ει δη τοι σοϝο πατρος ενεστακται μενος ῆυ,
ͱοιος εκεινος εῆν τελεσαι ϝεργον τε ϝεπος τε,

ου τοι επειθ᾽ αλιη ͱοδος εσσεται, ουδ᾽ ατελεστος· 273
τῳ νῦν μνῆστηρων μεν εϝᾶ βουλην τε νοον τε 281
αφραδεων, επει ουτι νοημονες, ουδε δικαιοι· B
ουδε τι ϝιδσαντιν θανατον, και κηρα μελαιναν,
ͱος δη σφιν σχεδον εστιν εφ᾽ ἠματι παντας ολεσθαι.
σοι δ᾽ ͱοδος ουκετι δηρον απεσσεται, ͱην συ μενοινᾳς·
τοιος γαρ τοι ͱεταιρος εγω πατροϝιος ἠμι,
ͱος τοι ναϝα θοϝην στελεω, και ͱαμ᾽ ͱεψομαι αϝτος.
αλλα συ μεν προς δῶματ᾽ ιων μνῆστηρσιν ͱομιλϝεε,
ͱοπλισσον τ᾽ ηϊϝα, και αγγεσιν αρσον ͱαπαντα,
ϝοινον εν αμφιφορεϝσι, και αλφιτα, μυϝελον ανδρων,
δερμασιν εν πυκινοισιν· εγω δ᾽ ανα δημον ͱεταιροϝς
αιψ᾽ εθελοντηρας γσυνλεγσομαι· εντι δε ναϝες
πολλαι εν αμφιͱαλῳ ιθακῃ νεϝαι ηδε παλαιαι·
ταϝων μεν τοι εγων επιοπτσομαι, ͱητις αριστη·
ὦκα δ᾽ εφοπλισσαντες ενͱησομεν ευρυϊ ποντῳ.
  ͱως φατ᾽ αθηναιη, κοϝρη διος· ουδ᾽ αρ᾽ ετι δην
τηλεμαχος παρεμιμνεν, επει θεοϝ᾽ εκλυϝεν αυϝδην.
βη δ᾽ ιμεναι προς δῶμα, φιλον τετιϝῆμενος ητορ·
ͱευρε δ᾽ αρα μνῆστηρας αγῆνορας εν μεγαροισιν
αιγας ανͱιͱεμενοϝς, σιϝαλοϝς θ᾽ εϝοντας εν αϝλῃ.
αντινοος δ᾽ ιθυς γελασανς κιε τηλεμαχοϝο·
εν τ᾽ αρα ͱοι φῦ χειρι, ϝεπος τ᾽ εφατ᾽, εκ τ᾽ ονομαδσεν·
  τηλεμαχ᾽ ͱυπσαγορη, μενος ασχετε, μη τι τοι αλλο
εν στηθεσσι κακον μελετω ϝεργον τε ϝεπος τε,
αλλα μαλ᾽ εσθιεμεν και πιϝνεμεν, ͱως το παρος περ·
ταϝτα δε τοι μαλα παντα τελευτησοντιν αχαιϝοι,
ναϝα και εκσαιτοϝς ερετας, ͱινα θασσον ͱικηαι
ες πυλον αγαθεην μετ᾽ αγαϝοϝο πατρος ακοϝην.
  τον δ᾽ αϝ τηλεμαχος πεπνῦμενος αντιον ηὖϝδα·
αντινο᾽, ουπως εστιν ͱυπερφιαλοισι μεθ᾽ υμῖν
δαινυσθαι τ᾽ ακεοντα, και ͱευφραινεσθαι ͱεκηλον.
η ουχ αλις, ͱως το παροιθεν εκειρετε πολλα και εσθλα
κτηματ᾽ εμα, μνῆστηρες, εγω δ᾽ ετι νηπιος ἦα;
νῦν δ᾽ ͱοτε δη μεγας ἠμι, και αλλων μυϝθον ακοϝων
πυνθανομαι, και δη μοι αͱεχσεται ενδοθι θυϝμος,
πειρῆσω, ͱως κ᾽ υμμι κακας επι κηρας ιῆλω,
ηε πυλονδ᾽ ελθων, η᾽ αϝτοϝο τῳδ᾽ ενι δημῳ.
ειμι μεν, ουδ᾽ ͱαλιη ͱοδος εσσεται ͱην αγορεϝω,
ενπορος· ου γαρ ναϝος επιβολος, ουδ᾽ ερεταϝων
γιγνομαι· ͱως νυ ποϝ᾽ υμμιν εϝειδσατο κερδιον εεναι.
  ἦ ρα, και εκ χειρος χειρ᾽ εσπασατ᾽ αντινοοϝο. 321
ͱοι δ᾽ επελωβεϝον και εκερτομεον ϝεπεεσιν· 323
ͱῳδε δε τις ϝεσπεσκε νεϝων ͱυπερῆνορεοντων·
  η μαλα τηλεμαχος φονον ͱημῖν μερμηριδσει·
η τινας εκ πυλοϝ αγσει αμυϝντορας αμαθοεντος,

η ͱογε και σπαρτηθεν· επει νυ περ ͱιFεται αινως· B
ηε και εις εφυρην εθελει πιFειραν αρoFραν
ελθεμεν, ͱοφρ' ενθεν θυFμοφθορα φαρμακ' ενενκῃ,
εν δε βαλῃ κρητηρι, και ͱημεας παντας ολεσσῃ.
αλλος δ' αF ͱεσπεσκε νεFων ͱυπερηνορεοντων·
τις Fοιδ', ει κε και αFτος ιων κοιλης επι ναFος
τηλε φιλων απoληται, αλωμενος, ͱωσπερ ͱοδυσσεFς ;
ͱοFτῳ κεν και μαλλον οφελλειεν πονον αμμι·
κτηματα γαρ κεν παντα δασαιμεθα, Fοικια δ' αFτε
τοFτοFο μητερι δοιμεν ͱεχεεν, ηδ' ͱοστις οπυιοι.
ͱως φαν· ͱο δ' ͱυπσοροφον θαλαμον κατεβησατο πατρος
ευρυν, ͱοθι νητος χρυσος και χαλκος εκειτο,
Fεσθης τ' εν χηλοισιν, ͱαλις θ' εὐωδες ελαιον.
εν δε πιθοι FοινοFο παλαιοFο ͱηδυποτοFο
ͱεστασαν, ακρητον θειον ποτον εντος ͱεχοντες,
ͱεχσειης ποτι τοιχον αρηροτες· ει ποθ' οδυσσεFς
Fοικαδε νοστησειε, και αλγεα πολλα μογησανς.
κλεFισται δ' επεσαν σανιδες πυκινως αραρυιαι,
δικλιδες· εν δε γυνη ταμιη νυκτας τε και ͱημαρ
εσχ', η παντ' εφυλασσε νοοο πολυFιδριῃσιν,
ευρυκλει', ωπος θυγατηρ πειθσηνοριδαFο.
την τοτε τηλεμαχος προσεφη θαλαμονδε καλεσσανς·
μαι', αγε δη μοι Fοινον εν αμφιφορεFσιν αφυσσον
ͱηδυν, ͱος μετα τον λαFρωτατος, ͱον συ φυλασσεις,
κεινον οἰFομενη τον κακμορον, ει ποθεν ελθοι
διFογενης ͱοδυσεFς, θανατον και κηρας αλυκσανς.
δωδεκα δ' ενπλησον, και πωμασιν αρσον ͱαπαντας.
εν δε μοι αλφιτα χεFσον ͱεὐραφεεσι δοροισιν·
Fεικοσι δ' εστω μετρα μυληφατοF αλφιτοF ακτης.
αFτη δ' οιη Fιδσθι· τα δ' ͱαθροFα παντα τετυχθω·
Fεσπεριος γαρ εγων ͱαιρησομαι, ͱοποτε κεν δη
μητηρ εις ͱυπεροFι' αναβῃ, κοιτοο τε μεδηται.
ειμι γαρ ες σπαρτην τε και ες πυλον αμαθοεντα,
νοστον πευθσομενος πατερος φιλοF, ην ποF ακοFσω.
ͱως φατ'· εκωκυFσεν δε φιλη τροφος ευρυκλεια,
και ρ' ολοφυFρομενη Fεπεα πτεροεντα προσηυFδα·
τιπτε δε τοι, φιλε τεκνον, ενι φρεσι τοFτο νοημα
επλετο ; πῃ δ' εθελεις ιμεναι πολλην επι γαιαν,
μουνος εων αγαπητος ; ͱο δ' ωλετο τηλοθι πατρης
διFογενης ͱοδυσεFς, αλλογνωτῳ ενι δημῳ.
ͱοι δε τοι αFτικ' ιοντι κακα φρασσονται οπισσω,
ͱως κε δολῳ φθιῃς, ταδε δ' αFτοι παντα δασωνται.
αλλα μεν' αFθ', επι σοισι καθημενος· ουδε τι σε χρη
ποντον επ' ατρυγετον κακα πασχεμεν, ουδ' αλαλησθαι.
την δ' αF τηλεμαχος πεπνυμενος αντιον ηυFδα·
θαρσεε, μαι', επει ουτοι ανευ θεοF ͱηδε γε βουλη.

αλλ᾽ ομοσον, μη μητρι φιλῃ ταδε μυϝθησασθαι,
πριν γ᾽ ͱοτ᾽ αν ͱενδεκατη τε δυωδεκατη τε γενηται,
η᾽ αϝτην ποθεσαι, και αφορμηθεντος ακοϝσαι·
ͱως αν μη κλαϝοντσα κατα χροα καλον ιαπτῃ.
ͱως αρ᾽ εφη· γραϝις δε θεων μεγαν ͱορκον απωμνυ.
αϝταρ επει ρ᾽ ομοσεν τ᾽, ετελεϝτησεν τε τον ͱορκον,
αϝτικ᾽ επειτ᾽ αρα ϝοινον εν αμφιφορεϝσιν αφυσσεν,
εν δε ͱοι αλφιτ᾽ εχεϝεν ͱεϋραφεεσι δοροισιν.
τηλεμαχος δ᾽ ες δωματ᾽ ιων μνηστηρσιν ͱομιλϝεεν.
ενθ᾽ αϝτ᾽ αλλ᾽ ενοησε θεα γλαϝκωπις αθηνη,
τηλεμαχῳ ϝεϝικυια κατα πτολιν ῳχετο παντῃ,
και ρα ͱεκαστῳ φωτι παρͱισταμενη φατο μυϝθον·
ϝεσπεριοϝς δ᾽ επι ναϝα θοϝην αγερεσθαι ανωγεν.
ͱη δ᾽ αϝτε φρονιοϝο νοημονα φαιδιμον ͱυιον
ῃτεε ναϝα θοϝην· ͱο δε ͱοι προφρων ͱυπεδεχτο.
δυϝσατο τ᾽ ηελιος, σκιαοντο τε παντσαι αγυιαι·
και τοτε ναϝα θοϝην ͱαλαδ᾽ εϝερυσ᾽, εν δε τε παντα
ͱοπλ᾽ ετιθεε, τα τε ναϝες ͱεϋσελμοι φορεοντιν.
στησε δ᾽ επ᾽ εσχατιης λιμενος· περι δ᾽ εσθλοι ͱεταιροι
ͱαθροοι ηγερεθοντο· θεα δ᾽ ωτρυϝνεν ͱεκαστον.
ενθ᾽ αϝτ᾽ αλλ᾽ ενοησε θεα γλαϝκωπις αθηνη,
βη δ᾽ ιμεναι προς δωμαθ᾽ οδυσσεϝος θειοϝο·
ενθα μνηστηρεσιν επι γλυκυν ͱυπνον εχεϝεν,
πλαδσε δε πιϝνοντας· χειρων δ᾽ εκβαλλε κυπελλα.
ͱοι δ᾽ ͱευδεεν ωρνυντο κατα πτολιν· ουδ᾽ αρ᾽ ετι δην
ͱηατ᾽, επει σφισιν ͱυπνος επι βλεφαροισιν επιπτεν.
αϝταρ τηλεμαχον προσεφη γλαϝκωπις αθηνη,
εκπροκαλεσσαμενη μεγαρων ͱεϋναιεταοντων,
μεντορι ϝειδομενη ημεν δεμας ηδε και αυϝδην·
τηλεμαχ᾽, ηδη μεν τοι ͱεϋκνημιδες ͱεταιροι
ͱηατ᾽ επηρετμοι, τεϝην ποτιδεχμενοι ͱορμην·
αλλ᾽ ιομεν, μη δηθα διατριβωμεν ͱοδοϝο.
ͱως αρα φωνησαντσ᾽ ͱηγησατο παλλας αθηνη
καρπαλιμως· ͱο δ᾽ επειτα μεθ᾽ ιχνι᾽ εβαινε θεοϝο.
αϝταρ επει ρ᾽ επι ναϝα κατηλυθον ηδε θαλασσαν,
ͱευρον επειτ᾽ επι θινι καρηκομαοντας ͱεταιροϝς.
τοισι δε και μετεϝεσφ᾽ ιερη ϝις τηλεμαχοϝο·
δευτε, φιλοι, ηϊϝα φερωμεθα· παντα γαρ ηδη
ͱαθροϝ᾽ ενι μεγαρῳ· μητηρ δ᾽ εμη ουτι πεπυθται,
ουδ᾽ αλλαι δμωαι, μια δ᾽ οιη μυϝθον ακοϝσεν.
ͱως αρα φωνησανς ͱηγησατο· τοι δ᾽ ͱαμ᾽ ͱεποντο.
ͱοι δ᾽ ͱαμα παντα φεροντες ͱεϋσελμῳ επι ναϝι
κατθεσαν, ͱως εκελεϝσεν ͱοδυσσεϝος φιλος ͱυιος.
αν δ᾽ αρα τηλεμαχος ναϝος βαιν᾽, ηρχε δ᾽ αθηνη,
ναϝι δ᾽ ενι πρυμνῃ κατ᾽ αρ᾽ ͱεδσετο· αγχι δ᾽ αρ᾽ αϝτης
ͱεδσετο τηλεμαχος· τοι δε πρυμνησι᾽ ελυϝσαν·

αν δε και αϝτοι βαντες επι κλεϝιεσι καθιδσον. B
τοισιν δ᾽ ͱικμενον ουρον ͱιͱεε γλαϝκῶπις αθηνη,
ακραͱεϝα δσεφυρον, κελαδοντ᾽ επι ϝοινοπα ποντον.
τηλεμαχος δ᾽ ͱεταροισιν εποτρυϝνανς εκελεϝσεν
ͱοπλων ͱαπτεσθαι· τοι δ᾽ οτρυϝνοντος ακοϝσαν·
ͱιστον δ᾽ ελατινον κοιλης εντοσθε μεσοδμης
στησαν αͱῆραντες· κατα δε προτονοισιν εδησαν·
ͱελκον δ᾽ ͱιστια λεϝκα ͱεϋστρεφτοισι βοϝεϝσιν.
ενπρηθσεν δ᾽ ανεμος μεσον ͱιστιον· αμφι δε κυϝμα
στειρῃ πορφυρεον μεγ᾽ εϝιϝαχε, ναϝος ιοντσης·
ͱη δ᾽ εθεϝεν κατα κυϝμα διαπρῆσσοντσα κελευθον.
δησαμενοι δ᾽ αρα ͱοπλα θοϝην ανα ναϝα μελαιναν,
στησαντο κρῆτηρας επιστεφεας ϝοινοϝο·
λειβον δ᾽ αθανατοισι θεοισ᾽ αιϝειγενετῇσιν,
εκ παντων δε μαλιστα διος γλαϝκῶπιδι κοϝρῃ.
παννυχιη μεν ρ᾽ ͱηγε και ῆο᾽ επειρε κελευθον.

ῆελιος δ᾽ ανοροϝσε, λιπων περικαλλεα λιμνην, Γ
ουρανον ες πολυχαλκον, ͱιν᾽ αθανατοισι φαϝεινῃ,
και θνῆτοισι βροτοισιν επι δσαϝδῶρον αροϝραν.
ͱοι δε πυλον, νηλεϝος ͱεϋκτιμενον πτολιεθρον,
ͱικσαν· τοι δ᾽ επι θῖνι θαλασσης ͱιερα ρεδσον,
ταϝροϝς πανμελανας ενοσιχθονι κυϝανοχαιτῃ.
ͱεννεα δ᾽ ͱεδραι εσαν, πεντηκοσιοι δ᾽ εν ͱεκαστῃ
ͱῆατο, και προͱεχοντο ͱεκαστοθι ͱεννεα ταυροϝς.
ενθ᾽ ͱοι σπλανχν᾽ επασαντο, θεῷ δ᾽ επι μηρι᾽ εκαϝον.
ͱοι δ᾽ ιθυς καταγοντ᾽, ηδ᾽ ͱιστια ναϝος ϝεϊσϝης
στῆλαν αͱῆραντες, την δ᾽ ͱορμισαν, εκ δ᾽ εβαν αϝτοι·
εκ δ᾽ αρα τηλεμαχος ναϝος βαιν᾽· ῆρχε δ᾽ αθηνη.
τον προτερη προσεϝεσπε θεα γλαϝκῶπις αθηνη·

τηλεμαχ᾽, ου μεν σε χρη ετ᾽ αιδοος ουδ᾽ ηβαιον·
τοονεκα γαρ και ποντον επεπλῶς, ͱοφρα πυθηαι
πατρος, ͱοποο κυθε γαια, και ͱοντινα ποτμον εφεσπεν.
αλλ᾽ αγε νῦν ιθυς κιε νεστορος ͱιπποδαμοϝο·
ϝῆδομεν, ͱηντινα μητιν ενι στηθεσσι κεκεϝθεν·
λισσεσθαι δε μιν αϝτον, ͱοπως νημερτεα ϝεσπῃ·
πσευδος δ᾽ ουκ ϝερεει· μαλα γαρ πεπνῦμενος εστιν.

την δ᾽ αϝ τηλεμαχος πεπνῦμενος αντιον ῆυϝδα·
μεντορ, πως τ᾽ αρ᾽ ιω, πως τ᾽ αρ προσπτυχσομαι αϝτον;
ουδε τι πῷ μυϝθοισι πεπειρῆμαι πυκινοισιν·
αιδως δ᾽ αϝ, νεϝον ανδρα γεραϝτερον εκσερεεσθαι.

τον δ᾽ αϝτε προσεϝεσπε θεα γλαϝκῶπις αθηνη·
τηλεμαχ᾽, αλλα μεν αϝτος ενι φρεσι σῇσι νοησεις,
αλλα δε και δαιμων ͱυποθησεται· ου γαρ οϊϝω
ου σε θεων αͱεκητι γενεσθαι τε τραφεμεν τε.

ͱως αρα φῶνησαντσ᾽ ͱηγησατο παλλας αθηνη
καρπαλιμως· ͱο δ᾽ επειτα μεθ᾽ ιχνι᾽ εβαινε θεοϝο.

ͱικσαν δ' ες πυλιων ανδρων αγυριν τε και ͱεδρας· Γ
ενθ' αρα νεστωρ ͱηστο συν ͱυιεσιν· αμφι δ' ͱεταιροι,
δαιτ' εντυϝνομενοι, κρεα ὤπταον, αλλα δ' επειρον.
ͱοι δ', ͱως ὧν χσεινοϝς ϝιδον, ͱαθροϝοι ηλθον ͱαπαντες,
χερσιν τ' ἥσπαδσοντο, και ͱεδριαεσθαι ανωγον.
πρῶτος νεστοριδης πειθσιστρατος ενγυθεν ελθων
αμφοτερων ͱελε χειρα, και ͱιδρυϝσεν παρα δαιτι
κῶεσιν εν μαλακοισιν, επι πσαμαθοισ' ͱαλιῇσιν,
παρ τε κασιγνῆτῳ θρασυμηδεῖ και πατερ' ͱεϝῷ.
δῶκε δ' αρα σπλανχνων μοιρας, και ϝοινον εχεϝεν
εν δεπαϊ χρυσεῳ· δειδισκομενος δε προσῆυϝδα
παλλαδ' αθηναιην, κοϝρην διος αιγιͱοχοϝο·
  ευχεο νῦν, ω χσεινε, ποσειδαϝῶνι ϝανακτι·
του γαρ και δαιτης ἥντησατε δευρο μολοντες.
αϝταρ επῆν σπενδσῃς τε και ευχσεαι, ͱῇ θεμις εστιν,
δος και τοϝτῳ επειτα δεπας μελιͱηδεος ϝοινοο
σπενδσαι· επει και τοϝτον οἴϝομαι αθανατοισιν
ευχεσθαι· παντες δε θεων χατεοντ' ανθρωποι.
αλλα νεϝωτερος εστιν, ͱομηλικιη δ' εμοι αϝτῳ·
τοονεκα τοι προτερῳ δῶσω χρυσειον αλεισον.
  ͱως ϝεσπων, εν χερσ' ετιθεε δεπας ͱηδυος ϝοινοο·
χαιρε δ' αθηναιη πεπνῦμενῳ ανδρι δικαιῳ.
αϝτικα δ' ευχετο πολλα ποσειδαϝῶνι ϝανακτι·
  κλῦθι, ποσειδαϝον γαιηͱοχε, μηδε μεγῆρῃς
ͱημῖν ευχομενοισι τελεϝτῆσαι ταδε ϝεργα.
νεστορι μεν πρῶτιστα και ͱυιεσι κυϝδος οπαδσε·
αϝταρ επειτ' αλλοισι διδῶ χαριεντσαν αμοιβην,
γσυνπαντσιν πυλιοισιν, αγακλειτης ͱεκατονβης.
δος δ' ετι τηλεμαχον και εμε πρῆκσαντα νεεσθαι,
ͱοονεκα δευρ' ͱικομεσθα θοϝῇ γσυν ναϝι μελαινῇ.
  ͱως αρ' επειτ' ἥρᾶτο, και αϝτη παντ' ετελεϝτα·
δῶκε δε τηλεμαχῳ καλον δεπας αμφικυπελλον.
ͱως δ' αϝτως ἥρᾶτο ͱοδυσσεϝος φιλος ͱυιος.
ͱοι δ' επει ὤπτῆσαν κρε' ͱυπερτερα και ϝερυσαντο,
μοιρας δασσαμενοι, δαινυντ' ερικυϝδεα δαιτα.
αϝταρ επει ποσιος και εδητυος εκς ερον ͱεντο,
τοισ' αρα μυϝθων ἥρχε γερηνιος ͱιπποτα νεστωρ·
  νῦν δη καλλιον εστι μεταλλῆσαι και ερεσθαι
χσεινοϝς, ͱοιτινες εντιν, επει ταρπησαν εδῶδης.
  τον δ' αϝ τηλεμαχος πεπνῦμενος αντιον ῆυϝδα,
θαρσησανς· αϝτη γαρ ενι φρεσι θαρσος αθηνη
θηχ', ινα μιν περι πατρος αποιχομενοϝ' ερεοιτο·
  ω νεστορ νηλεϝιαδη, μεγα κυϝδος αχαιϝων,
ειρεαι, ͱοποθεν εσμεν· εγω δε κε τοι καταλεγσω.
ͱημεες εκς ιθακης ͱυπονῆϊοϝ ηληλουθμεν,
πρῆκσις δ' ͱηδ' ιδιη, ου δημιος, ͱην αγορεϝσω.

πατρος εμοο κλεος ευρυ μετερχομαι, ἦν ποF' ακοFσω, Γ
διFοF ͱοδυσσεFος ταλασιφρονος· ͱον ποτε φαντιν,
γσυν σοι μαρναμενον, τροFων πολιν εκσαλαπακσαι.
αλλοFς μεν γαρ παντας, ͱοσοι τροFεσιν πολεμιδσον,
πευθομεθ', ͱῆχι ͱεκαστος απω̄λετο λυγρῷ ολεθρῷ·
κεινοFο δ' αF και ολεθρον απευθε' εθῆκε κρονιFων.
ου γαρ τις δυναται σαφα Fεσπεμεν, ͱοποθ' ολω̄λεν·
ειθ' ογ' επ' ηπειροο δαμη ανδρεσι δυσμενεεσιν,
ειτε και εν πελαγει μετα κυFμασιν αμφιτρῖτης.
τοονεκα νῦν τεFα γουFαθ' ικανομαι, αι κ' εθελῆσθα
κεινοFο λυγρον ολεθρον ενισπεμεν, ει ποF' οπω̄πας
οφθαλμοισι τεFοισιν, η' αλλοFο μυFθον ακοFσας
πλαδσομενοο· περι γαρ μιν οϊδσυFρον τεκε μητηρ.
μηδε τι μ' αιδομενος μειλισσεο, μηδ' ελεαιρων,
αλλ' ͱεῦ μοι καταλεγσον, ͱοπως ἦντησας οπω̄πης.
λισσομαι, ει ποτε τοι τι πατηρ εμος εσθλος ͱοδυσσεFς,
η Fεπος, ηε τι Fεργον, ͱυποσταυς εκσετελεσσεν
δημῷ ενι τροFων, ͱοθ' επασχετε πηματ' αχαιFοι·
των νῦν μοι μνῆσαι, και μοι νημερτες ενισπε.
τον δ' ἦμειβετ' επειτα γερηνιος ͱιπποτα νεστωρ·
ω φιλ', επει μ' εμνῆσας οϊδσυος, ͱην εν εκεινῷ
δημῷ ανετλῆμεν μενος ασχετοι ͱυιες αχαιFων·
ημεν ͱοσα γσυν ναFσιν επ' ἦεροFειδεα ποντον
πλαδσομενοι κατα λεFιδ', ͱοπῆ αρχσειεν αχιλλεFς·
ηδ' ͱοσα και περι Fαστυ μεγα πριαμοFο Fανακτος
μαρναμεθ', ενθαδ' επειτα κατεκταθεν, ͱοσοι αριστοι.
ενθα μεν αιFανς κειται αρεFιος, ενθα δ' αχιλλεFς,
ενθα δε πατροκλος, θεοφιν μηστωρ ͱαταλαντος,
ενθα δ' εμος φιλος ͱυιος, ͱαμα κρατερος και αμυFμων,
αντιλοχος, περι μεν θεFεεν ταχυς, ηδε μαχητης·
αλλα τε πολλ' επι τοις παθομεν κακα· τις κεν εκεινα
παντα γε μυFθησαιτο καταθνῆτων ανθρωπων;
ουδ' ει πενταFετες γε και ͱεκσαFετες παραμιμνων
εκσερεοις, ͱοσα κειθ' επαθον κακα διFοι αχαιFοι·
πριν κεν ανιFηθενς σην πατριδα γαιαν ͱικοιο.
ͱενναFετες γαρ σφιν κακ' εραπτομεν αμφιͱεποντες
παντοιοισι δολοισι· μογις δ' ετελεσσε κρονιFων.
ενθ' ουτις ποτε μητιν ͱομοιωθημεναι αντην
ηθελ', επει μαλα πολλον ενικαε διFος ͱοδυσσεFς
παντοιοισι δολοισι, πατηρ τεFος· ει ͱετεον γε
κεινοF' εκγονος εσσι· σεβας μ' ͱεχει εισͱοραοντα.
ητοι γαρ μυFθοι γε FεFοικοτες, ουδε κε φαιης
ανδρα νεFωτερον ͱῷδε FεFοικοτα μυFθησασθαι.
ενθ' ητοι ͱεFος μεν εγω και διFος ͱοδυσσεFς
ουτε ποτ' ειν αγορῆ διχ' εβαδσομεν, ουτ' ενι βουλῆ,
αλλ' ͱενα θυFμον ͱεχοντε, νοῷ και επιφρονι βουλῆ

φραδσομεθ', αργειϝοισιν ͱοπως ͱοχ' αριστα γενηται.
αϝταρ επει πριαμοϝο πολιν διεπερθσαμεν αιπυν,
βημεν δ' εν ναϝεσι, θεος δ' εκεδασσεν αχαιϝοϝς·
και τοτε δη δσεϝς λυγρον ενι φρεσ' εμηδετο νοστον
αργειϝοισ'· επει ουτι νοημονες, ουδε δικαιοι,
παντες εσαν· τῷ σφεων πολυες κακον οιτον ἐφεσπον,
μηνιος εκς ολοϝης γλαϝκῶπιδος οβριμοπατρης,
ͱητ' εριν ατρεϝιδῄσι μετ' αμφοτεροισιν εθηκεν·
τω δε καλεσσαμενω αγορην ες παντας αχαιϝοϝς
μαπς, αταρ ου κατα κοσμον, ες ἦελιον καταδῦντα,—
ͱοι δ' ηλθον ϝοινῷ βεβαρῆοτες ͱυιες αχαιϝων,—
μυϝθον εμυϝθεεσθην, τοϝο ͱεινεκα λαϝον αγῆραν.
ενθ' ητοι μενελαϝος ανωγεν παντας αχαιϝοϝς
νοστοϝο μιμνῆσκεσθαι επ' ευρυα νωτα θαλασσης·
ουδ' αγαμεμνονι πανπαν εϝανδαν'· εβουλετο γαρ ϱα
λαϝον ερυκακεεν, ρεδσεεν θ' ιεϱας ͱεκατονβας,
ͱως τον αθηναιης δδεινον χολον εκσακεσαιτο·
νηπιος! ουδε το ϝοιδε', ͱο ου πειθσεσθαι εμελλεν.
ͱως τω μεν χαλεποισιν αμειβομενω ϝεπεεσιν
ͱεστασαν· ͱοι δ' ανοϱοϝσαν ͱεϋκνημῖδες αχαιϝοι
ϝηχῇ θεσπεσιῇ· διχα δε σφισ' εϝανδανε βουλη.
νυκτα μεν ῆͱεσαμεν, χαλεπα φρεσιν ͱορμαινοντες
αλληλοισ'· επι γαρ δσεϝς ῆρτυϝε πημα κακοϝο.
ῆοαθεν δ' ͱοι μεν ναϝας ͱελκομεν εις ͱαλα διϝαν,
κτηματα τ' εντιθεμεσθα, βαθυδσωνοϝς τε γυναικας.
ͱημισυες δ' αρα λαϝοι ερητυϝοντο μενοντες
αϝθι παρ' ατϱεϝιδῃ αγαμεμνονι, ποιμενι λαϝων·
ͱημισυες δ' αναβαντες ελαϝνομεν· ͱαι δε μαλ' ῶκα
επλεϝον· εστορεσεν δε θεος μεγακητεα ποντον.
ες τενεδον δ' ελθοντες ερεκσαμεν ͱιερα θεοισιν,
ϝοικαδε ͱιͱεμενοι· δσεϝς δ' ουπῷ μηδετο νοστον,
σχετλιος! ͱος ρ' εριν ῶρσε κακην επι δεϝτερον αϝτις.
ͱοι μεν αποστϱεφσαντες εβαν ναϝας αμφιϝελισσας,
αμφ' ͱοδυσεϝα ϝανακτα δαϝιφρονα ποικιλομητην.
αϝταϱ εγω γσυν ναϝσιν ͱαϝολϝεσιν, ͱαι μοι ͱεποντο,
φευγον, επει γιγνῶσκον, ͱο δη κακ' εμηδετο δαιμων·
φευγε δε τυϝδεϝος ͱυιος αρεϝιος, ῶρσε δ' ͱεταιροϝς·
οπσε δε δη μετα νοϝ' εκιε γσανθος μενελαϝος,
εν λεσβῷ δ' εκιχεν δολιχον πλοϝον ͱορμαινοντας,
η καθυπεϱθε χιοϝο νεοιμεθα παιπαλοεντσης,
νησοϝ' επι πσυριης, αϝτην επ' αϱιστερ' ͱεχοντες,
η' ͱυπενερθε χιοϝο, παρ' ανεμοεντα μιμαντα.
ῆτεομεν δε θεον φῆναι τερας· αϝταρ ͱογ' ͱημῖν
δεικσε, και ῆνωγεν πελαγος μεσον εις ͱεϋβοιαν
τεμνεμεν, ͱοφρα ταχιστα ͱυπ' εκ κακοτητα φυγοιμεν.
ῶρτο δ' επι λιγυς ουρος αͱημεναι· ͱαι δε μαλ' ῶκα

ͱιχθυοεντα κελευθα διεδραμον· ες δε γεραιστον Γ
εννυχιαι καταγοντο· ποσειδαϝω̃νι δε ταυρων
πολλ' επι μηρ' εθεμεν, πελαγος μεγα μετρησαντες.
τετρατον ͱημαρ εη̃ν, ͱοτ' εν αργεϊ ναϝας ϝεϊσϝας
τυϝδεϝιδαϝ' ͱεταροι διομηδεος ͱιπποδαμοϝο
ͱεστασαν· αϝταρ εγωγε πυλονδ' ͱεχον· ουδε ποτ' εσβη
ουρος, επειδη πρω̃τα θεος προεͱη̃κεν αͱηναι.
ͱως ηλθον, φιλε τεκνον, απευθης· ουδε τι ϝοιδα
κεινων, ͱοι τ' εσαω̃θεν αχαιϝων, ͱοι τ' απολοντο.
ͱοσσα δ' ενι μεγαροισι καθημενος ͱημετεροισιν
πευθομαι, ͱη̨̃ θεμις εστι, δαησεαι, ουδε σε κεϝθσω.
ͱευ μεν μυρμιδονας φαντ' ελθεμεν ενχεσιμωροϝς,
ͱοϝς αγ' αχιλλεϝος μεγαθυϝμοϝο φαιδιμος ͱυιος·
ͱευ δε φιλοκτητην, ποιαντιον αγλαϝον ͱυιον·
παντας δ' ιδομενεϝς κρητην ειση̃γαγ' ͱεταιροϝς,
ͱοι φυγον εκ πολεμοο, ποντος δε ͱοι ουτιν' απη̃ϝρα.
ατρεϝιδην δε και αϝτοι ακοϝετε, νοσφιν εοντες,
ͱως τ' ηλθ', ͱως τ' αιγισθος εμηδσατο λυγρον ολεθρον.
αλλ' ητοι κεινος μεν επισμυγερως απετιϝσεν·
ͱως αγαθον και παιδα καταφθιμενοϝο λιπεσθαι.
τον δ' αϝ τηλεμαχος πεπνυ̃μενος αντιον η̃υϝδα·
ω νεστορ νηλεϝιαδη, μεγα κυϝδος αχαιϝων,
και λιϝην κεινος μεν ετιϝσατο, και ͱοι αχαιϝοι
ͱοισοντι κλεος ευρυ, και εσσομενοισι πυθεσθαι.
αι γαρ εμοι τοσηνδε θεοι δυναμιν παραθειεν
τιϝσασθαι μνη̃στηρας ͱυπερβασιης αλεγεινης,
ͱοιτε μοι ͱυβριδσοντες ατασθαλα μηχαναονται.
αλλ' ου μοι τοιοϝτον επεκλωθσαν θεοι ολβον.
τον δ' η̃μειβετ' επειτα γερηνιος ͱιπποτα νεστωρ·
ω φιλ', επειδη ταϝτα μ' ανεμνη̃σας και εϝεσπες,
φαντι μνη̃στηρας σης μητερος ͱεινεκα πολλοϝς
εν μεγαροισ', αϝεκητι σεθεν, κακα μηχαναεσθαι.
ϝεσπε μοι, ηε ͱεκων ͱυποδαμνασαι, η σεγε λαϝοι
εχθαιροντ' ανα δημον, εφεσπομενοι θεοϝ' ομφη̨̃;
τις ϝοιδ', ει κε ποτε σφι βιας αποτιϝσεται ελθων,
η ͱογε μουνος εων, η και γσυνπαντες αχαιϝοι;
ει γαρ σ' ͱως εθελοι φιλεεεν γλαϝκω̃πις αθηνη,
ͱως τοθ' οδυσσεϝος περικηδετο κυϝδαλιμοϝο,
δημω̨̃ ενι τροϝων, ͱοθ' επασχομεν αλγε' αχαιϝοι·—
ου γαρ πω̨̃ ϝιδον ͱω̃δε θεοϝς αναφανδα φιλεοντας,
ͱως κεινω̨̃ αναφανδα παρͱιστατο παλλας αθηνη·—
ει σ' ͱοϝτως εθελοι φιλεεεν, κηδοιτο τε θυϝμω̨̃,
τω̨̃ κεν τις κεινων γε και εκλελαθοιτο γαμοϝο.
τον δ' αϝ τηλεμαχος πεπνυ̃μενος αντιον η̃υϝδα·
ω γερον, ουπω̨̃ τοϝτο ϝεπος τελεεσθαι οϊϝω·
λιϝην γαρ μεγ' εϝεσπες· αγη μ' ͱεχει· ουκ αν εμοιγε

ɦελπομενῳ τα γενοιτ', ουδ' ει θεοι ɦως εθελοιεν. Γ
τον δ' αϝτε προσεϝεσπε θεα γλαϝκῶπις αθηνη·
τηλεμαχε, ποιον σε ϝεπος φυγεν ɦερκος οδοντων; 230
ρεϝα θεος γ' εθελων και τηλοθεν ανδρα σαωσαι. 231
την δ' αϝ τηλεμαχος πεπνῦμενος αντιον ηὖϝδα· 239
μεντορ, μηκετι ταϝτα λεγοιμεθα, κηδομενοι περ· 240
νῦν δ' εθελω ϝεπος αλλο μεταλλῆσαι και ερεσθαι. 243
ω νεστορ νηλεϝιαδη, συ δ' αληθες ενισπε, 247
πως εθαν' ατρεϝιδης ευρυ κρεϝων αγαμεμνων;
ποο μενελαϝος εῆν; τινα δ' αϝτῷ εμηδσατ' ολεθρον
αιγισθος δολομητις; επει κτανε πολλον αρειῶ. 250
τον δ' ῆμειβετ' επειτα γερηνιος ɦιπποτα νεστωρ· 253
τοιγαρ εγω τοι, τεκνον, αληθεα παντ' αγορεϝσω·
ῆτοι μεν τοδε κ' αϝτος οϊϝεαι, ɦως κεν ετυχθη· 255
ει δσαϝοντ' αιγισθον ενι μεγαροισιν ετετμεν
ατρεϝιδης, τροϝιηθεν ιων, χσανθος μενελαϝος,
τῷ κε ɦοι ουδε θανοντι χυτην επι γαιαν εχεϝσαν,
αλλ' αρα τονγε κυνες τε και οιϝωνοι κατεδαπτσαν
κειμενον εν πεδιῷ ɦεκας ϝαστυϝος· ουδε κε τις μιν 260
κλαϝσεν αχαιϝιαδων· μαλα γαρ μεγ' εμηδσατο ϝεργον.
ɦημεες μεν γαρ κειθι πολυας τελεοντες αϝεθλοϝς
ɦημεθ'· ɦο δ' ɦευκηλος μυχῷ αργεος ɦιπποβοτοϝο
πολλ' αγαμεμνονεην ɦαλοχον θελγεσκε ϝεπεσσιν·
ɦη δ' ητοι το πριν μεν ααινετο ϝεργον αϝεικες· 265
παρ γαρ εῆν και αϝοιδος ανηρ, ɦῷ πολλ' επετελλεν 267
ατρεϝιδης, τροϝιηνδε κιων, ρυϝσασθαι ɦακοιτιν.
αλλ' ɦοτε δη μιν μοιρα θεων επεδῆσε δαμῆναι,
δη τοτε τον μεν αϝοιδον αγων ες νησον ερημην 270
κατλιπεν οιϝωνοισιν ɦελωρ και κυρμα γενεσθαι·
την δ' εθελων εθελουσαν ανῆγαγ' ɦεϝονδε δομονδε.
πολλα δε μηρι' εκῆε θεων ɦιεροισ' επι βωμοις,
πολλα δ' αγαλματ' ανɦαπτσεν, ɦυφασματα τε, χρυσον τε,
εκτελεσανς μεγα ϝεργον, ɦο κ' ουποτ' εϝελπετο θυϝμῷ. 275
ɦημεες μεν γαρ ɦαμ' επλεϝομεν τροϝιηθεν ιοντες,
ατρεϝιδης και εγω, φιλα ϝειδοτες αλληλοισιν·
αλλ' ɦοτε σουνιον ɦιερον αφικομεθ', ακρον αθηνεων,
ενθα κυβερνῆτην μενελαϝοϝο φοιβος απολλων
ɦοισ' αγανοις βελεεσιν εποιχομενος κατεπεφνεν, 280
πηδαλιον μετα χερσι θεϝοντσης ναϝος ɦεχοντα,
φροντιν ονητοριδην, ɦος εκαινυτο φυϝλ' ανθρωπων
ναϝα κυβερνῆσαι, ɦοποτε σπερχοιατ' αɦελλαι.
ɦως ɦο μεν ενθα κατεσχετ', επειγομενος περ ɦοδοϝο,
ɦοφρ' ɦεταρον θαπτοι, και επι κτερεα κτερισειεν. 285
αλλ' ɦοτε δη και κεινος, ιων επι ϝοινοπα ποντον
εν ναϝσι γλαφυρῆσι, μαλειαϝων ορος αιπυ
ɦικσε θεϝων, τοτε δη στυγερην ɦοδον ευρυοπα δσεϝς

εφρασατο, λιγυων δ' ανεμων επ' αͱυϝτμεν' εχεϝσεν,
κυϝματα τε τροφοεντα, πελωρια, ϝεισϝ' ορεεσιν. 290
ενθα διατμῆγσανς, τας μεν κρητῇ επελασσεν,
ͱῇχι κυδῶνες εναιον, ιαρδανοϝ' αμφι ρεϝεθρα.
εστι δε τις λισση τε και αιπυι' εις ͱαλα πετρη,
εσχατιῇ γορτῦνος, εν ῆεροϝειδεϊ ποντῳ· 294
ͱαι μεν αρ' ενθ' ηλθον, σπουδῇ δ' ῆλυκσαν ολεθρον 297
ανδρες, αταρ ναϝας γε ποτι σπιλαδεσιν εϝανγσαν
κυϝματ'· αταρ τας πεντε ναϝας κυϝανοπρωρειοϝς
αιγυπτῳ επελασσε φερων ανεμος τε και ͱυϝδωρ. 300
ͱως ͱο μεν ενθα πολυν βιϝοτον και χρυσον αγειρων
ῆλαετο γσυν ναϝσιν επ' αλλοθροοϝς ανθρωποϝς.
τοφρα δε ταϝτ' αιγισθος εμηδσατο ϝοικοθι λυγρα,
κτῆνανς ατρεϝιδην· δεδμῆτο δε λαϝος ͱυπ' αϝτῳ.
ͱεπταϝετες δ' εϝανασσε πολυχρυσοϝο μυκηνης· 305
τῳ δε ͱοι ͱογδοατῳ κακον ηλυθε διϝος ορεστης
αψς απ' αθηναϝων, κατα δ' εκτανε πατροφονεϝα. 307
ητοι ͱο τον κτῆνανς δαινῦ ταφον αργειϝοισιν· 309
αϝθημαρ δε ͱοι ηλθε βοην αγαθος μενελαϝος, 311
πολλα κτηματ' αγων, ͱοσα ͱοι ναϝες αχθος αͱῆραν.
και συ, φιλος, μη δηθα δομων απο τηλ' αλαλῆσο,
κτηματα τε προλιπων, ανδρας τ' εν σοισι δομοισιν
ͱοϝτῳ ͱυπερφιαλοϝς· μη τοι κατα παντα φαγωντιν 315
κτηματα δασσαμενοι, συ δε τῆϋσιην ͱοδον ελθῃς.
αλλ' ες μεν μενελαϝον εγω κελομαι και ανῶγα
ελθεεν· κεινος γαρ νεϝον αλλοθεν ηληλουθεν
εκ των ανθρωπων, ͱοθεν ουχ ελποιτο γε θυϝμῳ
ελθεμεν, ͱοντινα πρῶτον αποσφηλωντιν αͱελλαι 320
ες πελαγος μεγα τοιον· ͱοθεν τε περ ουδ' οἰϝωνοι
αϝτοϝετες οιχνεοντιν, επει μεγα τε, δδεινον τε.
αλλ' ιθι νῦν γσυν ναϝι τε σῇ και σοισ' ͱεταροισιν·
ει δ' εθελεις πεδσος, παρα τοι διφρος τε και ͱιπποι,
παρ δε τοι ͱυιες εμοι, ͱοι τοι πομπεϝες εσονται 325
ες λακεδαιμονα διϝαν, ͱοθι χσανθος μενελαϝος.
λισσεσθαι δε μιν αϝτος, ͱινα νημερτες ενισπῇ·
πσευδος δ' ουκ ϝερεει· μαλα γαρ πεπνῦμενος εστιν.
ͱως εφατ'· ῆελιος δ' αρ' εδῦ και επι κνεφας ηλθεν.
τοισι δε και μετεϝεσπε θεα γλαϝκῶπις αθηνη· 330
ω γερον, ητοι ταϝτα κατα μοιραν κατελεγσας·
αλλ' αγε, ταμνετε μεν γλωσσας, κεραϝεσθε δε ϝοινον,
ͱοφρα ποσειδαϝῶνι και αλλοισ' αθανατοισιν
σπενδσαντες κοιτοϝο μεδωμεθα· τοϝο γαρ ͱωρη.
ηδη γαρ φαϝος οιχεθ' υπο δσοφον· ουδε ϝεϝοικεν 335
δηθα θεων εν δαιτι θαϝασσεμεν, αλλα νεεσθαι.
ῆ ρα διος θυγατηρ, τοι δ' εκλυϝον αυϝδῆσαατσης.
τοισι δε κηρῦκες μεν ͱυδωρ επι χειρας εχεϝσαν,

κοϝροι δε κρῆτηρας επεστεφσαντο ποτοϝο·
νωμῆσαν δ᾽ αρα παντσιν επαρχσαμενοι δεπαεσιν·
γλωσσας δ᾽ εν πυρ᾽ εβαλλον, ανͱισταμενοι δ᾽ επελειβον.
αϝταρ επει σπενδσαν τ᾽, επιϝον θ᾽, οσον ηθελε θυϝμος,
δη τοτ᾽ αθηναιη και τηλεμαχος θεοϝειδης
αμφω ͱιͱεσθην κοιλην επι ναϝα νεεσθαι.
νεστωρ δ᾽ αϝ κατερυκε καθαπτομενος ϝεπεεσιν·
δσεϝς τογ᾽ αλεκσησειε, και αθανατοι θεοι αλλοι,
ͱως ͱυμεες παρ᾽ εμεϝο θοϝην επι ναϝα κιοιτε,
ͱωστε τεο η παρα πανπαν αϝεσμονος, ηε πενιχροο,
ͱῷ ουτε χλαιναι και ϝρῆγεα πολλ᾽ ενι ϝοικῷ,
ουτ᾽ αϝτῷ μαλακως, ουτε χσεινοισιν, ενͱευδεεν.
αϝταρ εμοι παρα μεν χλαιναι και ϝρῆγεα καλα.
ου θην δη τοϝοδ᾽ ανδρος ͱοδυσσεϝος φιλος ͱυιος
ναϝος εφ᾽ ικριοφιν καταλεχσεται, ͱοφρ᾽ αν εγωγε
δσαϝω· επειτα δε παιδες ενι μεγαροισι λιπωνται,
χσεινοϝς χσεινιδσεεν, ͱοστις κ᾽ εμα δῶμαθ᾽ ικηται.
τον δ᾽ αϝτε προσεϝεσπε θεα γλαϝκῶπις αθηνη·
ͱευ δη ταϝτα γ᾽ εφησθα, γερον φιλε· σοι δε ϝεϝοικεν
τηλεμαχον πειθεσθαι, επει πολυ καλλιον ͱοϝτῷ.
αλλ᾽ ͱοϝτος μεν νῦν σοι ͱαμ᾽ ͱεπσεται, ͱοφρα κεν ͱευδῇ
σοισιν ενι μεγαροισιν· εγω δ᾽ επι ναϝα μελαιναν
ειμ᾽, ͱινα θαρσυϝνω θ᾽ εταροϝς, ϝεσπω τε ͱεκαστα·
οιος γαρ μετα τοισι γεραϝτερος ευχομαι εεναι,
ͱοι δ᾽ αλλοι φιλοτητι νεϝωτεροι ανδρες ͱεπονται
παντες ͱομηλικιῇ μεγαθυϝμοϝο τηλεμαχοϝο.
ενθα κε λεχσαιμην κοιλῇ παρα ναϝι μελαινῇ
νῦν· αταρ ῆοαθεν μετα καυκῶνας μεγαθυϝμοϝς
ειμ᾽, ενθα χρεϝος μοι οφελλεται, ουτι νεϝον γε,
ουδ᾽ ολιγον· συ δε τοϝτον, επει τεϝον ͱικετο δῶμα,
πεμπσον γσυν διφρῷ τε και ͱυιιϊ· δος δε ͱοι ͱιπποϝς,
ͱοι τοι ελαφροτατοι θεϝεεν, και καρτος αριστοι.
ͱως αρα φῶνησαντσ᾽ απεβη γλαϝκῶπις αθηνη,
φηνῇ ϝειδομενη· θαμβος δ᾽ ͱελε παντας ϝιδοντας.
θαϝμαδσεν δ᾽ ͱο γεραϝος, ͱοπως ϝιδεν οφθαλμοισιν·
τηλεμαχοο δ᾽ ͱελε χειρα, ϝεπος τ᾽ εφατ᾽, εκ τ᾽ ονομαδσεν·
ω φιλος, ου σε ͱεͱολπα κακον και αναλκιν εσεσθαι,
ει δη τοι νεϝῷ ͱῷδε θεοι πομπεϝες ͱεπονται.
ου μεν γαρ τις ͱοδ᾽ αλλος ολυνπια δῶμαθ᾽ εχοντων,
αλλα διος θυγατηρ αγελαϝη τριτογενεια,
ͱη τοι και πατερ᾽ εσθλον εν αργειϝοισιν ετιϝμα.
αλλα, ϝανασσ᾽, ͱιληθι, διδῶθι δε μοι κλεος εσθλον,
αϝτῷ, και παιδεσι, και αιδοιῇ παρακοιτιι·
σοι δ᾽ αϝ εγω ρεκσω βοϝν ηνῖν, ευρυμετῶπον,
αδμῆτην, ͱην ουπῷ ͱυπο δσυγον ῆγαγεν ανηρ.
την τοι εγω ρεκσω, χρυσον κερασιν περιχεϝσανς.

ͱως εφατ' ευχομενος· τοϝο δ' εκλυϝε παλλας αθηνη.
τοισιν δ' ͱηγεμονεϝε γερηνιος ͱιπποτα νεστωρ, Γ
ͱυιεσι, και γαμβροισιν, ͱεϝα προς δῶματα καλα.
αλλ' ͱοτε δῶμαθ' ικοντο αγακλυτα τοϝο ϝανακτος,
ͱεχσειης ͱεδσοντο κατα κλισμοϝς τε θρονοϝς τε.
τοις δ' ͱο γερων ελθοντσιν ανα κρῆτηρ' εκερασσεν
ϝοινοϝο ͱηδυποτοϝο, τον ͱενδεκατῷ ενιαϝτῷ
ῶϊγσεν ταμιη, και απο κρῆδεμνον ελυϝσεν·
τοϝ' ͱο γερων κρῆτηρ' εκερασσατο· πολλα δ' αθηνῇ
ευχετ' εποσπενδων, κοϝρῇ διος αιγιͱοχοϝο.
αϝταρ επει σπενδσαν τ', επιϝον θ', οσον ηθελε θυϝμος,
ͱοι μεν κατκειοντες εβαν ϝοικονδε ͱεκαστος·
τον δ' αϝτοο κοιμῆσε γερηνιος ͱιπποτα νεστωρ
τηλεμαχον, φιλον ͱυιον ͱοδυσσεϝος θειοϝο,
τρῆτοισ' εν λεχεεσιν, ͱυπ' αιθοντσῇ εριδουπῷ·
παρ δ' αρ' ͱεϋμελιην πειθσιστρατον, ορχαμον ανδρων,
ͱος ͱοι ετ' ηϊθεος παιδων ῆν εν μεγαροισιν.
αϝτος δ' αϝτε καθευδε μυχῷ δομοϝ ͱυπσηλοϝο·
τῷ δ' ͱαλοχος δεσποινα λεχος πορσυϝνε και ευνην.
ημος δ' ῆριγενει' εφανη ϝροδοδακτυλος ῆως,
ῶρνυτ' αρ' εκς ευνηφι γερηνιος ͱιπποτα νεστωρ·
εκ δ' ελθων κατ' αρ' ͱεδσετ' επι χσεστοισι λιθοισιν,
ͱοι ͱοι εσαν προπαροιθε θυραϝων ͱυπσηλαϝων,
λεϝκοι, αποστιλβοντες αλειφατος· ͱοισ' επι μεν πριν
νηλεϝς ͱιδσεσκεν, θεοφιν μηστωρ ͱαταλαντος·
αλλ' ͱο μεν ηδη κηρι δαμενς αϝιδοσδ' εβεβηκεεν·
νεστωρ δ' αϝ τοτ' εφιδσε γερηνιος, ουρος αχαιϝων,
σκηπτρον ͱεχων· περι δ' ͱυιες ͱαϝολϝεες ῆγερεθοντο,
εκ θαλαμων ελθοντες, ͱεχεφρων τε, στρατιος τε,
περθσεϝς τ', αρῆτος τε, και αντιθεος θρασυμηδης·
τοισι δ' επειθ' εκτος πειθσιστρατος ηλυθεν ͱηρως·
παρ δ' αρα τηλεμαχον θεοϝεικελον ͱεσσαν αγοντες.
τοισι δε μυϝθων ῆρχε γερηνιος ͱιπποτα νεστωρ·
καρπαλιμως μοι, τεκνα φιλα, κραϝῆνατε ͱελδωρ,
ͱοφρ' ητοι πρῶτιστα θεων ͱιλασσομ' αθηνην,
ͱη μοι εναργης ηλθε θεοϝ ες δαιτα θαλειαν.
αλλ' αγ', ͱο μεν πεδιονδ' επι βοϝν ιτω, ͱοφρα ταχιστα
ελθητιν, ελασῇ δε βοϝων επιβοϝκολος ανηρ.
ͱενς δ' επι τηλεμαχοο μεγαθυϝμοϝο ναϝα μελαιναν
παντας ιων ͱεταροϝς αγετω, λιπετω δε δυ' οιοϝς·
ͱενς δ' αϝ χρυσοχοϝον λαϝερκεα δευρο κελεσθω
ελθεμεν, ͱοφρα βοϝος χρυσον κερασιν περιχεϝῇ.
ͱοι δ' αλλοι μενετ' αϝτοϝ ͱαϝολϝεες· ϝεσπατε δ' εισῷ
δμῷῇσιν κατα δῶματ' αγακλυτα δαιτα πενεσθαι,
ͱεδρας τε, χσυλα τ' αμφι, και αγλαϝον ͱοισεμεν ͱυϝδωρ.
ͱως εφαθ'· οι δ' αρα παντες εποιπνυϝον· ηλθε μεν αρ βως

εκ πεδιοF, ηλθον δε θοFῆς παρα ναFος Fεϊσϝης Γ
τηλεμαχοF ͱεταροι μεγαλητορος· ηλθε δε χαλκεFς,
ͱοπλ' εν χερσιν ͱεχων χαλκεFια, πειρατα τεχνης,
ακμονα τε, σφυραν θ', εϋποιητον τε πυραγρην,
ͱοισιν τε χρυσον Fεργαδσετο· ηλθε δ' αθηνη,
ͱιερων αντιαοντσα· γερων δ' ͱιππηλατα νεστωρ
χρυσον εδωχ'· ο δ' επειτα βοFος κερασιν περιχεFεν
ασκησανς, ͱιν' αγαλμα θεα κεχαροιτο Fιδοντσα.
βοFν δ' αγετην κεραων στρατιος και διFος ͱεχεφρων·
χερνιβα δε σφ' αρῆτος εν ανθεμοεντι λεβητι
ηλυθεν εκ θαλαμοFο φερων· ͱετερῆ δ' ͱεχε FολFας
εν κανεῷ· πελεκυν δε μενεπτολεμος θρασυμηδης
ͱοκσυν ͱεχων εν χειρι παρͱιστατο, βοFν επικοπτσων.
περθσεFς δ' ͱαιμνιον εσχε· γερων δ' ͱιππηλατα νεστωρ
χερνιβα τ' ολFοχυτας τε κατῆρχετο· πολλα δ' αθηνῇ
ευχετ' απαρχομενος, κεφαλης τριχας εν πυρι βαλλων.
αFταρ επει ρ' ευχσαντο, και ολFοχυτας προβαλοντο,
αFτικα νεστορος ͱυιος, ͱυπερθυFμος θρασυμηδης,
ηλασεν αγχι στανς· πελεκυς δ' απεκοπτσε τενοντας
αFχενιοFς, λυFσεν δε βοFος μενος· ͱαι δ' ολολυγσαν
θυγατερες τε, νυοι τε, και αιδοιη παρακοιτις.
ͱοι μεν επειτ' ανͱελοντες απο χθονος ευρυοδειης
εσχον· αταρ σφαγσεν πεισιστρατος, ορχαμος ανδρων.
της δ' επει εκ μελαν ͱαιμ' ερυη, λιπε δ' οστεα θυFμος,
αιπσ' αρα μιν διεχεFσαν· ͱαφαρ δ' εκ μηρι' εταμνον
παντα κατα μοιραν, κατα τε κνισσῇ εκαλυπτσαν,
διπτυχα ποιησαντες, επ' αFτων δ' ωμοθετησαν.
καFε δ' επι σχιδσῃσ' ͱο γερων, επι δ' αιθοπα Fοινον
λειβε· νεFοι δε παρ' αFτον ͱεχον πενπωβολα χερσιν.
αFταρ επει κατα μηρ' εκαFη, και σπλανχν' επασαντο,
μιστυλλον τ' αρα τ' αλλα, και αμφ' οβελοισιν επῆραν,
ὤπτων δ', ακροπoροFς οβελοFς εν χερσιν ͱεχοντες.
τοφρα δε τηλεμαχον λοFεσεν καλη πολυκαστη,
νεστορος ͱοπλοτατη θυγατηρ νηλεFιαδαFο.
αFταρ επει λοFεσεν τε, και εχριFσεν λιπ' ελαιῳ,
αμφι δε μιν φαFρος καλον βαλεν ηδε χιτῶνα,
εκ ρ' ασαμινθοF εβη, δεμας αθανατοισιν ͱομοιος·
παρ δ' ͱογε νεστορ' ιων κατ' αρ' ͱεδσετο, ποιμενι λαFων.
ͱοι δ' επει ὤπτῆσαν κρε' ͱυπερτερα, και Fερυσαντο,
δαινῦνθ' εδσομενοι· επι δ' ανερες εσθλοι ορωντο,
Fοινον FοινοχοFεοντες ενι χρυσεοις δεπαεσιν.
αFταρ επει ποσιος και εδητυος εκς ερον ͱεντο,
τοισι δε μυFθων ῆρχε γερηνιος ͱιπποτα νεστωρ·
παιδες εμοι, αγε, τηλεμαχῳ καλλιτριχας ͱιπποFς
δσευγσαθ' υφ' αρματ' αγοντες, ͱινα πρῆσσητιν ͱοδοFο.
ͱως εφαθ'· οι δ' αρα τοο μαλα μεν κλυFον ηδ' επιθοντο·

καρπαλιμως δ' εδσευγσαν ͱυφ' αρμασιν ὠκυας ͱιπποϝς. Γ
εν δε γυνη ταμιη σῖτον και ϝοινον εθῆκεν·
αν δ' αρα τηλεμαχος περικαλλε' εβησατο διφρον·
παρ δ' αρα νεστοριδης πεισιστρατος, ορχαμος ανδρων,
ες διφρον τ' ανεβαινε, και ͱηνι' ελαδσετο χερσιν·
μαστιγσεν δ' ελαεεν, τω δ' ουκ αϝεκοντ' επετεσθην
ες πεδιον, λιπετην δε πυλοϝ αιπυ πτολιεθρον.
ͱοι δε πανͱημεριοι σειον δσυγον αμφις ͱεχοντες.
δυϝσατο τ' ηελιος, σκιαοντο τε πανται αγυιαι.
ες φηρας δ' εͱικοντο, διοκλεεος ποτι δῶμα,
ͱυιιος ορσιλοχοϝο, τον αλφειος τεκε παιδα.
ενθα δε νυκτ' αϝεσαν· ͱο δε τοις παρ χσεινι' εθηκεν.
ημος δ' ηριγενει' εφανη ϝροδοδακτυλος ηως,
ͱιπποϝς τ' εδσευγνῦντ', ανα θ' αρματα ποικιλ' εβαινον.
ͱοι δ' ͱιχσαν κοιλην λακεδαιμονα καιεταεντσαν· Δ
προς δ' αρα δῶματ' ελῶν μενελαϝοϝο κυϝδαλιμοϝο.
τον δ' ͱευρον δαινῦντα γαμον πολλοισιν ͱετῃσιν,
ͱυιιος ηδε θυγατρος αμυϝμονος, ͱῳ ενι ϝοικῳ.
την μεν αχιλλεϝος ϝρηγσηνορος ͱυιι' επεμπεν·
εν τροϝιῃ γαρ πρῶτον ͱυπεσχετο και κατενευσεν
δωσεμεναι· τοισιν δε θεοι γαμον εκσετελεϝον.
την αρ' ͱογ' εν θ' ͱιπποισι και ͱαρμασ' επεμπε νεεσθαι
μυρμιδονων προτι ϝαστυ περικλυτον, ͱοισ' εϝανασσεν.
ͱυιιϊ δε σπαρτηθεν αλεκτορος ηγετο κοϝρην,
ͱος ͱοι τηλυγετος γενετο κρατερος μεγαπενθης,
εκ δουλης· ͱελενης δε θεοι γονον ουκ ετ' εφαινον.
τω δ' αϝτ' εν προθυροισι δομων αϝτω τε και ͱιππω,
τηλεμαχος θ' ηρως και νεστορος αγλαϝος ͱυιος,
στησαν· ͱο δε προμολων ϝιδετο κρεϝων ͱετεωνεϝς,
οτρηρος θεραπων μενελαϝοϝο κυϝδαλιμοϝο·
βη δ' ιμεν αγγελεων δια δωματα ποιμενι λαϝων·
αγχοϝο δ' ͱισταμενος ϝεπεα πτεροεντα προσηυϝδα·
χσεινω δη τινε τωδε, διοτρεφες ω μενελαϝε,
ανδρε δυω, γενεῃ δε διος μεγαλοϝο ϝεϊκτον.
αλλα ϝεπ', ει σφοϝιν καταλυϝσομεν ὠκυας ͱιπποϝς,
η' αλλον πεμπωμεν ͱικανεμεν, ͱος κε φιλησῃ.
τον δε μεγ' οχθησανς προσεφη χσανθος μενελαϝος·
ου μεν νηπιος ησθα, βοηθοϝιδη ͱετεωνεϝ,
το πριν, αταρ μεν νῦν γε, παϊς ͱως, νηπια βαδσεις.
η μεν δη νοϝι, χσεινηϊα πολλα φαγοντε
αλλων ανθρωπων, δευρ' ͱικομεθ', αι κε ποθι δσεϝς
εκσοπισῳ περ παϝσῃ οιδσυος· αλλα λυϝ ͱιπποϝς
χσεινων, ες δ' αϝτοϝς προτερῳ αγε θοινηθηναι.
ͱως φαθ'· ο δ' εκ μεγαροϝο διεσσυτ', εκεκλετο δ' αλλοϝς
οτρηροϝς θεραποντας ͱαμ' ͱεσπεσθαι ͱεϝ αϝτῳ.
ͱοι δ' ͱιπποϝς μεν ελυϝσαν ͱυπο δσυγοϝ ͱιδρῶοντας·

και τοϝς μεν κατεδησαν εφ' ιππειῃσι καπῃσιν,
παρ δ' εβαλον δσειας, ανα δε κρῖ λεϝκον εμιγσαν· Δ
ͱαρματα δ' εκλῖναν προς ενῶπια πανφαναοντα·
αϝτοϝς δ' εισῆγον θειον δομον· ͱοι δε ϝιδοντες
θαϝμαδσον κατα δῶμα διοτρεφεος βασιλεϝος.
ͱωστε γαρ ῆελιοϝ αιγλη πελεν, ηε σεληνης,
δῶμα καθ' υπσερεφες μενελαϝοϝο κυϝδαλιμοϝο.
αϝταρ επει ταρπησαν ͱορῶμενοι οφθαλμοισιν,
ες ρ' ασαμινθοϝς βαντες ͱεΰχσεστας λοϝεσαντο.
τοϝς δ' επει ῶν δμῶαι λοϝεσαν και χριϝσαν ελαιῳ,
αμφι δ' αρα χλαινας ϝολϝας βαλον ηδε χιτῶνας,
ες ρα θρονοϝς ͱεδσοντο παρ' ατρεϝιδην μενελαϝον.
χερνιβα δ' αμφιπολος προχοϝῳ επεχεϝε φεροντσα
καλῃ, χρυσειῃ, ͱυπερ αργυρεοϝο λεβητος,
νιπτσασθαι· παρα δε χσεστην ετανυσσε τραπεδσαν.
σῖτον δ' αιδοιη ταμιη παρεθῆκε φεροντσα,
ῆδατα πολλ' επιθεντσα, χαριδσομενη παρεοντων·
δαιτρος δε κρεαων πινακας παρεθῆκεν αϝῆρανς
παντοιων· παρα δε σφ' ετιθεε χρυσεια κυπελλα.
τω και δεχνυμενος προσεφη χσανθος μενελαϝος·
σῖτοϝ ͱαπτεσθον, και χαιρετον· αϝταρ επειτα
δειπνοϝο παϝσαμενω ειρησομεθ', ͱοιτινες εστον.
ͱως φατο· και σφιν νωτα βοϝος παρα πιϝον εθῆκεν,
οπτ' εν χερσιν ͱελων, τα ρα ͱοι γερα παρθεσαν αϝτῳ.
ͱοι δ' επ' ονειαθ' ετοιμα προκειμενα χειρας ιαλλον.
αϝταρ επει ποσιος και εδητυος εκς ερον ͱεντο,
δη τοτε τηλεμαχος προσεφῶνεε νεστορος ͱυιον,
ανχι σχων κεφαλην, ͱινα μη πευθοιαθ' οι αλλοι·
φραδσεο, νεστοριδη, μαλ' εμῳ κεχαρισμενε θυϝμῳ,
χαλκοϝο τ' αστεροπην κατα δῶματα ϝηχηεντα,
χρυσοϝο τ', ηλεκτροο τε, και αργυροϝ, ηδ' ελεφαντος·
δσῆνος ποο τοιαϝτα δομοισ' εν κτηματα κειται,
ͱοσα ταδ' ασπετα πολλα· σεβας μ' ͱεχει εισͱοραοντα.
τοο δ' αγορεϝοντος γσυνͱετο χσανθος μενελαϝος,
και σφεας φῶνησανς ϝεπεα πτεροεντα προσηῦϝδα·
τεκνα φιλ', ητοι δσῆνι βροτων ουκ αν τις εριδσοι·
αθανατοι γαρ τοογε δομοι και κτηματ' εαντιν.
ανδρων δ' η κεν τις μοι ερισσεται, ηε και ουκι,
κτημασιν· η γαρ πολλα παθων και πολλ' επαλῆθενς,
ῆγαγομην εν ναϝσι, και ͱογδοατῳ ϝετει ηλθον·
κυπρον, φοινικην τε, και αιγυπτιοϝς επαλῆθενς,
αιθιοπας θ' ικομην, και σιδονιοϝς, και ερεμβοϝς,
και λιβυην, ͱινα ϝαρνες ͱαφαρ κεραοι τελεθοντιν.
τρις γαρ τικτει μηλα τελεσφορον εις ενιαϝτον.
ενθα μεν ουτε ϝανακς επιδεϝης, ουτε τι ποιμην,
τυροϝο και κρεαων, ουδε γλυκεροϝο γαλακτος·

αλλ᾽ αιϝει παρͱεχοντιν επιϝετανον γαλα θῆσθαι. Δ
ͱεϝος εγω περι κεινα πολυν βιϝοτον γσυναγειρων
ἦλαομην, τεϝος μοι ͱαδελφεϝον αλλος επεφνεν,
λαθρῇ, αοιϝιστις δολῳ̃ ολομενης ͱαλοχοϝο.
ͱως ουτοι χαιρων τοισδε κτεατεσι ϝανασσω.
και πατερων ταδε μελλετ᾽ ακοϝεμεν, ͱοιτινες ͱυμῖν
εντιν· επει μαλα πολλ᾽ επαθον, και απῶλεσα ϝοικον,
ͱευ μαλα ναιεταοντα, κεχανδοτα πολλα και εσθλα.
ͱων οφελον τριτατην περ ͱεχων εν δῶμασι μοιραν
ναιεμεν, ͱοι δ᾽ ανδρες σαοι εσμεναι, ͱοι τοτ᾽ ολοντο.
αλλ᾽ ενπης παντας μεν οδυϝρομενος και αχεϝων,
πολλακις εν μεγαροισι καθημενος ͱημετεροισιν,
αλλοτε μεν τε γοῳ̃ φρενα τερπομαι, αλλοτε δ᾽ αϝτε
παϝομαι· αιπσηρος δε κορος κρυεροϝο γοοϝο.
των παντων ου τοσον οδυϝρομαι, αχνυμενος περ,
ͱως ͱενος, ͱοστε μοι ͱυπνον απεχθαιρει και εδϝωδην
μναϝομενῳ̃· επει ουτις αχαιϝων τοσ᾽ εμογησεν,
ͱοσ᾽ ͱοδυσσεϝς εμογησε και ͱῆρατο· τῳ̃ δ᾽ αρ᾽ εμελλεν
αϝτῳ̃ κηδε᾽ εσεσθαι, εμοι δ᾽ αχος αιϝεν αλαστον
κεινοϝ, ͱοπως δη δηρον αποιχεται· ουδε τι ϝιδμεν,
δσαϝει ͱογ᾽, η τεθνῆκεν· οδυϝρονται νυ ποϝ αϝτον
λαϝερτης θ᾽ ο γερων και ͱεχεφρων πηνελοπεια,
τηλεμαχος θ᾽, ον ελειπε νεϝον γεγαῶτ᾽ ενι ϝοικῳ̃.
ͱως φατο· τῳ̃ δ᾽ αρα πατρος ͱυφ᾽ ιμερον ῶρσε γοοϝο.
δακρυ δ᾽ απο βλεφαρων χαμαδις βαλε, πατρος ακοϝσανς,
χλαιναν πορφυρεην αντ᾽ οφθαλμοιϊν ανασχων
αμφοτερῆσιν χερσ᾽· ενοησε δε μιν μενελαϝος·
μερμηριξε δ᾽ επειτα κατα φρενα και κατα θυϝμον,
ηε μιν αϝτον πατρος εϝᾶσειε μνῆσθηναι,
η πρῶτ᾽ εκσερεοιτο, ͱεκαστα τε πειρῆσαιτο.
ͱεϝος ͱο ταϝθ᾽ ορμαινε κατα φρενα και κατα θυϝμον,
εκ δ᾽ ͱελενη θαλαμοϝο θυϝωδεος ͱυπσοροφοϝο
ηλυθεν, αρτεμιδι χρυσηλακατῳ̃ ϝεϝικυια·
τῇ δ᾽ αρ᾽ ͱαμ᾽ αδρηστη κλισιην ͱεϋτυχτον εθῆκεν·
αλκιππη δε ταπητ᾽ εφερεν μαλακοϝ εριοϝο·
φυϝλω δ᾽ αργυρεον ταλαρον φερε, τον ͱοι εδῶκεν
αλκανδρη, πολυβοϝο δαμαρ, ͱος εναι᾽ ενι θηβῆς
αιγυπτιῃσ᾽, ͱοθι πλειστα δομοισ᾽ εν κτηματα κειται·
ͱος μενελαϝῳ̃ εδῶκε δυ᾽ αργυρεας ασαμινθοϝς,
δοιοϝς δε τριποδας, δεκα δε χρυσοϝο ταλαντα.
χωρις δ᾽ αϝθ᾽ ελενῃ ͱαλοχος πορε καλλιμα δῶρα,
χρυσεην τ᾽ ηλακατην, ταλαρον θ᾽ υποκυκλον οπασσεν,
αργυρεον, χρυσῳ̃ δ᾽ επι χειλε᾽ εκεκραϝαντο.
τον ρα ͱοι αμφιπολος φυϝλω παρεθῆκε φεροντσα,
νηματος ασκητοϝο βεβυσμενον· αϝταρ επ᾽ αϝτῳ̃
ηλακατη τετανυστο, ϝιοδνεφες ειρος ͱεχοντσα.

ͱεδσετο δ' εν κλισμῷ, ͱυπο δε θρηνυς ποσιν ἦεν. Δ
αϝτικα δ' ͱῆγε ϝεπεσσι ποσιν ερεεινεν ͱεκαστα·
ϝιδμεν δη, μενελαϝε διοτρεφες, ͱοιτινες ͱοιδε
ανδρων ευχεταονται ͱικανεμεν ͱημετερον δῶ;
πσευδσομαι, ἠ' ͱετυμον ϝερεω; κελεται δε με θυϝμος. 140
ου γαρ πῶ τινα φημι ϝεϝοικοτα ͱῶδε ϝιδεσθαι
ουτ' ανδρ', ουτε γυναικα, (σεβας μ' εχει εισͱοραουτσαν,)
ͱως ͱοδ' ͱοδυσσεϝος μεγαλητορος ͱυιϊ ϝεϝοικεν
τηλεμαχῷ, τον ελειπε νεϝον γεγαῶτ' ενι ϝοικῷ. 144
την δ' απαμειβομενος προσεφη χσανθος μενελαϝος· 147
ͱοϝτῶ νῦν και εγω νοεω, γυναι, ͱως συ ϝεϊσκεις·
κεινοϝο γαρ τοιοιδε ποδες, τοιαιδε τε χειρες,
οφθαλμων τε βολαι, κεφαλη τ', εφυπερθε τε χαιται. 150
και νῦν ητοι εγω μεμνῆμενος αμφ' ͱοδυσεϝι
μυϝθεομην ͱοσα κεινος οϊδσυϝσαυς εμογησεν
αμφ' εμοι, αϝταρ ͱο πικρα ͱυπ' οφρυσι δακρυϝ' ελειβεν,
χλαιναν πορφυρεην αντ' οφθαλμοιϊν ανασχων.
τον δ' αϝ νεστοριδης πεισιστρατος αντιον ἦυϝδα· 155
ατρεϝιδη μενελαϝε διοτρεφες, ορχαμε λαϝων,
κεινοϝο μεντοι ͱοδ' ͱυιος ͱετητυμον, ͱως αγορεϝεις·
αλλα σαοφρων εστι, νεμεσαεται δ' ενι θυϝμῷ,
ͱῶδ' ελθων το πρῶτον, ϝεπεσβολιας αναφαινεεν
αντα σεθεν, τοϝο νοϝι, θεοϝ' ͱως, τερπομεθ' αυϝδῇ. 160
αϝταρ εμε προεͱῆκε γερηνιος ͱιπποτα νεστωρ,
τῷ ͱαμα πομπον ͱεπεσθαι· εελδετο γαρ σε ϝιδεσθαι,
ͱοφρα ͱοι η τι ϝεπος ͱυποθησεαι, ηε τι ϝεργον·
πολλα γαρ αλγε' ͱεχει πατερος παϊς οιχομενοϝο. 164
τον δ' απαμειβομενος προσεφη χσανθος μενελαϝος· 168
ω ποποι! η μαλα δη φιλοϝ' ανερος ͱυιος εμον δῶ
ͱικεθ', ος ͱεινεκ' εμεϝο πολυας εμογησεν αϝεθλοϝς· 170
και μιν εφην ελθοντα φιλησεμεν εκσͱοχον αλλων. 171
αλλα τα μεν ποϝ' εμελλεν αγασσεσθαι θεος αϝτος, 181
ͱος κεινον δυστηνον ανοστιμον οιον εθῆκεν.
ͱως φατο· τοισι δε παντσιν ͱυφ' ιμερον ὦρσε γοοϝο.
κλαϝε μεν αργειϝη ͱελενη διος εκγεγαυια,
κλαϝε δε τηλεμαχος τε και ατρεϝιδης μενελαϝος· 185
ουδ' αρα νεστορος ͱυιος αδακρυϝτω ͱεχεν οσσε·
μνῆσατο γαρ κατα θυϝμον αμυϝμονος αντιλοχοϝο,
τον ρ' ῆοος εκτεινε φαϝεινης αγλαϝος ͱυιος·
τοϝ' ͱογ' επιμνῆσθευς ϝεπεα πτεροεντ' αγορεϝεν·
ατρεϝιδη, περι μεν σε βροτων πεπνῦμενον εεναι 190
νεστωρ φᾶσχ' ο γερων, ͱοτ' επιμνῆσαιμεθα σεϝο· 191
και νῦν, ει τι ποϝ' εστι, πιθοιο μοι· ου γαρ εγωγε 193
τερπομ' οδυϝρομενος μεταδορπιος· αλλα και ῆως
εσσεται ῆριγενεια· νεμεσαομαι γε μεν ουδεν 195
κλαϝεμεν, ͱος κε θανητι βροτων και ποτμον εφεσπῇ.

τοϝτο νυ και γερας οιον οϊδσυϝροισι βροτοισιν, Δ
κῆρασθαι τε κομην, βαλεεεν τ' απο δακρυ παρειεων.
και γαρ εμος τεθνῆκεν ͱαδελφεϝος, ου τι κακιστος
αργειϝων· μελλεις δε συ ϝιδμεναι· ου γαρ εγωγε
ῆντῆσ', ουδ' εϝιδον· περι δ' αλλων φαντι γενεσθαι
αντιλοχον, περι μεν θεϝεεν ταχυν, ηδε μαχητην.
τον δ' απαμειβομενος προσεφη χσανθος μενελαϝος·
ω φιλ', επει τοσα ϝεσπες, ͱοσ' αν πεπνῦμενος ανηρ
ϝεσποι και ρεκσειε, και ͱος προγενεστερος ειη·
ͱημεες δη κλαϝθμον μεν εϝᾶσομεν, ͱος πριν ετυχθη·
δορποϝο δ' εκσαϝτις μνῆσωμεθα, χερσι δ' εφ' υϝδωρ
χεϝσαντων· μῦθοι δε και ῆοαθεν περ εσονται
τηλεμαχῳ̃ και εμοι, διαϝεσπεμεν αλληλοισιν.
ͱως εφατ'· ασφαλιϝων δ' αρ' ͱυδωρ επι χειρας εχεϝεν,
οτρηρος θεραπων μενελαϝοϝο κυϝδαλιμοϝο.
ͱοι δ' επ' ονειαθ' ετοιμα προκειμενα χειρας ιαλλον.
ενθ' αϝτ' αλλ' ενοησ' ͱελενη διος εκγεγαυια·
αϝτικ' αρ' εις ϝοινον βαλε φαρμακον, ενθεν επιϝνον,
νηπενθες τ', αχολον τε, κακων επιληθον ͱαπαντων·
ͱος το καταβροχσειεν, επῆν κρῆτηρι μιγειη,
ουκ αν εφημεριος γε βαλοι κατα δακρυ παρειεων,
ουδ' ει ͱοι κατατεθναιη μητηρ τε πατηρ τε,
ουδ' ει ͱοι προπαροιθεν ͱαδελφεϝον, η φιλον ͱυιον,
χαλκῳ̃ δαϝιοιεν, ͱο δ' οφθαλμοισ' ͱοραοιτο.
τοια διος θυγατηρ ͱεχε φαρμακα μητιοεντα,
εσθλα, τα ͱοι πολυδαμνα πορεν θῶνος παρακοιτις,
αιγυπτιη· τῇ̃ πλειστα φερει δσαϝδῶρος αροϝρα
φαρμακα, πολλα μεν εσθλα μεμιγμενα, πολλα δε λυγρα,
ϝιϝητρος δε ͱεκαστος επισταμενος περι παντων.
αϝταρ επει ρ' ενεͱηκ', εκελεϝσε τε ϝοινοχοϝησαι,
εκσαϝτις μυϝθοισιν αμειβομενη προσεϝεσπεν·
ατρεϝιδη μενελαϝε διοτρεφες, ηδε και ͱοιδε
ανδρων εσθλων παιδες,—αταρ θεος αλλοτ' επ' αλλῳ̃
δσεϝς αγαθον τε κακον τε διδοῖ· δυναται γαρ ͱαπαντα·—
ητοι νῦν δαινυσθε καθημενοι εν μεγαροισιν,
και μυϝθοις τερπεσθε· ϝεϝοικοτα γαρ καταλεγσω.
παντα μεν ουκ αν εγω μυϝθησομαι ουδ' ονομῆνω,
ͱοσσοι ͱοδυσσεϝος ταλασιφρονος εντιν αϝεθλοι·
αλλ' ͱοιον τοδ' ερεκσε και ετλῆ καρτερος ανηρ
δημῳ̃ ενι τροϝων, ͱοθ' επασχετε πηματ' αχαιϝοι·
αϝτον μιν πληγῇ̃σιν αϝεικελιῇ̃σι δαμασσανς,
σπειρα κακ' αμφ' ωμοισι βαλων, ϝοικεϝι ϝεϝοικως,
ανδρων δυσμενεων κατεδῦ πολιν ευρυαγυιαν.
αλλῳ̃ δ' αϝτον φῶτι κατακρυπτων εϝεϊσκεν
δεχτῇ̃, ͱος ουδεν τοιος εῆν επι ναϝσιν αχαιϝων·
τῳ̃ ϝικελος κατεδῦ τροϝων πολιν· ͱοι δ' αβακησαν

παντες· εγω δε μιν οιη ανεγνῶν τοιον εοντα,
και μιν ανηρωτῶν· ͱο δε κερδοσυνῇ αλεϝεινεν. Δ
αλλ' ͱοτε δη μιν εγων ελοϝον και χριϝον ελαιῳ,
αμφι δε ϝεσματ' εϝεσσα, και ὦμοσα καρτερον ͱορκον,
μη μεν πριν ͱοδυσεϝα μετα τροϝεσ' αναφῆναι,
πριν γε τον ες ναϝας τε θοϝας κλισιας τ' αφικεσθαι·
και τοτε δη μοι παντα νοον κατελεγσεν αχαιϝων.
πολλοϝς δε τροϝων κτῆνανς ταναηκεϊ χαλκῷ,
ηλθε μετ' αργειϝοϝς· κατα δε φρονιν ῆγαγε πολλην.
ενθ' αλλαι τροϝιδες λιγ' εκωκυϝον· αϝταρ εμον κεαρ
χαιρ', επει ηδη μοι κραδιη τετραπτο νεεσθαι
απς ϝοικονδ'· αϝατην δε μετεστενον, ͱην αφροδιτη
δῶχ', οτε μ' ῆγαγε κεισε φιλης απο πατριδος αιης,
παιδα τ' εμην νοσφισσαμενη, θαλαμον τε, ποσιν τε,
ου τεο δεϝομενον, ουτ' αρ φρενας, ουτε τι ϝειδος.
την δ' απαμειβομενος προσεφη χσανθος μενελαϝος·
ναι δη ταϝτα γε παντα, γυναι, κατα μοιραν εϝεσπες.
ηδη μεν πολυων εδαην βουλην τε νοον τε
ανδρων ͱηροϝων, πολλην δ' επεληλυθα γαιαν·
αλλ' ουπῳ τοιοϝτον εγω ϝιδον οφθαλμοισιν,
ͱοιον ͱοδυσσεϝος ταλασιφρονος εσκε φιλον κεαρ.
τον δ' αϝ τηλεμαχος πεπνυμενος αντιον ῆυϝδα·
ατρεϝιδη μενελαϝε διοτρεφες, ορχαμε λαϝων,
αλγιον· ου γαρ ͱοι τι ταγ' ῆρκεσε λυγρον ολεθρον,
ουδ' ει ͱοι κραδιη γε σιδηρεη ενδοθεν ῆεν.
αλλ' αγετ', εις ευνην τρεπεθ' ημεας, ͱοφρα κεν ηδη
ͱυπνῳ ͱυπο γλυκερῷ τερπωμεθα κοιμῆθεντες.
ͱως εφατ'· αργειϝη δ' ͱελενη δμῳῇσ' εκελεϝσεν
δεμνι' ͱυπ' αιθουσῃ θεμεναι, και ϝρῆγεα καλα
πορφυρε' ενβαλεεεν, στορεσαι τ' εφυπερθε ταπητας,
χλαινας τ' ενθεμεναι ϝολϝας καθυπερθε ϝεσασθαι.
ͱαι δ' ισαν εκ μεγαροϝο, δαϝος μετα χερσιν ͱεχοντσαι·
δεμνια δε στορεσαν· εκ δε χσεινοϝς αγε κηρυκς.
ͱοι μεν αρ' εν προδομῳ δομοϝ' αϝτοθ' εκοιμῆσαντο
τηλεμαχος θ' ηρως και νεστορος αγλαϝος ͱυιος.
ατρεϝιδης δε καθευδε μυχῷ δομοϝ' ͱυπσηλοϝο,
παρ δ' ͱελενη τανυπεπλος ελεχσατο διϝα γυναικων.
ημος δ' ῆριγενει' εφανη ϝροδοδακτυλος ῆως,
ὦρνυτ' αρ' εκς ευνηφι βοην αγαθος μενελαϝος,
ϝεσματα ϝεσσαμενος· περι δε χσιφος ͱοκσυ θετ' ωμῷ,
ποδσι δ' ͱυπο λιπαροισιν εδησατο καλα πεδιλϝα·
βη δ' ιμεν εκ θαλαμοϝο θεῷ εναλινκιος αντην,
τηλεμαχῳ δε παρͱιδσε, ϝεπος τ' εφατ', εκ τ' ονομαδσεν·
τιπτε δε σε χρεϝω δευρ' ῆγαγε, τηλεμαχ' ͱηρως,
ες λακεδαιμονα διϝαν, επ' ευρυα νωτα θαλασσης;
δημιον, η' ιδιον; τοδε μοι νημερτες ενισπε.

τον δ' αϝ τηλεμαχος πεπνῦμενος αντιον ῆυϝδα·
ατρεϝιδη μενελαϝε διοτρεφες, ορχαμε λαϝων, Δ
ηλυθον, ει τινα μοι κλῆηδονα πατρος ενισποις·
εσθιεται μοι ϝοικος, ολῶλε δε πιϝονα ϝεργα·
δυσμενεων δ' ανδρων πλεεος δομος, ͱοι τε μοι αιϝει
μηλ' ͱαδινα σφαδσοντι, και ͱελλιποδας ϝελικας βοϝς,
μητρος εμης μνῆστηρες ͱυπερβιον ͱυβριν ͱεχοντες.
τοονεκα νῦν τεϝα γουϝαθ' ικανομαι, αι κ' εθελῇσθα
κεινοϝο λυγρον ολεθρον ενισπεμεν, ει ποϝ' οπῶπας
οφθαλμοισι τεϝοισιν, η αλλοϝο μυϝθον ακοϝσας
πλαδσομενοο· περι γαρ μιν οϊδσυϝρον τεκε μητηρ.
μηδε τι μ' αιδομενος μειλισσεο, μηδ' ελεαιρων,
αλλ' ͱεῢ μοι καταλεγσον, ͱοπως ῆντῆσας οπῶπης.
λισσομαι, ει ποτε τοι τι πατηρ εμος εσθλος ͱοδυσσεϝς
η ϝεπος, ηε τι ϝεργον, ͱυποσταυς εκσετελεσσεν
δημῷ ενι τροϝων, ͱοθ' επασχετε πηματ' αχαιϝοι·
των νῦν μοι μνῆσαι, και μοι νημερτες ενισπε.
τον δε μεγ' οχθησαυς προσεφη χσανθος μενελαϝος·
ω ποποι! η μαλα δη κρατεροφρονος ανδρος εν ευνῇ
ηθελον ευνῆθηναι, αναλκιδες αϝτοι εοντες.
ͱως δ' ͱοποτ' εν χσυλοχῷ ελαφος κρατεροϝο λεϝοντος
νεβροϝς κοιμῆσαντσα νεϝηγενεας γαλαθηνοϝς,
κνημοϝς εκσεϱεητι και ανκεα ποιῆεντα
βοσκομενη, ͱο δ' επειτα ͱεϝην εισηλυθεν ευνην,
αμφοτεροισι δε τοισιν αϝεικεα ποτμον εφῆκεν·
ͱως ͱοδυσεϝς κεινοισιν αϝεικεα ποτμον εφησει.
αι γαρ, δσεϝ τε πατερ, και αθηναιη, και απολλον!
τοιος εων, ͱοιος ποθ' εϋκτιμενῇ ενι λεσβῷ
εκς εριδος φιλομηλεϝιδῇ επαλαισεν αναστανς,
κατ δ' εβαλε κρατερως, κεχαϱοντο δε παντες αχαιϝοι,
τοιος εων μνῆστηρσιν ͱομιλϝησειεν ͱοδυσσεϝς·
παντες κ' ῶκυμοροι τε γενοιατο πικρογαμοι τε.
ταϝτα δ', ͱα μ' ειϱωτᾳς και λισσεαι, ουκ αν εγωγε
αλλα παρεκς ϝεσποιμι παϱακλιδον, ουδ' απατῆσω·
αλλα τα μεν μοι εϝεσπε γερων ͱαλιος νημερτης,
των ουδεν τοι εγω κρυπτσω ϝεπος, ουδ' επικεϝθσω.
αιγυπτῷ μ' ετι δευρο θεοι μεμαϝῶτα νεεσθαι
εσχον, επει ου σφιν εϱεκσα τελῆεντσας ͱεκατονβας·
ͱοι δ' αιϝει βουλοντο θεοι μεμνῆσθαι εφετμεων.
νησος επειτα τις εστι πολυκλυστῷ ενι ποντῷ,
αιγυπτοο πϱοπαροιθε,—φαρον δε ͱε κικλῆσκοντιν,—
τοσον ανευθ', ͱοσον τε πανͱημεριη γλαφυρη ναϝς
ῆνυσεν, ͱῇ λιγυς ουρος επιπνεϝητιν οπισθεν.
εν δε λιμην ͱεϋͱορμος, ͱοθεν τ' απο ναϝας ϝεϊσϝας
ες ποντον βαλλοντιν, αφυσσαμενοι μελαν ͱυϝδωρ.
ενθα με ϝεικοσιν ͱημαθ' εχον θεοι, ουδε ποτ' ουροι

πνεϝοντες φαινονθ' αλιαͱεϝες, ͱοι ρα τε ναϝων Δ
πομπεϝες γιγνονται επ' ευρυα νωτα θαλασσης.
και νυ κεν ηϊϝα παντα κατεφθιτο, και μενε' ανδρων,
ει μη τις με θεων ολοφυϝρατο, και μ' εσαῶσεν,
πρῶτεϝος ῖφθῖμοο θυγατηρ, ͱαλιοϝο γεροντος,
ϝειδοθεη· τῇ γαρ ρα μαλιστα γε θυϝμον ορῖνα·
ͱη μ' οιῷ ϝερροντι συνῆντετο, νοσφιν ͱεταιρων.
αιϝει γαρ περι νησον αλῶμενοι ͱιχθυαεσκον
γναμπτοισ' ανκιστροισιν· ετειρε δε γαστερα λειμος.
ͱη δ' εμεϝ' ανχι σταντσα ϝεπος φατ', εφῶνησεν τε·
νηπιος εσσ', ω χσεινε, λιϝην τοσον, ηε χαλιφρων,
ηε ͱεκων μεθιͱεις, και τερπεαι αλγεα πασχων,
ͱως δη δηθ' ενι νησῷ ερυκεαι, ουδε τι τεκμωρ
ͱευρεμεναι δυνασαι, μινυθει δε τοι ητορ ͱεταιρων.
ͱως εφατ'· αϝταρ εγω μιν αμειβομενος προσεϝεσπον·
εκ μεν τοι ϝερεω, ͱητις συ περ εσσι θεαϝων,
ͱως εγω ουτι ͱεκων κατερυκομαι, αλλα νυ μελλω
αθανατοϝς αλιτεσθαι, ͱοι ουρανον ευρυν ͱεχοντιν.
αλλα συ περ μοι ϝεσπε, θεοι δε τε παντα ϝισαντιν,
ͱοστις μ' αθανατων πεδαει και εδησε κελευθοο·
νοστον θ', ως επι ποντον ελευθσομαι ͱιχθυοεντα.
ͱως εφαμην· ͱη δ' αϝτικ' αμειβετο διϝα θεαϝων·
τοιγαρ εγω τοι, χσεινε, μαλ' ατρεκεως καταλεγσω·
πωλεεται τις δευρο γερων ͱαλιος νημερτης,
αθανατος πρῶτεϝς αιγυπτιος, ͱοστε θαλασσης
παντσης βενθεα ϝοιδε, ποσειδαϝῶνος ͱυποδμῶς·
τονδε τ' εμον φαντιν πατερ' εσμεναι, ηδε τεκεσθαι.
τονγ' ει πως συ δυναιο λοχῆσαμενος λελαβεσθαι,
ͱως κεν τοι ϝεσπητιν ͱοδον και μετρα κελευθοο,
νοστον θ', ως επι ποντον ελευθσεαι ͱιχθυοεντα.
και δε κε τοι ϝεσπητι, διοτρεφες, αι κ' εθελῃσθα,
ͱο τι τοι εν μεγαροισι κακον τ' αγαθον τε τετυχται,
οιχομενοϝο σεθεν δολιχην ͱοδον αργαλεην τε.
ͱως εφατ'· αϝταρ εγω μιν αμειβομενος προσεϝεσπον·
αϝτη νῦν φραδσεο συ λοχον θειοϝο γεροντος,
μη πως με προϝιδων, ηε προδαενς, αλεϝηται·
αργαλεος γαρ τ' εστι θεος βροτῷ ανδρι δαμῆναι.
ͱως εφαμην· ͱη δ' αϝτικ' αμειβετο διϝα θεαϝων·
τοιγαρ εγω τοι, χσεινε, μαλ' ατρεκεως καταλεγσω·
ημος δ' ῆελιος μεσον ουρανον αμφιβεβηκει,
τημος αρ' εκς ͱαλος ειτι γερων ͱαλιος νημερτης,
πνοϝῇ ͱυπο δσεφυροϝο, μελαινῇ φρῖκι καλυφθενς,
εκ δ' ελθων κοιμᾶται ͱυπο σπεϝεσι γλαφυροισιν.
αμφι δε μιν φῶκαι, νεποδες καλης ͱαλοσυδνης,
ͱαθροϝαι ͱευδοντιν, πολιης ͱαλος εκσαναδῦντσαι,
πικρον αποπνεϝοντσαι ͱαλος πολυβενθεος οδμην.

ενθα σ᾽ εγων αγαγοντσα, ⱶαμ᾽ ἠοῖ φαινομενηφιν, Δ
ευνασω ⱶεχσειης· συ δ᾽ ⱶεῢ κρῖνασθαι ⱶεταιροϝς
τρεας, ⱶοι τοι παρα ναϝσιν ⱶεῢσελμοισιν αριστοι.
παντα δε τοι ϝερεω ϝολοφῶϊα τοϝο γεροντος.
φῶκας μεν τοι πρῶτον αριθμησει, και επειτιν·
αϝταρ επῆν παντσας πεμπασσεται, ηδε ϝιδηται,
λεχσεται εν μεσσῆσι, νομεϝς ⱶως πῶυσι μηλων.
τον μεν επῆν δη πρῶτα κατευνῆθεντα ϝιδῆσθε,
και τοτ᾽ επειθ᾽ υμῖν μελετω καρτος τε βιη τε,
αϝθι δ᾽ ⱶεχεεν μεμαϝῶτα και εσσυμενον περ αλυκσαι.
παντα δε γιγνομενος πειρῆσεται, ⱶοσ᾽ επι γαιαν
ⱶερπετα γιγνονται, και ⱶυδωρ, και θεσπιδαϝες πυρ·
ⱶυμεες δ᾽ αστεμφεως ⱶεχεμεν, μαλλον τε πιεδσεεν.
αλλ᾽ ⱶοτε κεν δη σ᾽ αϝτος ανειρηται ϝεπεεσιν,
τοιος εων, ⱶοιον κε κατευνῆθεντα ϝιδῆσθε,
και τοτε δη σχεσθαι τε βιης, λυϝσαι τε γεροντα,
ⱶηρως· ειρεσθαι δε, θεων ⱶοστις σε χαλεπτει,
νοστον θ᾽, ως επι ποντον ελευθσεαι ⱶιχθυοεντα.
ⱶως ϝεσποντσ᾽, ⱶυπο ποντον εδυϝσατο κυϝμαινοντα.
αϝταρ εγων επι ναϝας, ⱶοθ᾽ ⱶεστασαν εν πσαμαθοισιν,
ηϊα· πολλα δε μοι κραδιη πορφυϝρε κιοντι.
αϝταρ επει ρ᾽ επι ναϝα κατηλυθον ηδε θαλασσαν,
δορπον θ᾽ οπλισαμεσθ᾽, επι τ᾽ ηλυθεν ανβροσιη νυκς·
δη τοτ᾽ εκοιμῆθημεν επι ϝρῆγμῖνι θαλασσης.
ημος δ᾽ ῆριγενει᾽ εφανη ϝροδοδακτυλος ῆως,
και τοτε δη παρα θῖνα θαλασσης ευρυποροϝο
ηϊα, πολλα θεοϝς γονϝοομενος· αϝταρ ⱶεταιροϝς
τρεας αγον, ⱶοισι μαλιστ᾽ επεποιθεα παντσαν επ᾽ ιθυν.
τοφρα δ᾽ αρ᾽ ⱶηγ᾽ ⱶυποδῦντσα θαλασσης ευρυα κολπον
τεσσαρα φῶκαϝων εκ ποντοϝο δερματ᾽ ενενκεν·
παντα δ᾽ εσαν νεϝοδαρτα· δολον δ᾽ επεμηδετο πατρι.
ευνας δ᾽ εν πσαμαθοισι διαγλαπτσαντσ᾽ ⱶαλιῆσιν
ⱶηστο μενοντσ᾽· ⱶημεες δε μαλα σχεδον ηλθομεν αϝτης·
ⱶεχσειης δ᾽ ευνῆσ᾽, εβαλεν δ᾽ επι δερμα ⱶεκαστῳ.
κειθι δη αινοτατος λοχος επλετ᾽· ετειρε γαρ αινως
φῶκαϝων ⱶαλιοτρεφεων ολοϝωτατος οδμη·
τις γαρ αν ειν ⱶαλιῳ παρα κητεϊ κοιμῆθειη;
παντσαν δ᾽ ῆοιην μενομεν τετλῆοτι θυϝμῷ·
φῶκαι δ᾽ εκς ⱶαλος ηλθον ⱶαϝολϝεες· ⱶαι μεν επειτα
ⱶεχσης ηυναδσοντο παρα ϝρῆγμῖνι θαλασσης.
ενδιιος δ᾽ ⱶο γερον ηλθ᾽ εκς ⱶαλος, ⱶευρε δε φῶκας
δσατρεφεας· παντσας δ᾽ αρ᾽ επῷχετ᾽, ελεγτο δ᾽ αριθμον.
εν δ᾽ ⱶημεας πρῶτοϝς λεγε κητεσιν, ουδε τι θυϝμῷ
ῶϊϝσθη δολον εεναι· επειτα δ᾽ ελεχτο και αϝτος.
ⱶημεες δε ϝιϝαχοντες επεσσυμεθ᾽· αμφι δε χειρας
βαλλομεν· ουδ᾽ ⱶο γερων δολιης επεληθετο τεχνης·

αλλ' ητοι πρωτιστα λεϝων γενετ' ηΰγενειος, Δ
αϝταρ επειτα δρακων, και παρδαλις, ηδε μεγας συς·
ͱημεες δ' αστεμφεως ͱεχομεν τετληοτι θυϝμῷ·
αλλ' ͱοτε δη ρ' ανιϝαδσ' ͱο γερων, ϝολοφωΐα ϝειδως,
και τοτε δη με ϝεπεσσιν ανειρομενος προσεϝεσπεν·
τις νυ τοι, ατρεϝος ͱυιε, θεων γσυνφρασσατο βουλας,
ͱοφρα μ' ͱελοις αϝεκοντα λοχῆσαμενος; τεο σε χρη;
ͱως εφατ'· αϝταρ εγω μιν αμειβομενος προσεϝεσπον·
ϝοιδσθα, γερον· τι με ταϝτα παρατροπεων ερεεινεις;
ͱως δη δηθ' ενι νησῳ ερυκομαι, ουδε τι τεκμωρ
ͱευρεμεναι δυναμαι, μινυθει δε μοι ενδοθεν ητορ.
αλλα συ περ μοι ϝεσπε, θεοι δε τε παντα ϝισαντιν,
ͱοστις μ' αθανατων πεδαεν και εδησε κελευθοο·
νοστον θ', ως επι ποντον ελευθσομαι ͱιχθυοεντα.
ͱως εφαμην· ͱο δε μ' αϝτις αμειβομενος προσεϝεσπεν·
αλλα μαλ' ὤφελλες διϊ τ' αλλοισιν τε θεοισιν
ρεκσανς ͱιερα καλ' αναβαινεμεν, ͱοφρα ταχιστα
σην ες πατριδ' ͱικοιο, πλεϝων επι ϝοινοπα ποντον.
ου γαρ τοι πριν μοιρα φιλοϝς τε ϝιδεεν, και ͱικεσθαι
ϝοικον ͱεϋκτιμενον και σην ες πατριδα γαιαν,
πριν γ' ͱοτ' αν αιγυπτοϝο διϊπετεος ποταμοϝο
αϝτις ͱυδωρ ελθῃς, ρεκσῃς θ' ιερας ͱεκατονβας
αθανατοισι θεοισι, τοι ουρανον ευρυν ͱεχοντιν·
και τοτε τοι δῶσοντιν ͱοδον θεοι, ͱην συ μενοινᾳς.
ͱως εφατ'· αϝταρ εμοιγε κατεκλασθη φιλον ητορ,
ͱοονεκα μ' αϝτις ανωγεν επ' ῆεροϝειδεα ποντον
αιγυπτονδ' ιμεναι, δολιχην ͱοδον αργαλεην τε.
αλλα και ͱως μιν ϝεπεσσιν αμειβομενος προσεϝεσπον·
ταϝτα μεν ͱοϝτῳ δη τελεω, γερον, ͱως συ κελεϝεις.
αλλ' αγε μοι τοδε ϝεσπε, και ατρεκεως καταλεγσον,
ει παντες γσυν ναϝσιν απημονες ηλθον αχαιϝοι,
ͱοϝς νεστωρ και εγω λιπομεν τροϝιηθεν ιοντες,
ηε τις ὤλετ' ολεθρῳ αδεϝκει ͱεϝης επι ναϝος,
ηε φιλων εν χερσιν, επει πολεμον τολυπεϝσεν;
ͱως εφαμην· ͱο δε μ' αϝτις αμειβομενος προσεϝεσπεν·
ατρεϝιδη, τι με ταϝτα διειρεαι; ουδε τι σε χρη
ϝιδμεναι, ουδε δαηναι εμον νοον· ουδε σε φημι
δην ακλαϝστον εσεσθαι, επῆν ͱεϋ παντα πυθηαι·
πολλοι μεν γαρ τωνδ' εδαμεν, πολλοι δ' ελιποντο·
αρχοι δ' αϝ δυο μουνοι αχαιϝων χαλκοχιτῶνων
εν νοστῳ απολοντο· μαχῃ δε τε και συ παρησθα·
ͱευς δ' ετι ποο δσαϝος κατερυκεται ευρυϊ ποντῳ.
αιϝανς μεν μετα ναϝσ' εδαμη δολιχηρετμοισιν·
γυρϝῆσιν μιν πρῶτα ποσειδαϝων επελασσεν
πετρῃσιν μεγαλῃσι, και εκσεσαωσε θαλασσης.
και νυ κεν εκφυγε κηρα, και εχθομενος περ αθηνῃ,

ει μη ͱυπερφιαλον ϝεπος εκβαλε, και μεγ' αϝασθη· Δ
φη ρ' αͱεκητι θεων φυγεειν μεγα λαιτμα θαλασσης·
τοο δε ποσειδαϝων μεγαλ' εκλυϝεν αυϝδῆσαντος·
αϝτικ' επειτα τριαιναν ͱελων χερσι στιβαρῆσιν
ηλασε γυρϝαιην πετρην, απο δ' εσχισεν αϝτην·
και το μεν αϝτοθ' εμῆνε, το δε τρυφος ενπεσε ποντῳ,
τῷ ρ' αιϝανς το πρῶτον εφεδσομενος μεγ' αϝασθη·
τον δ' εφορεε κατα ποντον απειρονα κυϝμαινοντα.
ͱως ͱο μεν ενθ' απολῶλεν, επει πιϝεν ͱαλμυρον ͱυϝδωρ.
σος δε ποϝ εκφυγε κηρας ͱαδελφεϝος, ηδ' ͱυπαλυκσεν,
εν ναϝσι γλαφυρῆσ'· εσαῶσε δε ποτνια ͱηρη.
αλλ' ͱοτε δη ταχ' εμελλε μαλειαϝων ορος αιπυ
ͱικσεσθαι, τοτε δη μιν αναρπακσαντσα θυϝελλα
ποντον εφ' ιχθυοεντ' εφερεν, μεγαλα στοναχοντα,
αγροϝ επ' εσχατιην, ͱοθι δῶματ' εναιε θυϝεστης
το πριν, αταρ τοτ' εναιε θυϝεστιαδης αιγισθος.
αλλ' ͱοτε δη και κειθεν εφαινετο νοστος απημων,
απς δε θεοι ουρον στρεφσαν, και ϝοικαδ' ͱικοντο·
ητοι ͱο μεν χαιρων επεβησατο πατριδος αιης,
και κυνε' ͱαπτομενος ͱην πατριδα· πολλα δ' απ' αϝτοο
δακρυϝα θερμα χεϝοντ', επει ασπασιως ϝιδε γαιαν.
τον δ' αρ' απο σκοπιης ϝειδε σκοπος, ͱον ρα καθεσσεν
αιγισθος δολομητις αγων· ͱυπο δ' εσχετο μισθον,
χρυσοϝο δοια ταλαντ'· εφυλασσε δ' ͱογ' εις ενιαϝτον,
μη ͱε λαθοι παριων, μνῆσαιτο δε θοϝριδος αλκης.
βη δ' ιμεν αγγελεων προς δῶματα ποιμενι λαϝων.
αϝτικα δ' αιγισθος δολιην εφρασσατο τεχνην·
κρῖναμενος κατα δημον ϝεϊκοσι φῶτας αριστοϝς,
ͱεσσε λοχον, ͱετερωθι δ' ανωγεν δαιτα πενεσθαι.
αϝταρ ͱο βη καλεων αγαμεμνονα, ποιμενα λαϝων,
ͱιπποισιν και ͱοχεσσιν, αϝεικεα μερμηριδσων.
τον δ' ουκ ϝειδοτ' ολεθρον ανῆγαγε, και κατεπεφνεν
δειπνισσανς, ͱως τις τε κατεκτανε βοϝν επι φατνῃ.
ͱως εφατ'· αϝταρ εμοιγε κατεκλασθη φιλον ητορ·
κλαϝον δ' εν πσαμαθοισι καθημενος· ουδε νυ μοι κεαρ
ηθελ' ετι δσαϝεεν, και ͱορᾶν φαϝος ῆελιοϝο.
αϝταρ επει κλαϝων τε κυλινδομενος τ' εκορεσθην,
δη τοτε με προσεϝεσπε γερων ͱαλιος νημερτης·
μηκετι, ατρεϝος ͱυιε, πολυν χρονον ασκελες ͱοϝτῳ
κλαϝ', επει ουκ ανυσιν τινα δηομεν· αλλα ταχιστα
πειρα', ͱοπως κεν δη σην πατριδα γαιαν ͱικηαι.
η γαρ μιν δσαϝον γε κιχησεαι, η κεν ορεστης
κτεινεν ͱυποφθαμενος· συ δε κεν ταφοϝ αντιβολησαις.
ͱως εφατ'· αϝταρ εμοι κραδιη και θυϝμος αγῆνωρ
αϝτις ενι στηθεσσι, και αχνυμενῳ περ, ιανθη·
και μιν φῶνησανς ϝεπεα πτεροεντα προσῆυϝδα·

τοϝτοϝς μεν δη ϝοιδα· συ δε τριτον ανδρ' ονομαδσε, Δ
ͱοστις ετι δσαϝος κατερυκεται ευρυϊ ποντῳ.
ͱως εφαμην· ͱο δε μ' αϝτις αμειβομενος προσεϝεσπεν·
ͱυιος λαϝερταϝ, ιθακῃ ενι ϝοικια ναιων·
τον ϝιδον εν νησῳ θαλερον κατα δακρυ χεϝοντα,
νυμφης εν μεγαροισι καλυπσοος, ͱη μιν ανανκῃ
ͱισχει· ͱο δ' ου δυναται ͱην πατριδα γαιαν ͱικεσθαι·
ου γαρ ͱοι παρα ναϝες επῆρετμοι, και ͱεταιροι,
ͱοι κεν μιν πεμποιεν επ' ευρυα νωτα θαλασσης.
σοι δ' ου θεσφατον εστι, διοτρεφες ω μενελαϝε,
αργει εν ͱιπποβοτῳ θανεεεν και ποτμον εφεσπεεν·
αλλα σ' ες ηλυσιον πεδιον και πειρατα γαιης
αθανατοι πεμπσοντιν, ͱοθι χσανθος ραδαμανθυς·
τῇ περ ρεϝιστη βιϝοτη πελει ανθρωποισιν·
ου νιφετος, ουτ' αρ χειμων πολυς, ουτε ποτ' ομβρος,
αλλ' αιϝει δσεφυροϝο λιγυπνεϝοντος αͱητας
ωκεανος ανͱιͱητιν, αναπσυϝχεεν ανθρωποϝς.
ͱως ϝεσπων, ͱυπο ποντον εδυϝσατο κυϝμαινοντα.
αϝταρ εγων επι ναϝας ͱαμ' αντιθεοισ' ͱεταροισιν
ηϊα· πολλα δε μοι κραδιη πορφυϝρε κιοντι.
αϝταρ επει ρ' επι ναϝα κατηλθομεν ηδε θαλασσαν,
δορπον θ' οπλισαμεσθ', επι τ' ηλυθεν ανβροσιη νυκς,
δη τοτ' εκοιμῆθημεν επι ϝρῆγμῖνι θαλασσης.
ημος δ' ῆριγενει' εφανη ϝροδοδακτυλος ῆως,
ναϝας μεν πανπρῶτ' εϝερυσσαμεν εις ͱαλα διϝαν,
εν δ' ͱιστοϝς τιθεμεσθα και ͱιστια ναϝσι ϝεϊσϝῆς·
εν δε και αϝτοι βαντες επι κληϝιεσι καθιδσον·
ͱεχσης δ' ͱεδσομενοι πολιην ͱαλ' ετυπτον ερετμοις.
απς δ' εις αιγυπτοϝο διϊπετεος ποταμοϝο
στησα ναϝας, και ερεκσα τελῆεντσας ͱεκατονβας.
αϝταρ επει κατεπαϝσα θεων χολον αιϝεν εοντων,
χεϝσ' αγαμεμνονι τυμβον, ͱιν' ασβεστον κλεος ειη.
ταϝτα τελεϝτῆσανς νεομην· εδοσαν δε μοι ουρον
αθανατοι, τοι μ' ῶκα φιλην ες πατριδ' επεμπσαν.
αλλ' αγε νῦν, επιμῆνον ενι μεγαροισιν εμοισιν,
ͱοφρα κεν ͱενδεκατη τε δυωδεκατη τε γενηται·
και τοτε σ' ͱευ πεμπσω, δῶσω δε τοι αγλαϝα δῶρα,
τρεας ͱιπποϝς και διφρον ͱεϋχσυϝον· αϝταρ επειτα
δῶσω καλον αλεισον, ͱινα σπενδῆσθα θεοισιν
αθανατοισ', εμεθεν μεμνῆμενος ͱηματα παντα.
τον δ' αϝ τηλεμαχος πεπνῦμενος αντιον ῆυϝδα·
ατρεϝιδη, μη δη με πολυν χρονον ενθαδ' ερυκε.
και γαρ κ' εις ενιαϝτον εγω παρα σοι γ' ανͱεχοιμην
ͱημενος, ουδε με ϝοικοϝ ͱελοι ποθος, ουδε τοκεϝων·
αινως γαρ μυϝθοισι ϝεπεσσι τε σοισιν ακοϝων
τερπομαι· αλλ' ηδη μοι ανιϝαδσοντιν ͱεταιροι.

δῶρον δ', ͱο τι κε μοι δοιης, κειμηλιον εστω·
ͱιπποϝς δ' εις ιθακην ουκ αγσομαι, αλλα σοι αϝτῷ Δ
ενθαδε λειπσω αγαλμα· συ γαρ πεδιοϝο ϝανασσεις
ευρυος, ͱῷ ενι μεν λωτος πολυς, εν δε κυπειρον,
πυϝροι τε, δσειαι τε, και ευρυφυϝες κρῖ λεϝκον.
εν δ' ιθακῇ ουτ' αρ δρομοι ευρυες, ουτε τι λειμων·
αιγιβοτος, και μαλλον επῆρατος ͱιπποβοτοϝο.
ου γαρ τις νησων ͱιππηλατος, ουδ' ͱεϋλειμων,
ͱαιθ' αλι κεκλιαται· ιθακη δε τε και περι παντσεων.
ͱως φατο· μειδῆσεν δε βοην αγαθος μενελαϝος,
χειρι τε μιν κατερεκσε, ϝεπος τ' εφατ', εκ τ' ονομαδσεν·
ͱαιματος εσσ' αγαθοϝο, φιλον τεκος, ͱοι' αγορεϝεις.
τοιγαρ εγω τοι ταϝτα μεταστησω· δυναμαι γαρ.
δῶρων δ', ͱοσσ' εν εμῷ ϝοικῷ κειμηλια κειται,
δῶσω, ͱο καλλιστον και τιϝμῆεστατον εστιν.
δῶσω τοι κρῆτηρα τετυχμενον· αργυρεος δε
εστιν ͱαπανς, χρυσῷ δ' επι χειλεα κεκρᾶϝανται·
ϝεργον δ' ͱηφαιστοϝ· επορεν δε ͱε φαιδιμος ͱηρως,
σιδονιων βασιλεϝς, ͱοθ' εϝος δομος αμφεκαλυπτσεν
κεισε με νοστησαντα· τεϝιν δ' εθελω τοδ' οπασσαι.
ͱως ͱοι μεν τοιαϝτα προς αλληλοϝς αγορεϝον.
μνῆστηρες δε παροιθεν ͱοδυσσεϝος μεγαροϝο
δισκοισιν τερποντο και αιγανεῇσιν ͱιϝεντες
εν τυχτῷ δαπεδῷ, ͱοθι περ παρος ͱυβριν ͱεχεσκον.
αντινοος δε καθηστο και ευρυμαχος θεοϝειδης,
αρχοι μνῆστηρων, αρετῇ δ' εσαν εκσͱοχ' αριστοι·
τοις δ' ͱυϊος φρονιοϝο νοημων ενγυθεν ελθων,
αντινοον μυϝθοισιν ανειρομενος προσεϝεσπεν·
αντινο', η ρα τι ϝιδμεν ενι φρεσιν, ηε και ουκι,
ͱοποτε τηλεμαχος νεετ' εκ πυλοϝ αμαθοεντος;
ναϝα μοι οιχετ' αγων· χρεϝω δ' εμε γιγνεται αϝτης,
ηλιδ' ες ευρυχορον διαβημεναι, ενθα μοι ͱιπποι
δῶδεκα θηλυιαι, ͱυπο δ' ͱημιονοι ταλαϝεργοι
αδμῆτες· των κεν τιν' ελασσαμενος δαμασαιμην.
ͱως εφαθ'· οι δ' ανα θυϝμον εθαμβεον· ου γαρ εφαντο
ες πυλον οιχεσθαι νηλεϝιον, αλλα ποϝ αϝτοο
αγρων, η μηλοισι παρεσμεναι, ηε συβωτῇ.
τον δ' αϝτ' αντινοος προσεφη ͱεϋπειθεος ͱυιος·
νημερτες μοι ενισπε, ποτ' ῴχετο, και τινες αϝτῷ
κοϝροι ͱεποντ' ιθακης εκσͱαιρετοι, η' ͱεϝοι αϝτοο
θητες τε δμῶες τε; δυναιτο κε και το τελεσσαι;
και μοι τοϝτ' αγορεϝσον ͱετητυμον, ͱοφρ' ͱεϋ ϝειδω,
η σε βιῇ αϝεκοντος απῆϝραε ναϝα μελαιναν,
ηε ͱεκων ͱοι εδῶκας, επει προσπτυχσατο μυϝθῷ;
τον δ' ͱυϊος φρονιοϝο νοημων αντιον ῆυϝδα·
αϝτος ͱεκων ͱοι εδῶκα· τι κεν ρεκσειε και αλλος,

ͱοποτ' ανηρ τοιοϝτος, ͱεχων μεληδηματα θυϝμῷ,
αιτιδσῇ; χαλεπον κεν αῆνασθαι δοσιν ειη. Δ
κοϝροι δ', ͱοι κατα δημον αριστεϝοντι μεθ' υμεας,
ͱοι ͱοι ͱεποντ'· εν δ' αρχον εγω βαινοντ' ενοησα
μεντορα, ηε θεον, τῷ δ' αϝτῷ παντ' εϝεϝοικεεν.
αλλα το θαϝμαδσω· ϝιδον ενθαδε μεντορα διϝον
χθιδσον ͱυπῆοιον· τοτε δ' ενβη ναϝι πυλονδε.
ͱως αρα φῶνησανς απεβη προς δῶματα πατρος.
τοισιν δ' αμφοτεροισιν αγασσατο θυϝμος αγῆνωρ.
μνῆστηρες δ' ͱαμυδις καθισαν, παϝσαντο τ' αϝεθλων.
τοισιν δ' αντινοος μετεφη ͱεϋπειθεος ͱυιος·
ω ποποι! η μεγα ϝεργον ͱυπερφιαλως ετελεσθη,
τηλεμαχῷ ͱοδος ͱηδ'· εφαμεν δε ͱοι ου τελεεσθαι.
εκ τοσων δ' αϝεκητι νεϝος παϊς οιχεται αϝτως,
ναϝα ϝερυσσαμενος, κρῖνανς τ' ανα δημον αριστοϝς.
αρχσει και προτερῷ κακον εσμεναι· αλλα ͱοι αϝτῷ
δσεϝς ολεσειε βιην, πριν ͱημῖν πημα φυτεϝσαι.
αλλ' αγε μοι δοτε ναϝα θοϝην και ϝεικοσ' ͱεταιροϝς,
ͱοφρα μιν αϝ ανιοντα λοχῆσομαι, ηδε φυλακσω,
εν πορθμῷ ιθακης τε σαμοϝο τε παιπαλοεντσης·
ͱως αν επισμυγερως ναϝτιλληθ' εινεκα πατρος.
ͱως εφαθ'· οι δ' αρα παντες επῄνεον, ηδ' εκελεϝον·
αϝτικ' επειτ' ανσταντες εβαν δομον εις ͱοδυσεϝος.
ουδ' αρα πηνελοπεια πολυν χρονον ῆεν απυθτος
μυϝθων, ͱοϝς μνῆστηρες ενι φρεσι βυσσοδομεϝον·
κηρυκς γαρ ͱοι εϝεσπε μεδων, ͱος επευθετο βουλας,
αϝλης εκτος εων· ͱοι δ' ενδοθι μητιν ͱυφαινον.
βη δ' ιμεν αγγελεων δια δῶματα πηνελοπειῇ·
τον δε κατ' ουδοϝο βαντα προσῆυϝδαε πηνελοπεια·
κηρυκς, τιπτε δε σε προϝεσαν μνῆστηρες αγαϝοι;
η ϝεσπεεν δμῶῃσιν ͱοδυσσεϝος θειοϝο
ϝεργων παϝσασθαι, σφισι δ' αϝτοις δαιτα πενεσθαι;
μη μνῆστεϝσαντες, μηδ' αλλοθ' ομιλϝησαντες,
ͱυστατα και πυματα νῦν ενθαδε δειπνησαιτε!
ͱοι θαμ' αγειρομενοι βιϝοτον κατακειρετε πολλον,
κτησιν τηλεμαχοϝο δαϝιφρονος· ουδε τι πατρων
ͱυμετερων το προσθεν ακοϝετε, παιδες εοντες,
ͱοιος ͱοδυσσεϝς εσκε μεθ' υμετεροισι τοκεϝσιν,
ουτε τινα ρεκσανς εκσαισιον, ουτε τι ϝεσπων.
την δ' αϝτε προσεϝεσπε μεδων, πεπνῦμενα ϝειδως·
αι γαρ δη, βασιλεια, τοδε πλειστον κακον ειη·
αλλα πολυ μειδσον τε και αργαλεωτερον αλλο
μνῆστηρες φραδσονται, ͱο μη τελεσειε κρονιϝων·
τηλεμαχον μεμαϝαντι κατακταμεν ͱοκσυϊ χαλκῷ,
ϝοικαδε νισσομενον· ͱο δ' εβη μετα πατρος ακοϝην
ες πυλον αγαθεην, ηδ' ες λακεδαιμονα διϝαν.

hως φατο· της δ' αFτοο λυτο γουFατα και φιλον ητορ· Δ
δην δε μιν αφασιη Fεπεων λαβε· τω δε hοι οσσε
δακρυFοφιν πλησθην, θαλερη δε hοι εσχετο φῶνη.
οπσε δε δη μιν Fεπεσσιν αμειβομενη προσεFεσπεν·
κηρυκς, τιπτε δε μοι παϊς οιχεται; ουκε τι μιν χρη
ναFῶν ὦκυπορων επιβαινεμεν, hαιθ' αλος hιπποι
ανδρεσι γιγνονται, περαοντι δε πολυν εφ' υγρην.
η' hινα μηδ' ονομ' αFτοF εν ανθρωποισι λιπηται;
την δ' ῆμειβετ' επειτα μεδων, πεπνῦμενα Fειδως·
ουκ Fοιδ', ει τις μιν θεος ορορεν, ηε και αFτοο
θυFμος εφορμηθη ιμεν ες πυλον, hοφρα πυθηται
πατρος hεFοF η νοστον, η' hοντινα ποτμον εφεσπεν.
hως αρα φῶνησανς απεβη κατα δῶμ' hοδυσεFος.
την δ' αχος αμφεχυθη θυFμοφθορον, ουδ' αρ' ετ' ετλῆ
διφρῷ εφεδσεσθαι, πολλων κατα Fοικον εοντων·
αλλ' αρ' επ' ουδοF εhιδσε πολυκμῆτοο θαλαμοFο,
οικτρ' ολοφυFρομενη· περι δε δμῶαι μινυριδσον· 719
τῆσ' hαδινον γοαοντσα μετῆυFδαε πηνελοπεια· 721
κλῦτε, φιλαι, περι γαρ μοι ολυμπιοι αλγε' εδῶκαν
εκ παντσεων, hοσαι μοι hομοο τραφεν ηδ' εγενοντο·
hη πριν μεν ποσιν εσθλον απῶλεσα θυFμολεFοντα,
παντοιῇσ' αρετῇσι κεκασμενον εν δαναοισιν,
εσθλον, τοο κλεος ευρυ καθ' ελλαδα και μεσον αργος.
νῦν δ' αF παιδ' αγαπῆτον ανῆρειπτσαντο θυFελλαι
ακλεε' εκ μεγαρων, ουδ' hορμηθεντος ακοFσα.
σχετλιαι, ουδ' hυμεες περ ενι φρεσ' εθεσθε hεκαστη
εκ λεχεων μ' ανεγῆραι, επισταμεναι σαφα θυFμῷ,
hοποτ' εκεινος εβη κοιλην επι ναFα μελαιναν.
ει γαρ εγω πυθομην ταFτην hοδον hορμαινοντα,
τῷ κε μαλ' η κεν εμῆνε, και εσσυμενος περ hοδοFο,
η κε με τεθνῆκυιαν ενι μεγαροισιν ελειπεν.
αλλα τις οτρηρος δολιον καλεσειε γεροντα,
δμῶ' εμον, hον μοι εδῶκε πατηρ ετι δευρο κιοντσῃ,
και μοι κηπον hεχει πολυδενδρεον·—hοφρα ταχιστα
λαFερτῇ ταδε παντα παρhεδσομενος καταλεγσῇ,
ει δη ποο τινα κεινος ενι φρεσι μητιν hυφῆνανς,
εκσελθων λαFοισιν οδυFρεται, hοι μεμαFαντιν
hον και hοδυσσεFος φθῖσαι γονον αντιθεοFο.
την δ' αFτε προσεFεσπε φιλη τροφος ευρυκλεια·
νυμφα φιλη, συ μεν αρ με κατακτανε νηλεϊ χαλκῷ,
η' εFα' εν μεγαρῷ· μυFθον δε τοι ουκ επικεFθσω·
Fοιδε' εγω ταδε παντ'· επορον δε hοι, hοσ' εκελεFσεν,
σῖτον και μεθυ hηδυ· εμεο δ' hελετο μεγαν hορκον,
μη πριν σοι Fερεεεν, πριν δῶδεκατην γε γενεσθαι,
η σ' αFτην ποθεσαι, και αφορμῆθεντος ακοFσαι·
hως αν μη κλαFοντσα κατα χροα καλον ιαπτῇς.

αλλ' ͱυϝδρῆναμενη, καθαρα χροϊ ϝεσμαθ' ελοντσα,
εις ͱυπεροϝι' αναβαντσα, συν αμφιπολοισι γυναικσιν, Δ
ευχε' αθηναιῃ, κοϝρῃ διος αιγιͱοχοϝο·
ͱη γαρ κεν μιν επειτα και εκ θανατοϝο σαωσει.
μηδε γεροντα κακω κεκακωμενον· ου γαρ οϊϝω
πανχυ θεοις μακαρεσι γονην αρκεισιαδαϝο
εχθεσθ'· αλλ' ετι ποο τις επεσσεται, ͱος κεν ͱεχητιν
δωματα θ' ͱυπσερεφεα και αποπροθι πιϝονας αγροϝς.
ͱως φατο· της δ' ευνῆσε γοον, σχεθε δ' οσσε γοοϝο.
ͱη δ' ͱυϝδρῆναμενη, καθαρα χροϊ ϝεσμαθ' ελοντσα,
εις ͱυπεροϝι' ανεβαινε συν αμφιπολοισι γυναικσιν·
εν δ' εθετ' ολϝοχυτας κανεῳ, ῆρατο δ' αθηνῃ·
κλῦθι μεϝ, αιγιͱοχοϝο διος τεκος, ατρυτωνη,
ει ποτε τοι πολυμητις ενι μεγαροισιν ͱοδυσσεϝς
η βοϝος, η' οϝιος κατα πιϝονα μηρι' εκῆεν,
των νῦν μοι μνῆσαι, και μοι φιλον ͱυια σαωσον·
μνῆστηρας δ' απαλαλκε κακως ͱυπερῆνορεοντας.
ͱως ϝεσποντσ' ολολυγσε· θεα δε ͱοι εκλυϝεν αρης.
μνῆστηρες δ' ͱομαδησαν ανα μεγαρα σκιοεντα·
ͱῳδε δε τις ϝεσπεσκε νεϝων ͱυπερῆνορεοντων·
η μαλα δη γαμον αμμι πολυμνῆστη βασιλεια
αρτυϝει· ουδε τι ϝοιδεν, ͱο ͱοι φονος ͱυιϊ τετυχται.
ͱως αρα τις ϝεσπεσκε· τα δ' ουκ ϝισαν, ͱως ετετυχτο.
τοισιν δ' αντινοος αγορεϝσατο και μετεϝεσπεν·
δαιμονιοι, μυϝθοϝς μεν ͱυπερφιαλοϝς αλεϝεσθε
παντας ͱομως, μη πως τις επανγῆλητι και εισῳ.
αλλ' αγε, σιγῃ τοιον ανασταντες τελεωμεν
μυϝθον, ͱος δη παντσιν ενι φρεσιν εϝαδεν ͱημῖν.
ͱως ϝεσπων, εκρῖνατο ϝεικοσι φωτας αριστοϝς·
βαν δ' ιμεναι επι ναϝα θοϝην και θῖνα θαλασσης.
ναϝα μεν αρ πανπρωτον ͱαλος βενθοσδ' εϝερυσσαν·
εν δ' ͱιστον τ' ετιθεντο και ͱιστια ναϝι μελαινῃ·
ῆρτυϝναντο δ' ερετμα τροποισ' εν δερματινοισιν,
παντα κατα μοιραν· ανα θ' ιστια λεϝκ' επετασσαν.
τευχεα δε σφιν ενενκαν ͱυπερθυϝμοι θεραποντες·
ͱυπσοϝο δ' εν νοτιῳ την γ' ͱορμισαν· εν δ' εβαν αϝτοι·
ενθα δε δορπον ͱελοντ', εμενον δ' επι ϝεσπερον ελθεεν.
ͱη δ' ͱυπεροϝι' αναβαντσα περιφρων πηνελοπεια
κειτ' αρ' ασῖτος, απαστος εδητυος ηδε ποτητος,
ͱορμαινοντσ', ει ͱοι θανατον φυγοι ͱυιος αμυϝμων,
η' ͱογ' ͱυπο μνῆστηρσιν ͱυπερφιαλοισι δαμειη.
ͱοσα δε μερμηρικσε λεϝων ανδρων εν ομιλϝῳ
δδειδσανς, ͱοποτε μιν δολιον περι κυκλον αγωντιν·
τοσα μιν ͱορμαινοντσαν επηλυθεν ͱηδυμος ͱυπνος·
ͱευδε δ' ανακλινθεντσ'· ελυθεν δε ͱοι ͱαπτσεα παντα.
ενθ' αϝτ' αλλ' ενοησε θεα γλαϝκωπις αθηνη·

ϝειδωλον ποιησε, δεμας δ' εϝεϊκτο γυναικι, Δ
ῑφθῑμῇ, κοϝρῇ μεγαλητορος ϝικαριοϝο·
την ͱεϋμηλος οπυιε, φερῇσ' ενι ϝοικια ναιων.
πεμπε δε μιν προς δωμαθ' οδυσσεϝος θεϊοϝο,
ει πως πηνελοπειαν οδυϝρομενην, γοαοντσαν,
παϝσειε κλαϝθμοϝο, γοοϝο τε δακρυϝοεντος.
ες θαλαμον δ' εισηλθε παρα κλεϝῑδος ͱιμαντα,
στη δ' αρ' ͱυπερ κεφαλης, και μιν προς μυϝθον εϝεσπεν·
ͱευδεις, πηνελοπεια, φιλον τετιϝῆμενη ητορ;
ου μεν σ' ουδ' εϝαοντι θεοι ρεϝα δσαϝοντες
κλαϝεμεν, ουδ' ακαχησθαι· επει ρ' ετι νοστιμος εστιν
σος παϊς· ου μεν γαρ τι θεοισ' αλιτημενος εστιν.
την δ' ἠμειβετ' επειτα περιφρων πηνελοπεια,
ͱηδυ μαλα κνωσσοντσ' εν ονειρειῇσι πυλῇσιν·
τιπτε, κασιγνῆτη, δευρ' ηλυθες; ουτι παρος γε
πωλε', επει μαλα πολλον αποπροθι δῶματα ναιεις·
και με κελεαι παϝσασθαι οϊδσυος, ηδ' οδυναϝων
πολλεων, ͱαι μ' ερεθοντι κατα φρενα και κατα θυϝμον·
ͱη πριν μεν ποσιν εσθλον απῶλεσα θυϝμολεϝοντα,
παντοιῇσ' αρετῇσι κεκασμενον εν δαναοισιν,
εσθλον, τοο κλεος ευρυ καθ' ελλαδα και μεσον αργος.
νῦν δ' αϝ παις αγαπῆτος εβη κοιλης επι ναϝος,
νηπιος, ουτε πονων ͱεϋ ϝειδως, ουτ' αγοραϝων.
τοο δη εγω και μαλλον οδυϝρομαι, ηπερ εκεινοο·
τοο δ' αμφι τρομεω και δεδδια, μη τι παθητιν,
η' ͱογε των ενι δημῳ, ͱιν' οιχεται, η' ενι ποντῳ·
δυσμενεες γαρ πολλοι επ' αϝτῳ μηχαναονται,
ͱιͱεμενοι κτῆναι, πριν πατριδα γαιαν ͱικεσθαι.
την δ' απαμειβομενον προσεφη ϝειδωλον αμαϝρον·
θαρσεε, μηδε τι πανχυ μετα φρεσι δεδδιθι λιϝην·
τοιη γαρ ͱοι πομπος ͱαμ' ερχεται, ͱην τε και αλλοι
ανερες ῆρῆσαντο παρͱεσταμεναι,—δυναται γαρ,—
παλλας αθηναιη· σε δ' οδυϝρομενην ελεαιρει·
ͱη νῦν με προεͱῆκε τεϝιν ταδε μυϝθησασθαι.
την δ' αϝτε προσεϝεσπε περιφρων πηνελοπεια·
ει μεν δη θεος εσσι, θεοϝο και εκλυϝες αυϝδης,
ει δ' αγε μοι και κεινον οϊδσυϝρον καταλεγσον,
ει ποϝ ετι δσαϝει, και ͱορᾳ φαϝος ῆελιοϝο,
η' ηδη τεθνῆκε, και ειν αϝιδαϝο δομοισιν.
την δ' απαμειβομενον προσεφη ϝειδωλον αμαϝρον·
ου μεν τοι κεινον γε διηνεκεως αγορεϝσω,
δσαϝει ͱογ', η τεθνῆκε· κακον δ' ανεμωλια βαδσεεν.
ͱως ϝεσπον, σταθμοϝο παρα κλεϝῑδ' ελιϝασθη
ες πνοϝας ανεμων· ͱη δ' εκς ͱυπνοϝ ανοροϝσεν
κοϝρη ϝικαριοϝο· φιλον δε ͱοι ητορ ιάνθη.
μνῆστηρες δ' αναβαντες επεπλεϝον ͱυϝγρα κελευθα,

τηλεμαχῳ φονον αιπυν ενι φρεσιν ͱορμαινοντες. Δ
εστι δε τις νησος μεσσῃ ͱαλι πετρῆεντσα,
μεσσηγυς ιθακης τε σαμοϝο τε παιπαλοεντσης,
αστερις, ου μεγαλη· λιμενες δ' ενι ναϝλοχοι αϝτῃ
αμφιδυμοι· τῃ τονγ' εμενον λοχαοντες αχαιϝοι.
ͱοι δε θεοι θαϝακονδε καθιδσανον· εν δ' αρα τοισι
δσεϝς ͱυπσιβρεμετης, ͱοϝο τε κρατος εστι μεγιστον. E
τοισι δ' αθηναιη λεγε κηδεα πολλ' ͱοδυσεϝος,
μνῆσαμενη· μελε γαρ ͱοι εων εν δῶμασι νυμφης·
δσεϝ πατερ, ηδ' αλλοι μακαρες θεοι αιϝεν εοντες,
μη τις ετι προφρων, αγανος τε, και ηπιος εστω
σκηπτοͱοχος βασιλεϝς, μηδε φρεσιν αισιμα ϝειδως,
αλλ' αιϝει χαλεπος τ' ειη, και αϊσυλα ρεδσοι·
ͱως ουτις μεμνῆται ͱοδυσσεϝος θεϊοϝο
λαϝων, ͱοισ' εϝανασσε, πατηρ δ' ͱως ηπιος ῆεν.
αλλ' ͱο μεν εν νησῳ κειται κρατερ' αλγεα πασχων,
νυμφης εν μεγαροισι καλυπσοος, ͱη μιν ανανκῃ
ͱισχει· ͱο δ' ου δυναται ͱην πατριδα γαιαν ͱικεσθαι·
ου γαρ ͱοι παρα ναϝες επῆρετμοι, και ͱεταιροι,
ͱοι κεν μιν πεμποιεν επ' ευρυα νωτα θαλασσης.
νῦν αϝ παιδ' αγαπῆτον αποκτῆναι μεμαϝαντιν,
ϝοικαδε νισσομενον· ͱο δ' εβη μετα πατρος ακοϝην,
ες πυλον αγαθεην, ηδ' ες λακεδαιμονα διϝαν.
την δ' απαμειβομενος προσεφη νεφεληγερετα δσεϝς·
τεκνον εμον, ποιον σε ϝεπος φυγεν ͱερκος οδοντων;
ου γαρ δη τοϝτον μεν εβουλεϝσας νοον αϝτη,
ͱως ητοι κεινοϝς ͱοδυσεϝς αποτιϝσεται ελθων;
τηλεμαχον δε συ πεμπσον επισταμενως, δυνασαι γαρ,—
ͱως κε μαλ' ασκηθης ͱην πατριδα γαιαν ͱικηται,
μνῆστηρες δ' εν ναϝι παλινπετες απονεωνται.
ῆ ρα, και ͱερμειαν, φιλον ͱυϊον, αντιον ῆυϝδα·
ͱερμεια,—συ γαρ αϝτε τα τ' αλλα περ αγγελος εσσι,—
νυμφῃ ͱεϋπλοκαμῳ ϝεσπεεν νημερτεα βουλην,
νοστον ͱοδυσσεϝος ταλασιφρονος, ͱως κε νεηται,
ουτε θεων πομπῃ, ουτε θνῆτων ανθρωπων·
αλλ' ͱογ' επι σχεδιης πολυδεσμοϝο πηματα πασχων
ͱηματι ϝεικοστῳ σχεριην εριβῶλον ͱικοιτο,
φαιηκων ες γαιαν, ͱοι ανχιθεοι γεγααντιν·
ͱοι κεν μιν περι κεαρι, θεον ͱως, τιϝμῆσοντιν,
πεμπσοντιν δ' εν ναϝι φιλην ες πατριδα γαιαν,
χαλκον τε χρυσον τε ͱαλις, ϝεσθητα τε δοντες,
πολλ', ͱοσ' αν ουδεποτε τροϝιης εκσͱῆραθ' οδυσσεϝς,
ειπερ απημων ηλθε, λαχων απο λεϝιδος αισαν.
ͱως γαρ ͱοι μοιρ' εστι φιλοϝς τε ϝιδεεν, και ͱικεσθαι
ϝοικον ες ͱυπσοροφον, και ͱεϝην ες πατριδα γαιαν.
ͱως εφατ'· ουδ' απιθησε διακτορος αργεϊφοντης·

αϝτικ' επειθ' υπο ποδσιν εδησατο καλα πεδιλϝα, Ε
ανβροσια, χρυσεια· τα μιν φερον ημεν εφ' υϝγρην, 45
ηδ' επ' απειρονα γαιαν, ͱαμα πνοϝῃσ' ανεμοϝο.
ͱελλετο δε ϝραβδον, τῃ τ' ανδρων ομματα θελγει,
ͱων εθελῃ, τοϝς δ' αϝτε και ͱυπνωοντας εγειρει.
την μετα χερσιν ͱεχων πετετο κρατυς αργεϊφοντης·
πιϝεριην δ' επιβανς, εκς αιθερος ενπεσε ποντῳ· 50
σσεϝσατ' επειτ' επι κυϝμα, λαρῳ ορνιχθι ϝεϝοικως,
ͱοστε κατα δδεινοϝς κολποϝς ͱαλος ατρυγετοϝο
ͱιχθυας αγρωσσων πυκινα πτερα δευεται ͱαλμῃ. 53
αλλ' ͱοτε δη την νησον αφικετο τηλοθ' εουσαν, 55
ενθ' εκ ποντοϝο βανς ϝιοϝειδεος ηπειρονδε
ηϊεν· ͱοφρα μεγα σπεϝος ͱικετο, τῳ ενι νυμφη
ναιεν ͱεϋπλοκαμος· την δ' ενδοθ' ετετμεν εουσαν.
πυρ μεν επ' εσχαροφιν μεγ' εκαϝετο, τηλοσε δ' οδμη
κεδροϝο θ' ευκεατοϝο, θυϝοο τ', ανα νησον οδωδεεν, 60
δαϝομενων· ͱη δ' ενδον αϝειδουσα ϝοπι καλῃ,
ͱιστον εποιχομενη, χρυσειῃ κερκιδ' ͱυφαινεν.
ͱυλϝη δε σπεϝος αμφ' επεφυκεε τηλεθαουσα,
κληθρη τ', αιγειρος τε, και ͱευωδης κυπαρισσος.
ενθα δε τ' ορνιχθες τανυσιπτεροι ευναδσοντο, 65
σκωπες θ', ιερηκες τε, τανυγλωσσοι τε κορωναι. 66
ͱη δ' αϝτοο τετανυστο περι σπεϝεος γλαφυροϝο 68
ͱημερις ͱηβαϝουσ', ετεθηλεε δε σταφυλῃσιν·
κρηναι δ' ͱεχσειης πισυρες ρεϝον ͱυϝδατι λεϝκῳ, 70
πλησιαι αλληλεων τετραμμεναι αλλυδις αλλῃ.
αμφι δε λειμωνες μαλακοι ϝιοϝ, ηδε σελινοο,
θηλεον· ενθα κ' επειτα και αθανατος περ επελθων
θαϝησαιτο ϝιδων, και τερφθειη φρεσ' ͱεϝῃσιν.
ενθα στανς θαϝεετο διακτορος αργεϊφοντης. 75
αϝταρ επειδη παντα ͱεϝῳ θαϝησατο θυϝμῳ,
αϝτικ' αρ' εις ευρυ σπεϝος ηλυθεν· ουδε μιν αντην
ηγνωσε ϝιδουσα καλυψω, διϝα θεαϝων. 78
ουδ' αρ' ͱοδυσσεϝα μεγαλητορα ενδον ετετμεν, 81
αλλ' ͱογ' επ' ακτης κλαϝε καθημενος· ενθα παρος περ,
δακρυσι και στοναχῃσι και αλγεσι θυϝμον ερεχθων,
ποντον επ' ατρυγετον δερκεσκετο, δακρυϝα λειβων.
ͱερμειαν δ' ερεεινε καλυψω, διϝα θεαϝων, 85
εν θρονῳ ͱιδρυϝσαντσα φαϝεινῳ, σιϝαλοεντι·
τιπτε μοι, ͱερμεια χρυσοϝραπι, ηληλουθας,
αιδοιος τε φιλος τε; παρος γε μεν ουτι θαμιδσεις.
αυϝδα', ͱο τι φρονεεις· τελεσαι δε με θυϝμος ανωγεν. 89
ͱως αρα φωνησαντσα θεα παρεθηκε τραπεδσαν, 92
ανβροσιης πλησαντσ'· εκερασσε δε νεκταρ ερυθρον.
αϝταρ ͱο πιϝνε και ησθε διακτορος αργεϊφοντης.
αϝταρ επει δειπνησε, και ηραρε θυϝμον εδωδῃ, 95

και τοτε δη μιν ϝεπεσσιν αμειβομενος προσεϝεσπεν·
 ειρωτᾷς μ᾽ ελθοντα, θεα, θεον ; αϝταρ εγω τοι
νημερτεως τον μυϝθον ενισπησω· κελεαι γάρ.
δσεϝς εμε γ᾽ ῆνωγεν δευρ᾽ ελθεμεν ουκ εθελοντα·
τις δ᾽ αν ͱεκων τοσονδε διαδραμοι ͱαλμυρον ͱυϝδωρ,
ασπετον ; ουδε τις ανχι βροτων πολις, ͱοιτε θεοισιν
ͱιερα τε ρεδσοντι, και εκσαιτοϝς ͱεκατονβας.
αλλα μαλ᾽ ου πως εστι διος νοον αιγιͱοχοϝο
ουτε παρεκς ελθεεν αλλον θεον, ουθ᾽ αλιῶσαι.
φητι τοι ανδρα παρεεναι οϊδσυϝρωτατον αλλων·
τον νῦν σ᾽ ῆνωγεν αποπεμπεμεν ͱο τι ταχιστα·
ου γαρ ͱοι τῇδ᾽ αισα φιλων απο νοσφιν ολεσθαι,
αλλ᾽ ετι ͱοι μοιρ᾽ εστι φιλοϝς τε ϝιδεεν, και ͱικεσθαι
ϝοικον ες ͱυπσοροφον, και ͱεϝην ες πατριδα γαιαν.
 ͱως φατο· ρῖγησεν δε καλυπσω, διϝα θεαϝων,
και μιν φῶνησαντσα ϝεπεα πτεροεντα προσῆυϝδα·
 σχετλιοι εστε, θεοι, δσηλημονες εκσͱοχον αλλων,
ͱοιτε θεαισ᾽ αγαεσθε παρ᾽ ανδρεσιν ευναδσεσθαι
ανφαδιην, ῆν τις τε φιλον ποιησεθ᾽ ακοιτην.
τον μεν εγων εσαῶσα περι τροπιος βεβαῶτα
οιον· επει ͱοι ναϝα θοϝην αργῆτι κεραυνῷ
δσεϝς ελασανς εκεασσε μεσῷ ενι ϝοινοπι ποντῷ.
ενθ᾽ αλλοι μεν παντες απεφθιθεν εσθλοι ͱεταιροι,
τον δ᾽ αρα δευρ᾽ ανεμος τε φερων και κυϝμ᾽ επελασσεν.
τον μεν εγω φιλεον τε και ετρεφον, ηδε τ᾽ εφᾶσκον
θησεμεν αθανατον και αγηραον ͱηματα παντα.
αλλ᾽ επει ου πως εστι διος νοον αιγιͱοχοϝο
ουτε παρεκς ελθεεν αλλον θεον, ουθ᾽ αλιῶσαι·
ϝερρετω, ει μιν κεινος εποτρυϝνει και ανωγει
ποντον επ᾽ ατρυγετον· πεμπσω δε μιν ου πῇ εγωγε·
ου γαρ μοι παρα ναϝες επῆρετμοι, και ͱεταιροι,
ͱοι κεν μιν πεμποιεν επ᾽ ευρυα νωτα θαλασσης.
αϝταρ ͱοι προφρων ͱυποθησομαι, ουδ᾽ επικεϝθσω,
ͱως κε μαλ᾽ ασκηθης ͱην πατριδα γαιαν ͱικηται.
 την δ᾽ αϝτε προσεϝεσπε διακτορος αργεϊφοντης·
ͱοϝτῷ νῦν αποπεμπε, διος δ᾽ εποπιδσεο μηνιν,
μη πως τοι μετοπισθε κοτεσσαμενος χαλεπῆνῃ.
 ͱως αρα φῶνησανς απεβη κρατυς αργεϊφοντης.
ͱη δ᾽ εφ᾽ οδυσσεϝα μεγαλητορα ποτνια νυμφη
ηϊ᾽, επειδη δσῆνος επεκλυϝεν ανγελιαϝων.
τον δ᾽ αρ᾽ επ᾽ ακτης ͱευρε καθημενον· ουδε ποτ᾽ οσσε
δακρυϝοφιν τερσοντο· κατειβετο δε γλυκυς αιϝων
νοστον οδυϝρομενῷ, επει ουκ ετ᾽ εϝανδανε νυμφη.
αλλ᾽ ητοι νυκτας μεν ͱιαϝεσκεν και ανανκῃ
εν σπεϝεσι γλαφυροισι παρ᾽ ουκ εθελων εθελοντσῃ·
ͱηματα δ᾽ εν πετρῃσι και ηϊονεσι καθιδσων,

ποντον επ' ατρυγετον δερκεσκετο, δακρυϝα λειβων.
ανχοϝο δ' ͱισταμενη προσεφῶνεε διϝα θεαϝων· E
καμμορε, μη μοι ετ' ενθαδ' οδυϝρεο, μηδε τοι αιϝων
φθινετω· ηδη γαρ σε μαλα προφρασσ' αποπεμπσω.
αλλ' αγε, δορϝατα μακρα ταμων, αρμοδσεο χαλκῷ
ευρυιαν σχεδιην· αταρ ͱικρια πηγσαι επ' αϝτῇ
ͱυπσοϝο, ͱως σε φερητιν επ' ἠεροϝειδεα ποντον.
αϝταρ εγω σῖτον και ͱυδωρ και ϝοινον ερυθρον
ενθησω μενοϝεικε', ͱα κεν τοι λειμον ερυκοι·
ϝεσματα τ' αμφιϝεσω· πεμπσω δε τοι ουρον οπισθεν,
ͱως κε μαλ' ασκηθης σην πατριδα γαιαν ͱικηαι,
αι κε θεοι γ' εθελωντι, τοι ουρανον ευρυν ͱεχοντιν,
ͱοι μεϝο φερτεροι εντι νοησαι τε κρῖναι τε.
ͱως φατο· ϱῖγησεν δε πολυτλανς διϝος ͱοδυσσεϝς,
και μιν φῶνησανς ϝεπεα πτεϱοεντα προσῆυϝδα·
αλλο τι δη συ, θεα, τοδε μηδεαι, ουδε τι πομπην,
ͱη με κελεαι σχεδιῇ περαεεν μεγα λαιτμα θαλασσης,
δδεινον τ' αργαλεον τε· το δ' ουδ' επι ναϝες ϝεϊσϝαι
ὠκυποροι περαοντιν, αγαλλομεναι διος ουϱῷ.
ουδ' αν εγωγ', αϝεκητι σεθεν, σχεδιης επιβαιην,
ει μη μοι τλαῖης γε, θεα, μεγαν ͱορκον ομοσσαι,
μη τι μοι αϝτῷ πημα κακον βουλεϝσεμεν αλλο.
ͱως φατο· μειδῆσεν δε καλυπσω, διϝα θεαϝων,
χειρι τε μιν κατερεκσε, ϝεπος τ' εφατ', εκ τ' ονομαδσεν·
η δη αλιτρος γ' εσσι, και ουκ αποφῶλια ϝειδως·
ͱοιον δη τον μυϝθον επεφρασθης αγοϱεϝσαι.
ϝιδστω νῦν τοδε γαια και ουρανος ευρυς ͱυπερθεν,
και το κατειβομενον στυγος ͱυϝδωρ, ͱοστε μεγιστος
ͱορκος, δδεινοτατος τε, πελει μακαρεσι θεοισιν,
μη τι τοι αϝτῷ πημα κακον βουλεϝσεμεν αλλο.
ͱως αρα φῶνησαντσ' ͱηγησατο διϝα θεαϝων
καρπαλιμως· ͱο δ' επειτα μεθ' ιχνι' εβαινε θεοϝο·
ͱικσαν δε σπεϝος γλαφυρον θεος ηδε και ανηρ·
και ρ' ͱο μεν ενθα καθιδσεν επι θρονοϝ', ενθεν ανεστη
ͱερμειας· νυμφη δ' ετιθεε παρα παντσαν εδῶδην,
εσθεεν και πιϝνεεν, ͱοια βροτοι ανδρες εδοντιν.
αϝτη δ' αντιον ͱιδσεν ͱοδυσσεϝος θεϊοϝο,
τῇ δε παϱ' ανβϱοσιην δμῶαι και νεκταρ εθῆκαν.
ͱοι δ' επ' ονειαθ' ετοιμα προκειμενα χειρας ιαλλον.
αϝταρ επει ταρπησαν εδητυος ηδε ποτητος,
τοισ' αρα μυϝθων ῆρχε καλυπσω, διϝα θεαϝων·
διϝογενες λαϝερτιαδη, πολυμηχαν' ͱοδυσσεϝ,
ͱοϝτῷ δη ϝοικονδε φιλην ες πατριδα γαιαν
αϝτικα νῦν εθελεις ιμεναι ; συ δε χαιϱε και ενπης.
ει μεν ϝειδειης σῇσι φρεσιν, ͱοσσα τοι αισα
κηδε' αναπλῆσαι, πριν πατριδα γαιαν ͱικεσθαι,

ενθαδε κ' αϝθι μενων γσυν εμοι τοδε δῶμα φυλασσοις,
αθανατος τ' ειης· ͱιμειρομενος περ ϝιδεσθαι
σην ͱαλοχον, της αιϝεν εελδεαι ͱηματα παντα.
ου μεν θην κεινης γε χερειων ευχομαι εεναι,
ου δεμας, ουδε φυϝην· επει ου πως ουδε ϝεϝοικεν
θνῆτας αθανατῃσι δεμας και ϝειδος εριδσεεν.
την δ' απαμειβομενος προσεφη πολυμητις ͱοδυσσεϝς·
ποτνια θεα, μη μοι τοδε χωεο· ϝοιδα και αϝτος
παντα μαλ', ͱοονεκα σεϝο περιφρων πηνελοπεια
ϝειδος ακιδνοτερη, μεγαθος τ', εις αντα ϝιδεσθαι·
ͱη μεν γαρ βροτος εστι, συ δ' αθανατος και αγηρως.
αλλα και ͱως εθελω και εελδομαι ͱηματα παντα
ϝοικαδε τ' ελθεμεναι, και νοστιμον ͱημαρ ϝιδεσθαι.
ει δ' αϝ τις ϝραιητι θεων ενι ϝοινοπι ποντῳ,
τλῆσομαι, εν στηθεσσιν ͱεχων ταλαπενθεα θυϝμον·
ηδη γαρ μαλα πολλ' επαθον, και πολλ' εμογησα
κυϝμασι και πολεμῳ· μετα και τοδε τοισι γενεσθω.
ͱως εφατ'· ῆελιος δ' αρ' εδῦ, και επι κνεφας ηλθεν.
ελθοντες δ' αρα τωγε μυχῷ σπεϝεος γλαφυροϝο,
τερπεσθην φιλοτητι, παρ' αλληλοισι μενοντε.
ημος δ' ῆριγενει' εφανη ϝροδοδακτυλος ῆως,
αϝτιχ' ο μεν χλαιναν τε χιτῶνα τ' εϝεννυθ' οδυσσεϝς·
αϝτη δ' αργυφεον φαϝρος μεγ' εϝεννυτο νυμφη,
λεπτον, και χαριεν, περι δε δσωνην βαλετ' ικσυι
καλην, χρυσειην· κεφαλῇ δ' επεθῆκε καλυπτρην·
και τοθ' οδυσσεϝι μεγαλητορ' εμηδετο πομπην.
δῶκε μεν ͱοι πελεκυν μεγαν, αρμενον εν παλαμῆσιν,
χαλκεον, αμφοτερωθεν ακαχμενον· αϝταρ εν αϝτῷ
στειλειον περικαλλες, ελαϊνον, ͱευ εναρῆρος·
δῶκε δ' επειτα κεπαρνον ͱεϋχσυϝον· ῆρχε δ' ͱοδοϝο
νησοϝ επ' εσχατιης, ͱοθι δενδρεα μακρ' επεφυϝκεεν,
κληθρη τ', αιγειρος τ', ελατη τ' ῆν ουρανομηκης,
αυϝα παλαι, περικηλα, τα ͱοι πλοϝοιεν ελαφρως.
αϝταρ επειδη δεικσ' ͱοθι δενδρεα μακρ' επεφυϝκεεν,
ͱη μεν εβη προς δῶμα καλυπσω, διϝα θεαϝων·
αϝταρ ͱο ταμνετο δορϝα, θοϝως δε ͱοι ῆνυτο ϝεργον·
ϝεικοσι δ' εκβαλε παντα, πελεκκησεν δ' αρα χαλκῷ,
χσεσσε δ' επισταμενως, και επι σταθμην ιθυϝνεν.
τοφρα δ' ενενκε τερετρα καλυπσω, διϝα θεαϝων·
τετρῆνεν δ' αρα παντα, και ῆρμοσεν αλληλοισιν.
ͱοσον τις τ' εδαφος ναϝος τορνῶσεται ανηρ
φορτιδος ευρυιης, ͱεϋ ϝειδως τεχτοσυναϝων,
τοσον επ' ευρυιαν σχεδιην ποιησαθ' οδυσσεϝς.
ͱικρια δε στησανς, αραρων θαμεσι σταμινεσιν,
ποιε'· αταρ μακρῆσιν επῆνκενιδεσι τελεϝτα.
εν δ' ͱιστον ποιεε, και εφικριον αρμενον αϝτῷ·

προς δ' αρα πηδαλιον ποιησατο, ͱοφρ' ιθυFνοι·
φρακσε δε μιν ριπεσι διαμπερες οισυϊνῆσιν, E
κυFματος FελFαρ εμεν· πολλην δ' επεχεFσατο ͱυλFην.
τοφρα δε φαFρε' ενενκε καλυπσω, διFα θεαFων,
ͱιστια ποιησασθαι· ͱο δ' ͱευ τεχνησατο και τα.
εν δ' ͱυπερας τε, καλοFς τε, ποδας τ' ενεδησεν εν αFτῇ.
μοχλοισιν δ' αρα την γε κατεFερυσ' εις ͱαλα διFαν.
τετρατον ͱημαρ εῆν, και τῷ τετελεστο ͱαπαντα.
τῷ δ' αρα πεμπτῷ επεμπ' απο νησοFο διFα καλυπσω,
Fεσματα τ' αμφιFεσαντσα θυFωδεα, και λοFεσαντσα.
εν δε ͱοι ασκον εθῆκε θεα μελανος FοϊνοFο
τον ͱετερον, ͱετερον δ' ͱυδατος μεγαν· εν δε και ῆFα
κωρυκῷ· εν δε ͱοι οπτσ' ετιθεε μενοFεικεα πολλα·
ουρον δε προεͱῆκεν απημονα τε χλιαρον τε.
γηθοσυνος δ' ουρῷ πετασ' ͱιστια διFος ͱοδυσσεFς·
αFταρ ͱο πηδαλιῷ ιθυFνετο τεχνῆεντως,
ͱημενος· ουδε ͱοι ͱυπνος επι βλεφαροισιν επιπτεν,
πλεFιαδας τ' εσͱορῶντι, και οπσε δυFοντα βοFωτην,
αρκτον θ', ην και ͱαμαγσαν επικλῆσιν καλεοντιν,
ͱητ' αFτοο στρεφεται, και τ' ωαριFῶνα δοκεFει·
οιη δ' αμορος εστι λοFετρων ωκεανοFο.
την γαρ δη μιν ανωγε καλυπσω, διFα θεαFων,
ποντοπορεFεμεναι επ' αριστερα χειρος ͱεχοντα.
ͱεπτα δε και δεκα μεν πλεFεν ͱηματα ποντοπορεFων,
ͱοκτω και δεκατῇ δ' εφανη ορεα σκιοεντα
γαιης φαιηκων, ͱοθι τ' ανχιστον πελεν αFτῷ·
Fειδσατο δ', ͱωστε Fρῖνον εν ῆεροFειδεῖ ποντῷ.
τον δ' εκς αιθιοπων ανιων κρεFων ενοσιχθων
τηλοθεν εκ σολυμων ορεων Fιδ'· εFειδσατο γαρ ͱοι
ποντον επιπλεFων· ͱο δ' εχῶσατο κεαροθι μαλλον·
κινησανς δε καρῆ προθ' εFον μυFθησατο θυFμον·
ω ποποι! η μαλα δη μετεβουλεFσαν θεοι αλλως
αμφι ͱοδυσσεF', εμεFο μετ' αιθιοπεσιν εοντος·
και δη φαιηκων γαιης σχεδον, ενθα ͱοι αισα
εκφυγεεεν μεγα πειραρ οϊδσυος, ͱη μιν ͱικανει·
αλλ' ετι μεν μιν φημι ͱαδην ελαεεν κακοτητος.
ͱως Fεσπων, γσυναγεν νεφελας, εταρακσε δε ποντον,
χερσι τριαιναν ͱελων· παντσας δ' οροθυFνεν αͱελλας
παντοιων ανεμων· γσυν δε νεφεεσ' εκαλυπτσεν
γαιαν ͱομοο και ποντον· ορῶρεε δ' ουρανοθεν νυκς.
γσυν δ' ευρος τε νοτος τ' επεσε, δσεφυρος τε δυσαͱεFς,
και βορεης αιθρηγενετης, μεγα κυFμα κυλινδων.
και τοθ' οδυσσεFος λυτο γονFατα και φιλον ητορ·
οχθησανς δ' αρα Fεσπε προς ͱον μεγαλητορα θυFμον·
ω μοι εγω δδειλος! τι νυ μοι μηκιστα γενηται;
δδειδω, μη δη παντα θεα νημερτε' εFεσπεν,

ͱη μ' εφατ' εν ποντῳ, πριν πατριδα γαιαν ͱικεσθαι, E
αλγε' αναπλησεεν· ταδε δη νῦν παντα τελεεται.
ͱοιοισιν νεφεεσι περιστεφει ουρανον ευρυν
δσεFς, εταρακσε δε ποντον· επισπερχοντι δ' αͱελλαι
παντοιων ανεμων· νῦν μοι σαος αιπυς ολεθρος.
τρις μακαρες δαναοι και τετρακις, ͱοι τοτ' ολοντο,— 306
ͱως δη εγωγ' οφελον θανεεεν και ποτμον εφεσπεεν,— 308
ͱηματι τῷ, ͱοτε μοι πλειστοι χαλκηρεα δορFα
τροFες επεριπτσαν περι πηλεFιFῶνι θανοντι.
τῷ κ' ελαχον κτερεων, και μεο κλεος ῆγον αχαιFοι·
νῦν δε με λευγαλεῳ θανατῳ εμεμᾶρτο ͱαλῶναι.
ͱως αρα μιν Fεσποντ' ελασεν μεγα κυFμα κατ' ακρης,
δδεινον επεσσυμενον, περι δε σχεδιην εFελικσεν.
τηλε δ' απο σχεδιης αFτος πεσε· πηδαλιον δε
εκ χειρων προεͱῆκε· μεσον δε ͱοι ͱιστον εFαγνσεν
δδεινη μισγομενων ανεμων ελθοντσα θυFελλα.
τηλοFο δε σπειρον και εφικριον ενπεσε ποντῳ·
τον δ' αρ' ͱυποβρυχ' εθῆκε πολυν χρονον· ουδ' εδυνασθη
αιπσα μαλ' ανσχεθεεεν, μεγαλοF' ͱυπο κυFματος ͱορμης·
Fεσματα γαρ ρ' εβαρυFνε, τα ͱοι πορε διFα καλυπσω.
οπσε δε δη ρ' ανεδῦ, στοματος δ' εκσεπτυFεν ͱαλμην
πικρην, ͱη ͱοι πολλη απο κρᾶτος κελαρυδσεν.
αλλ' ουδ' ͱως σχεδιης επεληθετο, τειρομενος περ,
αλλα μεθορμῆθενς εν κυFμασιν ελαβετ' αFτης·
εν μεσσῃ δε καθιδσε, τελος θανατοF' αλεFεινων.
την δ' εφορεε μεγα κυFμα κατα ροFον ενθα και ενθα.
ͱως δ' ͱοτ' οπωρεινος βορεης φορεητιν ακανθας
αν πεδιον, πυκιναι δε προς αλληλῇσιν ͱεχονται·
ͱως την αν πελαγος ανεμοι φερον ενθα και ενθα.
αλλοτε μεν τε νοτος βορεῃ προβαλεσκε φερεσθαι,
αλλοτε δ' αFτ' ευρος δσεφυρῳ Fεικσασκε διῶκεεν.
τον δ' εFιδεν καδμοο θυγατηρ, καλλισφυρος ινω,
λεFκοθεη, ͱη πριν μεν εῆν βροτος αυFδῆεντσα,
νῦν δ' ͱαλος εν πελαγεσσι θεων εκ μεμορε τιFμης·
ͱη ρ' ͱοδυσεF' ελεησεν αλῶμενον, αλγε' ͱεχοντα·
αιθυιῃ δε Fικυια ποτῇ ανεδυFσατο λιμνης·
ͱιδσε δ' επι σχεδιης πολυδεσμοF, εFεσπε τε μυFθον·
κακμορε, τιπτε τοι ͱῷδε ποσειδαFων ενοσιχθων
ῶδυσατ' εκπαγλως, ͱοτι τοι κακα πολλα φυτεFει;
ου μεν δη σε καταφθῖσει, μαλα περ μενεαινων.
αλλα μαλ' ͱῷδ' ερκσαι, δοκεεις δε μοι ουκ απινυσσεεν,
Fεσματα ταFτ' αποδῦνς, σχεδιην ανεμοισι φερεσθαι
κατλιπ'· αταρ χειρεσι ναFων επιμαFεο νοστοο
γαιης φαιηκων, ͱοθι τοι μοιρ' εστιν αλυκσαι.
τῆ δε τοδε κρῆδεμνον ͱυπο στερνοFο τανυσσαι
ανβροτον· ουδεν τοι παθεεεν δδεος, ουδ' απολεσθαι.

αϝταρ επῆν χειρεσιν εφαπτσεαι ηπειροϝο, E
αψ, απολυϝσαμενος βαλεεεν εις ϝοινοπα ποντον,
πολλον απ' ηπειροϝ', αϝτος δ' απο νοσφι τραπεσθαι.
ͱως αρα φωνησαντσα θεα κρηδεμνον εδωκεν·
αϝτη δ' αψ ες ποντον εδυϝσατο κυϝμαινοντα,
αιθυιῃ ϝεϝικυια· μελαν δε ͱε κυϝμ' εκαλυπτσεν.
αϝταρ ͱο μερμηριξε πολυτλᾶνς διϝος ͱοδυσσεϝς,
οχθησανς δ' αρ' εϝεσπε προς ͱον μεγαλητορα θυϝμον·
ω μοι εγω! μη τις μοι ͱυφαινῃτιν δολον αλλον
αθανατων, ͱοτε με σχεδιης αποβηναι ανωγεν.
αλλα μαλ' ου πω πειθσομ'· επει ͱεκας οφθαλμοισιν
γαιαν εγω ϝιδομην, ͱοθι μοι φατο φευγσιμον εεναι.
αλλα μαλ' ͱωδ' ερξσω, δοκεει δε μοι εεναι αριστον·
ͱοφρ' αν μεν κεν δορϝατ' εν αρμονιῃσιν αρηρῃ,
τοφρ' αϝτοο μενεω και τλησομαι αλγεα πασχων·
αϝταρ επῆν δη μοι σχεδιην δια κυϝμα τιναξσῃ,
νηχσομ'· επει ου μεν τι παρα προνοησαι αμεινον.
ͱεϝος ͱο ταϝθ' ορμαινε κατα φρενα και κατα θυϝμον,
ωρσε δ' επι μεγα κυϝμα ποσειδαϝων ενοσιχθων,
δδεινον τ', αργαλεον τε, κατηρεφες· ηλασε δ' αϝτον.
ͱως δ' ανεμος δσαͱεϝς ηϝων θημωνα τιναξσῃ
καρφαλεων, τα μεν αρ τε διεσκεδασ' αλλυδις αλλῃ·
ͱως της δορϝατα μακρα διεσκεδασ'· αϝταρ ͱοδυσσεϝς
αμφ' ͱενι δορϝατ' εβαινε, κεληθ' ως ͱιππον ελαϝνων·
ϝεσματα δ' εξσαπεδυϝε, τα ͱοι πορε διϝα καλυψσω.
αϝτικα δε κρηδεμνον ͱυπο στερνοϝ' ετανυσσεν·
αϝτος δε πρηνης ͱαλι καππεσε, χειρε πετασσανς,
νηχεμεναι μεμαϝως· ϝιδε δε κρεϝων ενοσιχθων,
κινησανς δε καρη προθ' εϝον μυϝθησατο θυϝμον·
ͱοϝτω νυν κακα πολλα παθων αλαω κατα ποντον,
εις ͱο κεν ανθρωποισι διοτρεφεεσι μιγειης·
αλλ' ουδ' ͱως σε ͱεͱολπα ονοσσεσθαι κακοτητος.
ͱως αρα φωνησανς ͱιμασεν καλλιτριχας ͱιπποϝς·
ͱικετο δ' εις αιγας, ͱοθι ͱοι κλυτα δωματ' εαντιν.
αϝταρ αθηναιη, κοϝρη διος, αλλ' ενοησεν·
ητοι των αλλων ανεμων κατεδησε κελευθοϝς,
ωρσε δ' επι κραιπνον βορεην, προ δε κυϝματ' εϝαγσεν
ͱεϝος φαιηκεσι φιληρετμοισι μιγειη
διϝογενης ͱοδυσεϝς, θανατον και κηρας αλυξσανς.
ενθα δυω νυκτας, δυο δ' ͱηματα, κυϝματι πηγω
πλαδσετο· πολλα δε ͱοι κραδιη προτιϝοσσετ' ολεθρον.
αλλ' ͱοτε δη τριτον ͱημαρ ͱευπλοκαμος τελεσ' ηως,
και τοτ' επειτ' ανεμος μεν επαϝσατο, ηδε γαληνη
επλετο νηνεμιη· ͱο δ' αρα σχεδον εϝιδε γαιαν,
ͱοξσυ μαλα προϝιδων, μεγαλοϝ' ͱυπο κυϝματος ͱαρθενς.
ͱως δ' ͱοτ' αν ασπασιος βιϝοτος παιδεσι φανῃη

πατρος, ͱος εν νουσῷ κειται κρατερ᾽ αλγεα πασχων,
δηρον τηκομενος, στυγερος δε ͱοι εχραϝε δαιμων, E
ασπασιον δ᾽ αρα τον γε θεοι κακοτητος ελυϝσαν·
ͱως ͱοδυσεϝ ασπαστον εϝειδσατο γαια και ͱυλϝη·
νηχε δ᾽, επειγομενος ποσιν ηπειροϝ επιβηναι·
αλλ᾽ ͱοτε τοσον απην, ͱοσον τε γεγωνε βοῆσανς,
και δη δουπον ακοϝσε ποτι σπιλαδεσι θαλασσης·
ϝροχθεε γαρ μεγα κυϝμα ποτι χσερον ηπειροϝο
δδεινον ερευγομενον· ϝελϝῦτο δε πανθ᾽ αλος αχνῇ·
ου γαρ εσαν λιμενες ναϝων ͱοχοι, ουδ᾽ επιῶγαι,
αλλ᾽ ακται προβλῆτες εσαν, σπιλαδες τε, παγοι τε.
και τοθ᾽ οδυσσεϝος λυτο γουϝατα και φιλον ητορ,
οχθησανς δ᾽ αρ᾽ εϝεσπε προς ͱον μεγαλητορα θυϝμον·
ω μοι! επει δη γαιαν αͱελπε᾽ εδῶκε ϝιδεσθαι
δσεϝς, και δη τοδε λαιτμα διατμῆγσανς επερῆσα,
εκβασις ου πῃ φαινεθ᾽ αλος πολιοϝο θυραδσε·
εκτοσθεν μεν γαρ παγοι ͱοκσυες, αμφι δε κυϝμα
βεβρυχκε ϝροθιον, λισση δ᾽ αναδεδρομε πετρη·
ανχιβαθης δε θαλασσα, και ου πως εστι ποδεσιν
στημεναι αμφοτεροισι, και εκφυγεεεν κακοτητα·
μη πως μ᾽ εκβαινοντα βαλῃ λιθακι προτι πετρῃ
κυϝμα μεγ᾽ ͱαρπακσαν, μελεη δε μοι εσσεται ͱορμη.
ει δε κ᾽ ετι προτερῷ παρανηχσομαι, ῆν ποϝ᾽ εφευρω
ηϊονας τε παραπλῆγας, λιμενας τε θαλασσης,
δδειδω, μη μ᾽ εκσαϝτις ανͱαρπακσαντσα θυϝελλα
ποντον εφ᾽ ιχθυοεντα φερῃ, βαρυα στοναχοντα·
ῃ᾽ ετι μοι και κητος επισσεϝῃ μεγα δαιμων
εκς ͱαλος, ͱοια τε πολλα τρεφει κλυτος αμφιτρῖτη·
ϝοιδα γαρ, ͱως μοι οδῶδυσται κλυτος εννοσιγαιος.
ͱεϝος ͱο ταϝθ᾽ ορμαινε κατα φρενα και κατα θυϝμον,
τοφρα δε μιν μεγα κυϝμ᾽ εφερε τρηχυιαν επ᾽ ακτην.
ενθα κ᾽ απο ϝρῖνος δρυφθη, γσυν τ᾽ οστε᾽ αραχθη,
ει μη επι φρεσ᾽ εθῆκε θεα γλαϝκῶπις αθηνη·
αμφοτερῆσι δε χερσιν επεσσυμενος λαβε πετρης,
της ͱεχετο στοναχων, ͱεϝος μεγα κυϝμα παρηλθεν.
και το μεν ͱως ͱυπαλυκσε· παλιϝροθιον δε μιν αϝτις
πληγσεν επεσσυμενον, τηλοο δε μιν ενβαλε ποντῷ.
ͱως δ᾽ ͱοτε πολυποδος, θαλαμης εκσͱελκομενοϝο,
προς κοτυληδονοφιν πυκιναι λαϝινγες ͱεχονται·
ͱως τοϝο προς πετρῆσι θρασυιαϝων απο χειρων
ϝρῖνοι απεδρυφθεν, τον δε μεγα κυϝμ᾽ εκαλυπτσεν.
ενθα κε δη δυστηνος ͱυπερ μορον ῶλεθ᾽ οδυσσεϝς,
ει μη επιφροσυνην δῶκε γλαϝκῶπις αθηνη·
κυϝματος εκσαναδῦνς, τα τ᾽ ερευγεται ηπειρονδε,
νῆχε παρεκς ες γαιαν ͱορῶμενος, ει ποϝ εφευροι
ηϊονας τε παραπλῆγας, λιμενας τε θαλασσης.

αλλ' ͱοτε δη ποταμοϝο κατα στομα καλλιροϝοϝο E
ͱικσε ναϝων, τῇ δη ͱοι εϝειδσατο χῶρος αριστος,
λεϝος πετραϝων, και επι σκεπας ἦν ανεμοϝο·
εγνῶ δε προρεϝοντα, και ευχσαθ' ͱεϝον κατα θυϝμον·
κλῦθι, ϝαν', ͱοστις κ' εσσι· πολυλιστον δε σ' ͱικανω,
φευγων εκ ποντοϝο ποσειδαϝῶνος ενῖπας.
αιδοιος μεν τ' εστι και αθανατοισι θεοισιν,
ανδρων ͱοστις ͱικηται αλῶμενος, ͱως και εγω νῦν
σον τε ροϝον, σα τε γονϝαθ' ικανω, πολλα μογησανς.
αλλ' ελεαιρε, ϝαναχς, ͱικετης δε τοι ευχομαι εεναι.
ͱως φαθ'· ο δ' αϝτικ' επαϝσεν ͱεϝον ροϝον, εσχε δε κυϝμα·
προσθε δε ͱοι ποιησε γαληνην, τον δ' εσαῶσεν
ες ποταμοο προχοϝας· ͱο δ' αρ' αμφω γονϝατ' εκαμπτσεν,
χειρας τε στιβαρας· ͱαλι γαρ δεδμῆτο φιλον κεαρ.
ͱοιδεε δε χροα παντα· θαλασσα δ' εκηκιε πολλη
αν στομα τε, ϝρῖνας τε· ͱο δ' απνεϝστος και ααυϝδος
κειτ' ολιγηπελεων· καματος δε μιν αινος ͱικανεν.
αλλ' ͱοτε δη ρ' ανπνῦτο, και ες φρενα θυϝμος αγερθη,
και τοτε δη κρῆδεμνον απο ͱεϝ' ελυϝσε θεοϝο·
και το μεν ες ποταμον ͱαλιμυϝρῆεντα μεθῆκεν·
απς δ' εφερεν μεγα κυϝμα κατα ροϝον· αιπσα δ' αρ' ινω
δεχσατο χερσι φιλῆσιν· ͱο δ' εκ ποταμοϝο λιϝασθενς
σχοινῷ ͱυπ' εκλινθη, κυσε δε δσαϝδῶρον αροϝραν·
οχθησανς δ' αρ εϝεσπε προς ͱον μεγαλητορα θυϝμον·
ω μοι εγω, τι παθω; τι νυ μοι μηκιστα γενηται;
ει μεν κ' εν ποταμῷ δυσκηδεα νυκτα φυλακσω,
μη μ' ͱαμυδις στιβη τε κακη και θῆλυς εερση,
εκς ολιγηπελιης, δαμασῇ κεκαφῆοτα θυϝμον·
αυϝρη γαρ ποταμοο πσυϝχρη πνεϝει ἦοαθι προ.
ει δε κεν ες κλῖτυν αναβανς και δασκιον ͱυλϝην
θαμνοισ' εν πυκινοισι καταδραθω, ει κε μεθιͱῇ
ϝρῖγος και καματος, γλυκερος δε μοι ͱυπνος επελθῇ,
δδειδω, μη θηρεσιν ͱελωρ και κυρμα γενωμαι.
ͱως αρα ͱοι φρονεοντι δοασσατο κερδιον εεναι·
βη ρ' ιμεν εις ͱυλϝην· την δε σχεδον ͱυϝδατος ͱευρεν
εν περιφαινομενῷ· δοιοϝς δ' αρ' ͱυπηλυθε θαμνοϝς,
εκσͱομοθεν πεφυϝῶτας· ͱο μεν φυλιης, ͱο δ' ελαιης.
τοϝς μεν αρ' ουτ' ανεμων διαͱεε μενος ͱυϝγρον αͱεντων,
ουδε ποτ' ἦελιος φαϝεθων ακτινσιν εβαλλεν,
ουτ' ομβρος περαεσκε διανπερες· ͱως αρα πυκνοι
αλληλοισιν εφῦν επαμοιβαδις· τοϝς ͱυφ' οδυσσεϝς
δυϝσαθ'· αφαρ δ' ευνην εφαμῆσατο χερσι φιλῆσιν
ευρυιαν· φυλλων γαρ εῆν χυσις ηλιθα πολλη. 483
την μεν ϝιδων γηθησε πολυτλᾶνς διϝος ͱοδυσσεϝς· 486
εν δ' αρα μεσσῃ ελεχτο, χυσιν δ' επεχεϝσατο φυλλων.
ͱως δ' ͱοτε τις δαϝλον σποδιῇ ενεκρυπτσε μελαινῇ,

αγροϝ επ' εσχατιης, ͱῳ μη παρα γειτονες αλλοι·
ͱως ͱοδυσσεϝς φυλλοισ' εκαλυπτσατο· τῳ δ' αρ' αθηνη
ͱυπνον επ' οπμασ' εχεϝσ', ͱινα μιν παϝσειε ταχιστα E
δυσπονεος καματοϝο, φιλα βλεφαρ' αμφικαλυπτσανς.

ͱως ͱο μεν ενθα καθευδε πολυτλᾶνς διϝος ͱοδυσσεϝς, Z
ͱυπνῳ και καματῳ ϝεϝαρημενος· αϝταρ αθηνη
βη ρ' ες φαιηκων ανδρων δημον τε πολιν τε·
ͱοι πριν μεν ποτ' εναιον εν ευρυχορῳ ͱυπερειῃ,
ανχοϝο κυκλωπων, ανδρων ͱυπερη̃νορεοντων,
ͱοι σφεας σινεσκοντο, βιηφι δε φερτεροι ησαν.
ενθεν αναστησανς αγε ναϝσιθοϝος θεοϝειδης,
ͱεσσεν δ' εν σχεριῃ, ͱεκας ανδρων αλφησταϝων·
αμφι δε τειχος ελασσε πολι, και εδη̃ματο ϝοικοϝς,
και ναϝοϝς ποιησε θεων, και εδασσατ' αροϝρας.
αλλ' ͱο μεν ηδη κηρι δαμενς αϝιδοσδ' εβεβηκεεν·
αλκινοος δε τοτ' ἦρχε, θεων απο μηδεα ϝειδως.
τοο μεν εβη προς δῶμα θεα γλαϝκωπις αθηνη,
νοστον ͱοδυσσεϝι μεγαλητορι μητιαοντσα·
βη δ' ιμεν ες θαλαμον πολυδαιδαλον, ͱῳ ενι κοϝρη
κοιμαετ', αθανατῆσι φυϝην και ϝειδος ͱομοιη,
ναϝσικαα, θυγατηρ μεγαλητορος αλκινοοϝο·
παρ δε δυ' αμφιπολοι, χαριτων απο καλλος ͱεχοντσαι,
σταθμοιϊν ͱεκατερθε, θυραι δ' επεκειντο φαϝειναι.
ͱη δ' ανεμοϝ ͱως πνοϝη επεσσυτο δεμνια κοϝρης·
στη δ' αρ' ͱυπερ κεφαλης, και μιν προς μυϝθον εϝεσπεν,
ϝειδομενη κοϝρῃ ναϝσικλειτοϝο δυμαντος,
ͱη ͱοι ͱομηλικιη μεν εη̃ν, κεχαριστο δε θυϝμῳ·
τῃ μιν ϝειδσαμενη προσεφη γλαϝκῶπις αθηνη·
ναϝσικαα, τι νυ σ' ͱῶδε μεθημον' εγη̃νατο μητηρ;
ϝεσματα μεν τοι κειται ακηδεα, σιϝαλοεντα·
σοι δε γαμος σχεδον εστιν, ͱινα χρη καλα μεν αϝτην
ϝεννυσθαι, τα δε τοισι παρασχεμεν, ͱοι κε σ' αγωνται.
εκ γαρ τοι τοϝτων φατις ανθρωποϝς αναβαινει
εσθλη· χαιροντιν δε πατηρ και ποτνια μητηρ.
αλλ' ιομεν πλυνεοντσαι ͱαμ' ἠοῖ φαινομενηφιν,
και τοι εγω γσυνεριθος ͱαμ' ͱεπσομαι, ͱοφρα ταχιστα
εντυνεαι· επει ουτοι ετι δην παρθενος εσσεαι·
ηδη γαρ σε μνῶνται αριστεϝες κατα δημον
παντων φαιηκων, ͱοθι τοι γενος εστι και αϝτῃ.
αλλ' αγ', εποτρυϝνον πατερα κλυτον ἦοαθι προ
ͱημιονοϝς και ͱαμαγσαν εφοπλισαι, ͱη κεν αγητιν
δσωστρα τε, και πεπλοϝς, και ϝρη̃γεα σιϝαλοεντα.
και δε σοι ͱῶδ' αϝτῃ πολυ καλλιον, ηε ποδεσιν
ερχεσθαι· πολλον γαρ απο πλυνοι εντι πολιστος.
ͱη μεν αρ' ͱως ϝεσποντσ' απεβη γλαϝκῶπις αθηνη
ολυνπονδ', ͱοθι φαντι θεων ͱεδος ασφαλες αιϝει

εσμεναι· ουτ᾽ ανεμοισι τινασσεται, ουτε ποτ᾽ ομβρῷ Ζ
δευεται, ουτε χιων επιπιλναται· αλλα μαλ᾽ αιθρη
πεπταται ανεφελος, λεϝκη δ᾽ επιδεδρομεν αιγλη·
τῷ ενι τερπονται μακαρες θεοι ͱηματα παντα.
ενθ᾽ απεβη γλαϝκῶπις, επει διεπεφραδε κοϝρῇ.
αϝτικα δ᾽ ηῶς ηλθεν ͱεϋθρονος, ͱη μιν εγειρεν
ναϝσικααν ͱεϋπεπλον· ͱαφαρ δ᾽ απεθαϝμασ᾽ ονειρον.
βη δ᾽ ιμεναι δια δῶμαθ᾽, ιν᾽ αγγῆλειε τοκεϝσιν
πατρι φιλῷ και μητρι· κιχησατο δ᾽ ενδον εοντας.
ͱη μεν επ᾽ εσχαρῇ ͱηστο, συν αμφιπολοισι γυναικσιν,
ηλακατα στροφαοντσ᾽ ͱαλιπορφυρα· τῷ δε θυραδσε
ερχομενῷ γσυνβλῆτο μετα κλειτοϝς βασιλεϝας
ες βουλην, ͱινα μιν καλεον φαιηκες αγαϝοι.
ͱη δε μαλ᾽ ανχι σταντσα φιλον πατερα προσεϝεσπεν·
παππα φιλ᾽, ουκ αν δη μοι εφοπλισσειας απηνην
ͱυπσηλην, ͱεϋκυκλον, ͱινα κλυτα ϝεσματ᾽ αγωμαι
ες ποταμον πλυνεοντσα, τα μοι ρερυπῶμενα κειται;
και δε σοι αϝτῷ εοντι μετα πρῶτοισι ϝεϝοικεν
βουλας βουλεϝεεν καθαρα χροϊ ϝεσμαθ᾽ εχοντι.
πεντε δε τοι φιλοι ͱυιες ενι μεγαροις γεγααντιν,
ͱοι δυ᾽ οπυιοντες, τρεες δ᾽ ηΐθεοι θαλεθοντες·
ͱοι δ᾽ αιϝει εθελοντι νεϝοπλυτα ϝεσμαθ᾽ εχοντες
ες χορον ερχεσθαι· τα δ᾽ εμῇ φρενι παντα μεμῆλεν.
ͱως εφατ᾽· αιδετο γαρ θαλερον γαμον εκσονομῆναι
πατρι φιλῷ· ͱο δε παντ᾽ ενοεε, και αμειβετο μυϝθῷ·
ουτε τοι ͱημιονων φθονεω, τεκος, ουτε τεο αλλοο·
ερχε᾽· αταρ τοι δμῶες εφοπλισσοντιν απηνην
ͱυπσηλην, ͱεϋκυκλον, ͱυπερτεριῇ αραρυιαν.
ͱως ϝεσπων, δμῶεσιν εκεκλετο· τοι δ᾽ επιθοντο.
ͱοι μεν αρ᾽ εκτος ͱαμαγσαν ͱεϋτροχον ͱημιονειην
ͱοπλεον, ͱημιονοϝς θ᾽ υπαγον, δσευγσαν θ᾽ υπ᾽ απηνῇ·
κοϝρη δ᾽ εκ θαλαμοϝ εφερεν ϝεσθητα φαϝεινην,
και την μεν κατεθῆκεν ͱεϋχσεστῷ επ᾽ απηνῇ·
μητηρ δ᾽ εν κιστῇ ετιθεε μενοϝεικε᾽ εδῶδην,
παντοιην, εν δ᾽ οπτσ᾽ ετιθεε, και ϝοινον εχεϝεν
ασκῷ εν αιγειῷ·—κοϝρη δ᾽ επεβησατ᾽ απηνης·—
δῶκεν δε χρυσεῇ εν ληκυθῷ ͱυϝγρον ελαιον,
ͱεϝος χυτλῶσαιτο συν αμφιπολοισι γυναικσιν.
ͱη δ᾽ ελαβεν μαστινγα και ͱηνια σιϝαλοεντα,
μαστινγσεν δ᾽ ελαεεν· καναχη δ᾽ ἦν ͱημιονοιϊν.
ͱαι δ᾽ ͱοτε δη ποταμοϝο ροϝον περικαλλε᾽ ͱικοντο,
ενθ᾽ ητοι πλυνοι ησαν επιϝετανοι, πολυ δ᾽ ͱυϝδωρ
καλον ͱυπεκπροϱεϝει, μαλα περ ρυπαοντα καθῆραι·
ενθ᾽ ͱαιγ᾽ ͱημιονοϝς μεν ͱυπεκπροελυϝσαν απηνης,
και τας μεν σσεϝσαν ποταμον παρα δινεϝεντα,
τρωγεμεν αγρωστιν μελιͱηδεα· ται δ᾽ απ᾽ απηνης

ϝεσματα χερσιν ͱελοντο, και εσφορεον μελαν ͱυϝδωρ·
στειβον δ' εν βοθροισι θοϝως εριδα προφεροντσαι.
αϝταρ επει πλῦναν τε, καθῆραν τε ρυπα παντα,
ͱεχσειης πετασαν παρα θῖν' ͱαλος, ͱῆχι μαλιστα
λαϝινγας ποτι χερσον αποπτυϝεσκε θαλασσα.
ͱαι δε λοϝεσαμεναι, και χριϝσαμεναι λιπ' ελαιῷ,
δειπνον επειθ' ελλοντο παρ' ͱοχθῇσιν ποταμοϝο·
ϝεσματα δ' ῆελιοϝ' εμενον τερσημεναι αϝγῇ.
αϝταρ επει σῖτοο ταρφθεν δμῶαι τε, και αϝτη,
σφαιρῇ ται δ' αρ' επαιδσον, απο κρῆδεμνα βαλοντσαι·
τῇσι δε ναϝσικαα λεϝκωλενος ῆρχετο μολπης.
ͱοιη δ' αρτεμις ειτι κατ' ορεα ͱιͱοχεαιρα,
η κατα τῆΰγετον περιμηκετον, η' ερυμανθον,
τερπομενη καπροισι και ῶκυιῃσ' ελαφοισιν·
τῇ δε θ' αμα νυμφαι, κοϝραι διος αιγιͱοχοϝο,
αργονομοι παιδσοντι· γεγῆθε δε τε φρενα λητω·
παντσαϝων δ' ͱυπερ ͱηγε καρῆ ͱεχει ηδε μετῶπα,
ρεϝα δ' αριγνῶτη πελεται, καλαι δε τε παντσαι·
ͱως ͱηγ' αμφιπολοισι μετεπρεπε παρθενος αδμῆς.
αλλ' ͱοτε δη αρ' εμελλε παλιν ϝοικονδε νεεσθαι,
δσευγσαντσ' ͱημιονοϝς, πτυχσαντσα τε ϝεσματα καλα,
ενθ' αϝτ' αλλ' ενοησε θεα γλαϝκῶπις αθηνη,
ͱως ͱοδυσεϝς εγροιτο, ϝιδοι θ' εΰῶπιδα κοϝρην,
ͱη ͱοι φαιηκων ανδρων πολιν ͱηγησαιτο.
σφαιραν επειτ' εριπτσε μετ' αμφιπολον βασιλεια·
αμφιπολοο μεν αμαρτε, βαθυιῇ δ' ενβαλε δινῇ·
ͱαι δ' επι μακρον αͱυϝσαν· ͱο δ' εγρετο διϝος ͱοδυσσεϝς·
ͱεδσομενος δ' ͱορμαινε κατα φρενα και κατα θυϝμον·
ω μοι εγω, τεων αϝτε βροτων ες γαιαν ͱικανω;
η ρ' ͱοιγ' ͱυβρισται τε και αγριοι, ουδε δικαιοι;
ηε φιλοχσεινοι, και σφιν νοος εστι θεοϝδης;
ͱωστε με κοϝραϝων αμφηλυθε θῆλυς αͱυϝτη
νυμφαϝων, ͱαι ͱεχοντ' ορεων αιπυινα καρῆνα,
και πηγας ποταμων, και πιϝσεα ποιῆεντα.
η νυ ποϝ' ανθρωπων ῆμι σχεδον αυϝδῆεντων;
αλλ' αγ', εγων αϝτος πειρῆσομαι, ηδε ϝιδωμαι.
ͱως ϝεσπων θαμνων ͱυπεδυϝσατο διϝος ͱοδυσσεϝς·
εκ πυκινης δ' ͱυλϝης πτορθον κλασε χειρι παχυιῇ
φυλλων, ͱως ρυϝσαιτο περι χροϊ μεδσεα φῶτος.
βη δ' ιμεν, ͱωστε λεϝων ορεσιτροφος, αλκι πεποιθως,
ͱοστ' ειθ' υϝομενος και αͱημενος· εν δε ͱοι οσσε
δαϝεται· αϝταρ ͱο βοϝσι μετερχεται, η' οϝιεσιν,
ηε μετ' αγροτερας ελαφοϝς· κελεται δε ͱε γαστηρ
μηλων πειρῆσοντα και ες πυκινον δομον ελθεεν·
ͱως ͱοδυσεϝς κοϝρῇσιν ͱεΰπλοκαμοισιν εμελλεν
μιγσασθαι, γυμνος περ εων· χρεϝω γαρ ͱικανεν.

σμερδαλεος δ' αϝτῇσ' εφανη, κεκακῶμενος ͱαλμῇ·
τρεσσαν δ' αλλυδις αλλη επ' ηϊονας προͱεχοντας·
οιη δ' αλκινοοο θυγατηρ μενε· τῇ γαρ αθηνη
θαρσος ενι φρεσ' εθῆκε, και εκ δδεος ͱελλετο γυιων.
στη δ' αντασχομενη· ͱο δε μερμηρικσεν ͱοδυσσεϝς,
η γονϝων λισσοιτο λαβων ͱεϋῶπιδα κοϝρην,
η' αϝτως ϝεπεεσιν αποσταδα μειλιχιοισιν
λισσοιτ', ει δεικσειε πολιν, και ϝεσματα δοιη.
ͱως αρα ͱοι φρονεοντι δοασσατο κερδιον εεναι
λισσεσθαι ϝεπεεσιν αποσταδα μειλιχιοισιν,
μη ͱοι γονϝα λαβοντι χολῶσαιτο φρενα κοϝρη.
αϝτικα μειλιχιον και κερδαλεον φατο μυϝθον·
γονϝοομαι σε, ϝανασσα· θεος νυ τις, η βροτος εσσι;
ει μεν τις θεος εσσι, τοι ουρανον ευρυν ͱεχοντιν,
αρτεμιδι ρα σ' εγωγε, διος κοϝρῃ μεγαλοϝο,
ϝειδος τε, μεγαθος τε, φυϝην τ', ανχιστα ϝεΐσκω·
ει δε τις εσσι βροτων, τοι επι χθονι ναιεταοντιν,
τρισμακαρες μεν σοι γε πατηρ και ποτνια μητηρ,
τρισμακαρες δε κασιγνῆτοι· μαλα ποο σφισι θυϝμος
αιϝεν ͱεϋφροσυνῇσιν ιαινεται ͱεινεκα σεϝο,
λεϝσσοντων τοιονδε θαλος χορον εισοιχνεϝσαν.
κεινος δ' αϝ περι κεαρι μακαρτατος εκσͱοχον αλλων,
ͱος κε σ' εεδνοισι βριθσανς ϝοικονδ' αγαγηται·
ου γαρ πῶ τοιοϝτον ϝιδον βροτον οφθαλμοισιν,
ουτ' ανδρ', ουτε γυναικα· σεβας μ' ͱεχει εισͱοραοντα.
δηλῶ δη ποτε τοιον απολλῶνος παρα βωμῶ
φοινῖκος νεϝον ερνος ανερχομενον ενοησα·
ηλθον γαρ και εκεισε, πολυς δε μοι ͱεσπετο λαϝος
την ͱοδον, ͱη δη εμελλεν εμοι κακα κηδε' εσεσθαι·
ͱως δ' αϝτως και κεινο ϝιδων ετεθῆπεα θυϝμῶ
δην· επει ου πῶ τοιον ανηλυθεν εκ δορυ γαιης·
ͱως σε, γυναι, αγαμαι τε, τεθῆπα τε, δεδδια τ' αινως
γονϝων ͱαπτσασθαι· χαλεπον δε με πενθος ͱικανει.
χθιδσος ϝεικοστῶ φυγον ͱηματι ϝοινοπα ποντον·
τοφρα δε μ' αιϝει κυϝμ' εφορεε κραιπναι τε θυϝελλαι
νησοϝ απ' ωγυγιης· νῦν δ' ενθαδε κατβαλε δαιμων,
ͱοφρ' ετι ποο και τῇδε παθω κακον· ου γαρ οΐϝω
παϝσεσθ'· αλλ' ετι πολλα θεοι τελεοντι παροιθεν.
αλλα, ϝανασσ', ελεαιρε, σε γαρ κακα πολλα μογησανς
ες πρῶτην ͱικομην· των δ' αλλων ου τινα ϝοιδα
ανθρωπων, ͱοι τηνδε πολιν και γαιαν ͱεχοντιν.
ϝαστυ δε μοι δεικσον, δος δε ϝρακος αμφιβαλεσθαι.
σοι δε θεοι τοσα δοιεν, ͱοσα φρεσι σῇσι μενοινᾶς,
ανδρα τε, και ϝοικον, και ͱομοφροσυνην οπασειαν
εσθλην· ου μεν γαρ τοϝο γε κρεισσον και αρειον,
η' ͱοθ' ομοφρονεοντε νοημασι ϝοικον ͱεχητον

ανηρ ηδε γυνη· πολλ᾽ αλγεα δυσμενεεσιν,
χαρματα δ᾽ ͱευμενετῆσι· μαλιστα δε τ᾽ εκλυϝον αϝτοι.
τον δ᾽ αϝ ναϝσικαα λεϝκωλενος αντιον ῆυϝδα·
χσειν᾽, επει ουτε κακῳ, ουτ᾽ αφρονι φῶτι ϝεϝοικας,
δσεϝς δ᾽ αϝτος νεμει ολβον ολυνπιος ανθρωποισιν,
εσθλοισ᾽, ηδε κακοισιν, ͱοπως εθελῃτιν, ͱεκαστῳ·
και ποϝο σοι ταγ᾽ εδῶκε, σε δε χρη τετλαμεν ενπης.
νῦν δ᾽, επει ͱημετερην τε πολιν και γαιαν ͱικανεις,
ουτ᾽ ῶν ϝεσθητος δεϝησεαι, ουτε τεο αλλοο.
ϝαστυ δε τοι δειχσω, ϝερεω δε τοι ονομα λαϝων.
φαιηκες μεν τηνδε πολιν και γαιαν ͱεχοντιν·
ῆμι δ᾽ εγω θυγατηρ μεγαλητορος αλκινοοϝο,
τοο δ᾽ εκ φαιηκων ͱεχεται καρτος τε, βιη τε.
η ρα, και αμφιπολοισιν ͱεϋπλοκαμοισ᾽ εκελεϝσεν·
στητε μοι, αμφιπολοι· ποσε φευγετε, φῶτα ϝιδοντσαι;
η μη ποο τινα δυσμενεων φασθ᾽ εσμεναι ανδρων;
ουκ εσθ᾽ οϝτος ανηρ διερος βροτος, ουδε γενηται,
ͱος κεν φαιηκων ανδρων ες γαιαν ͱικηται,
δαϝιοτητα φερων· μαλα γαρ φιλοι αθανατοισιν.
ϝοικεομεν δ᾽ απανευθε, πολυκλυστῳ ενι ποντῳ,
εσχατοι, ουδε τις αμμι βροτων επιμισγεται αλλος.
αλλ᾽ ͱοδε τις δυστηνος αλωμενος ενθαδ᾽ ͱικανει,
τον νῦν χρη κομεεεν· προς γαρ διος εντιν ͱαπαντες
χσεινοι τε, πτωχοι τε· δοσις δ᾽ ολιγη τε, φιλη τε.
αλλα δοτ᾽, αμφιπολοι, χσεινῳ βρῶσιν τε, ποσιν τε·
λοϝσατε δ᾽ εν ποταμῳ, ͱοθ᾽ επι σκεπας εστ᾽ ανεμοϝο.
ͱως εφαθ᾽· αι δ᾽ εσταν τε και αλληλῃσ᾽ εκελεϝσαν·
κατ δ᾽ αρ᾽ ͱοδυσσεϝ᾽ εͱεσσαν επι σκεπας, ͱως εκελεϝσεν
ναϝσικαα, θυγατηρ μεγαλητορος αλκινοοϝο·
παρ δ᾽ αρα ͱοι φαϝρος τε, χιτῶνα τε ϝεσματ᾽, εθῆκαν·
δῶκαν δε χρυσεῃ εν ληκυθῳ ͱυϝγρον ελαιον,
ῆνωγον δ᾽ αρα μιν λοϝσθαι ποταμοϝο ροϝῇσιν.
δη ρα τοτ᾽ αμφιπολοισι μετῆυϝδαε διϝος ͱοδυσσεϝς·
αμφιπολοι, στηθ᾽ οϝτῳ αποπροθεν, ͱοφρ᾽ εγω αϝτος
ͱαλμην ωμοιϊν απολοϝσομαι, αμφι δ᾽ ελαιῳ
χριϝσομαι· η γαρ δηρον απο χροος εστιν αλοιφη.
αντην δ᾽ ουκ αν εγωγε λοϝεσομαι· αιδεομαι γαρ
γυμνῶσθαι, κοϝρῇσιν ͱεϋπλοκαμοισι μετελθων.
ͱως εφαθ᾽· αι δ᾽ απανευθεν ισαν, ϝεσπον δ᾽ αρα κοϝρῃ.
αϝταρ ͱο γ᾽ εκ ποταμοο χρο᾽ ενιδσετο διϝος ͱοδυσσεϝς
ͱαλμην, ͱη ͱοι νωτα και ευρυας αμφεχεν ωμοϝς·
εκ κεφαλης δ᾽ εσμηχεν ͱαλος χνοον ατρυγετοϝο.
αϝταρ επειδη παντ᾽ ελοϝεσατο και λιπ᾽ αλειφσεν,
αμφι δε ϝεσματ᾽ εϝεσσαθ᾽, α ͱοι πορε παρθενος αδμῆς·
τον μεν αθηναιη θῆκεν, διος εκγεγαυια,
μειδσονα τε ϝιδεεεν και πασσονα· κατ δε καρῆτος

ϝολϝας ͱῆκε κομας, ͱυϝακινθινῳ ανθει ͱομοιας. Z
ͱως δ' ͱοτε τις χρυσον περιχεϝεται αργυρῳ ανηρ
ϝιδρις, ͱον ͱηφαιστος δεδαεν και παλλας αθηνη
τεχνην παντοιην, χαριεντα δε ϝεργα τελεϝει·
ͱως αρα τῳ κατεχεϝε χαριν κεφαλῇ τε και ωμοις.
ͱεδσετ' επειτ', απανευθε κιων, επι θῖνα θαλασσης,
καλλεϊ και χαρισι στιλβων· θαϝεετο δε κοϝρη·
δη ρα τοτ' αμφιπολοισιν ͱεϋπλοκαμοισι μετῆυϝδα·
κλῦτε μεϝ, αμφιπολοι λεϝκωλενοι, ͱοφρα τι ϝεσπω·
ου παντων αͱεκητι θεων, ͱοι ολυνπον ͱεχοντιν,
φαιηκεσ' ͱοδ' ανηρ επιμισγεται αντιθεοισιν.
προσθεν μεν γαρ δη μοι αϝεικελιος δοατ' εεναι,
νῦν δε θεοισι ϝεϝοικε, τοι ουρανον ευρυν ͱεχοντιν.
αι γαρ εμοι τοιοσδε ποσις κεκλῆμενος ειη!
αλλα δοτ', αμφιπολοι, χσεινῳ βρῶσιν τε, ποσιν τε.
ͱως εφαθ'· αι δ' αρα της μαλα κεν κλυϝον, ηδ' επιθοντο·
παρ δ' αρ' ͱοδυσσεϝι εθεσαν βρῶσιν τε, ποσιν τε.
ητοι ͱο πιϝνε και ῆσθε πολυτλᾶνς διϝος ͱοδυσσεϝς
ͱαρπαλεως, δηρον γαρ εδητυος ῆεν απαστος.
αϝταρ ναϝσικαα λεϝκωλενος αλλ' ενοησεν·
ϝεσματ' αρα πτυχσαντσ' ετιθεε καλης επ' απηνης,
δσευγσεν δ' ͱημιονοϝς κρατερωνυχας· αν δ' εβη αϝτη·
ῶτρυϝνεν δ' ͱοδυσεϝα, ϝεπος τ' εφατ', εκ τ' ονομαδσεν·
ορσεο νῦν δη, χσεινε, πολινδ' ιμεν, ͱοφρα σε πεμπσω
πατρος εμοο προς δῶμα δαϝιφρονος, ενθα σε φημι
παντων φαιηκων ϝειδησεμεν ͱοσοι αριστοι.
αλλα μαλ' ͱῳδ' ερδεεν, δοκεεις δε μοι ουκ απινυσσεεν·
ͱοφρ' αν μεν κ' αγροϝς ιομεν και ϝεργ' ανθρωπων,
τοφρα συν αμφιπολοισι, μεθ' ημιονοϝς και ͱαμαγσαν,
καρπαλιμως ερχεσθαι· εγω δ' ͱοδον ͱηγεμονεϝσω.
αϝταρ επῆν πολιος επιβησομεν, ͱην περι πυργος
ͱυπσηλος, καλος δε λιμην ͱεκατερθε πολιστος,
λεπτη δ' εισιθμη· ναϝες δ' ͱοδον αμφιϝελισσαι
ηρυϝαται· παντσιν γαρ εφιστιον εστιν ͱεκαστῳ·
ενθα δε τε σφ' αγορη, καλον ποσιδῆϊον αμφις,
ϝρῦτοισιν λαϝεσσι κατῶρυχεεσ' αραρυια.
ενθα δε ναϝων ͱοπλα μελαιναϝων αλεγοντιν,
πειθσματα, και σπειρα, και αποχσυϝνοντιν ερετμα.
ου γαρ φαιηκεσι μελει βιος, ουδε φαρετρη,
αλλ' ͱιστοι και ερετμα ναϝων, και ναϝες ϝεϊσϝαι,
ͱῇσιν αγαλλομενοι πολιην περαοντι θαλασσαν.
των αλεϝεινω φημιν αδεϝκεα, μη τις οπισσῳ
μωμεϝῃ· μαλα δ' εντιν ͱυπερφιαλοι κατα δημον.
χσεινε, συ δ' ͱῳδ' εμεθεν γσυνͱιͱεε ϝεπος, ͱοφρα ταχιστα
πομπης και νοστοϝο τυχῇς παρα πατρος εμοϝο.
δῆεις αγλαϝον αλσος αθηνης, ανχι κελευθοο,

αιγειρων· εν δε κρῆνη ναϝει, αμφι δε λειμων· Z
ενθα δε πατρος εμοο τεμενος, τεθαλυια τ' αλοϝη,
τοσον απο πτολιος, ͱοσον τε γεγωνε βοῆσανς·
ενθα καθεδσομενος μῆναι χρονον, εις ͱο κεν ͱημεες
ϝαστυδε τ' ελθωμεν, και ͱικωμεθα δῶματα πατρος.
αϝταρ επῆν ͱημεας ͱελπεαι ποτι δῶματ' αφιχθαι,
και τοτε φαιηκων ιμεν ες πολιν, ηδ' ερεεσθαι
δῶματα πατρος εμοο μεγαλητορος αλκινοοϝο.
ρεϝα δ' αριγνῶτ' εστι, και αν παϊς ͱηγησαιτο
νηπιος· ου μεν γαρ τι ϝεϝοικοτα τοισι τετυχται
δῶματα φαιηκων, ͱοιος δομος αλκινοοϝο
ͱηροϝος· αλλ' ͱοποτ' αν σε δομοι κεϝθωντι και αϝλη,
ῶκα μαλα μεγαροϝο διελθεμεν, ͱοφρ' αν ͱικηαι
μητερ' εμην· ͱη δ' ͱησται επ' εσχαρῇ εν πυρος αϝγῇ,
ηλακατα στροφαοντσ' ͱαλιπορφυρα, θαϝμα ϝιδεσθαι,
κιονι κεκλιμενη· δμῶαι δε ͱοι ͱηατ' οπισθεν.
ενθα δε πατρος εμοϝο θρονος ποτικεκλιται αϝτῇ,
τῷ ͱογε ϝοινοποταδσει εφημενος, αθανατος ͱως.
τον παραμειβσαμενος μητρος ποτι γονϝασι χειρας
βαλλεμεν ͱημετερης, ͱινα νοστιμον ͱημαρ ϝιδηαι
χαιρων καρπαλιμως, ει και μαλα τηλοθεν εσσι.
ͱως αρα φῶνησαντσ' ͱιμασεν μαστινγι φαϝεινῇ
ͱημιονοϝς, ͱαι δ' ῶκ' ελιπον ποταμοϝο ρεϝεθρα·
ͱαι δ' ͱεῢ μεν τροχαον, ͱεῢ δ' επλισσοντο ποδεσιν.
ͱη δε μαλ' ͱηνιͱοχεϝεν, ͱοπως ͱαμ' ͱεποιατο πεδσοι,
αμφιπολοι θ', ͱοδυσεϝς τε· νοῷ δ' επεβαλλεν ͱιμασθλην.
δυϝσατο τ' ῆελιος, και τοι κλυτον αλσος ͱικοντο
ͱιερον αθηναιης, ͱιν' αρ' ͱεδσετο διϝος ͱοδυσσεϝς.
αϝτικ' επειτ' ῆρᾶτο διος κοϝρῇ μεγαλοϝο·
κλῦθι μεϝ, αιγιͱοχοϝο διος τεκος, ατρυτωνη,
νῦν δη περ μεϝ ακοϝσον, επει παρος ουποτ' ακοϝσας
ϝραιομενοϝ, ͱοτε μ' εϝραιε κλυτος εννοσιγαιος·
δος μ' ες φαιηκας φιλον ελθεμεν, ηδ' ελεεινον.
ͱως ͱο μεν ενθ' ῆρᾶτο πολυτλᾶνς διϝος ͱοδυσσεϝς, H
κοϝρην δε προτι ϝαστυ φερεν μενος ͱημιονοιϊν.
ͱη δ' ͱοτε δη ͱοϝο πατρος αγακλυτα δῶμαθ' ικανεν,
στησεν αρ' εν προθυροισι· κασιγνῆτοι δε μιν αμφις
ͱισταντ', αθανατοισ' εναλινκιοι, ͱοι ρ' απ' απηνης
ͱημιονοϝς ελυϝον, και ϝεσθητ' εσφερον εισῷ.
αϝτη δ' ες θαλαμον ͱεϝον ηϊ'· εδαϝε δε ͱοι πυρ
γραϝις απειραιη θαλαμηπολος ευρυμεδοντσα,
την ποτ' απειρηθεν ναϝες ῆγαγον αμφιϝελισσαι·
αλκινοῷ δ' αϝτην γερας εκσͱελον, ͱοονεκα παντσιν
φαιηκεσ' εϝανασσε, θεοο δ' ͱως δημος ακοϝεν·
ͱη τρεφε ναϝσικααν λεϝκωλενον εν μεγαροισιν.
ͱη ͱοι πυρ ανεκαϝε, και εισῷ δορπον εκοσμεεν.

και τοθ' οδυσσεϝς ὦρτο πολινδ' ιμεν· αμφι δ' αθηνη H
πολλην ἦερ' εχεϝε, φιλα φρονεοντσ' ͱοδυσεϝι,
μη τις φαιηκων μεγαθυϝμων αντιβολησανς
κερτομεοι τε ϝεπεσσι, και εκσερεοιτο, τις ειη.
αλλ' ͱοτε δη αρ' εμελλε πολιν δυϝσεσθαι ερανvην,
ενθα ͱοι αντεβολησε θεα γλαϝκῶπις αθηνη,
παρθενικῇ ϝεϝικυια νεϝηνιδι, καλπιν ͱεχοντσῃ·
στη δε προσθ' αϝτοϝ· ͱο δ' ανειρετο διϝος ͱοδυσσεϝς·
ω τεκος, ουκ αν μοι δομον ανερος ͱηγησαιο
αλκινοοϝ, ͱος τοισδε μετ' ανθρωποισι ϝανασσει;
και γαρ εγω χσεινος ταλαπειριος ενθαδ' ͱικανω,
τηλοθεν εκς απιης γαιης· τῷ ουτινα ϝοιδα
ανθρωπων, ͱοι τηνδε πολιν και ϝεργα νεμονται.
τον δ' αϝτε προσεϝεσπε θεα γλαϝκῶπις αθηνη·
τοιγαρ εγω τοι, χσεινε πατερ, δομον, ͱον με κελεϝεις,
δεικσω· επει μοι πατρος αμυϝμονος ενγυθι ναιει.
αλλ' ιθι σιγῇ τοιον· εγω δ' ͱοδον ͱηγεμονεϝσω·
μηδε τιν' ανθρωπων προτιοσσεο, μηδ' ερεεινε.
ου γαρ χσεινοϝς ͱοιδε μαλ' ανθρωποϝς ανͱεχονται,
ουδ' αγαπαδσομενοι φιλεονθ', ος κ' αλλοθεν ελθοι.
ναϝσι θοϝῇσιν τοιγε πεποιθοτες ὠκυιῇσιν,
λαιτμα μεγ' εκπεραοντιν, επει σφισ' εδωκ' ενοσιχθων.
ͱως αρα φωνησαντσ' ͱηγησατο παλλας αθηνη
καρπαλιμως· ͱο δ' επειτα μεθ' ιχνι' εβαινε θεοϝο.
τον δ' αρα φαιηκες ναϝσικλυτοι ουκ ενοησαν
ερχομενον κατα ϝαστυ δια σφεϝας· ου γαρ αθηνη
ηϝα' ͱεϋπλοκαμος, δδεινη θεος· ͱη ρα ͱοι αχλυν
θεσπεσιην κατεχεϝε, φιλα φρονεοντσ' ενι θυϝμῷ.
θαϝμαδσεν δ' ͱοδυσεϝς λιμενας και ναϝας ϝεϊσϝας,
αϝτων θ' ηροϝων αγορας, και τειχεα μακρα,
ͱυπσηλα, σκολοπεσιν αρηροτα, θαϝμα ϝιδεσθαι.
αλλ' ͱοτε δη βασιλεϝος αγακλυτα δῶμαθ' ικοντο,
τοισι δε μυϝθων ἦρχε θεα γλαϝκῶπις αθηνη·
ͱοϝτος δη τοι, χσεινε πατερ, δομος, ͱον με κελεϝεις
πεφραδεμεν, δῆεις δε διοτρεφεας βασιλεϝας
δαιτην δαινυμενοϝς· συ δ' εσῷ κιε, μηδε τι θυϝμῷ
ταρβεε· θαρσαλεος γαρ ανηρ εν παντσιν αμεινων.
δεσποιναν μεν πρῶτα κιχησεαι εν μεγαροισιν,
αρητη δ' ονομ' εστιν επωνυμον· εκ δε τοκεϝων
των αϝτων, ͱοι περ τεκον αλκινοον βασιλεϝα.
ναϝσιθοϝον μεν πρῶτα ποσειδαϝων ενοσιχθων
γῆνατο, και περιβοϝια, γυναικων ϝειδος αριστη,
ͱοπλοτατη θυγατηρ μεγαλητορος ευρυμεδοντος,
ͱος ποθ' υπερθυϝμοισι γιγαντεσιν βασιλεϝεν·
αλλ' ͱο μεν ὤλεσε λαϝον ατασθαλον, ὤλετο δ' αϝτος.
τῇ δε ποσειδαϝων εμιγη, και εγῆνατο παιδα

ναϝσιθοϝον μεγαθυϝμον, ͱος εν φαιηκσ' εϝανασσεν·
ναϝσιθοϝος δ' ετεκε ϝρῆγσῆνορα τ', αλκινοον τε.
τον μεν, ακοϝρον εοντ', εβαλ' αργυροτοκσος απολλων,
νυμφιον εν μεγαρῳ, μιαν οιην παιδα λιποντα
αρητην· την δ' αλκινοος ποιησαθ' ακοιτιν,
και μιν ετιϝσ', ͱως ουτις επι χθονι τιϝεται αλλη,
ͱοσσαι νῦν γε γυναικες ͱυπ' ανδρεσι ϝοικον ͱεχοντιν.
ει κεν τοι κεινη γε φιλα φρονεητ' ενι θυϝμῳ,
ͱελπωρη τοι επειτα φιλοϝς ϝιδεεεν, και ͱικεσθαι
ϝοικον ες ͱυπσοροφον, και σην ες πατριδα γαιαν.
  ͱως αρα φῶνησαντσ' απεβη γλαϝκῶπις αθηνη
ποντον επ' ατρυγετον· λιπε δε σχεριην ερατεινην·
ͱικετο δ' ες μαραθῶνα, και ευρυαγυιαν αθηνην,
δυϝνε δ' ερεχθεϝος πυκινον δομον. αϝταρ ͱοδυσσεϝς
αλκινοοο προς δῶματ' ιε κλυτα· πολλα δε ͱοι κεαρ
ͱορμαιν' ͱισταμενῳ, πριν χαλκεον ουδον ͱικεσθαι·
ͱωστε γαρ ῆελιοϝ' αιγλη πελεν, ηε σεληνης,
δῶμα καθ' υπσερεφες μεγαλητορος αλκινοοϝο.
χαλκεοι μεν γαρ τοιχοι εληλαδατ' ενθα και ενθα,
ες μυχον εκς ουδοο· περι δε θρινκος κυϝανοϝο·
χρυσειαι δε θυραι πυκινον δομον εντος εϝεργον·
αργυρεοι δε σταθμ' εν χαλκεῳ ͱεστασαν ουδῳ,
αργυρεον δ' εφ' υπερθυριον, χρυσεη δε κορωνη.
χρυσειοι δ' ͱεκατερθε και αργυρεοι κυνες ῆσαν,
ͱοϝς ͱηφαιστος ετευχσε ϝιδυιῃσι πραπιδεσιν,
δῶμα φυλασσεμεναι μεγαλητορος αλκινοοϝο.
εν δε θρονοι περι τοιχον ερηρεδατ' ενθα και ενθα,
ες μυχον εκς ουδοϝο διανπερες· ενθ' ενι πεπλοι
λεπτοι ͱευνητοι βεβλῆατο, ϝεργα γυναικων.
ενθα δε φαιηκων ͱηγητορες ͱεδριαοντο,
πιϝνοντες και εδοντες· επιϝετανον γαρ ͱεχεσκον.
χρυσειοι δ' αρα κοϝροι ͱεϋδμῆτων επι βωμων
ͱεστασαν, αιθομενας δαϝιδας μετα χερσιν ͱεχοντες,
φαινοντες νυκτας κατα δῶματα δαιτυμονεσιν.
  πεντηκοντα δε ͱοι δμῶαι κατα δῶμα γυναικες·
ͱαι μεν αλετρεϝοντι μυλῆσ' επι μηλοπα καρπον,
ͱαι δ' ͱιστοϝς ͱυφαοντι και ηλακατα στροφαοντιν
ͱημεναι, ͱοια τε φυλλα μακεδνης αιγειροϝο.
τοσον φαιηκες περι παντων ϝιδριες ανδρων
ναϝα θοϝην ενι ποντῳ ελαϝνεμεν· ͱως δε γυναικες
ͱιστον τεχνησαι· περι γαρ σφισ' εδῶκεν αθηνη
ϝεργα τ' επιστασθαι περικαλλεα, και φρενας εσθλας.
  εκτοσθεν δ' αϝλης μεγας ορχατος ανχι θυραϝων
τετραγυος· περι δ' ͱερκος εληλαται αμφοτερωθεν.
ενθα δε δενδρεα μακρ' επεφυκεε τηλεθαοντα,
ογχναι, και ροιαι, και μηλεαι αγλαϝοκαρποι,

συκαι τε γλυκεραι, και ελαιαι τηλεθαοντσαι. Η
ταϝων ου ποτε καρπος απολϝυται, ουδ᾽ απολειπει
χειματος, ουδε θερεος, επετησιος· αλλα μαλ᾽ αιϝει
δσεφυριη πνεϝοντσα τα μεν φυϝει, αλλα δε πεσσει.
ονχνη επ᾽ ονχνῃ γηρασκει, μηλον δ᾽ επι μηλῳ,
αϝταρ επι σταφυλῃ σταφυλη, συκον δ᾽ επι συκῳ.
ενθα δε ͱοι πολυκαρπος αλοϝη ϝεϝριδσῶται·
της ͱετερον μεν θειλοπεδον λεϝρῳ ενι χῶρῳ
τερσεται ῆελιῳ· ͱετερας δ᾽ αρα τε τρυγαοντιν,
αλλας δε τραπεοντι· παροιθε δε τ᾽ ομφακες εντιν,
ανθος αφιͱεντσαι, ͱετεραι δ᾽ ͱυποπερκαδσοντιν.
ενθα δε κοσμηται πρασιαι παρα νεϝατον ορχον
παντοιαι πεφυϝαντιν, επιϝετανον γαναοντσαι·
εν δε δυω κρῆναι, ͱη μεν τ᾽ ανα κηπον ͱαπαντα
σκιδναται, ͱη δ᾽ ͱετερωθεν ͱυπ᾽ αϝλης ουδον ιητιν
προς δομον ͱυπσηλον, ͱοθεν ͱυϝδρεϝοντο πολῖται.
τοι᾽ αρ᾽ εν αλκινοοϝο θεων εσαν αγλαϝα δῶρα.
ενθα στανς θαϝεετο πολυτλᾶνς διϝος ͱοδυσσεϝς.
αϝταρ επειδη παντα ͱεϝῷ θαϝησατο θυϝμῷ,
καρπαλιμως ͱυπερ ουδον εβησατο δῶματος εισῷ.
ͱευρε δε φαιηκων ͱηγητορας ηδε μεδοντας
σπενδοντας δεπαεσιν ͱεϋσκοπῷ αργεϊφοντῃ,
ͱῷ πυματῷ σπενδεσκον, ͱοτε μνῆσαιατο κοιτοο.
αϝταρ ͱο βη δια δῶμα πολυτλᾶνς διϝος ͱοδυσσεϝς,
πολλην ῆερ᾽ ͱεχων, ͱην ͱοι περιχεϝεν αθηνη,
ͱοφρ᾽ ͱικετ᾽ αρητην τε και αλκινοον βασιλεϝα.
αμφι δ᾽ αρ᾽ αρητης βαλε γονϝασι χειρας ͱοδυσσεϝς.
και τοτε δη ρ᾽ αϝτοϝο παλιν χυτο θεσφατος αͱϝηρ.
ͱοι δ᾽ ααϝοι εγενοντο δομον κατα φῶτα ϝιδοντες·
θαϝμαδσον δ᾽ ͱοραοντες· ͱο δ᾽ ελιτανεϝεν ͱοδυσσεϝς·
αρητη, θυγατερ ϝρηγσῆνορος αντιθεοϝο,
σον τε ποσιν, σα τε γονϝαθ᾽ ικανω, πολλα μογησανς,
τοϝσδε τε δαιτυμονας, τοισιν θεοι ολβια δοιεν
δσαϝεμεναι, και παισιν επιτρεπσειεν ͱεκαστος
κτηματ᾽ ενι μεγαροισι, γερας θ᾽ ο τι δημος εδῶκεν·
αϝταρ εμοι πομπην οτρυϝνετε πατριδ᾽ ͱικεσθαι
θασσον· επειδη δηθα φιλων απο πηματα πασχω.
ͱως ϝεσπων, κατ᾽ αρ᾽ ͱεδσετ᾽ επ᾽ εσχαρῃ εν κονιϝῆσιν
παρ πυρι· ͱοι δ᾽ αρα παντες ακην εγενοντο σιωπῃ.
οπσε δε δη μετεϝεσπε γερων ͱηρως ͱεχεναϝος,
ͱος δη φαιηκων ανδρων προγενεστερος ῆεν,
και μυϝθοισ᾽ εκεκαστο, παλαια τε, πολλα τε ϝειδως.
ͱο σφιν ͱεϋφρονεων αγορεϝσατο και μετεϝεσπεν·
αλκινο᾽, ου μεν τοι τοδε καλλιον, ουδε ϝεϝοικεν,
χσεινον μεν χαμαι ͱησθαι επ᾽ εσχαρῃ εν κονιϝῆσιν·
ͱοιδε δε σον μυϝθον ποτιδεχμενοι ͱισχαναονται.

αλλ' αγε δη χσεινον μεν επι θρονοϝ αργυροͱηλοο H
ͱεσσον αναστησανς· συ δε κηρῦκεσσι κελεϝσον
ϝοινον επικρῆσαι, ͱινα και διϊ τερπικεραυνῳ
σπενδσομεν, ͱοσθ' ικετῇσιν ͱαμ' αιδοιοισιν οπηδεῖ·
δορπον δε χσεινῳ ταμιη δοτω ενδον εοντων.
αϝταρ επει τογ' ακοϝσ' ͱιερον μενος αλκινοοϝο,
χειρος ͱελων ͱοδυσεϝα δαϝιφρονα ποικιλομητην,
ὦρσεν απ' εσχαροφιν, και επι θρονοϝ ͱεσσε φαϝεινοο,
ͱυιον αναστησανς αγαπῆνορα λαϝοδαμαντα,
ͱος ͱοι πλησιον ͱιδσε, μαλιστα δε μιν φιλεεσκεν.
χερνιβα δ' αμφιπολος προχοϝῳ επεχεϝε φεροντσα
καλῇ, χρυσειῇ, ͱυπερ αργυρεοϝο λεβητος,
νιπτσασθαι· παρα δε χσεστην ετανυσσε τραπεδσαν.
σῖτον δ' αιδοιη ταμιη παρεθῆκε φεροντσα,
ῆδατα πολλ' επιθεντσα, χαριδσομενη παρεοντων.
αϝταρ ͱο πιϝνε και ησθε πολυτλᾶνς διϝος ͱοδυσσεϝς.
και τοτε κηρῦκα προσεφη μενος αλκινοοϝο·
ποντονοε, κρῆτηρα κερασσαμενος μεθυ νῆμον
παντσιν ανα μεγαρον, ͱινα και διϊ τερπικεραυνῳ
σπενδσομεν, ͱοσθ' ικετῇσιν ͱαμ' αιδοιοισιν οπηδεῖ.
ͱως φατο· ποντονοος δε μελιφρονα ϝοινον εκιρνα·
νωμῆσεν δ' αρα παντσιν επαρχσαμενος δεπαεσιν.
αϝταρ επει σπενδσαν τ', επιϝον θ', οσον ηθελε θυϝμος,
τοισιν δ' αλκινοος αγορεϝσατο και μετεϝεσπεν·
κεκλυτε, φαιηκων ͱηγητορες ηδε μεδοντες,
ͱοφρα ϝεπω τα με θυϝμος ενι στηθεσσι κελεϝει.
νῦν μεν δαισαμενοι κατακειετε ϝοικαδ' ιοντες·
ῆοαθεν δε γεροντας επι πλεονας καλεσαντες
χσεινον ενι μεγαροις χσεινισσομεν, ηδε θεοισιν
ρεκσομεν ͱιερα καλα· επειτα δε και περι πομπης
μνῆσομεθ', ͱως χ' ο χσεινος ανευθε πονοο και ανιϝης
πομπῇ ͱυφ' ημετερῇ ͱην πατριδα γαιαν ͱικηται
χαιρων καρπαλιμως, ει και μαλα τηλοθεν εστιν·
μηδε τι μεσσηγυς γε κακον και πημα παθητιν,
πριν γε τον ͱης γαιης επιβημεναι· ενθα δ' επειτα
πειθσεται ͱασα ͱοι αισα κατακλῶθες τε βαρυιαι
γιγνομενῳ νησαντο λινῳ, ͱοτε μιν τεκε μητηρ.
ει δε τις αθανατων γε κατ' ουρανοϝ ηληλουθεν,
αλλο τι δη τοδ' επειτα θεοι περιμηχαναονται.
αιϝει γαρ το παρος γε θεοι φαινονται εναργεες
ͱημῖν, ευτ' ερδωμεν αγακλειτας ͱεκατονβας·
δαινῦνται τε παρ' αμμι καθημενοι, ενθα περ ͱημεες.
ει δ' αρα τις και μουνος ιων γσυνβλῆται ͱοδῖτης,
ουτι κατακρυπτοντιν· επει σφισιν ενγυθεν εσμεν,
ͱωσπερ κυκλωπες τε, και αγρια φυϝλα γιγαντων.
τον δ' απαμειβομενος προσεφη πολυμητις ͱοδυσσεϝς·

αλκινο᾽, αλλο τι τοι μελετω φρεσιν· ου γαρ εγωγε H
αθανατοισι ϝεϝοικα, τοι ουρανον ευρυν ͱεχοντιν,
ου δεμας, ουδε φυϝην, αλλα θνῆτοισι βροτοισιν·
ͱοϝστινας ͱυμεες ϝιδστε μαλισθ᾽ οχεοντας οϊδσυν
ανθρωπων, τοισιν κεν εν αλγεσι ϝεισϝωσαιμην.
και δ᾽ ετι κεν και πλειον᾽ εγω κακα μυϝθησαιμην,
ͱοσα γε δη γσυνπαντα θεων ͱιͱοτητ᾽ εμογησα.
αλλ᾽ εμε μεν δορπησαι εϝᾶσατε, κηδομενον περ·
ου γαρ τι στυγερῇ επι γαστερι κυντερον αλλο
επλετο, ͱητ᾽ εκελεϝσεν ͱεϝο μνῆσασθαι αναγκῇ,
και μαλα τειρομενον, και ενι φρεσι πενθος ͱεχοντα.
ͱως και εγω πενθος μεν ͱεχω φρεσιν· ͱη δε μαλ᾽ αιϝει
εσθεμεναι κελεται και πιϝνεμεν· εκ δε με παντων
ληθανει, ͱοσ᾽ επαθον, και ενιπλησασθαι ανωγει.
ͱυμεες δ᾽ οτρυϝνεσθαι ͱαμ᾽ ῆοϊ φαινομενηφιν,
ͱως κε με τον δυστηνον εμης επιβησετε πατρης,
και περ πολλα παθοντα· ϝιδοντα με και λιποι αιϝων
κτησιν εμην, δμῶας τε, και ͱυπσερεφες μεγα δῶμα.
ͱως εφαθ᾽· οι δ᾽ αρα παντες επῄνεον, ηδ᾽ εκελεϝον
πεμπεμεναι τον χσεινον, επει κατα μοιραν εϝεσπεν.
αϝταρ επει σπενδσαν τ᾽, επιϝον θ᾽, οσον ηθελε θυϝμος,
ͱοι μεν κατκειοντες εβαν ϝοικονδε ͱεκαστος.
αϝταρ ͱογ᾽ εν μεγαρῳ ͱυπελειπετο διϝος ͱοδυσσεϝς,
παρ δε ͱοι αρητη τε και αλκινοος θεοϝειδης
ͱησθην· αμφιπολοι δ᾽ απεκοσμεον εντεα δαιτος.
τοισιν δ᾽ αρητη λεϝκωλενος ῆρχετο μυϝθων· 233
χσεινε, το μεν σε πρῶτον εγων ειρησομαι αϝτη, 237
τις; ποθεν εσσ᾽ ανδρων; τις τοι ταδε ϝεσματ᾽ εδῶκεν;
ου δη φῄς επι ποντον αλώμενος ενθαδ᾽ ͱικεσθαι;
την δ᾽ απαμειβομενος προσεφη πολυμητις ͱοδυσσεϝς·
αργαλεον, βασιλεια, διηνεκεως αγορεϝσαι
κηδε᾽, επει μοι πολλ᾽ εδοσαν θεοι ουρανιϝῶνες.
τοϝτο δε τοι ϝερεω, ͱο μ᾽ ανειρεαι, ηδε μεταλλᾷς.
ωγυγιη τις νησος αποπροθεν ειν ͱαλι κειται,
ενθα μεν ατλαντος θυγατηρ, δολοεντσα καλυπσω,
ναιει ͱεϋπλοκαμος, δδεινη θεος· ουδε τις αϝτῇ
μισγεται, ουτε θεων, ουτε θνῆτων ανθρωπων.
αλλ᾽ εμε τον δυστηνον εφεστιον ῆγαγε δαιμων
οιον, επει μοι ναϝα θοϝην αργητι κεραυνῷ
δσεϝς ελασανς εκεασσε μεσῷ ενι ϝοινοπι ποντῳ·
ενθ᾽ αλλοι μεν παντες απεφθιθεν εσθλοι ͱεταιροι·
αϝταρ εγω, τροπιν ανκας ͱελων ναϝος αμφιϝελισσης,
ͱεννῆμαρ φερομην· δεκατῇ δε με νυκτι μελαινῇ
νησον ες ωγυγιην πελασαν θεοι, ενθα καλυπσω
ναιει ͱεϋπλοκαμος, δδεινη θεος· ͱη με λαβοντσα
ενδυκεως εφιλεε τε, και ετρεφεν, ηδε τ᾽ εφᾶσκεν

θησεμεν αθανατον, και αγηραον ͱηματα παντα·
αλλ᾽ εμον ου ποτε θυϝμον ενι στηθεσσιν επειθεν.
ενθα μεν ͱεπταϝετες μενον ενπεδον, ϝεσματα δ᾽ αιϝει
δακρυσι δευεσκον, τα μοι ανβροτ᾽ εδῶκε καλυπσω·
αλλ᾽ ͱοτε δη ͱογδοον μοι επιπλομενον ϝετος ηλθεν·
και τοτε δη μ᾽ εκελεϝσεν εποτρυϝνοντσα νεεσθαι,
δσῆνος ͱυπ᾽ ανγελιης, η και νοος ετραπετ᾽ αϝτης.
πεμπε δ᾽ επι σχεδιης πολυδεσμοϙο· πολλα δ᾽ εδῶκεν,
σῖτον και μεθυ ͱηδυ· και ανβροτα ϝεσματ᾽ εϝεσσεν·
ουρον δε προεͱῆκεν απημονα τε, χλιαρον τε.
ͱεπτα δε και δεκα μεν πλεϝον ͱηματα ποντοπορεϝων,
ͱοκτω και δεκατῃ δ᾽ εφανη ορεα σκιοεντα
γαιης ͱυμετερης· γηθησε δε μοι φιλον ητορ,
δυσμορῳ· η γαρ εμελλον ετι γσυνεσεσθαι οϊδσυι
πολλῃ, την μοι επῶρσε ποσειδαϝων ενοσιχθων·
ͱος μοι εφορμῆσανς ανεμοϝς, κατεδησε κελευθοϝς,
ῶρῖνεν δε θαλασσαν αθεσφατον· ουδε με κυϝμα
ηϝα᾽ επι σχεδιης ͱαδινα στοναχοντα φερεσθαι.
την μεν επειτα θυϝελλα διεσκεδασ᾽· αϝταρ εγωγε
νηχομενος τοδε λαιτμα διετμαγον· ͱοφρα με γαιῃ
ͱυμετερῃ επελασσε φερων ανεμος τε και ͱυϝδωρ.
ενθα κε μ᾽ εκβαινοντ᾽ εβιῆσατο κυϝμ᾽ επι χερσοο,
πετρῃς προς μεγαλῃσι βαλον, και ατερπεϊ χῶρῳ,
αλλ᾽ αναχασσαμενος νηχον παλιν, ͱεϝος επηλθον
ες ποταμον, τῃ δη μοι εϝειδσατο χῶρος αριστος,
λεϝος πετραϝων· και επι σκεπας ῆν ανεμοϙο.
εκ δ᾽ επεσον θυϝμῆγερεων· επι δ᾽ ανβροσιη νυκς
ηλυθ᾽· εγω δ᾽ απανευθε διϊπετεος ποταμοϙο
εκβανς εν θαμνοισι κατεδραθον· αμφι δε φυλλα
ῆφυσαμην· ͱυπνον δε θεος κατ᾽ απειρον᾽ εχεϝσεν.
ενθα μεν εν φυλλοισι, φιλον τετιϝῆμενος ητορ,
ͱευδον παννυχιος, και επ᾽ ῆοα, και μεσον ͱημαρ·
δεϝλετο τ᾽ ῆελιος, και κε γλυκυς ͱυπνος ανͱῆκεν.
αμφιπολοϝς δ᾽ επι θῖνι τεϝης ενοησα θυγατρος
παιδσοντσας, εν δ᾽ αϝτη εῆν ϝεϝικυια θεοισιν.
την ͱικετεϝσ᾽· ͱη δ᾽ ουτι νοηματος ῆμβροτεν εσθλοο,
ͱως ουκ αν ͱελποιο νεϝωτερον αντιασαντα.
ͱη μοι σῖτον εδῶκεν ͱαλις, ηδ᾽ αιθοπα ϝοινον,
και λοϝεσ᾽ εν ποταμῷ, και μοι ταδε ϝεσματ᾽ εδῶκεν.
ταϝτα τοι, αχνυμενος περ, αληθειην κατελεγσα.
τον δ᾽ αϝτ᾽ αλκινοος απαμειβετ᾽, εφῶνησεν τε·
χσειν᾽, ητοι μεν τοϝτο γ᾽ εναισιμον ουκ ενοησεν
παις εμη, ͱοονεκα σ᾽ ουτι μετ᾽ αμφιπολοισι γυναικσιν
ῆγεν ες ͱημετερον· συ δ᾽ αρα πρῶτην ͱικετεϝσας.
τον δ᾽ απαμειβομενος προσεφη πολυμητις ͱοδυσσεϝς·
ͱηρως, μη μοι τοονεκ᾽ αμυϝμονα νεικεε κοϝρην·

ͱη μεν γαρ μ' εκελεϝε συν αμφιπολοισιν ͱεπεσθαι· Η
αλλ' εγω ουκ εθελον, δδειδσανς, αισχυϝνομενος τε,
μη πως και σοι θυϝμος επισκυσσαιτο ϝιδοντι·
δυσδσηλοι γαρ τ' εσμεν επι χθονι φυϝλ' ανθρωπων.
τον δ' αϝτ' αλκινοος απαμειβετ', εφῶνησεν τε·
χσειν', ου μοι τοιοϝτον ενι στηθεσσι φιλον κεαρ
μαπσιδιως κεχολῶσθαι· αμεινονα δ' αισιμα παντα.
ͱως ͱοι μεν τοιαϝτα προς αλληλοϝς αγορεϝον.
κεκλετο δ' αρητη λεϝκωλενος αμφιπολοισιν
δεμνι' ͱυπ' αιθουσῃ θεμεναι, και ϝρῆγεα καλα
πορφυρε' ενβαλεεεν, στορεσαι τ' εφυπερθε ταπητας,
χλαινας τ' ενθεμεναι ϝολϝας, καθυπερθε ϝεσασθαι.
ͱαι δ' ισαν εκ μεγαροϝο, δαϝος μετα χερσιν ͱεχοντσαι.
αϝταρ επει στορεσαν πυκινον λεχος ενκονεοντσαι,
ῶτρυϝνον ͱοδυσεϝα παρͱισταμεναι ϝεπεεσιν·
ορσο κεων, ω χσεινε, πεποιηται δε τοι ευνη.
ͱως φαν· τῷ δ' ασπαστον εϝειδσατο κοιμῆθηναι.
ͱως ͱο μεν ενθα καθευδε πολυτλᾶνς διϝος ͱοδυσσεϝς
τρῆτοισ' εν λεχεεσιν, ͱυπ' αιθουσῃ εριδουπῳ.
αλκινοος δ' αρ' ελεχτο μυχῷ δομοϝ' ͱυπσηλοϝο·
παρ δε γυνη δεσποινα λεχος πορσυϝνε και ευνην.
ημος δ' ῆριγενει' εφανη ϝροδοδακτυλος ῆως, Θ
ῶρνυτ' αρ' εκς ευνης ͱιερον μενος αλκινοοϝο.
αν δ' αρα διϝογενης ῶρτο πτολιπορθος ͱοδυσσεϝς.
τοισιν δ' ͱηγεμονεϝ' ͱιερον μενος αλκινοοϝο
φαιηκων αγορηνδ', ͱη σφιν παρα ναϝσ' ετετυχτο.
ελθοντες δε καθιδσον επι χσεστοισι λιθοισιν
πλησιον· ͱη δ' ανα ϝαστυ μετῷχετο παλλας αθηνη,
ϝειδομενη κηρῦκι δαϝιφρονος αλκινοοϝο,
νοστον ͱοδυσσεϝι μεγαλητορι μητιαοντσα·
και ρα ͱεκαστῳ φῶτι παρͱισταμενη φατο μυϝθον·
δευτ' αγε, φαιηκων ͱηγητορες, ηδε μεδοντες,
εις αγορην ιμεναι, ͱοφρα χσεινοϝο πυθησθε,
ͱος νεϝον αλκινοοϝο δαϝιφρονος ͱικετο δῶμα,
ποντον επιπλανχθενς, δεμας αθανατοισιν ͱομοιος.
ͱως ϝεσποντσ', ῶτρυϝνε μενος και θυϝμον ͱεκαστοο.
καρπαλιμως δ' ενπλῆντο βροτων αγοραι τε, και ͱεδραι
αγρομενων· πολλοι δ' αρ εθαϝησαντο ϝιδοντες
ͱυιον λαϝερταϝο δαϝιφρονα· τῷ γαρ αθηνη
θεσπεσιην κατεχεϝσε χαριν κεφαλῇ τε, και ωμοις,
και μιν μακροτερον και πασσον' εθῆκε ϝιδεσθαι,
ͱως κεν φαιηκεσι φιλος παντεσι γενοιτο.
αϝταρ επει ρ' ῆγερθεν, ͱομηγερεες τ' εγενοντο,
τοισιν δ' αλκινοος αγορεϝσατο και μετεϝεσπεν·
κεκλυτε, φαιηκων ͱηγητορες, ηδε μεδοντες,
ͱοφρα ϝεπω, τα με θυϝμος ενι στηθεσσι κελεϝει·

χσεινος ͱοδ᾽, ουκ ϝοιδ᾽ ͱοστις, αλωμενος ͱικετ᾽ εμον δω̃,
ηε προς ηοιων, η ϝεσπεριων ανθρωπων·
πομπην δ᾽ οτρυϝνει, και λισσεται εμπεδον εεναι.
ͱημεες δ᾽, ͱως το παρος περ, εποτρυϝνωμεθα πομπην.
ουδε γαρ ουδ᾽ αλλος, ͱοστις κ᾽ εμα δω̃μαθ᾽ ικηται,
ενθαδ᾽ οδυϝρομενος δηρον μενει, ͱεινεκα πομπης.
αλλ᾽ αγε, ναϝα μελαιναν ϝερυσσομεν εις ͱαλα διϝαν
πρω̃τοπλοϝον· κοϝρω δε δυω και πεντηκοντα
κρι̃νασθων κατα δημον, ͱοσοι παρος εντιν αριστοι.
δησαμενοι δ᾽ ͱεῢ παντες επι κλεϝιεσιν ερετμα
εκβητ᾽· αϝταρ επειτα θοϝην αλεγυϝνετε δαιτα,
ͱημετερονδ᾽ ελθοντες· εγω δ᾽ ͱεῢ παντσι παρϝεχσω.
κοϝροισιν μεν ταϝτ᾽ επιτελλομαι· αϝταρ ͱοι αλλοι
σκηπτοͱοχοι βασιλεϝες εμα προς δω̃ματα καλα
ερχεσθ᾽, ͱοφρα χσεινον ενι μεγαροις φιλεωμεν,
μηδε τις αρνεεσθω· καλεσασθε δε θειον αϝοιδον
δημοδοκον· τῳ̃ γαρ ρα θεος περιδω̃κεν αϝοιδην
τερπεμεν, ͱοπῃ̃ θυϝμος εποτρυνῃσιν αϝειδεεν.
ͱως αρα φωνησανς ͱηγησατο· τοι δ᾽ ͱαμ᾽ ͱεποντο
σκηπτοͱοχοι· κηρυκς δε μετῳ̃χετο θειον αϝοιδον.
κοϝρω δε κρινθεντε δυω και πεντηκοντα
βητην, ͱως εκελεϝσ᾽, επι θι̃ν᾽ ͱαλος ατρυγετοϝο.
αϝταρ επει ρ᾽ επι ναϝα κατηλυθον, ηδε θαλασσαν,
ναϝα μεν ͱοιγε μελαιναν ͱαλος βενθοσδ᾽ εϝερυσσαν,
εν δ᾽ ͱιστον τ᾽ ετιθεντο και ͱιστια ναϝι μελαινῃ̃·
ἠρτυ̃ϝναντο δ᾽ ερετμα τροποισ᾽ εν δερματινοισιν,
παντα κατα μοιραν· ανα δ᾽ ͱιστια λεϝκ᾽ επετασσαν·
ͱυπσοϝο δ᾽ εν νοτιῳ την γ᾽ ͱορμισαν· αϝταρ επειτα
βαν ρ᾽ ιμεν αλκινοοϝο δαϝιφρονος ες μεγα δω̃μα.
πλη̃ντο δ᾽ αρ᾽ αιθουσαι τε, και ͱερκεα, και δομοι ανδρων.
τοισιν δ᾽ αλκινοος δυο και δεκα μηλ᾽ ͱιερεϝσεν,
ͱοκτω δ᾽ αργιοδοντας ͱυας, δυο δ᾽ ͱελλιποδας βοϝς·
τοϝς δερον, αμφι θ᾽ επον, τετυχοντο τε δαιτ᾽ ερατεινην.
κηρυκς δ᾽ ενγυθεν ηλθεν αγων ερι̃ηρον αϝοιδον,
τον περι μοϝσ᾽ εφιλησ᾽, εδιδω̃ δ᾽ αγαθον τε, κακον τε·
οφθαλμων μεν αμερσ᾽, εδιδω̃ δ᾽ ͱηδυιαν αϝοιδην.
τῳ̃ δ᾽ αρα ποντονοος θη̃κε θρονον αργυροͱηλον
μεσσῳ̃ δαιτυμονων, προς κιονα μακρον ερειδσανς·
κατ δ᾽ εκ πασσαλοϝ᾽ εκρεμασεν φορμιγγα λιγυιαν
αϝτοϝ ͱυπερ κεφαλης, και επεφραδε χερσιν ͱελεσθαι
κηρυκς· παρ δ᾽ ετιθεε κανεον, καλην τε τραπεδσαν,
παρ δε δεπας ϝοινοϝο, πιϝεεν ͱοτε θυϝμος ανωγοι.
ͱοι δ᾽ επ᾽ ονειαθ᾽ ετοιμα προκειμενα χειρας ιαλλον.
αϝταρ επει ποσιος και εδητυος εκς ερον ͱεντο,
μοϝσ᾽ αρ᾽ αϝοιδον ανη̃κεν αϝειδεμεναι κλεε᾽ ανδρων,
ͱοιμης, της τοτ᾽ αρα κλεος ουρανον ευρυν ͱικανεν·

νεικος ͱοδυσσεϝος και πηλεϝιδαϝ αχιλεϝος,
ͱως ποτε δηρῑσαντο, θεων εν δαιτι θαλειῃ, Θ
εκπαγλοισι ϝεπεσσι· ϝαναξ δ' ανδρων αγαμεμνων
χαιρε νοω̃, ͱοτ' αριστοι αχαιϝων δηριαοντο.
ͱως γαρ ͱοι χρεϝων μυϝθησατο φοιβος απολλων
πυθοι εν αγαθεῃ, ͱοθ' υπερβη λαϝινον ουδον.
ταϝτ' αρ' αϝοιδος αϝειδε περικλυτος· αϝταρ ͱοδυσσεϝς,
πορφυρεον μεγα φαϝρος ͱελων χερσι στιβαρῃσιν,
κατ κεφαλης εϝερυσσ', εκαλυπτσε δε καλα προσω̃πα·
αιδετο γαρ φαιηκας, ͱυπ' οφρυσι δακρυϝα λειβων.
ητοι ͱοτε ληγσειεν αϝειδων θειος αϝοιδος,
δακρυϝ' ομοργσαμενος, κεφαλης απο φαϝρος ͱελεσκεν,
και δεπας αμφικυπελλον ͱελων, σπενδεσκε θεοισιν·
αϝταρ ͱοτ' αψ αρχοιτο, και οτρυ̃ϝνειαν αϝειδεεν
φαιηκων ͱοι αριστοι, επει τερποντο ϝεπεσσιν,
αψ ͱοδυσεϝς κατα κρα̃τα καλυπτσαμενος γοαεσκεν.
ενθ' αλλοϝς μεν παντας ελανθανε δακρυϝα λειβων,
αλκινοος δε μιν οιος επεφρασατ', ηδ' ενοησεν·
αιπσα δε φαιηκεσι φιλη̃ρετμοισι μετη̃υϝδα·
κεκλυτε, φαιηκων ͱηγητορες, ηδε μεδοντες·
ηδη μεν θυϝμον κεκορημεθα δαιτος ϝεϊσϝης,
φορμιγγος θ', η δαιτι συνη̃ͱορος εστι θαλειῃ·
νυ̃ν δ' εκσελθωμεν, και αϝεθλων πειρη̃θωμεν
παντων· ͱως χ' ο χσεινος ενισπηθ' οισι φιλοισιν,
ϝοικαδε νοστησανς, ͱοσον περιγιγνομεθ' αλλων,
πυγς τε, παλαισμοσυνῃ τε, και ͱαλμασιν, ηδε ποδεσιν.
ͱως αρα φω̃νησανς ͱηγησατο· τοι δ' ͱαμ' ͱεποντο.
κατ δ' εκ' πασσαλοϝ' εκρεμασε φορμιγγα λιγυιαν,
δημοδοκοο δ' ͱελε χειρα, και εκσαγεν εκ μεγαροϝο
κηρυκς· η̃ρχε δε τω̃ αϝτην ͱοδον, ͱηνπερ ͱοι αλλοι.
βαν δ' ιμεν εις αγορην, ͱαμα δ' ͱεσπετο πολυς ͱομιλϝος,
μυϝριοι· αν δ' ͱισταντο νεϝοι πολλοι τε, και εσθλοι.
ω̃ρτο μεν ακροναϝος τε, και ω̃κυͱαλος, και ελατρεϝς,
ναϝτεϝς τε, πρυμνεϝς τε, και ανχιͱαλος, και ερετμεϝς,
ποντεϝς τε, πρω̃ρεϝς τε, θοϝων, αναβησιναϝος τε,
αμφιͱαλος θ', υιος πολυναϝοϝο τεχτονιδαϝο·
αν δε και ευρυͱαλος, βροτολοιγω̃ ϝεισϝος αρεϝι,
ναϝβολιδης θ', ος αριστος εη̃ν ϝειδος τε, δεμας τε,
παντων φαιηκων μετ' αμυϝμονα λαϝοδαμαντα.
αν δ' εσταν τρεες παιδες αμυϝμονος αλκινοοϝο,
λαϝοδαμανς θ', αλιος τε, και αντιθεος κλυτοναϝος.
ͱοι δη τοι πρω̃τον μεν επειρη̃σαντο ποδεσιν.
τοισι δ' απο νυσσης τετατο δρομος· ͱοι δ' ͱαμα παντες
καρπαλιμως επετοντο κονιϝοντες πεδιοϝο.
των δε θεϝεεν ͱοχ' αριστος εη̃ν κλυτοναϝος αμυϝμων·
ͱοσον τ' εν νεϝω̃ ουρον πελει ͱημιονοιϊν,

τοσον ͱυπεκπροθεϝων λαϝοϝς ͱικεθ', οι δ' ελιποντο.
ͱοι δε παλαισμοσυνης αλεγεινης πειρῆσαντο· θ
τῆ δ' αϝτ' ευρυͱαλος απεκαινυτο παντας αριστοϝς·
ͱαλματι δ' αμφιͱαλος παντων προφερεστερος ῆεν·
δισκῷ δ' αϝ παντων προφερεστατος ῆεν ελατρεϝς·
πυγς δ' αϝ λαϝοδαμανς, αγαθος παϊς αλκινοοϝο.
αϝταρ επειδη παντες ετερφθησαν φρεν' αϝεθλοις,
τοισ' αρα λαϝοδαμανς μετεφη παϊς αλκινοοϝο·
δευτε, φιλοι, τον χσεινον ερωμεθα, ει τιν' αϝεθλων
ϝοιδε τε και δεδαηκε· φυϝην γε μεν ου κακος εστιν,
μηροϝς τε, κνημας τε, και αμφω χειρε ͱυπερθεν,
αϝχενα τε στιβαρον, μεγα τε σθενος· ουδε τι ͱηβης
δεϝεται, αλλα κακοις γσυνϝεϝρῆκται πολυεσιν·
ου γαρ εγωγε τι φημι κακωτερον αλλο θαλασσης,
ανδρα τε συνχεϝσαι, ει και μαλα καρτερος ειη.
τον δ' αϝτ' ευρυͱαλος απαμειβετ', εφῶνησεν τε·
λαϝοδαμαν, μαλα τοϝτο ϝεπος κατα μοιραν εϝεσπες·
αϝτος νῦν προκαλεσσαι ιων, και πεφραδε μυϝθον.
αϝταρ επει τογ' ακοϝσ' αγαθος παϊς αλκινοοϝο,
στη ρ' ες μεσσον ιων, και ͱοδυσσεϝα προσεϝεσπεν·
δευρ' αγε και συ, χσεινε πατερ, πειρῆσαι αϝεθλων.
τον δ' απαμειβομενος προσεφη πολυμητις ͱοδυσσεϝς·
λαϝοδαμαν, τι με ταϝτα κελεϝετε κερτομεοντες;
κηδεα μοι και μαλλον ενι φρεσιν, ηπερ αϝεθλοι,
ͱος πριν μεν μαλα πολλ' επαθον, και πολλ' εμογησα·
νῦν δε μεθ' υμετερῆ αγορῆ νοστοϝο χατιδσων
ͱημαι, λισσομενος βασιλεϝα τε, παντα τε δημον.
τον δ' αϝτ' ευρυͱαλος απαμειβετ', ενεικεσε τ' αντην·
ου γαρ σ' ουδε, χσεινε, δαημονι φῶτι ϝεϊσκω·
αλλα τεῷ, ͱος θ' αμα ναϝι πολυκλεϝῖδι θαμιδσων,
αρχος ναϝταϝων, ͱοιτε πρῆκτηρες εαντιν,
φορτοϝο τε μνῆμων, και επισκοπος ῆτιν ͱοδαιων.
τον δ' αρ' ͱυποδρα ϝιδων προσεφη πολυμητις ͱοδυσσεϝς·
χσειν', ου καλον εϝεσπες· ατασθαλῷ ανδρι ϝεϝοικας.
ͱοϝτως ου παντεσι θεοι χαριεντα διδοντιν.
αλλος μεν γαρ ϝειδος ακιδνοτερος πελει ανηρ,
αλλα θεος μορφην ϝεπεσι στεφει· ͱοι δε τ' ες αϝτον
τερπομενοι λεϝσσοντιν· ͱο δ' ασφαλεως αγορεϝει
αιδοϊ μειλιχιῆ, μετα δε πρεπει αγρομενοισιν·
ερχομενον δ' ανα ϝαστυ, θεον ͱως, εισͱοραοντιν·
αλλος δ' αϝ ϝειδος μεν αλινκιος αθανατοισιν·
αλλ' ου ͱοι χαρις αμφι περιστεφεται ϝεπεεσιν.
ͱως και σοι ϝειδος μεν αριπρεπες, ουδε κεν αλλως
ουδε θεος τευχσειε· νοον δ' αποφῶλιος εσσι.
ῶρῖνας μοι θυϝμον ενι στηθεσσι φιλοισιν,
ϝεσπων ου κατα κοσμον· εγω δ' ου νεϝις αϝεθλων,

ͱως συγε μυϝθεεαι, αλλ' εν πρῶτοισιν οἴϝω 180
εσμεναι, ͱοφρ' ͱηβῇ τ' επεποιθεα, χερσι τ' εμῇσιν· θ
νῦν δ' ͱεχομαι κακοτητι και αλγεσι· πολλα γαρ ετλῆν,
ανδρων τε πτολεμοϝς, αλεγεινα τε κυϝματα πειρων.
αλλα και ͱως, κακα πολλα παθων, πειρῇσομ' αϝεθλων·
θυϝμοδακης γαρ μυϝθος· επῶτρῦϝνας δε με ϝεσπων. 185
η ρα, και αϝτῷ φαϝρει αναϝικσανς λαβε δισκον
μειδσονα και παχετον, στιβαρωτερον ουκ ολιγον περ,
η ͱοιῷ φαιηκες εδισκεϝον αλληλοισιν.
τον ρα περιστρεφσανς ͱῆκε στιβαρης απο χειρος·
βομβησεν δε λιθος· κατα δ' επτηκσαν ποτι γαιῇ 190
φαιηκες δολιχῆρετμοι, ναϝσικλυτοι ανδρες,
λαϝος ͱυπο ρῖπης· ͱο δ' ͱυπερπτατο σηματα παντων,
ριμφα θεϝων απο χειρος· εθῆκε δε τερματ' αθηνη,
ανδρι δεμας ϝεϝικυια· ϝεπος τ' εφατ', εκ τ' ονομαδσεν·
και κ' αλαϝος τοι, χσεινε, διακρῖνειε το σημα 195
αμφαφαων· επει ουτι μεμιγμενον εστιν ͱομιλϝῷ,
αλλα πολυ πρῶτον· συ δε θαρσεε τονδε γ' αϝεθλον·
ουτις φαιηκων τονγ' ͱικσεται, ουδ' ͱυπερͱησει.
ͱως φατ'· εγηθησεν δε πολυτλᾶνς διϝος ͱοδυσσεϝς, 199
και τοτε κουφοτερον μετεφῶνεε φαιηκεσιν· 201
τοϝτον νῦν αφικεσθε, νεϝοι· ταχα δ' ͱυστερον αλλον
ͱησεμεν ηε τοσοϝτον οἴϝομαι, η' ετι μασσον.
των δ' αλλων, ͱοντε κραδιη θυϝμος τε κελεϝει,
δευρ' αγε πειρῆθητω, επει μ' εχολῶσατε λιϝην, 205
η πυγς, ηε παλῇ, η και ποσιν, ουτι μεγαιρω,
παντων φαιηκων, πλην γ' αϝτοϝο λαϝοδαμαντος·
χσεινος γαρ μοι ͱοδ' εστι· τις αν φιλεοντι μαχοιτο;
αφρων δη κεινος γε και ουτιδανος πελει ανηρ,
ͱοστις χσεινοδοκῷ εριδα προφερηται αϝεθλων, 210
δημῷ εν αλλοδαπῷ· ͱεϝο τ' αϝτοϝο παντα κολοϝει.
των δ' αλλων ουπερ τιν' ααινομαι, ουδ' αθεριδσω,
αλλ' εθελω ϝιδμεν και πειρῆθημεναι αντην·
παντα γαρ ου κακος ῆμι μετ' ανδρεσιν, ͱοσσοι αϝεθλοι.
ͱευ μεν τοκσον ϝοιδα ͱεΰχσυϝον αμφαφαεσθαι· 215
πρῶτος κ' ανδρα βαλοιμι, οἴστεϝσανς εν ͱομιλϝῷ· 216
δορϝι δ' ακοντιδσω, ͱοσον ουκ αλλος τις οἴστῷ· 229
οιοισιν δεδϝοιδκα ποσιν, μη τις με παρελθῇ 230
φαιηκων· λιϝην γαρ αϝεικελιως εδαμασθην
κυϝμασιν εν πολλοισ'· επει ου κομιδη κατα ναϝα
ῆεν επιϝετανος· τῷ μοι φιλα γυια λελῦνται.
ͱως εφαθ'· οι δ' αρα παντες ακην εγενοντο σιωπῇ·
αλκινοος δε μιν οιος αμειβομενος προσεϝεσπεν· 235
χσειν', επει ουκ αχαριστα μεθ' ημῖν ταϝτ' αγορεϝεις,
αλλ' εθελεις αρετην σην φαινεμεν, ͱη τοι οπηδεῖ,
χωομενος, ͱοτι σ' ͱοϝτος ανηρ εν αγῶνι παραστανς

νεικεσεν· ͱως αν σην αρετην βροτος ουτις ονοιτο, Θ
ͱοστις επισταιτο ͱῇσι φρεσιν αρτια βαδσεεν.
αλλ᾽ αγε, νῦν εμεθεν γσυνͱιͱεε ϝεπος, ͱοφρα και αλλῳ
ϝεσπῇς ͱηροϝων, ͱοτε κεν σοισ᾽ εν μεγαροισιν
δαινυεαι παρα σῇ θ᾽ αλοχῳ και σοισι τεκεσσιν,
ͱημετερης αρετης μεμνῆμενος, ͱοια και ͱημῖν
δσεϝς επι ϝεργα τιθητι διαυπερες εκσετι πατρων.
ου γαρ πυγμαχοι εσμεν αμυϝμονες, ουδε παλαισται,
αλλα ποσι κραιπνως θεϝομεν, και ναϝσιν αριστοι·
αιϝει δ᾽ ͱημῖν δαις τε φιλη, κιθαρις τε, χοροι τε,
ϝεσματα τ᾽ εκσῆμοιβα, λοϝετρα τε θερμα, και ευναι.
αλλ᾽ αγε, φαιηκων βηταρμονες, ͱοσοι αριστοι,
παιδσατε· ͱως χ᾽ ο χσεινος ενισπηθ᾽ οισι φιλοισιν,
ϝοικαδε νοστησανς, ͱοσον περιγιγνομεθ᾽ αλλων
ναϝτιλιῃ, και ποδσι, και ορχηστυι, και αϝοιδῃ.
δημοδοκῳ δε τις αιπσα κιων φορμιγγα λιγυιαν
ͱοισετω, ͱη ποϝο κειται εν ͱημετεροισι δομοισιν.
ͱως εφατ᾽ αλκινοος θεοϝεικελος· ῶρτο δε κηρυκς
ͱοισων φορμιγγα γλαφυρην δομοϝ᾽ εκ βασιλεϝος.
αισυμνῆται δε κριτοι ͱεννεα παντες ανεσταν
δημιοι, ͱοι κατ᾽ αγῶνας ͱεϋπρῆσσεσκον ͱεκαστα·
λεϝῆναν δε χορον, καλον δ᾽ ευρῦναν αγῶνα.
κηρυκς δ᾽ εγγυθεν ηλθε φερων φορμιγγα λιγυιαν
δημοδοκῳ· ͱο δ᾽ επειτα κι᾽ ες μεσον· αμφι δε κοϝροι
πρῶθηβαι ͱισταντο, δαημονες ορχηθμοϝο·
πεπληγον δε χορον θειον ποσιν· αϝταρ ͱοδυσσεϝς
μαρμαρυγας θαϝεετο ποδων, θαϝμαδσε δε θυϝμῳ.
αλκινοος δ᾽ ͱαλιον και λαϝοδαμαντ᾽ εκελεϝσεν
μουνακς ορχησασθαι, επει σφισιν ουτις εριδσεν.
ͱοι δ᾽ επει ῶν σφαιραν καλην μετα χερσιν ͱελοντο
πορφυρεην, την σφιν πολυβος ποιησε δαϝιφρων·
την ͱετερος ριπτᾶσκε ποτι νεφεα σκιοεντα,
ιδνωθενς οπισῳ· ͱο δ᾽ απο χθονος ͱυπσοσ᾽ αͱερθενς
ρεϝιδιως μεθελεσκε, παρος ποσιν ουδας ͱικεσθαι.
αϝταρ επειδη σφαιρῃ αν᾽ ιθυν πειρῆσαντο,
ῶρχεεσθην δη επειτα ποτι χθονι πολυβοτειρῃ,
ταρφε᾽ αμειβομενω· κοϝροι δ᾽ επεληκεον αλλοι,
ͱεσταοτες κατ᾽ αγῶνα, πολυς δ᾽ ͱυπο κομπος ορῶρεεν.
δη τοτ᾽ αρ᾽ αλκινοον προσεφῶνεε διϝος ͱοδυσσεϝς·
αλκινοε κρεϝον, παντων αριδεικετε λαϝων,
η μεν απειλησας βηταρμονας εεναι αριστοϝς,
η δ᾽ αρ᾽ ͱετοιμ᾽ ετετυχτο· σεβας μ᾽ ͱεχει εισͱοραοντα.
ͱως φατ᾽· εγηθησεν δ᾽ ͱιερον μενος αλκινοοϝο·
αιπσα δε φαιηκεσι φιλῆρετμοισι μετῆυϝδα·
κεκλυτε, φαιηκων ͱηγητορες, ηδε μεδοντες·
ͱο χσεινος μαλα μοι δοκεει πεπνῦμενος εεναι,

αλλ᾽ αγε, δῶωμεν χσεινῆϊον, ͱως επιϝεικες· Θ
δῶδεκα γαρ κατα δημον αριπρεπεες βασιλεϝες
αρχοι κραϝνοντι, τρις και δεκατος δ᾽ εγω αϝτος·
των ͱοι ͱεκαστος φαϝρος ͱεϋπλυνες, ηδε χιτῶνα,
και χρυσοϝο ταλαντον ενενκατε τιϝμῆεντος·
αιπσα δε παντα φερωμεν ͱαϝολϝεες, ͱοφρ᾽ ενι χερσιν
χσεινος ͱεχων επι δορπον ιῃ χαιρων ενι θυϝμῷ.
ευρυͱαλος δε ͱεϝ᾽ αϝτον αρεσσασθω ϝεπεεσιν
και δῶρῳ, επει ου τι ϝεπος κατα μοιραν εϝεσπεν.
ͱως εφαθ᾽· οι δ᾽ αρα παντες επῄνεον, ηδ᾽ εκελεϝον·
δῶρα δ᾽ αρ᾽ ͱοισεμεναι προͱεσαν κηρῦκα ͱεκαστος.
τον δ᾽ αϝτ᾽ ευρυͱαλος απαμειβετ᾽, εφῶνησεν τε·
αλκινοε κρεϝον, παντων αριδεικετε λαϝων,
τοιγαρ εγω τον χσεινον αρεσσομαι, ͱως συ κελεϝεις·
δῶσω ͱοι τοδ᾽ αͱορ πανχαλκεον, ͱῷ επι κωπη
αργυρεη, κολεον δε νεϝοπριστοϝ ελεφαντος
αμφιδεδινεϝται· πολυος δε ͱοι αγσιον εσται.
ͱως ϝεσπων, εν χερσ᾽ ετιθεε χσιφος αργυροͱηλον,
και μιν φῶνησανς ϝεπεα πτεροεντα προσῆυϝδα·
χαιρε, πατερ ω χσεινε· ϝεπος δ᾽ ειπερ τι βεβακται
δδεινον, ͱαφαρ το φεροιεν ανͱαρπακσαντσαι αͱελλαι.
σοι δε θεοι ͱαλοχον τε ϝιδεεν, και πατριδ᾽ ͱικεσθαι,
δοιεν· επειδη δηθα φιλων απο πηματα πασχεις.
τον δ᾽ απαμειβομενος προσεφη πολυμητις ͱοδυσσεϝς·
και συ, φιλος, μαλα χαιρε, θεοι δε τοι ολβια δοιεν·
μηδε τι τοι χσιφεος γε ποθη μετοπισθε γενοιτο
τοϝτοϝ, ͱο δη μοι εδῶκας αρεσσαμενος ϝεπεεσιν.
η ρα, και αμφ᾽ ωμοισ᾽ εθετο χσιφος αργυροͱηλον.
δυϝσατο τ᾽ ῆελιος, και τῷ κλυτα δῶρα παρῆεν·
και ταγ᾽ ες αλκινοοϝ εφερον κηρῦκες αγαϝοι·
δεχσαμενοι δ᾽ αρα παιδες αμυϝμονος αλκινοοϝο,
μητρι παρ᾽ αιδοιῃ εθεσαν περικαλλεα δῶρα.
τοισιν δ᾽ ͱηγεμονεϝ ͱιερον μενος αλκινοοϝο·
ελθοντες δε καθιδσον εν ͱυπσηλοισι θρονοισιν.
δη ρα τοτ᾽ αρητην προσεφη μενος αλκινοοϝο·
δευρο, γυναι, φερε χηλον αριπρεπε᾽, ͱητις αριστη·
εν δ᾽ αϝτῃ θες φαϝρος ͱεϋπλυνες, ηδε χιτῶνα.
αμφι δε ͱοι πυρι χαλκον ιῆνατε, θερμετε δ᾽ ͱυϝδωρ,
ͱοφρα λοεσσαμενος τε, ϝιδων θ᾽ εϋ κειμενα παντα
δῶρα, τα ͱοι φαιηκες αμυϝμονες ενθαδ᾽ ενενκαν,
δαιτι τε τερπηται, και αϝοιδης ͱυμνον ακοϝων.
και ͱοι εγω τοδ᾽ αλεισον εμον περικαλλες οπασσω,
χρυσεον, ͱοφρ᾽ εμεθεν μεμνῆμενος ͱηματα παντα
σπενδητ᾽ εν μεγαρῳ διϊ τ᾽, αλλοισιν τε θεοισιν.
ͱως εφατ᾽· αρητη δε μετα δμῳῆσιν εϝεσπεν,
αμφι πυρι στησαι τριποδα μεγαν ͱοτι ταχιστα.

ͱαι δε λοϝετροχοϝον τριποδ' ͱιστασαν εν πυρι κηλεῷ,
εν δ' αρ' ͱυδωρ εχεϝον, ͱυπο δε χσυλα δαϝον ͱελοντσαι· Θ
γαστρην μεν τριποδος πυρ αμφεπ', εθερμετο δ' ͱυϝδωρ.
τοφρα δ' αρ' αρητη χσεινῷ περικαλλεα χηλον
εκσεφερεν θαλαμοϝ, ετιθεε δ' ενι καλλιμα δῶρα,
ϝεσθητα, χρυσον τε, τα ͱοι φαιηκες εδῶκαν·
εν δ' αϝτῇ φαϝρος θῆκεν, καλον τε χιτῶνα,
και μιν φῶνησαντσα ϝεπεα πτεροεντα προσῆυϝδα·
αϝτος νῦν ϝιδε πῶμα, θοϝως δ' επι δεσμον ιῆλον,
μη τις τοι καθ' οδον δηλησεται, ͱοποτ' αν αϝτε
ͱευδῆσθα γλυκυν ͱυπνον, ιων εν ναϝι μελαινῇ.
αϝταρ επει τογ' ακοϝσε πολυτλᾶς διϝος ͱοδυσσεϝς,
αϝτικ' επῆρτυε πῶμα, θοϝως δ' επι δεσμον ιῆλεν
ποικιλον, ͱον ποτε μιν δεδαε φρεσι ποτνια κιρκη.
αϝθοδιον δ' αρα μιν ταμιη λοϝεσασθαι ανωγεν,
ες ρ' ασαμινθον βανθ'· ο δ' αρ' ασπασιως ϝιδε θυϝμῷ
θερμα λοϝετρ'· επει ου τι κομιδσομενος γ' εθαμιδσεν,
επειδη λιπε δῶμα καλυπσοος ῆϋκομοϝο·
τοφρα δε ͱοι κομιδη γε, θεῷ ͱως, εμπεδος ῆεν.
τον δ' επει ῶν δμῶαι λοϝεσαν, και χριϝσαν ελαιῷ,
αμφι δε μιν χλαιναν καλην βαλον ηδε χιτῶνα,
εκ ρ' ασαμινθοϝο βανς ανδρας μετα ϝοινοποτηρας
ηϊε· ναϝσικαα δε, θεων απο καλλος ͱεχοντσα,
στη ρα παρα σταθμον τεγεος πυκα ποιητοϝο·
θαϝμαδσεν δε ͱοδυσσεϝ' εν οφθαλμοισ' ͱοραοντσα,
και μιν φῶνησαντσα ϝεπεα πτεροεντα προσῆυϝδα·
χαιρε, χσειν', ͱινα και ποτ' εων εν πατριδι γαιῃ
μνῆσε' εμεϝ', ͱοτι μοι πρῶτῃ δσαϝαγρι' οφελλεις.
την δ' απαμειβομενος προσεφη πολυμητις ͱοδυσσεϝς·
ναϝσικαα, θυγατερ μεγαλητορος αλκινοοϝο,
ͱοϝτῷ νῦν δσεϝς θειη εριγδουπος ποσις ͱηρης,
ϝοικαδε τ' ελθεμεναι, και νοστιμον ͱημαρ ϝιδεσθαι·
τῷ κεν τοι και εκειθι, θεῷ ͱως, ευχεταοιμην
αιϝει ͱηματα παντα· συ γαρ μ' εβιϝῶσαο, κοϝρη.
ῆ ρα, και ες θρονον ͱιδσε παρ' αλκινοον βασιληϝα.
ͱοι δ' ηδη μοιρας τ' ενεμον, κεραϝοντο τε ϝοινον.
κηρυκς δ' εγγυθεν ηλθεν, αγων εριῆρον αϝοιδον,
δημοδοκον, λαϝοισι τετιϝμενον· ͱεσσε δ' αρ' αϝτον
μεσσῷ δαιτυμονων, προς κιονα μακρον ερειδσανς.
δη τοτε κηρυκα προσεφη πολυμητις ͱοδυσσεϝς,
νωτοϝ απο προταμων,—επι δε πλειον ελελειπτο,—
αργιοδοντος ͱυος, θαλερη δ' ῆν αμφις αλοιφη·
κηρυκς, τῇ δη, τοϝτο πορε κρεας, ͱοφρα φαγητιν,
δημοδοκῷ, και μιν προσπτυχσομαι, αχνυμενος περ.
παντσι γαρ ανθρωποισιν επιχθονιοισιν αϝοιδοι
τιϝμης εμμοροι εντι και αιδοος, ͱοονεκ' αρα σφεας

ͱοιμας μοϝσ' εδιδακσ'· εφιλησε δε φυϝλον αϝοιδων. Θ
ͱως αρ' εφη· κηρυκς δε φερων εν χερσιν εθῆκεν.
ͱοι δ' επ' ονειαθ' ετοιμα προκειμενα χειρας ιαλλον.
αϝταρ επει ποσιος και εδητυος εκς ερον ͱεντο,
δη τοτε δημοδοκον προσεφη πολυμητις ͱοδυσσεϝς·
δημοδοκ', εκσͱοχα δη σε βροτων αινιδσομ' ͱαπαντων·
η σεγε μοϝσ' εδιδακσε, διος παϊς, η σεγ' απολλων·
λιϝην γαρ κατα κοσμον αχαιϝων οιτον αϝειδεις.
αλλ' αγε δη μεταβηθι, και ͱιπποϝο κοσμον αϝειδσον
δορϝατεοο, τον επειος εποιησε γσυν αθηνῇ,
ͱον ποτ' ες ακροπολιν, δολον, ῆγαγε διϝος ͱοδυσσεϝς,
ανδρων ενπλησανς, ͱοι ϝιλϝιον εκσαλαπακσαν.
αι κεν δη μοι ταϝτα κατα μοιραν καταλεγσῇς,
αϝτικ' εγω παντσιν μυϝθησομαι ανθρωποισιν,
ͱως αρα τοι προφρων θεος ὦπασε θεσπιν αϝοιδην.
ͱως φαθ'· ο δ' ͱορμῆθενς θεοϝ ῆρχετ', εφαινε δ' αϝοιδην,
ενθεν ͱελων, ͱως ͱοι μεν ͱεϋσελμων επι ναϝων
βαντες απεπλεϝον, πυρ εν κλισιῇσι βαλοντες,
αργειϝοι· τοι δ' ηδη αγακλυτον αμφ' ͱοδυσεϝα
ͱηατ' ενι τροϝων αγορῇ, κεκαλυπμενοι ͱιππῳ·
αϝτοι γαρ μιν τροϝες ες ακροπολιν ϝερυσαντο.
ͱως ͱο μεν ͱεστηκεε· τοι δ' ακριτα πολλ' αγορεϝον,
ͱημενοι αμφ' αϝτον· τριχα δε σφισ' εϝανδανε βουλη,
ηε διατμῆγσαι κοιλον δορυ νηλεϊ χαλκῳ,
η κατα πετραϝων βαλεεεν ϝερυσαντας επ' ακρας,
η' εϝαεεν μεγ' αγαλμα θεων θελγτηριον εεναι,
τῇ περ δη και επειτα τελεϝτῆσεσθαι εμελλεν·
αισα γαρ ῆν απολεσθαι, επῆν πολις αμφικαλυπτσῇ
δορϝατεον μεγαν ͱιππον, ͱοθ' ͱηατο παντες αριστοι
αργειϝων, τροϝεσι φονον και κηρα φεροντες.
ῆϝειδεν δ', ͱως ϝαστυ διεπραθον ͱυιες αχαιϝων,
ͱιπποθεν εκχυμενοι, κοιλον λοχον εκπρολιποντες.
αλλον δ' αλλῇ αϝειδε πολιν κεραϊδσεμεν αιπυν·
αϝταρ ͱοδυσσεϝα προτι δῶματα δαϝιφοβοϝο
βημεναι, ηΰτ' αρεϝα, συν αντιθεῳ μενελαϝῳ.
κειθι δη αινοτατον πολεμον φατο τολμῆσαντα
νικῆσαι και επειτα, δια μεγαθυϝμον αθηνην.
ταϝτ' αρ' αϝοιδος αϝειδε περικλυτος· αϝταρ ͱοδυσσεϝς
τηκετο· δακρυ δ' εδευεν ͱυπο βλεφαροισι παρειας.
ͱως δε γυνη κλαϝητι φιλον ποσιν αμφιπεσοντσα,
ͱος τε ͱεϝης προσθεν πολιος λαϝων τε πεσητιν,
ϝαστυϝι και τεκεεσιν αμυϝνων νηλεες ͱημαρ·
ͱη μεν τον θνῆσκοντα και ασπαιροντα ϝιδοντσα,
αμφ' αϝτῳ χυμενη λιγα κωκυϝει· ͱοι δε τ' οπισθεν
κοπτοντες δορϝεσι μεταφρενον, ηδε και ωμοϝς,
ειρερον εισαναγοντι, πονον θ' εχεμεν και οϊδσυν·

της δ' ελεεινοτατῷ αχεϊ φθινυθοντι παρειαι·
ͱως ͱοδυσεϝς ελεεινα ͱυπ' οφρυσι δακρυϝα λειβεν. Θ
ενθ' αλλοϝς μεν παντας ελανθανε δακρυϝα λειβων,
αλκινοος δε μιν οιος επεφρασατ', ηδ' ενοησεν·
αιπσα δε φαιηκεσι φιλῆρετμοισι μετῆυϝδα·
κεκλυτε, φαιηκων ͱηγητορες, ηδε μεδοντες,
δημοδοκος δ' ηδη σχεθετω φορμιγγα λιγυιαν,
ου γαρ πως παντεσι χαριδσομενος ταδ' αϝειδει.
εκς ͱοϝο δορπεομεν τε, και ορορε διϝος αϝοιδος,
εκ τοϝοδ' ουπῳ επαϝσατ' οϊδσυροϝο γοοϝο
ͱο χσεινος· μαλα ποο μιν αχος φρενας αμφιβεβηκεν.
αλλ' αγ', ͱο μεν σχεθετω, ͱιν' ͱομως τερπωμεθα παντες,
χσεινοδοκοι και χσεινος· επει πολυ καλλιον ͱοϝτῷ.
ͱεινεκα γαρ χσεινοϝο ταδ' αιδοιοϝο τετυχται,
πομπη και φιλα δῶρα, τα ͱοι διδομεν φιλεοντες.
αντι κασιγνῆτοο χσεινος θ' ικετης τε τετυχται
ανερι, ͱοστ' ολιγον περ επιπσαϝει πραπιδεσιν.
τῷ νῦν μηδε συ κεϝθε νοημασι κερδαλεοισιν,
ͱο τι κε σ' ειρωμαι· φασθαι δε σε καλλιον εστιν.
ϝεσπ' ονομ', ͱο τι σε κειθι καλεον μητηρ τε, πατηρ τε,
αλλοι θ', οι κατα ϝαστυ, και ͱοι περιναιεταοντιν.
ϝεσπε δε μοι γαιαν τε τεϝην, δημον τε, πολιν τε·
ͱοφρα σε τῇ πεμπωντι τιτυσκομεναι φρεσι ναϝες.
ου γαρ φαιηκεσι κυβερνῆτηρες εαντιν,
ουδε τι πηδαλι' εστι, τα τ' αλλαι ναϝες ͱεχοντιν·
αλλ' αϝται ϝιδσαντι νοηματα και φρενας ανδρων·
και παντων ϝιδσαντι πολιας και πιϝονας αγροϝς
ανθρωπων· και λαιτμα ταχισθ' αλος εκπεραοντιν,
ῆερι και νεφελῇ κεκαλυπμεναι· ουδε ποτε σφιν
ουτε τι πημανθηναι επι δδεος, ουδ' απολεσθαι.
αλλα ταδ' ͱως ποτε πατρος εγω ϝεσποντος ακοϝσα
ναϝσιθοϝοϝ, ͱος εφᾶσκε ποσειδαϝῶν' αγασασθαι
ͱημῖν, ͱοονεκα πομποι απημονες εσμεν ͱαπαντων.
φη ποτε φαιηκων ανδρων ͱεϋϝεργεα ναϝα
εκ πομπης ανιοντσαν εν ῆεροϝειδεϊ ποντῳ
ϝραισεμεναι, μεγα δ' ͱημιν ορος πολι' αμφικαλυπτσεεν.
ϝως αγορεϝ' ͱο γερων· τα δε κεν θεος η τελεσειεν,
η κ' ατελεστ' ειη, ͱως ͱοι φιλον επλετο θυϝμῷ.
αλλ' αγε μοι τοδε ϝεσπε, και ατρεκεως καταλεγσον,
ͱοπῇ απεπλανχθης τε, και ͱαστινας ͱικεο χῶρας
ανθρωπων· αϝτοϝς τε, πολιας θ' εῦ ναιεταοντσας·
η μεν ͱοσοι χαλεποι τε, και αγριοι, ουδε δικαιοι·
ͱοι τε φιλοχσεινοι, και σφιν νοος εστι θεοϝδης.
ϝεσπε δ' ͱο τι κλαϝεις και οδυϝρεαι ενδοθι θυϝμῷ,
αργειϝων, δαναων, και ϝιλϝιοϝ', οιτον ακοϝων.
τον δε θεοι μεν ετευχσαν, επεκλωθσαντο δ' ολεθρον,

ανθρωποισιν ͱαπαντσι και εσσομενοισιν αϝοιδη.
η τις τοι και πηος απῶλετο ϝιλϝιοθι προ, Θ
εσθλος εων γαμβρος, η πενθερος, ͱοι τε μαλιστα
κηδιστοι τελεθοντι, μεθ᾽ αιμα τε και γενος αϝτων;
η ποϝο τις και ͱεταιρος ανηρ κεχαρισμενα ϝειδως
εσθλος; επει ου μεν τι κασιγνῆτοϝο χερειων
γιγνεται, ͱος κεν, ͱεταιρος εων, πεπνῦμενα ϝειδῇ.
τον δ᾽ απαμειβομενος προσεφη πολυμητις ͱοδυσσεϝς· I
αλκινοε κρεϝον, παντων αριδεικετε λαϝων,
ητοι μεν τοδε καλον ακοϝεμεν εστιν αϝοιδοο
τοιοϝογ᾽, ͱοιος ͱοδ᾽ εστι, θεοισ᾽ εναλινκιος αυϝδην·
ου γαρ εγωγε τι φημι τελος χαριεστερον εεναι,
η ͱοτ᾽ αν ͱευφροσυνη μεν ͱεχῃ κατα δημον ͱαπαντα,
δαιτυμονες δ᾽ ανα δῶματ᾽ ακοϝαδσωνται αϝοιδοο,
ͱημενοι ͱεχσειης· παρα δε πληθωντι τραπεδσαι
σῖτοϝο και κρεαων· μεθυ δ᾽ εκ κρῆτηρος αφυσσων
ϝοινοχοϝος φορεητι και ενχεϝῃ δεπαεσιν·
τοϝτο τι μοι καλλιστον ενι φρεσι ϝειδεται εεναι.
σοι δ᾽ εμα κηδεα θυϝμος επετραπετο στονοεντα
ειρεσθ᾽, ͱοφρ᾽ ετι μαλλον οδυϝρομενος στοναχιδσω.
τι πρῶτον, τι δ᾽ επειτα, τι δ᾽ ͱυστατιον καταλεγσω;
κηδε᾽ επει μοι πολλ᾽ εδοσαν θεοι ουρανιϝῶνες.
νῦν δ᾽ ονομα πρῶτον μυϝθησομαι, ͱοφρα και ͱυμεες
ϝῆδετ᾽· εγω δ᾽ αν επειτα, φυγων ͱυπο νηλεες ͱημαρ,
ͱυμῖν χσεινος εω, και αποπροθι δῶματα ναιων.
ῆμ᾽ ͱοδυσεϝς λαϝερτιαδης, ͱος παντσι δολοισιν
ανθρωποισι μελω, και μεο κλεος ουρανον ͱικει·
ναιεταω δ᾽ ιθακην ͱεϋδεϝελον· εν δ᾽ ορος αϝτῃ
νηριτον, εννοσιφυλλον, αριπρεπες· αμφι δε νησοι
πολλαι ναιεταοντι μαλα σχεδον αλληλῃσιν
δουλιχιον τε, σαμη τε, και ͱυλϝῆεντσα δακυνθος·
αϝτη δε χθαμαλη πανͱυπερτατη ειν ͱαλι κειται
προς δσοφον,—ͱαι δε τ᾽ ανευθε προς ῆοα τ᾽, ῆελιον τε,—
τρηχυι᾽, αλλ᾽ αγαθη κοϝροτροφος· ουδε τ᾽ εγωγε
ͱης γαιης δυναμαι γλυκερωτερον αλλο ϝιδεσθαι.
η μεν μ᾽ αϝτοθ᾽ ερυκε καλυπσω, διϝα θεαϝων,
εν σπεϝεσι γλαφυροισι, λιλαϝομενη ποσιν εεναι·
ͱως δ᾽ αϝτως κιρκη κατερητυϝεν εν μεγαροισιν
αιαιη, δολοεντσα, λιλαϝομενη ποσιν εεναι·
αλλ᾽ εμον ου ποτε θυϝμον ενι στηθεσσιν επειθον·
ͱως ουδεν γλυκιον ͱης πατριδος ουδε τοκεϝων
γιγνεται, ειπερ και τις αποπροθι πιϝονα ϝοικον
γαιῃ εν αλλοδαπῃ ναιει απανευθε τοκεϝων.
ει δ᾽ αγε τοι και νοστον εμον πολυκηδε᾽ ενισπω,
ͱον μοι δσεϝς επεͱηκεν απο τροϝιηθεν ιοντι.
ϝιλϝιοθεν με φερων ανεμος κικονεσ᾽ επελασσεν,

ισμαρῳ· ενθα δ' εγω πολιν επραθον, ὢλεσα δ' αϝτοϝς.
εκ πολιος δ' ͱαλοχοϝς και κτηματα πολλα λαβοντες I
δασσαμεθ', ͱως μη τις μοι ατεμβομενος κιοι ϝεισϝης.
ενθ' ητοι μεν εγω διερῳ ποδι φευγεμεν ͱημεας
ἦνωγον· τοι δε μεγα νηπιοι ουκ επιθοντο.
ενθα δε πολλον μεν μεθυ πιϝνετο, πολλα δε μηλα
εσφαδσον παρα θῖνα, και ͱελλιποδας ϝελικας βοϝς.
τοφρα δ' αρ' οιχομενοι κικονες κικονεσ' εγεγωνον,
ͱοι σφισι γειτονες ἦσαν ͱαμα πλεονες και αρειῶς,
ηπειρον ναιοντες, επισταμενοι μεν αφ' ιππων
ανδρεσι μαρ̣νασθαι, και ͱοθι χρη πεδσον εοντα.
ηλθον επειθ', οσα φυλλα, και ανθεα, γιγνεται ͱωρῇ,
ἦεριοι· τοτε δη ρα κακη διος αισα παρεστη
ͱημῖν αινομοροισιν, ͱιν' αλγεα πολλα παθωμεν.
στησαμενοι δ' εμαχοντο μαχην παρα ναϝσι θοϝῇσιν·
βαλλον δ' αλληλοϝς χαλκηρεσιν ενχειῇσιν.
ͱοφρα μεν ἦως ἦν, και αͱεχσετο ͱιερον ͱημαρ,
τοφρα δ' αλεκσομενοι μενομεν πλεονας περ εοντας·
ημος δ' ἦελιος μετενισσετο βοϝλυϝτονδε,
και τοτε δη κικονες κλῖναν δαμασαντες αχαιϝοϝς.
ͱεκς δ' αφ' εκαστης ναϝος ͱεϋκνημῖδες ͱεταιροι
ὢλονθ'· οι δ' αλλοι φυγομεν θανατον τε, μορον τε.
ενθεν δε προτερῳ πλεϝομεν ακαχημενοι ητορ,
ασμενοι εκ θανατοϝο, φιλοϝς ολεσαντες ͱεταιροϝς.
ουδ' αρα μοι προτερῳ ναϝες κιον αμφιϝελισσαι,
πριν τινα των δδειλων ͱεταρων τρις ͱεκαστον αͱυϝσαι,
ͱοι θανον εν πεδιῳ κικονων ͱυπο δαϝιωθεντες.
ναϝσι δ' επῶρσ' ανεμον βορεην νεφεληγερετα δσεϝς
λαιλαπι θεσπεσιῃ, γσυν δε νεφεεσ' εκαλυπτσεν
γαιαν ͱομοο και ποντον· ορῶρεε δ' ουρανοθεν νυκς.
ͱαι μεν επειτ' εφεροντ' επικαρσιαι, ͱιστια δε σφιν
τριχθα τε και τετραχθα διεσχισε ϝις ανεμοϝο.
και τα μεν ες ναϝας καθεμεν δδειδσαντες ολεθρον,
αϝτας δ' εσσυμενως προερεσσαμεν ηπειρονδε.
ενθα δυω νυκτας, δυο θ' ηματα, συνͱεχες αιϝει
κειμεθ', ͱομοο καματῳ τε, και αλγεσι θυϝμον εδοντες·
αλλ' ͱοτε δη τριτον ͱημαρ ͱεϋπλοκαμος τελεσ' ἦως,
ͱιστοϝς στησαμενοι, ανα θ' ιστια λεϝχ' ελκσαντες,
ͱημεθα· τας δ' ανεμος τε κυβερνῆται τ' ιθυϝνον.
και νυ κεν ασκηθης ͱικομην ες πατρ̣ιδα γαιαν,
αλλα με κυϝμα, ροϝος τε, περ̣ιγναμπτοντα μαλειαν,
και βορεης απεοθσε, παρεπλάνγσεν δε κυθηρων.
ενθεν δ' ͱεννͱημαρ φερομην ολοϝοισ' ανεμοισιν
ποντον εφ' ιχθυϝοεντ'· αϝταρ δεκατῃ επεβημεν
γαιης λωτοφαγων, ͱοιτ' ανθινον ἦδαρ εδοντιν.
ενθα δ' επ' ηπειροο βημεν, και αφυσσαμεθ' ͱυϝδωρ·

αιπσα δε δειπνον ͱελοντο θοϝῇς παρα ναϝσιν ͱεταιροι. I
αϝταρ επει σῖτοϝο τ' επασσαμεθ', ηδε ποτητος,
δη τοτ' εγων ͱεταροϝς προͱιͱην πευθεσθαι ιοντας,
ανδρε δυω κρῖνανς, τριτατον κηρῦχ' αμ' οπασσανς,
ͱοιτινες ανερες ειεν επι χθονι σῖτον εδοντες.
ͱοι δ' αιπσ' οιχομενοι μιγεν ανδρεσι λωτοφαγοισιν·
ουδ' αρα λωτοφαγοι μηδονθ' εταροισιν ολεθρον
ͱημετεροισ', αλλα σφ' εδοσαν λωτοϝο πασασθαι.
των δ' ͱοστις λωτοϝο φαγοι μελιͱηδεα καρπον,
ουκ ετ' απανγῆλαι παλιν ηθελεν, ουδε νεεσθαι.
τοϝς μεν εγων επι ναϝας αγον κλαϝοντας ανανκῃ,
ναϝσι δ' ενι γλαφυρῇσιν ͱυπο δσυγ' εδησα ϝερυσσανς.
αϝταρ τοϝς αλλοϝς κελομην εριῆρας ͱεταιροϝς
σπερχομενοϝς ναϝων επιβαινεμεν ὠκυιαϝων,
μη πῶ τις λωτοϝο φαγων νοστοϝο λαθηται.
ͱοι δ' αιπσ' εισβαινον, και επι κληϝισι καθιδσον·
ͱεχσης δ' ͱεδσομενοι πολιην ͱαλ' ετυπτον ερετμοις.
ενθεν δε προτερῳ πλεϝομεν, ακαχημενοι ητορ.
κυκλωπων δ' ες γαιαν ͱυπερφιαλων, αθεμιστων,
ͱικομεθ', ͱοι ρα θεοισι πεποιθοτες αθανατοισιν
ουτε φυτεϝοντιν χερσιν φυτον, ουτ' αραοντιν·
αλλα ταγ' ασπαρτα και αῆροτα παντα φυϝονται,
πυϝροι, και κρῖθαι, ηδ' αμπελοι, ͱαιτε φεροντιν
ϝοινον εριστaφυλον, και σφιν διος ομβρος αͱεχσει.
τοισιν δ' ουτ' αγοραι βουληφοροι, ουτε θεμιστες·
αλλ' ͱοιγ' ͱυπσηλων ορεων ναιοντι καρῆνα,
εν σπεϝεσι γλαφυροισι· θεμιστεϝει δε ͱεκαστος
παιδων ηδ' ͱαλοχων· ουδ' αλληλων αλεγοντιν.
νησος επειτα λαχεια παρεκ λιμενος τετανυσται
γαιης κυκλωπων, ουτε σχεδον, ουτ' απο τηλοο,
ͱυλϝῆεντσ'· εν δ' αιγες απειρεσιαι γεγααντιν
αγριαι· ου μεν γαρ πατος ανθρωπων απερυκει·
ουδε μιν εισοιχνεοντι κυνῆγεται, ͱοιτε καθ' υλϝην
αλγεα πασχοντιν, κορυφας ορεων εφεποντες.
ουτ' αρα ποιμνῇσιν καταͱισχεται, ουτ' αροτοισιν,
αλλ' ͱηγ' ασπαρτος και αῆροτος ͱηματα παντα
ανδρων χηρεϝει, βοσκει δε τε μηκαδας αιγας.
ου γαρ κυκλωπεσι ναϝες παρα μιλτοπαρῆοι,
ουδ' ανδρες ναϝων ενι τεχτονες, ͱοι κε καμοιεν
ναϝας ͱεϋσελμοϝς, ͱαι κεν τελεοιεν ͱεκαστα,
ϝαστυϝ επ' ανθρωπων ͱικνεομεναι· ͱοια τε πολλα
ανδρες επ' αλληλοϝς ναϝσιν περαοντι θαλασσαν·
ͱοι κε σφιν και νησον ͱεϋκτιμενην εκαμοντο.
ου μεν γαρ τι κακη γε, φεροι δε κεν ͱωρια παντα·
εν μεν γαρ λειμῶνες ͱαλος πολιοϝο παρ' ͱοχθας
ͱυϝδρῆλοι, μαλακοι· μαλα κ' αφθιτοι αμπελοι ειεν.

εν δ' αροσις λεϝη· μαλα κεν βαθυ λεϝιον αιϝεν Ι
εις ͱωρας ͱαμαοιεν· επει μαλα πιϝαρ ͱυπ' ουδας.
εν δε λιμην ͱεϋͱορμος, ͱιν' ου χρη πειθσματα δησαι,
ουτ' ευνας βαλεεεν, ουτε πρυμνησι' αναπτσαι,
αλλ' επικελσαντας μῆναι χϱονον, εις ͱο κε ναϝτεων
θυϝμος εποτρῦϝνῃ, και επιπνεϝσωντιν αͱηται.
αϝταϱ επι κϱᾶτος λιμενος ρεϝει αγλαϝον ͱυϝδωρ,
κρῆνη ͱυπο σπεϝεος· περι δ' αιγειροι πεφυϝαντιν.
ενθα κατεπλεϝομεν, και τις θεος ͱηγεμονέϝεν
νυκτα δι' ορφναιην· ουδε προεφαινε' ϝιδεσθαι·
αͱϝηρ γαρ παρα ναϝσι βαθυι' ῆν, ουδε σεληνη
ουρανοθεν πϱοεφαινε· κατεσχετο γαρ νεφεεσιν.
ενθ' ουτις την νησον εσεδρακεν οφθαλμοισιν·
ουτ' ῶν κυϝματα μακρα κυλινδομενα προτι χερσον
εϝιδομεν, πϱιν ναϝας ͱεϋσελμοϝς επικελσαι.
κελσαντσῃσι δε ναϝσι, καθελλομεν ͱιστια παντα·
εκ δε και αϝτοι εβημεν επι ϝρῆγμῖνι θαλασσης·
ενθα δ' αποβϱικσαντες εμῆναμεν ῆοα διϝαν.
ημος δ' ῆριγενει' εφανη ϝροδοδακτυλος ῆως,
νησον θαϝμαδσοντες εδινεϝομεσθα κατ' αϝτην.
ῶϱσαν δε νυμφαι, κοϝϱαι διος αιγιͱοχοϝο,
αιγας ορεσκῴοϝς, ͱινα δειπνησειαν ͱεταιροι.
αϝτικα καμπυλα τοκσα και αιγανεας δολιχαϝλοϝς
ͱελλομεθ' εκ ναϝων· δια δε τριχα κοσμῆθεντες
βαλλομεν· αιπσα δ' εδῶκε θεος μενοϝεικεα θηρην.
ναϝες μεν μοι ͱεποντο δυωδεκα, ες δε ͱεκαστην
ͱεννε' ελανχανον αιγες· εμοι δε δεκ' εκσͱελον οιῷ.
ͱως τοτε μεν προπαν ͱημαρ, ες ῆελιον καταδῦντα,
ͱημεθα δαινυμενοι κρεα' ασπετα, και μεθυ ͱηδυ.
ου γαρ πῷ ναϝων εκσεφθιτο ϝοινος ερυθρος,
αλλ' ενεῆν· πολλον γαρ εν αμφιφορεϝσιν ͱεκαστοι
ῆφυσαμεν, κικονων ͱιερον πτολιεθρον ͱελοντες.
κυκλωπων δ' ες γαιαν ελεϝσσομεν, ενγυς εοντων,
καπνον τ', αϝτων τε φθονγην, οϝιων τε, και αιγων
ημος δ' ῆελιος κατεδῦ, και επι κνεφας ηλθεν,
δη τοτ' εκοιμῆθημεν επι ϝρῆγμῖνι θαλασσης.
ημος δ' ῆριγενει' εφανη ϝϱοδοδακτυλος ῆως,
και τοτ' εγων αγορην θεμενος μετα παντσιν εϝεσπον·
αλλοι μεν νῦν μιμνετ' εμοι περιῆρες ͱεταιροι·
αϝταρ εγω γσυν ναϝι τ' εμῇ και εμοισ' ͱεταϱοισιν
ελθων τωνδ' ανδρων πειρῆσομαι, ͱοιτινες εντιν·
η ρ' ͱοιγ' ͱυβϱισται τε, και αγριοι, ουδε δικαιοι,
ηε φιλοχσεινοι, και σφιν νοος εστι θεοϝδης.
ͱως ϝεσπων, ανα ναϝος εβην· εκελεϝσα δ' ͱεταιροϝς
αϝτοϝς τ' ανβαινεεν, ανα τε πϱυμνησια λυϝσαι.
ͱοι δ' αιπσ' εισβαινον, και επι κλεϝιεσι καθιδσον·

ͱεχσης δ' ͱεδσομενοι πολιην ͱαλ' ετυπτον ερετμοις.
αλλ' ͱοτε δη τον χῶρον αφικομεθ', ενγυς εοντα, I
ενθα δ' επ' εσχατιῇ σπεϝος ϝειδομεν, ανχι θαλασσης,
ͱυπσηλον, δαφνῃσι κατῆρεφες· ενθα δε πολλα
μηλ', οϝιες τε, και αιγες ͱιαϝεσκον· περι δ' αϝλη
ͱυπσηλη δεδμῆτο κατωρυχεεσι λιθοισιν,
μακρῇσιν τε πιτυσσιν, ιδε δρυσιν ͱυπσικομοισιν.
ενθα δ' ανηρ ενͱιαϝε πελωριος, ͱος ρα τε μηλα
οιος ποιμαινεσκεν αποπροθεν· ουδε μετ' αλλοϝς
πωλεετ', αλλ' απανευθεν εων αθεμιστια ϝοιδεεν.
και γαρ θαϝμ' ετετυχτο πελωριον· ουδ' εϝεϝοικεεν
ανδρι γε σῖτοφαγῳ̃, αλλα ϝριῳ̃ ͱυλϝῆεντι
ͱυπσηλων ορεων, ͱοτε φαινεται οιον απ' αλλων.
δη τοτε τοϝς αλλοϝς κελομην εριῆρας ͱεταιροϝς
αϝτοϝο παρ ναϝι τε μενεεν, και ναϝα ρυϝεσθαι·
αϝταρ εγω κρῖνανς ͱεταρων δυο και δεκ' αριστοϝς
βην· αταρ αιγεον ασκον ͱεχον μελανος ϝοινοϝο,
ͱηδυος, ͱον μοι εδῶκε μαρων, ͱεϋανθεος ͱυιος,
ͱιερεϝς απολλῶνος, ͱος ισμαρον αμφεβεβηκεεν·
ͱοονεκα μιν γσυν παισι περισχομεθ', ηδε γυναικι,
ͱαδσομενοι· ϝοικεε γαρ εν αλσεϊ δενδρῆεντι
φοιβοϝ' απολλῶνος· ͱο δε μοι πορεν αγλαϝα δῶρα·
χρυσοϝο μεν μοι εδῶχ' εϋϝεργεος ͱεπτα ταλαντα·
δῶκε δε μοι κρῆτηρα παναργυρον· αϝταρ επειτα
ϝοινον εν αμφιφορεϝσι δυωδεκα παντσιν αφυσσανς
ͱηδυν, ακηρασιον, θειον ποτον· ουδε τις αϝτον
εϝειδεε δμῶων, ουδ' αμφιπολων ενι ϝοικῳ̃,
αλλ' αϝτος, ͱαλοχος τε φιλη, ταμιη τε μι' οιη.
τον δ' ͱοτε πιϝνοιεν μελιͱηδεα ϝοινον ερυθρον,
ͱεν δεπας ενπλησανς, ͱυδατος ανα ϝεικοσι μετρα
χεϝ'· οδμη δ' ͱηδυια απο κρῆτηρος οδῶδεεν
θεσπεσιη· τοτ' αν ουτοι αποσχεσθαι φιλον ῆεν.
τοο φερον ενπλησανς ασκον μεγαν· εν δε και ῇϝα
κωρυκῳ̃· αϝτικα γαρ μοι οϊϝσατο θυϝμος αγῆνωρ
ανδρ' επελευθσεσθαι μεγαλην επιϝεσμενον αλκην,
αγριον, ουτε δικας ͱεϋ ϝειδοτα, ουτε θεμιστας.
καρπαλιμως δ' εις αντρον αφικομεθ', ουδε μιν ενδον
ͱευρομεν, αλλ' ενομεϝε νομον κατα πιϝονα μηλα.
ελθοντες δ' εις αντρον εθαϝεομεσθα ͱεκαστα·
ταρσοι μεν τυρων βριθον, στεινοντο δε σηκοι
ϝαρνων ηδ' εριφων· διακεκριμεναι δε ͱεκασται
ͱερχατο· χῶρις μεν προγονοι, χῶρις δε μετασσαι,
χῶρις δ' αϝθ' ερσαι· ναϝον δ' ορῳ̃ ανγεα παντα,
γαϝλοι τε, σκαφιδες τε, τετυχμενα, τοισ' εναμελγεν.
ενθ' εμε μεν πρῶτισθ' εταροι λισσοντο ϝεπεσσιν,
τυρων αινυμενοϝς ιμεναι παλιν· αϝταρ επειτα

καρπαλιμως επι ναϝα θοϝην εριφοϝς και ϝαρνας I
σηκων εκσελασαντας επιπλεεν ⱶαλμυρον ⱶυϝδωρ·
αλλ' εγω ου πιθομην,—ητ' αν πολυ κερδιον ἦεν,—
ⱶοφρ' αϝτον τε ϝιδοιμι, και ει μοι χσεινια δοιη·
ουδ' αρ' εμελλ' ⱶεταροισι φανευς ερατεινος εσεσθαι.
ενθα δε πυρ κῆαντες εθυϝσαμεν· ηδε και αϝτοι
τυρων αινυμενοι φαγομεν· μενομεν τε μιν ενδον
ⱶημενοι, ⱶεϝος επηλθε νεμων· φερε δ' οβριμον αχθος
ⱶυλϝης αδσαλεης, ⱶινα ⱶοι ποτιδορπιον ειη.
εντοσθεν δ' αντροϝο βαλων ορυμαγδον εθῆκεν·
ⱶημεες δε δδειδσαντες απεσσυμεθ' ες μυχον αντροο.
αϝταρ ⱶογ' εις ευρυ σπεϝος ηλασε πιϝονα μηλα,
παντα μαλ', ⱶοσ' ἤμελγε· τα δ' αρσεν' ελειπε θυρηφιν,
ϝαρνειοϝς τε, τραγοϝς τε, βαθυιης εκτοθεν αϝλης.
αϝταρ επειτ' επεθῆκε θυρεον μεγαν ⱶυπσοσ' αⱶῆρας,
οβριμον· ουκ αν τον γε δυω και ϝεικοσ' ⱶαμαγσαι
εσθλαι, τεσσαρακυκλοι, απ' ουδεος οχλισσειαν·
τοσην ηλιβατον πετρην επεθῆκε θυρῇσιν.
ⱶεδσομενος δ' ἤμελγ' οϝιας και μηκαδας αιγας,
παντα κατα μοιραν, και ⱶυπ' ενβρυον ⱶῆκεν ⱶεκαστῃ.
αϝτικα δ' ⱶημισυ μεν τρεφσανς λεϝκοϝο γαλακτος
πλεκτοισ' εν ταλαροισιν ⱶαμῆσαμενος κατεθῆκεν·
ⱶημισυ δ' αϝτ' εστησεν εν ανγεσιν, ⱶοφρα ⱶοι ειη
πιϝνεεν δαινυμενῳ, και ⱶοι ποτιδορπιον ειη.
αϝταρ επειδη σπευδσε πονησαμενος ⱶεϝα ϝεργα,
και τοτε πυρ ανεκαϝε, και εϝιδεν, ειρετο δ' ⱶημεας·
ω χσεινοι, τινες εστε; ποθεν πλεϝεθ' υϝγρα κελευθα;
η τι κατα πρῆκσιν, η μαψιδιως αλαλῆσθε,
ⱶοια τε λεϝιστηρες ⱶυπερ ⱶαλα, τοι τ' αλαονται
ψυϝχας παρθεμενοι, κακον αλλοδαποισι φεροντες;
ⱶως εφαθ'· ημῖν δ' αϝτε κατεκλασθη φιλον ητορ,
δδειδσαντων φθονγον τε βαρυν, αϝτον τε πελωρον·
αλλα και ⱶως μιν ϝεπεσσιν αμειβομενος προσεϝεσπον·
ⱶημεες τοι τροϝιηθεν αποπλανχθεντες αχαιϝοι
παντοιοισ' ανεμοισιν ⱶυπερ μεγα λαιτμα θαλασσης,
ϝοικαδε ⱶιⱶεμενοι, αλλην ⱶοδον, αλλα κελευθα
ηλθομεν· ⱶοϝτῳ ποο δσεϝς ηθελε μητιαεσθαι.
λαϝοι δ' ατρεϝιδαϝ' αγαμεμνονος ευχομεθ' εεναι,
τοο δη νῦν γε μεγιστον ⱶυπουρανιον κλεος εστιν·
τοσην γαρ διεπερθσε πολιν, και απῶλεσε λαϝοϝς
πολλοϝς· ⱶημεες δ' αϝτε κιχανομενοι τεϝα γουϝα
ⱶικομεθ', ει τιποροις χσεινῆϊον, ηε και αλλως
δοιης δῶτινην, ⱶητε χσεινων θεμις εστιν.
αλλ' αιδεεο, ϝεριστε, θεοϝς· ⱶικεται δε τοι εσμεν.
δσεϝς δ' επιτιϝμῆτωρ ⱶικεταϝων τε, χσεινων τε.
ⱶως εφαμην· ⱶο δε μ' αϝτις αμειβετο νηλεϊ θυϝμῷ·

νηπιος εσσ', ω χσειν', η τηλοθεν ηληλουθας, I
ͱος με θεοϝς κελεαι η δεδδιμεν, η' αλεϝεσθαι.
ου γαρ κυκλωπες διος αιγιͱοχοϝ αλεγοντιν,
ουδε θεων μακαρων' επειη πολυ φερτεροι εσμεν.
ουδ' αν εγω διος εχθος αλεϝσαμενος πεφιδοιμην
ουτε σεϝ, ουθ' εταρων, ει μη θυϝμος γε κελεϝει.
αλλ' αγε ϝεσφ', οπῇ εσχες ιων ͱεϋϝεργεα ναϝα'
η ποϝ επ' εσχατιης, η και σχεδον, ͱοφρα δαειω.
ͱως φατο πειραδσων' εμε δ' ου λαθε ϝειδοτα πολλα'
αλλα μιν απσοροϝον προσεφην δολιοισι ϝεπεσσιν·
ναϝα γε μοι κατεϝανγσε ποσειδαϝων ενοσιχθων,
πρὸς πετρῇσι βαλων, ͱυμης επι πειρασι γαιης,
ακρῇ προσπελασανς' ανεμος δ' εκ ποντοϝ ενενκεν·
αϝταρ εγω γσυν τοισδε ͱυπεκφυγον αιπυν ολεθρον.
ͱως εφαμην· ͱο δε μ' ουδεν αμειβετο νηλεϊ θυϝμῷ'
αλλ' ͱογ' ανατͱικσανς ͱεταιροισ' επι χειρας ιαλλεν'
γσυν δε δυω μαρπτσανς, ͱωστε σκυλακας, ποτι γαιῇ
κοπτ'· εκ δ' ενκεφαλος χαμαδις ρεϝε, δευε δε γαιαν.
τοϝς δε δια μελεϊστι ταμων ͱοπλισσατο δορπον'
ησθιε δ', ͱωστε λεϝων ορεσιτροφος, ουδ' απελειπεν
ενκατα τε, σαρκας τε, και οστεα μυϝελοεντα.
ͱημεες δε κλαϝοντες ανεσχεθομεν διϊ χειρας,
σχετλια ϝεργ' ͱοραοντες' αμηχανιη δ' ͱεχε θυϝμον.
αϝταρ επει κυκλωπς μεγαλην ενπλησατο νηδυν,
ανδρομεα κρε' εδων, και επ' ακρῆτον γαλα πιϝνων,
κειτ' εντοσθ' αντροϝο τανυσσαμενος δια μηλων.
τὸν μεν εγω βουλεϝσα κατα μεγαλητορα θυϝμον,
ασσον ιων, χσιφος ͱοκσυ ϝερυσσαμενος παρα μηροο,
ουταμεναι προς στηθος, ͱοθι φρενες ͱηπαρ ͱεχοντιν,
χειρ' επιμασσαμενος· ͱετερος δε με θυϝμος ερυκεν'
αϝτοϝο γαρ κε και αμμες απῶλομεθ' αιπυν ολεθρον'
ου γαρ κεν δυναμεσθα θυραϝων ͱυψηλαϝων
χερσιν αποθσασθαι λιθον οβριμον, ͱον προσεθῆκεν.
ͱως τοτε μεν στοναχοντες εμῆναμεν ῆοα διϝαν.
ημος δ' ῆριγενει' εφανη ϝροδοδακτυλος ῆως,
και τοτε πυρ ανεκαϝε, και ῆμελγε κλυτα μηλα,
παντα κατα μοιραν, και ͱυπ' ενβρυον ͱηκεν ͱεκαστῇ.
αϝταρ επειδη σπευδσε πονησαμενος ͱεϝα ϝεργα,
γσυν δ' ͱογε δ' αϝτε δυω μαρπτσανς ͱοπλισσατο δορπον.
δειπνησανς δ' αντροϝ εκσηλασε πιϝονα μηλα,
ρεϝιδιως αφελων θυρεον μεγαν· αϝταρ επειτα
απς επεθῆχ', ως ειτε φαρετρῇ πῶμ' επιθειη.
πολλῇ δε ϝροιδσῷ προς ορος τρεπε πιϝονα μηλα
κυκλωπς' αϝταρ εγω λιπομην κακα βυσσοδομεϝων,
ει πως τιϝσαιμην, δοιη δε μοι ευχος αθηνη.
ͱηδε δε μοι κατα θυϝμον αριστη εφαινετο βουλη·

κυκλωπος γαρ εκειτο μεγα ϝροπαλον παρα σηκῳ,
χλωρον, ελαϊνεον· το μεν εσπασεν, ͱοφρα φοροιη
αυϝανθεν· το μεν αμμες ϝεϊσκομεν εισͱοραοντες
ͱοσον θ᾽ ιστον ναϝος ϝεϊκοσοροϝο μελαινης,
φορτιδος, ευρυιης, ͱητ᾽ εκπεραει μεγα λαιτμα·
τοσον εῆν μηκος, τοσον παχος εισͱοραεσθαι.
τοο μεν ͱοσον τ᾽ οργυιαν εγων απεκοπτσα παραστανς,
και παρεθῆχ᾽ εταροισιν, αποχσυϝναι δ᾽ εκελεϝσα.
ͱοι δ᾽ ͱομαλον ποιησαν· εγω δ᾽ εθοϝῶσα παραστανς
ακρον, ͱαφαρ δε λαβων επυρακτεον εν πυρι κηλεῳ.
και το μεν ͱευ κατεθῆκα κατακρυπτσανς ͱυπο κοπρῳ,
ͱη ρα κατα σπεϝεος κεχυτο μεγαλ᾽ ηλιθα πολλη.
αϝταρ τοϝς αλλοϝς κληρῳ πεπαλαχθαι ανωγον,
ͱοστις τολμῆσειεν εμοι γσυν μοχλον αϝῆρανς
τριβσαι εν οφθαλμῳ, ͱοτε τον γλυκυς ͱυπνος ͱικανοι.
ͱοι δ᾽ ελαχον, τοϝς αν κε και ηθελον αϝτος ͱελεσθαι,
τεσσαρες, αϝταρ εγω πεμπτος μετα τοισιν ελεγμην.
ϝεσπεριος δ᾽ ηλθεν καλλιτριχα μηλα νομεϝων·
αϝτικα δ᾽ εις ευρυ σπεϝος ηλασε πιϝονα μηλα,
παντα μαλ᾽· ουδε τι λειπε βαθυιης εκτοθεν αϝλης,
ηε τ᾽ οϊϝσαμενος, η και θεος ͱως εκελεϝσεν.
αϝταρ επειτ᾽ επεθῆκε θυρεον μεγαν ͱυπσοσ᾽ αϝῆρανς,
ͱεδσομενος δ᾽ ῆμελγ᾽ οϝιας και μηκαδας αιγας,
παντα κατα μοιραν, και ͱυπ᾽ ενβρυον ͱῆκεν ͱεκαστῃ.
αϝταρ επειδη σπευδσε πονησαμενος ͱεϝα ϝεργα,
γσυν δ᾽ ͱογε δ᾽ αϝτε δυω μαρπτσανς ͱοπλισσατο δορπον.
και τοτ᾽ εγω κυκλωπα προσῆυϝδαον ανχι παραστανς,
κισσυβιον μετα χερσιν ͱεχων μελανος ϝοινοϝο·
κυκλωπς, τῆ, πιϝε ϝοινον, επει φαγες ανδρομεα κρεα·
ͱοφρα ϝιδῆς, ͱοιον τι ποτον τοδε ναϝς εκεκευθεεν
ͱημετερη· σοι δ᾽ αϝ λοιβην φερον, ει μ᾽ ελεησανς
ϝοικαδε πεμπσειας· συ δε μαινεαι ουκ ετ᾽ ανεχτως.
σχετλιε! πως κεν τις σε και ͱυστερον αλλος ͱικοιτο
ανθρωπων πολυων; επει ου κατα μοιραν ερεκσας.
ͱως εφαμην· ͱο δ᾽ εδεχτο και εκπιϝ᾽· εϝαδσατο δ᾽ αινως
ͱηδυ ποτον πιϝνων· και μ᾽ ῆτεε δεϝτερον αϝτις·
δος μοι ετι προφρων, και μοι τεϝον ονομα ϝεσπε
αϝτικα νῦν, ͱινα τοι δῶ χσεινιον, ͱῳ κε συ χαιροις.
και γαρ κυκλωπεσι φερει δσαϝδῶρος αροϝρα
ϝοινον εριστα φυλον, και σφιν διος ομβρος αϝεχσει·
αλλα τοδ᾽ ανβροσιης και νεκταρος εστιν αποϝρῶγς.
ͱως εφατ᾽· αϝταρ ͱοι αϝτις εγω πορον αιθοπα ϝοινον·
τρις μεν εδῶκα φερων, τρις δ᾽ εκπιϝεν αφραδιῆσιν.
αϝταρ επει κυκλωπα περι φρενας ηλυθε ϝοινος,
και τοτε δη μιν ϝεπεσσι προσῆυϝδῶν μειλιχιοισιν·
κυκλωπς, ειρῶτᾶς μ᾽ ονομα κλυτον; αϝταρ εγω τοι

εκσϝερεω· συ δε μοι δος χσεινιον, ͱως περ ͱυπεστης·
ουτις εμοι γ' ονομ' εστ'· ουτιν δε με κικλησκοντιν I
μητηρ, ηδε πατηρ, ηδ' αλλοι παντες ͱεταιροι.
ͱως εφαμην· ͱο δε μ' αϝτις αμειβετο νηλεϊ θυϝμῷ·
ουτιν εγω πυματον εδεω μετα ͱοισ' ͱεταροισιν,
τοϝς δ' αλλοϝς προσθεν· τοδε τοι χσεινῆϊον εσται.
ῆ, και ανακλινθευς πεσεν ͱυπτιος· αϝταρ επειτα
κειτ' αποδοχμῶσαυς παχυν αϝχενα· κατ δε μιν ͱυπνος
ͱαιρεε πανδαματωρ· φαρυγος δ' εκσεσσυτο ϝοινος,
πσωμοι τ' ανδρομεοι· ͱο δ' ερευγετο ϝοινοβαρεϝων.
και τοτ' εγω τον μοχλον ͱυπο σποδοϝ ηλασα πολλης,
ͱεϝος θερμαινοιτο· ϝεπεσσι τε παντας ͱεταιροϝς
θαρσυϝνον, μη τις μοι ͱυποδδειδσαυς αναδυϝῇ.
αλλ' ͱοτε δη ταχ' ͱο μοχλος ελαϊϊνος εν πυρ' εμελλεν
ͱαπτσασθαι, χλωρος περ εων, διεφαινετο δ' αινως,
και τοτ' εγων ασσον φερον εκ πυρος, αμφι δ' ͱεταιροι
ͱισταντ'· αϝταρ θαρσος ενεπνεϝσεν μεγα δαιμων.
ͱοι μεν, μοχλον ͱελοντες ελαϊϊνον, ͱοκσυν επ' ακρῷ,
οφθαλμῷ ενερειδσαν· εγω δ' εφυπερθεν αϝερθευς
δινεϝον· ͱως ͱοτε τις τρυπαοι δορυ ναϝιον ανηρ
τρυπανῷ, ͱοι δε τ' ενερθεν ͱυποσειοντιν ͱιμαντι
ͱαπτσαμενοι ͱεκατερθε, το δε τρεχει ενμενες αιϝει·
ͱως τοϝ εν οφθαλμῷ πυριηκεα μοχλον ͱεχοντες
δινεϝομεν, τον δ' ͱαιμα περι ρεϝε θερμον εοντα.
παντα δε ͱοι βλεφαρ' αμφι και οφρυας ͱεϝσεν αϝυϝτμη,
γληνης καϝομενης· σφαραγευντο δε ͱοι πυρι ϝριδσαι.
ͱως δ' ͱοτ' ανηρ χαλκεϝς πελεκυν μεγαν, ηε κεπαρνον,
ειν ͱυδατι πσυϝχρῷ βαπτῇ μεγαλα ϝιϝαχοντα·
ͱως τοϝο σιδσ' οφθαλμος ελαϊϊνεῷ περι μοχλῷ.
σμερδαλε' ῷμωγσεν· περι δε μεγ' εϝιϝαχε πετρη.
ͱημεες δε δδειδσαντες απεσσυμεθ'· αϝταρ ͱο μοχλον
εκσϝερυσ' οφθαλμοϝο πεφυρμενον ͱαιματι πολλῷ·
τον μεν επειτ' εριπτσεν απο ͱεϝο χερσιν αλυϝων.
αϝταρ ͱο κυκλωπας μεγαλ' ῆπυϝεν, ͱοι ρα μιν αμφις
ϝοικεον εν σπεϝεσσι δι' ακριας ανεμοεντσας·
ͱοι δε βοης αϝιοντες εφοιταον αλλοθεν αλλος·
ͱισταμενοι δ' ειροντο περι σπεϝος, ͱο τι ͱε κηδοι·
τιπτε τοσον, πολυφημε, ϝαρημενος ͱῶδ' εβοῆσας,
νυκτα δι' ανβροσιην, και αϝυπνοϝς αμμε τιθησθα;
η μη τις σεϝο μηλα βροτων αϝεκοντος ελαϝνει;
η μη τις σ' αϝτον κτεινῇ δολῷ, ηε βιηφιν;
τοϝς δ' αϝτ' εκς αντροο προσεφη κρατερος πολυφημος·
ω φιλοι, ουτις με κτεινει δολῷ, ου δε βιηφιν.
ͱοι δ' απαμειβομενοι ϝεπεα πτεροεντ' αγορεϝον·
ει μεν δη μη τις σε βιαδσεται, οιον εοντα,
νουσον γ' ου πως εστι διος μεγαλοϝ αλεϝεσθαι·

αλλα συγ᾽ ευχεο πατρι ποσειδαϝῶνι ϝανακτι.
ͱως αρ᾽ εφαν απιοντες· εμον δ᾽ εγελασσε φιλον κεαρ,
ͱως ονομ᾽ εκσαπατῆσεν εμον και μητις αμυϝμων.
κυκλωπς δε στοναχων τε, και ωδινων οδυνῃσιν,
χερσι πσηλαφαων, απο μεν λιθον ͱελλε θυραϝων·
αϝτος δ᾽ εινι θυρῃσι καθεδσετο, χειρε πετασσανς,
ει τινα ποο μετ᾽ οϝιεσι λαβοι στειχοντα θυραδσε·
ͱοϝτῳ γαρ ποϝο μ᾽ ͱελπετ᾽ ενι φρεσι νηπιον εεναι.
αϝταρ εγω βουλεϝον, ͱοπως ͱοχ᾽ αριστα γενοιτο,
ει τιν᾽ ͱεταιροισιν θανατοο λυσιν, ηδ᾽ εμοι αϝτῳ,
ϝευροιμην· παντας δε δολοϝς και μητιν ͱυφαινον,
ͱωστε περι πσυϝχης· μεγα γαρ κακον ενγυθεν ἦεν.
ͱηδε δε μοι κατα θυϝμον αριστη εφαινετο βουλη·
αρσενες οϝιες ἦσαν ͱεϋτρεφεες, δασυμαλλοι,
καλοι τε, μεγαλοι τε, ϝιοδνεφες ειρος ͱεχοντες·
τοϝς ακεων γσυνεͱεργον ͱεϋστρεφεεσι λυγοισιν,
τῃσ᾽ επι κυκλωπς ͱευδε, πελωρ, αθεμιστια ϝειδως,
γσυν τρεας αινυμενος· ͱο μεν εν μεσῳ ανδρα φερεσκεν,
τω δ᾽ ͱετερω ͱεκατερθεν ιτην, σαεοντες ͱεταιροϝς.
τρεες δε ͱεκαστον φῶτ᾽ οϝιες φερον· αϝταρ εγωγε,—
ϝαρνειος γαρ εῆν, μηλων ͱοχ᾽ αριστος ͱαπαντων,—
τοο κατα νωτα λαβων, λασιην ͱυπο γαστερ᾽ ελυσθενς
κειμην· αϝταρ χερσιν αͱωτοϝο θεσπεσιοϝο
νωλεμεως στρεφθενς ͱεχομην τετλῆοτι θυϝμῳ.
ͱως τοτε μεν στοναχοντες εμῆναμεν ἦοα διϝαν.
ημος δ᾽ ἦριγενει᾽ εφανη ϝροδοδακτυλος ἦως,
και τοτ᾽ επειτα νομονδ᾽ εκσεσσῦντ᾽ αρσενα μηλα·
θηλυιαι δ᾽ εμεμῆκον αῆμελκτοι περι σηκοϝς,
ουθατα γαρ σφαραγεοντο· ϝανακς δ᾽ οδυνῃσι κακῃσιν
τειρομενος παντων οϝιων επεμαϝετο νωτα
ορθων ͱεσταοτων· το δε νηπιος ουκ ενοησεν,
ͱως ͱοι ͱυπ᾽ ειροποκων οϝιων στερνοισ᾽ εδεδεντο.
ͱυστατος ϝαρνειος μηλων εστειχε θυραδσε,
λαχμῳ στεινομενος, και εμοι πυκινα φρονεοντι.
τον δ᾽ επιμασσαμενος προσεφη κρατερος πολυφημος·
κριϝε πεπον, τι μοι ͱῳδε δια σπεϝος εσσυο μηλων
ͱυστατος; ουτι παρος γε λελειπμενος ερχεαι οϝιων,
αλλα πολυ πρῶτος νεμεαι τερεν᾽ ανθεα ποιης,
μακρα βιβανς· πρῶτος δε ροϝας ποταμων αφικανεις·
πρῶτος δε σταθμονδε λιλαϝεαι απονεεσθαι
ϝεσπεριος· νῦν αϝτε πανͱυστατος· η συ ϝανακτος
οφθαλμον ποθεεις; τον ανηρ κακος εκσαλαϝῶσεν,
γσυν λυγροισ᾽ ͱεταροισι, δαμασσαμενος φρενα ϝοινῳ.
ει δη ͱομοφρονεοις, ποτιφῶνῆενς τε γενοιο,
ϝεσπεμεν, ͱοπῃ κεινος εμον μενος ηλασκαδσει·
τῳ κε ͱοι ενκεφαλος γε δια σπεϝος αλλυδις αλλῃ

θεινομενοο Fραιοιτο προς ουδεϊ· κατ δε κ' εμον κεαρ I
λωφῆσειε κακων, τα μοι ουτιδανος πορεν ουτις.
ͱως Fεσπων, τον κριFον απο ͱεF' επεμπε θυραδσε.
ελθοντες δ' ηβαιον απο σπεFεος τε, και αFλης,
πρῶθ' υπο Fαρνειοο λυFομην, ͱυπελυFσα δ' ͱεταιροFς.
καρπαλιμως δε τα μηλα ταναFποδα, πιFονα δημῷ,
πολλα περιτροπεοντες ελαFνομεν, ͱοφρ' επι ναFα
ͱικομεθ'· ασπασιοι δε φιλοισ' ͱεταροισ' εφανημεν,
ͱοι φυγομεν θανατον· τοFς δε στοναχοντο γοῶντες.
αλλ' εγω ουκ εFαον, ανα δ' οφρυσ' ενευον ͱεκαστῳ̃,
κλαFεμεν· αλλ' εκελεFσα θοFως καλλιτριχα μηλα
πολλ' εν ναFι βαλοντας επιπλεεν ͱαλμυρον ͱυFδωρ.
ͱοι δ' αιπσ' εισβαινον, και επι κλεFιεσι καθιδσον·
ͱεχσης δ' ͱεδσομενοι πολιην ͱαλ' ετυπτον ερετμοις.
αλλ' ͱοτε τοσον απῆν, ͱοσον τ' εγεγωνε βοῆσανς,
και τοτ' εγω κυκλωπα προσῆυFδων κερτομιοισιν·
κυκλωπς, ουκ αρ' εμελλες αλκιδος ανδρος ͱεταιροFς
εδμεναι εν σπεFεϊ γλαφυρῷ κρατερηφι βιηφι·
και λιFην σε γ' εμελλε κιχησεσθαι κακα Fεργα,
σχετλι'· επει χσεινους ουχ αδσεο σῷ ενι Fοικῷ.
ͱως εφαμην· ͱο δ' επειτ' εχολῶσατο κεαροθι μαλλον·
ͱῆκε δ' αποFρῆγσανς κορυφην ορεος μεγαλοFο·
κατ δ' εβαλε προπαροιθε ναFος κυFανοπρῷροFο·
εκλυσθη δε θαλασσα κατερχομενης ͱυπο πετρης·
την δ' απς ηπειρονδε παλιFροθιον φερε κυFμα.
αFταρ εγω χειρεσι λαβων περιμηκεα κοντον
ῶθσα παρεκς· ͱεταροισι δ' εποτρῦFνανς εκελεFσα
ενβαλεεεν κωπῆσ', ͱιν' ͱυπ' εκ κακοτητα φυγοιμεν,
κρᾶτι κατανευων· ͱοι δε προπεσοντες ερεσσον.
αλλ' ͱοτε δη δις τοσον ͱαλα πρῆσσοντες απῆμεν,
και τοτε δη κυκλωπα προσῆυFδαον· αμφι δ' ͱεταιροι
μειλιχιοισι Fεπεσσιν ερητυFον αλλοθεν αλλος·
σχετλιε! τιπτ' εθελεις ερεθιδσεμεν αγριον ανδρα;
ͱος και νῦν ποντονδε βαλων βελος ῆγαγε ναFα
αFτις ες ηπειρον, και δη φαμεν αFτοθ' ολεσθαι.
ει δε φθενγσαμενοο τεF, η αυFδησαντος, ακοFσεν,
γσυν κεν αραγσ' ͱημεων κεφαλας, και ναFια δορFα,
μαρμαρῷ ακριαεντι βαλων· τοσον γαρ ͱιͱητιν.
ͱως φασαν· αλλ' ου πειθον εμον μεγαλητορα θυFμον,
αλλα μιν απσορFοον προσεφην κεκοτῆοτι θυFμῷ·
κυκλωπς, αι κεν τις σε καταθνῆτων ανθρωπων
οφθαλμοF ειρηται αFεικελιην αλαFῶτυν,
φασθαι, ͱοδυσσεFα πτολιπορθον σ' εκσαλαFῶσαι,
ͱυιον λαFερταF, ιθακῇ ενι Fοικι' ͱεχοντα.
ͱως εφαμην· ͱο δε μ' οιμωγσανς ῆμειβετο μυFθῳ·
ω ποποι! η μαλα δη με παλαιφατα θεσφαθ' ικανει.

εσκε τις ενθαδε μαντις ανηρ ἠΰς τε μεγας τε, I
τηλεμος ευρυμιδης, ͱος μαντοσυνῇ εκεκαστο,
και μαντεϝομενος κατεγηραε κυκλωπεσιν·
ͱος μοι εφη ταδε παντα τελεϝτῆσεσθαι οπισσῳ,
χειρων εκς ͱοδυσεϝος αμαρτησεσθαι οπῶπης.
αλλ᾽ αιϝει τινα φῶτα μεγαν και καλον εδεχμην
ενθαδ᾽ ελευθσεσθαι, μεγαλην επιϝεσμενον αλκην·
νῦν δε μ᾽, εων ολιγος τε, και ουτιδανος, και ακικυς,
οφθαλμοϝ᾽ αλαϝῶσας, επει μ᾽ εδαμασσαο ϝοινῳ.
αλλ᾽ αγε δευρ᾽, ͱοδυσεϝ, ͱινα τοι παρ χσεινια θειω,
πομπην τ᾽ οτρυϝνω δομεναι κλυτον εννοσιγαιον·
τοο γαρ εγω παϊς ἠμι, πατηρ δ᾽ εμος ευχεται εεναι·
αϝτος δ᾽, αι κ᾽ εθελῃ, ϝιϝησεται, ουδε τις αλλος,
ουτε θεων μακαρων, ουτε θνῆτων ανθρωπων.
ͱως εφατ᾽· αϝταρ εγω μιν αμειβομενος προσεϝεσπον·
αι γαρ δη πσυϝχῆς γε και αιϝῶνος σε δυναιμην
ευνιν ποιησανς πεμπσαι δομον αϝιδος εισῳ,
ͱως ουκ οφθαλμον ϝιϝησεται ουδ᾽ ενοσιχθων.
ͱως εφαμην· ͱο δ᾽ επειτα ποσειδαϝῶνι ϝανακτι
ευχετο, χειρ᾽ ορεγων εις ουρανον αστεροεντα·
κλῦθι, ποσειδαϝον, γαιηͱοχε, κυϝανοχαιτα·
ει ͱετεον γε σος ἠμι, πατηρ δ᾽ εμος ευχεαι εεναι,
δος μη ͱοδυσσεϝα πτολιπορθον ϝοικαδ᾽ ͱικεσθαι.
αλλ᾽ ει ͱοι μοιρ᾽ εστι φιλοϝς τε ϝιδεεν, και ͱικεσθαι
ϝοικον ͱεϋκτιμενον, και ͱεϝην ες πατριδα γαιαν,
οπσε κακως ελθοι, ολεσανς απο παντας ͱεταιροϝς,
ναϝος επ᾽ αλλοτριης, ͱευροι δ᾽ εν πηματα ϝοικῳ.
ͱως εφατ᾽ ευχομενος· τοϝο δ᾽ εκλυϝε κυϝανοχαιτης.
αϝταρ ͱογ᾽ εκσαϝτις πολυ μειδσονα λαϝαν αϝῆρανς
ͱῆκ᾽ επιδινεϝσανς· επερειδσε δε ϝῖν᾽ απελεθρον.
κατ δ᾽ εβαλεν μετοπισθε ναϝος κυϝανοπρωροϝο,
τυτθον εδεϝησεν δ᾽ ͱοιῆϊον ακρον ͱικεσθαι.
αλλ᾽ ͱοτε δη την νησον αφικομεθ᾽, ενθα περ αλλαι
ναϝες ͱεϋσελμοι μενον ͱαθροϝαι, αμφι δ᾽ ͱεταιροι
ͱῆατ᾽ οδυϝρομενοι, ͱημεας ποτιδεχμενοι αιϝει·
ναϝα μεν ενθ᾽ ελθοντες εκελσαμεν εν πσαμαθοισιν,
εκ δε και αϝτοι εβημεν επι ϝρῆγμῖνι θαλασσης.
μηλα δε κυκλωπος γλαφυρης εκ ναϝος ͱελοντες
δασσαμεθ᾽, ͱως μη τις μοι ατεμβομενος κιοι ϝεισϝης.
ϝαρνειον δ᾽ εμοι οιῳ ͱεϋκνημῖδες ͱεταιροι,
μηλων δαιομενων, δοσαν εκσͱοχα· τον δ᾽ επι θῖνι
δσῆνι κελαινεφεϊ κρονιδῃ, ͱος παντσι ϝανασσει,
ρεκσανς, μηρί᾽ εκαϝον· ͱο δ᾽ ουκ ενπαδσετο ͱιερων,
αλλ᾽ αρα μερμηριδσεν ͱοπως απολοιατο παντσαι
ναϝες ͱεϋσελμοι, και εμοι περιῆρες ͱεταιροι.
ͱως τοτε μεν προπαν ͱημαρ, ες ῆελιον καταδῦντα,

ͱημεθα δαινυμενοι κρεα᾽ ασπετα και μεθυ ͱηδυ. I
ͱημος δ᾽ ἧελιος κατεδῦ, και επι κνεφας ηλθε,
δη τοτ᾽ εκοιμῆθημεν επι ϝρῆγμῖνι θαλασσης.
ημος δ᾽ ἦριγενει᾽ εφανη ϝροδοδακτυλος ἦως,
δη τοτ᾽ εγων ͱεταροισιν εποτρυϝνων εκελεϝσα
αϝτοϝς τ᾽ ανβαινεεν, ανα τε πρυμνησια λυϝσαι·
ͱοι δ᾽ αιπσ᾽ εισβαινον, και επι κλεϝιεσι καθιδσον·
ͱεχσης δ᾽ ͱεδσομενοι πολιην ͱαλ᾽ ετυπτον ερετμοις.
ενθεν δε προτερῳ πλεϝομεν, ακαχημενοι ητορ,
ασμενοι εκ θανατοϝο, φιλοϝς ολεσαντες ͱεταιροϝς.
αιϝολιην δ᾽ ες νῆσον αφικομεθ᾽· ενθα δ᾽ εναιεν K
αιϝολος ͱιπποταδης, φιλος αθανατοισι θεοισιν,
πλωτῇ ενι νησῳ· παντσαν δε τε μιν περι τειχος
χαλκεον, αϝρῆγτον· λισση δ᾽ αναδεδρομε πετρη.
τοο και δῶδεκα παιδες ενι μεγαροις γεγααντιν·
ͱεκς μεν θυγατερες, ͱεκς δ᾽ ͱυιες ͱηβαϝοντες.
ενθ᾽ ͱογε θυγατερας πορεν ͱυιεσιν εεναι ͱακοιτας.
ͱοι δ᾽ αιϝει παρα πατρι φιλῳ και μητερι κεδνῇ
δαινῦνται· παρα δε σφιν ονειατα μυϝρια κειται.
κνισσῆεν δε τε δῶμα περι στοναχιδσεται αϝλῇ
ͱηματα, νυκτας δ᾽ αϝτε παρ᾽ αιδοιῇσ᾽ ͱαλοχοισιν
ͱευδοντ᾽, εν τε ταπητσι και εν τρῆτοισι λεχεσσιν.
και μεν των ͱικομεσθα πολιν και δῶματα καλα.
μῆνα δε παντ᾽ εφιλεε με, και εκσερεεινεν ͱεκαστα,
ϝιλϝιον, αργειϝων τε ναϝας, και νοστον αχαιϝων·
αϝταρ εγω τῳ παντα κατα μοιραν κατελεγσα.
αλλ᾽ ͱοτε δη και εγων ͱοδον ῆτεον, ηδ᾽ εκελεϝον
πεμπεμεν, ουδε τι κεινος αῆνατ᾽, ετευχε δε πομπην.
δῶκε μοι εκδερϝανς ασκον βοϝος ͱεννͱωροϝο·
ενθα δε βυκταϝων ανεμων κατεδησε κελευθα.
κεινον γαρ ταμιην ανεμων ποιησε κρονιϝων,
ημεν παϝεμεναι, ηδ᾽ ορνυμεν, ͱον κ᾽ εθελητιν.
ναϝι δ᾽ ενι γλαφυρῇ κατεδεε μερμινθι φαϝεινῇ,
αργυρεῇ, ͱινα μη τι παραπνεϝσητ᾽ ολιγον περ·
αϝταρ εμοι πνοϝην δσεφυροο προεͱῆκεν αηναι,
ͱοφρα φεροι ναϝας τε και αϝτοϝς· ουδ᾽ αρ᾽ εμελλεν
εκτελεεεν· αϝτων γαρ απῶλομεθ᾽ αφραδιῇσιν.
ͱεννͱημαρ μεν ͱομως πλεϝομεν νυκτας τε και ͱημαρ·
τῇ δεκατῇ δ᾽ ηδη ανεφαινετο πατρις αροϝρα·
και δη πυρπολεοντας ελεϝσσομεν ενγυς εοντες.
ενθ᾽ εμε μεν γλυκυς ͱυπνος επηλυθε κεκμηϝωτα·
αιϝει γαρ ποδα ναϝος ενωμαον· ουδε τεῳ αλλῳ
δῶχ᾽ εταρων, ͱινα θασσον ͱικοιμεθα πατριδα γαιαν.
ͱοι δ᾽ ͱεταροι ϝεπεεσι προς αλληλοϝς αγορεϝον,
και μ᾽ εφασαν χρυσον τε και αργυρον ϝοικαδ᾽ αγεσθαι,
δῶρα παρ᾽ αιϝολοϝο μεγαλητορος ͱιπποταδαϝο.

ͱῶδε δε τις ϝεσπεσκε ϝιδων ες πλησιον αλλον· K
ω ποποι! ͱως ͱοδε παντσι φιλος και τιϝμιος εστιν!
πολλα μεν εκ τροϝιης αγεται κειμηλια καλα
λεϝιδος· ͱημεες δ' αϝτε ͱομην ͱοδον εκτελεσαντες
ϝοικαδε νισσομεθα κενεας γσυν χειρας ͱεχοντες.
και νῦν ͱοι ταγ' εδῶκε χαριδσομενος φιλοτητι
αιϝολος· αλλ' αγε θασσον ϝιδωμεθα ͱο τι ταδ' εστιν.
ͱως εφασαν· βουλη δε κακη νικῆσεν ͱεταιρων·
ασκον μεν λυϝσαν, ανεμοι δ' εκ παντες οροϝσαν.
τοϝς δ' αιπσ' ͱαρπακσαντσ' εφερεν ποντονδε θυϝελλα
κλαϝοντας, γαιης απο πατριδος· αϝταρ εγωγε
εγρομενος κατα θυϝμον αμυϝμονα μερμηρικσα,
ηε πεσων εκ ναϝος αποφθῖμην ενι ποντῳ,
η' ακεων τλᾶιην, και ετι δσαϝοισι μετειην.
αλλ' ετλῆν και εμῆνα· καλυπτσαμενος δ' ενι ναϝι
κειμην· ͱαι δ' εφεροντο κακῇ ανεμοϝο θυϝελλῃ
αϝτις επ' αιϝολιην νησον· στοναχοντο δ' ͱεταιροι.
ενθα δ' επ' ηπειροο βημεν, και αφυσσαμεθ' ͱυϝδωρ·
αιπσα δε δειπνον ͱελοντο θοϝῇς παρα ναϝσιν ͱεταιροι.
αϝταρ επει σῖτοϝο τ' επασσαμεθ' ηδε ποτητος,
δη τοτ' εγω κηρῦκα τ' οπασσαμενος και ͱεταιρον
βην εις αιϝολοϝο κλυτα δῶματα· τον δ' εκιχανον
δαινυμενον, παρ' ͱεϝῇ θ' αλοχῳ και ͱεϝοισι τεκεσσιν.
ελθοντες δ' ες δῶμα παρα σταθμοισιν επ' ουδοο
ͱεδσομεθ'· ͱοι δ' ανα θυϝμον εθαμβεον, εκ τ' ερεοντο·
πως ηλθες, ͱοδυσεϝ; τις τοι κακος εχραϝε δαιμων;
η μεν σ' ενδυκεως απεπεμπομεν, ͱοφρ' αφικοιο
πατριδα σην, και δῶμα, και ει ποϝο τοι φιλον εστιν.
ͱως φασαν· αϝταρ εγω μετεφῶνεον, αχνυμενος κεαρ·
ῆϝασσαν μ' ͱεταροι τε κακοι, προς τοισι τε ͱυπνος
σχετλιος· αλλ' ακεσασθε, φιλοι· δυναμις γαρ εν ͱυμῖν·
ͱως εφαμην, μαλακοισι καθαπτομενος ϝεπεεσιν·
ͱοι δ' ααϝοι εγενοντο· πατηρ δ' ῆμειβετο μυϝθῳ·
ϝερρ' εκ νησοϝο θασσον, ελενχιστε δσαϝοντων·
ου γαρ μοι θεμις εστι κομιδσεμεν ουδ' αποπεμπεεν
ανδρα τον, ͱος κε θεοισιν απεχθηται μακαρεσιν.
ͱως ϝεσπων, απεπεμπε δομων βαρυα στοναχοντα.
ενθεν δε προτερῳ πλεϝομεν, ακαχημενοι ητορ.
τειρετο δ' ανδρων θυϝμος ͱυπ' ειρεσιης αλεγεινης.
ͱεκσͱημαρ μεν ͱομως πλεϝομεν νυκτας τε και ͱημαρ·
ͱεβδοματῇ δ' ͱικομεσθα λαμοϝ' αιπυ πτολιεθρον,
τηλεπυλον λαιστρυϝγονιην, ͱοθι ποιμενα ποιμην
ηπυϝει εισελαων, ͱο δε τ' εκσελαων ͱυπακοϝει.
ενθα κ' αͱυπνος ανηρ δοιοϝς εκσῆρατο μισθοϝς,
τον μεν, βοϝκολεων, τον δ', αργυφα μηλα νομεϝων·
ενγυς γαρ νυκτος τε και ͱηματος εντι κελευθοι.

ενθ᾽ επει ες λιμενα κλυτον ηλθομεν, ͱον περι πετρη
ηλιβατος τετυχηκε διαμπερες αμφοτερωθεν·
ακται δε προβλῆτες εναντιαι αλληλῃσιν
εν στοματι προͱεχουσιν· ͱαραιη δ᾽ εισͱοδος εστιν·
ενθ᾽ ͱοιγ᾽ εισῳ παντες ͱεχον ναϝας αμφιϝελισσας.
ͱαι μεν αρ᾽ εντοσθεν λιμενος κοιλοϝ᾽ εδεδεντο
πλῆσιαι· ου μεν γαρ ποτ᾽ αͱεχσετο κυϝμα γ᾽ εν αϝτῳ,
ουτε μεγ᾽, ουτ᾽ ολιγον· λεϝκη δ᾽ ῆν αμφι γαληνη.
αϝταρ εγων οιος σχεθον εκσῳ ναϝα μελαιναν,
αϝτοϝ᾽ επ᾽ εσχατιῃ, πετρης εκ πειθσματα δησανς.
εστην δε, σκοπιην ες παιπαλοεντσαν ανελθων·
  ενθα μεν ουτε βοϝων, ουτ᾽ ανδρων, φαινετο ϝεργα,
καπνον δ᾽ οιον ͱορωμεν απο χθονος αͱισσοντα.
δη τοτ᾽ εγων ͱεταροϝς προͱιͱην πευθεσθαι ιοντας,
ͱοιτινες ανερες ειεν επι χθονι σῖτον εδοντες·
ανδρε δυω κρῖνανς, τριτατον κηρῦχ᾽ αμ᾽ οπασσανς.
ͱοι δ᾽ ισαν εκβαντες λεϝην ͱοδον, ͱῇπερ ͱαμαγσαι
ϝαστυδ᾽ αφ᾽ υπσηλων ορεων καταγινεον ͱυλϝην.
κοϝρῃ δε γσυνβλῆντο προ ϝαστυϝος ͱυδρεϝοντσῃ,
θυγατερ᾽ ῑφθῑμῃ λαιστρυϝγονος αντιφατεϝος.
ͱη μεν αρ᾽ ες κρῆνην κατεβησατο καλλιρεϝεθρον
αρτακιην, ενθεν γαρ ͱυδωρ προτι ϝαστυ φερεσκον·
ͱοι δε παρͱισταμενοι προσεφωνεον, εκ τ᾽ ερεοντο,
ͱοστις των ειη βασιλεϝς, και ͱοισι ϝανασσοι.
ͱη δε μαλ᾽ αϝτικα πατρος επεφραδεν ͱυπσερεφες δω.
  ͱοι δ᾽ επει εισηλθον κλυτα δωματα, την δε γυναικα
ͱευρον, ͱοσην τ᾽ ορεος κορυφην, κατα δ᾽ εστυγον αϝτην.
ͱη δ᾽ αιπσ᾽ εκς αγορης εκαλεε κλυτον αντιφατεϝα,
ͱον ποσιν, ͱος δη τοισιν εμηδσατο λυγρον ολεθρον.
αϝτιχ᾽ ενα μαρπτσανς ͱεταρων ͱοπλισσατο δορπον·
τω δε δυ᾽ αͱικσαντε φυγῃ επι ναϝας ͱικεσθην.
αϝταρ ͱο τευχε βοην δια ϝαστυϝος· ͱοι δ᾽ αϝιοντες
φοιταον ῑφθῑμοι λαιστρυϝγονες αλλοθεν αλλος,
μυϝριοι, ουκ ανδρεσι ϝεϝοικοτες, αλλα γιγαντσιν.
ͱοι ρ᾽ απο πετραϝων ανδραχθεσι χερμαδιοισιν
βαλλον· ͱαφαρ δε κακος κοναβος κατα ναϝας ορωρεεν,
ανδρων τ᾽ ολϝυμενων, ναϝων θ᾽ αμα ϝαγνυμεναϝων.
ͱιχθυας δ᾽ ͱως, πειροντες, ατερπεα δαιτ᾽ εφεροντο.
  ͱοφρ᾽ ͱοι τοϝς ολεκον λιμενος πολυβενθεος εντος,
τοφρα δ᾽ εγω χσιφος ͱοκσυ ϝερυσσαμενος παρα μηροο
τῳ απο πειθσματ᾽ εκοπτσα ναϝος κυϝανοπρωροϝο.
αιπσα δ᾽ εμοισ᾽ ͱεταροισιν εποτρῦϝνανς εκελεϝσα
ενβαλεεεν κωπῃσ᾽, ͱιν᾽ ͱυπ᾽ εκ κακοτητα φυγοιμεν.
ͱοι δ᾽ ͱαλα παντες ανεριπτσαν, δδειδσαντες ολεθρον.
ασπασιως δ᾽ ες ποντον επῆρεφεας φυγε πετρας
ναϝς εμη· αϝταρ ͱαι αλλαι ͱαϝολϝεες αϝτοθ᾽ ολοντο.

ενθεν δε προτερω̃ πλεϝομεν, ακαχημενοι ητορ,
ασμενοι εκ θανατοϝο, φιλοϝς ολεσαντες ⱶεταιροϝς.
αιαιην δ' ες νησον αφικομεθ'· ενθα δ' εναιεν
κιρκη ⱶεϋπλοκαμος, δϝεινη θεος, αυϝδηεντσα,
αϝτοκασιγνητη ολοϝοφρονος αιηταϝο·
αμφω δ' εκγεγατην φαϝεσιμβροτοϝ' ηελιοϝο,
μητρος τ' εκ περσης, την ωκεανος τεκε παιδα.
ενθα δ' επ' ακτης ναϝα κατηγαγομεσθα σιωπη̃
ναϝλοχον ες λιμενα, και τις θεος ⱶηγεμονεϝεν.
ενθα τοτ' εκβαντες δυο θ' ηματα και δυο νυκτας
κειμεθ', ⱶομοο καματω̃ τε, και αλγεσι θυϝμον εδοντες.
αλλ' ⱶοτε δη τριτον ⱶημαρ ⱶεϋπλοκαμος τελεσ' ηως,
και τοτ' εγων εμον ενχος ⱶελων και φασγανον ⱶοξσυ
καρπαλιμως παρα ναϝος ανηϊον ες περιωπην,
ει πως ϝεργα ϝιδοιμι βροτων, ενοπην τε πυθοιμην.
εστην δε, σκοπιην ες παιπαλοεντσαν ανελθων,
και μοι εϝειδσατο καπνος απο χθονος ευρυοδειης,
κιρκης εν μεγαροισι, δια δρυμα πυκνα και ⱶυλϝην.
μερμηριξσα δ' επειτα κατα φρενα και κατα θυϝμον
ελθεμεν, ηδε πυθεσθαι, επει ϝιδον αιθοπα καπνον.
ⱶω̃δε δε μοι φρονεοντι δοασσατο κερδιον εεναι,
πρω̃τ' ελθοντ' επι ναϝα θοϝην και θι̃να θαλασσης,
δειπνον ⱶεταιροισιν δομεναι, προⱶεμεν τε πυθεσθαι.
αλλ' ⱶοτε δη σχεδον η̃α κιων ναϝος αμφιϝελισσης,
και τοτε τις με θεων ολοφυ̃ϝρατο μουνον εοντα,
ⱶος ρα μοι ⱶυψικερω̃ν ελαφον μεγαν εις ⱶοδον αϝτην
ⱶηκεν· ⱶο μεν ποταμονδε κατηϊεν εκ νομοϝ' ⱶυλϝης,
πιϝομενος, δη γαρ μιν ⱶεχεν μενος ηελιοϝο.
τον δ' εγω εκβαινοντα κατ' ακνηστιν μεσα νωτα
πληγσα· το δ' αντικρυς δορυ χαλκεον εκσεπερησεν·
κατ δ' επεσ' εν κονιϝη̃σι μακων, απο δ' επτατο θυϝμος.
τω̃ δ' εγω ενβαινων δορυ χαλκεον εκς ωτειλης
ϝερυσαμην· το μεν αϝθι κατακλι̃νανς επι γαιη̃
ηϝα̃σ'· αϝταρ εγω σπασαμην ρω̃πας τε λυγοϝς τε·
πειθσμα δ', ⱶοσον τ' οργυιαν, ⱶεϋστρεφες αμφοτερωθεν
πλεκσαμενος γσυνεδησα ποδας δϝεινοϝο πελωροο.
βην δε καταλοφαδεια φερων επι ναϝα μελαιναν,
ενχει ερειδομενος, επει ου πως ηεν επ' ωμοο
χειρι φερεεν ⱶετερη̃· μαλα γαρ μεγα θηριον ηεν.
κατ δ' εβαλον προπαροιθε ναϝος· ανεγηρα δ' ⱶεταιροϝς
μειλιχιοισι ϝεπεσσι, παρασταδον ανδρα ⱶεκαστον·
ω φιλοι, ου γαρ πως καταδυϝσομεθ', αχνυμενοι περ,
εις αϝιδαϝο δομοϝς, πριν μορσιμον ⱶημαρ επελθη̃.
αλλ' αγεθ', οφρ' εν ναϝι θοϝη̃ βρω̃σις τε ποσις τε,
μνη̃σομεθα βρω̃μης, μηδε τρυϝχωμεθα λειμω̃.
ⱶως εφαμην· ⱶοι δ' ω̃κα ϝεπεσσιν εμοισ' επιθοντο·

εκ δε καλυπτσαμενοι παρα θῖν' ͱαλος ατρυγετοϝο K
θαϝησαντ' ελαφον· μαλα γαρ μεγα θηριον ῆεν.
αϝταρ επει ταρπησαν ͱορῶμενοι οφθαλμοισιν,
χειρας νιπτσαμενοι τευχοντ' ερικυϝδεα δαιτα.
ͱως τοτε μεν προπαν ͱημαρ ες ῆελιον καταδῦντα
ͱημεθα δαινυμενοι κρεα' ασπετα και μεθυ ͱηδυ·
ημος δ' ῆελιος κατεδῦ, και επι κνεφας ηλθεν,
δη τοτ' εκοιμῆθημεν επι ϝρηγμῖνι θαλασσης.
ημος δ' ῆριγενει' εφανη ϝροδοδακτυλος ῆως,
και τοτ' εγων αγορην θεμενος μετα παντσιν εϝεσπον·
κεκλυτε μεο μυϝθων, κακα περ πασχοντες, ͱεταιροι·
ω φιλοι, ου γαρ ϝιδμεν, ͱοπῇ δσοφος, ουδ' ͱοπῇ ῆως,
ουδ' ͱοπῇ ῆελιος φαϝεσιμβροτος ειθ' υπο γαιαν,
ουδ' ͱοπῇ αννεεται· αλλα φραδσωμεθα θασσον,
ει τις ετ' εσται μητις, εγω δ' ουκ οιϝομαι εεναι·
ϝειδον γαρ, σκοπιην ες παιπαλοεντσαν ανελθων,
νησον, την περι ποντος απειρεσιος στεφανῶται·
αϝτη δε χθαμαλη κειται· καπνον δ' ενι μεσσῇ
εδρακον οφθαλμοισι, δια δρυμα πυκνα και ͱυλϝην.
ͱως εφαμην· τοισιν δε κατεκλασθη φιλον ητορ,
μνῆσαμενοις ϝεργων λαιστρυϝγονος αντιφατεϝος,
κυκλωπος τε βιης μεγαλητορος, ανδροφαγοϝο.
κλαϝον δε λιγυως, θαλερον κατα δακρυ χεϝοντες·
αλλ' ου γαρ τις πρῆκσις εγιγνετο μυϝρομενοισιν.
αϝταρ εγω διχα παντας ͱεϋκνημῖδας ͱεταιροϝς
ῆριθμεον· αρχον δε μετ' αμφοτεροισιν οπασσα·
των μεν εγων ῆρχον, των δ' ευρυλοχος θεοϝειδης.
κλῆροϝς δ' εν κυνεῇ χαλκηρει επαλλομεν ῶκα·
εκ δ' εθορε κλῆρος μεγαλητορος ευρυλοχοϝο.
βη δ' ιμεναι, ͱαμα τῷ γε δυω και ϝεικοσ' ͱεταιροι
κλαϝοντες· κατα δ' αμμ' ελιπον γοαοντας οπισθεν.
ͱευρον δ' εν βησσῆσι τετυχμενα δῶματα κιρκης
χσεστοισιν λαϝεσσι, περισκεπτῷ ενι χῶρῳ.
αμφι δε μιν λυκοι ῆσαν ορεστεροι, ηδε λεϝοντες,
τοϝς αϝτη κατεθελγσεν, επει κακα φαρμακ' εδῶκεν.
ουδ' ͱοι γ' ͱορμῆθησαν επ' ανδρεσιν, αλλ' αρα τοιγε
ουρῇσιν μακρῇσι περι σαινοντες ανεσταν.
ͱως δ' ͱοτ' αν αμφι ϝανακτα κυνες δαιτηθεν ιοντα
σαινωντ', αιϝει γαρ τε φερει μειλιχματα θυϝμοο·
ͱως τοϝς αμφι λυκοι κρατερωνυχες, ηδε λεϝοντες,
σαινον· τοι δ' εδδεισαν, επει ϝιδον αινα πελωρα.
εσταν δ' εν προθυροισι θεας καλλιπλοκαμοϝο·
κιρκης δ' ενδον ακοϝον αϝειδοντσης ϝοπι καλῇ,
ͱιστον εποιχομενης μεγαν, ανβροτον· ͱοια θεαϝων
λεπτα τε, και χαριεντα, και αγλαϝα ϝεργα πελονται.
τοισι δε μυϝθων ῆρχε πολῖτης, ορχαμος ανδρων,

ͱος μοι κηδιστος ͱεταρων ἦν, κεδνοτατος τε·
ω φιλοι, ενδον γαρ τις εποιχομενη μεγαν ͱιστον,
η θεος, ηε γυνη· αλλα φθενγωμεθα θασσον.
ͱως αρ' εφω̃νησεν· τοι δ' εφθενγοντο καλεοντες. K
ͱη δ' αιπσ' εκσελθοντσα θυρας ω̃ϊγσε φαϝεινας,
και καλε'· ͱοι δ' ͱαμα παντες αϝιδρειῃ̃σιν ͱεποντο·
ευρυλοχος δ' ͱυπεμη̃νεν, οϊϝσαμενος δολον εεναι.
ͱεσσεν δ' εισαγαγοντσα κατα κλισμοϝς τε, θρονοϝς τε.
εν δε σφιν τυρον τε και αλφιτα και μελι χλωρον
ϝοινῳ̃ πραμνειῳ̃ εκυκα̃· ανεμισγε δε σῑτῳ
φαρμακα λυγρ', ͱινα πανχυ λαθοιατο πατριδος αιης.
αϝταρ επει δω̃κεν τε και εκπιϝον, αϝτικ' επειτα
ϝραβδῳ̃ πεπληγυια κατα συφεοισιν εϝεργνῡ.
ͱοι δε συων μεν ͱεχον κεφαλας, φω̃νην τε, δεμας τε,
και τριχας, αϝταρ εη̃ν νοος ενπεδος, ͱως το παρος περ.
ͱως ͱοι μεν κλαϝοντες ͱεϝερχατο· τοισι δε κιρκη
παρ ρ' ακυλον, βαλανον τ' εβαλεν, καρπον τε κρανειης,
εδμεναι, ͱοια συες χαμαι ευναδες αιϝεν εδοντιν.
ευρυλοχος δ' απσ' ηλθε θοϝην επι ναϝα μελαιναν,
ανγελιην ͱεταρων ϝερεων και αδευκεα ποτμον.
ουδε τι προσφασθαι δυνατο ϝεπος, ͱιϝεμενος περ,
κεαρ αχεϊ μεγαλῳ̃ βεβολημενος· εν δε ͱοι οσσε
δακρυϝοφιν πιμπλαντο, γοον δ' ω̃ϊϝετο θυϝμος.
αλλ' ͱοτε δη μιν παντες αγασσαμεθ' εκσερεοντες,
και τοτε των αλλων ͱεταρων κατελεγσεν ολεθρον·
ἤομεν, ͱως εκελεϝες, ανα δρυμα, φαιδιμ' ͱοδυσσεϝ·
ͱευρομεν εν βησσῃ̃σι τετυχμενα δω̃ματα καλα
χσεστοισιν λαϝεσσι, περισκεπτῳ̃ ενι χω̃ρῳ̃.
ενθα δε τις μεγαν ͱιστον εποιχομενη λιγ' αϝειδεν,
η θεος, ηε γυνη· τοι δ' εφθενγοντο καλεοντες.
ͱη δ' αιπσ' εκσελθοντσα θυρας ω̃ϊγσε φαϝεινας,
και καλε'· ͱοι δ' ͱαμα παντες αϝιδρειῃ̃σιν ͱεποντο·
αϝταρ εγων ͱυπεμη̃να, οϊϝσαμενος δολον εεναι.
ͱοι δ' ͱαμ' αϝιδστω̃θησαν ͱαϝολϝεες, ουδε τις αϝτων
εκσεφανη· δηρον δε καθημενος εσκοπιαδσον.
ͱως εφατ'· αϝταρ εγω περι μεν χσιφος αργυροͱηλον
ωμοιϊν βαλομην, μεγα, χαλκεον· αμφι δε τοκσα.
τον δ' αιπσ' η̃νωγον αϝτην ͱοδον ͱηγησασθαι.
αϝταρ ͱογ' αμφοτερῃ̃σι λαβων ελισσετο γουϝων,
και μ' ολοφυϝρομενος ϝεπεα πτεροεντα προση̃υδα·
μη μ' αγε κεισ' αϝεκοντα, διοτρεφες, αλλα λιπ' αϝτοο·
ϝοιδα γαρ, ͱως ουτ' αϝτος ελευθσεαι, ουτε τιν' αλλον
αγσεις σων ͱεταρων· αλλα γσυν τοισδεσι θασσον
φευγωμεν· ετι γαρ κεν αλυκσαιμεν κακον ͱημαρ.
ͱως εφατ'· αϝταρ εγω μιν αμειβομενος προσεϝεσπον·
ευρυλοχ', ητοι μεν συ μεν' αϝτοϝο τῳ̃δ' ενι χω̃ρῳ̃,

εσθων και πιϝνων, κοιλῃ παρα ναϝι μελαινῃ·
αϝταρ εγων ειμι· κρατερη δε μοι επλετ' ανανκη.
ͱως ϝεσπων, παρα ναϝος ανηϊον, ηδε θαλασσης.
αλλ' ͱοτε δη αρ' εμελλον, ιων ͱιερας ανα βησσας,
κιρκης ͱικσεσθαι πολυφαρμακοϝ' ες μεγα δῶμα,
ενθα μοι ͱερμειας χρυσοϝραπις αντεβολησεν
ερχομενῳ προς δῶμα, νεϝηνιῃ ανδρι ϝεϝοικως,
πρῶτον ͱυπηνητῃ· τοϝο περ χαριεστατη ͱηβη·
εν τ' αρα μοι φῦ χειρι, ϝεπος τ' εφατ', εκ τ' ονομαδσεν·
πῃ δ' αϝτ', ω δυστηνε, δι' ακριας ερχεαι οιος,
χῶροϝ αϝιδρις εων; ͱεταροι δε τοι ͱοιδ' ενι κιρκης
ͱερχαται, ͱωστε συες πυκινοϝς κεϝθμῶνας ͱεχοντες.
η τοϝς λυϝσομενος δευρ' ερχεαι; ουδε σε φημι
αϝτον νοστησεεν, μενεεις δε συγ', ενθα περ αλλοι.
αλλ' αγε δη σε κακων εκλυϝσομαι, ηδε σαῶσω·
τῆ, τοδε φαρμακον εσθλον ͱεχων ες δῶματα κιρκης
ερχε', ͱο κεν τοι κρᾶτος αλαλκησει κακον ͱημαρ.
παντα δε τοι ϝερεω ϝολοφῶϊα δηνεα κιρκης·
τευχσει τοι κυκεῶ, βαλεει δ' ενι φαρμακα σῖτῳ·
αλλ' ουδ' ͱως θελγσαι σε δυνῆσεται· ου γαρ εϝᾶσει
φαρμακον εσθλον, ͱο τοι δῶσω· ϝερεω δε ͱεκαστα.
ͱοποτε κεν κιρκη σ' ελασῃ περιμηκεϊ ϝραβδῷ,
δη τοτε συ χσιφος ͱοκσυ ϝερυσσαμενος παρα μηροο
κιρκῃ επαͱικσαι, ͱωστε κταμεναι μενεαινων.
ͱη δε σ' ͱυποδδειδσαντσα κελεϝσεται ευνῆθηναι·
ενθα συ μηκετ' επειτ' απαῆνασθαι θεοϝ' ευνην,
ͱοφρα κε τοι λυϝσῃ θ' εταροϝς, αϝτον τε κομισσῃ·
αλλα κελεσθαι μιν μακαρων μεγαν ͱορκον ομοσσαι·
μη τι τοι αϝτῷ πημα κακον βουλεϝσεμεν αλλο·
μη σ' απογυμνῶθεντα κακον και αῆνορα θῆῃ.
ͱως αρα φῶνησαυς πορε φαρμακον αργεϊφοντης,
εκ γαιης ϝερυσαυς, και μοι φυσιν αϝτοϝ' εδεικσεν.
ϝριδσῃ μεν μελαν εσκε, γαλακτι δε ϝεικελον ανθος·
μώλυ δε μιν καλεοντι θεοι· χαλεπον δε τ' ορυσσεεν.
ͱερμειας μεν επειτ' απεβη προς μακρον ολυνπον,
νησον αν ͱυλϝῆεντσαν· εγω δ' ες δῶματα κιρκης
ηϊα· πολλα δε μοι κραδιη πορφυϝρε κιοντι.
εστην δ' εν προθυροισι θεας καλλιπλοκαμοϝο·
ενθα στανς εβοῆσα, θεα δε μεϝ' εκλυϝεν αυϝδης.
ͱη δ' αιπσ' εκσελθουτσα θυρας ῶϊγσε φαϝεινας,
και καλε'· αϝταρ εγων ͱεπομην, ακαχημενος ητορ.
ͱεσσε δε μ' εισαγαγοντσα επι θρονοϝ' αργυροͱηλου,
καλοϝο, δαιδαλεοϝ', ͱυπο δε θρῆνυς ποσιν ῆεν·
τευχσε δε μοι κυκεῶ χρυσεῳ δεπα', ͱοφρα πιϝοιμι·
εν δε τε φαρμακον ͱῆκε, κακα φρονεοντσ' ενι θυϝμῷ.
αϝταρ επει δῶκεν τε και εκπιϝον, ουδε μ' εθελγσεν,

ϝραβδῷ πεπληγυια, ϝεπος τ' εφατ', εκ τ' ονομαδσεν·
ερχεο νῦν συφεονδε, μετ' αλλων λεχσαι ͱεταιρων.
ͱως φατ'· εγω δ' αͱορ ͱοκσυ ϝερυσσαμενος παρα μηροο
κιρκῃ επῇͱικσα, ͱωστε κταμεναι μενεαινων.
ͱη δε μεγα ϝιϝαχοντσα ͱυπεδραμε, και λαβε γονϝων,
και μ' ολοφυϝρομενη ϝεπεα πτεροεντα προσῆυϝδα·
τις; ποθεν εσσ' ανδρων; ποθι τοι πολις, ηδε τοκεϝες;
θαϝμα μ' ͱεχει, ͱως ουτι πιϝων ταδε φαρμακ' εθελχθης·
ουδε γαρ ουδε τις αλλος ανηρ ταδε φαρμακ' ανετλῆ.
σοι δε τις εν στηθεσσιν ακηλητος νοος εστιν.
η συ γ' ͱοδυσσεϝς εσσι πολυτροπος, ͱον τε μοι αιϝει
φᾶσκεν ελευθσεσθαι χρυσοϝραπις αργεϊφοντης,
εκ τροϝιης ανιοντα θοϝῇ γσυν ναϝι μελαινῇ.
αλλ' αγε δη κολεῷ μεν αͱορ θεο, νοϝι δ' επειτα
ευνης ͱημετερης επιβησομεν, ͱοφρα μιγεντε
ευνῇ και φιλοτητι, πεποιθομεν αλληλοισιν.
ͱως εφατ'· αϝταρ εγω μιν αμειβομενος προσεϝεσπον·
ω κιρκη, πως γαρ κελεαι με σοι ηπιον εεναι;
ͱη μοι συας μεν εθῆκας ενι μεγαροισιν ͱεταιροϝς·
αϝτον δ' ενθαδ' ͱεχοντσα, δολοφρονεοντσα κελεϝεις
ες θαλαμον τ' ιμεναι, και σης επιβημεναι ευνης,
ͱοφρα με γυμνῶθεντα κακον και αῆνορα θῆῆς;
ουδ' αν εγωγ' εθελοιμι τεϝης επιβημεναι ευνης,
ει μη μοι τλᾶιης γε, θεα, μεγαν ͱορκον ομοσσαι,
μη τι μοι αϝτῷ πημα κακον βουλεϝσεμεν αλλο.
ͱως εφαμην· ͱη δ' αϝτικ' απῶμνυϝεν, ͱως εκελεϝον.
αϝταρ επει ρ' ομοσεν τ' ετελεϝτῆσεν τε τον ͱορκον,
και τοτ' εγω κιρκης επεβην περικαλλεος ευνης.
αμφιπολοι δε τεϝος μεν ενι μεγαροισ' επενοντο
τεσσαρες, ͱαι ͱοι δῶμα κατα δρηστειραι εαντιν.
γιγνονται δ' αρα ται γ' εκ τε κρῆνεων, απο τ' αλσεων.
ταϝων ͱη μεν εβαλλε θρονοισ' εν ϝρῆγεα καλα,
πορφυρεα καθυπερθ', ͱυπενερθε δε λῖθ' υπεβαλλεν·
ͱη δ' ͱετερη προπαροιθε θρονων ετιταινε τραπεδσας
αργυρεας, επι δε σφ' ετιθεε χρυσεια κανεια·
ͱη δε τριτη κρῆτηρι μελιφρονα ϝοινον εκιρνα
ͱηδυν εν αργυρεῷ, νεμε δε χρυσεια κυπελλα·
ͱη δε τεταρτη ͱυδωρ εφορεε, και πυρ ανεκαϝεν
πολλον ͱυπο τριποδι μεγαλῷ· εϊαινετο δ' ͱυϝδωρ.
αϝταρ επειδη δσεσσεν ͱυδωρ ενι ϝοινοπι χαλκῷ,
ες ρ' ασαμινθον ͱεσαντσ' ελοϝ εκ τριποδος μεγαλοϝο,
θυϝμῆρες κερασαντσα κατα κρᾶτος τε και ωμων,
ͱοφρα μοι εκ καματον θυϝμοφθορον ͱελλετο γυιων.
αϝταρ επει λοϝεσεν τε, και εχριϝσεν λιπ' ελαιῷ,
αμφι δε με χλαιναν καλην εβαλ', ηδε χιτῶνα·
ͱεσσε δε μ' εισαγαγοντσα επι θρονοϝ αργυροͱηλοο,

καλοFo, δαιδαλεοF, ͱυπο δε θρῆνυς ποσιν ῆεν.
εσθεμεναι δ' εκελεFεν· εμῷ δ' ουκ Fανδανε θυFμῷ.
κιρκη δ' ͱως ενοησεν εμ' ͱημενον, ουδ' επι σῖτῳ
χειρας ιαλλοντα, στυγερον δε με πενθος εχοντα, K
ανχι παρͱισταμενη Fεπεα πτεροεντα προσηῦFδα·
τιφθ' οFτως, ͱοδυσεF, κατ' αρ' ͱεδσεαι FειFσος ααυFδῷ,
θυFμον εδων, βρωμης δ' ουχ απτεαι, ουδε ποτητος;
η τινα ποο δολον αλλον οϊFεαι, ου δε τι σε χρη
δεδδιμεν· ηδη γαρ τοι απῶμοσα καρτερον ͱορκον.
ͱως εφατ'· αFταρ εγω μιν αμειβομενος προσεFεσπον·
ω κιρκη, τις γαρ κεν ανηρ, ͱος εναισιμος ειη,
πριν τλαῖη πασσασθαι εδητυος, ηδε ποτητος,
πριν λυFσασθ' ͱεταροFς και εν οφθαλμοισι Fιδεσθαι;
αλλ' ει δη προφρασσα πιFεεν, φαγεμεν τε, κελεFεις,
λυFσον, ͱιν' οφθαλμοισι Fιδω περιῆρας ͱεταιροFς.
ͱως εφαμην· κιρκη δε δι' εκ μεγαροF εβεβηκεεν,
Fραβδον ͱεχοντσ' εν χειρι, θυρας δ' ανεοιγσε συφειοο,
εκ δ' ελασεν σιFαλοισι FεFοικοτας ͱεννͱωροισιν.
ͱοι μεν επειτ' εστησαν εναντιοι· ͱη δε δι' αFτων
ερχομενη προσαλειφεν ͱεκαστῳ φαρμακον ἀλλο.
των δ' εκ μεν μελεων τριχες ερεFον, ͱας πριν εφυFσεν
φαρμακον ολομενον, το σφιν πορε ποτνια κιρκη·
ανδρες δ' αιπσ' εγενοντο, νεFωτεροι η παρος ῆσαν,
και πολυ καλλιονες και μειδσονες εισͱοραεσθαι.
εγνῶσαν δε με κεινοι, εφῦν τ' εν χερσιν ͱεκαστος.
παντσιν δ' ͱιμεροενς ͱυπεδῦ γοος, αμφι δε δῶμα
σμερδαλεον κοναβιδσε· θεα δ' ελεαιρε και αFτη.
ͱη δε μεF' ανχι σταντσα προσηῦFδαε διFα θεαFων·
διFογενες λαFερτιαδη, πολυμηχαν' ͱοδυσσεF,
ερχεο νῦν επι ναFα θοFην και θῖνα θαλασσης·
ναFα μεν αρ πανπρῶτα Fερυσσατε ηπειρονδε,
κτηματα δ' εν σπεFεσσι πελασσατε, ͱοπλα τε παντα·
αFτος δ' απσ' ιμεναι, και αγεεν εριῆρας ͱεταιροFς.
ͱως εφατ'· αFταρ εμοιγ' επεπειθετο θυFμος αγῆνωρ·
βην δ' ιμεναι επι ναFα θοFην και θῖνα θαλασσης.
ͱευρον επειτ' επι ναFι θοFῇ περιῆρας ͱεταιροFς
οικτρ' ολοφυFρομενοFς, θαλερον κατα δακρυ χεFοντας.
ͱως δ' ͱοτ' αν αγραFλοι πορτιες περι βοFς αγελαιας
ελθοντσας ες κοπρον, επῆν βοτανης κορεσωνται,
παντσαι ͱαμα σκαιροντιν εναντιαι· ουδ' ετι σηκοι
ͱισχοντ', αλλ' ͱαδινον μυκῶμεναι αμφι θεFοντιν
μητερας· ͱως εμε κεινοι, επει Fιδον οφθαλμοισιν,
δακρυFοεντες εχῦντ'· εδοκησε δ' αρα σφισι θυFμος
ͱως εμεν, ͱως ει πατριδ' ͱικοιατο και πολιν αFτων
τρῆχυιης ιθακης, ͱινα τ' ετραφεν, ηδ' εγενοντο·
και μ' ολοφυFρομενοι Fεπεα πτεροεντα προσηῦFδων·

σοι μεν νοστησαντι, διοτρεφες, ͱως εχαρημεν,
ͱως ειτ' εις ιθακην αφικοιμεθα πατριδα γαιαν·
αλλ' αγε, των αλλων ͱεταρων καταλεγσον ολεθρον.
ͱως εφαν· αϝταρ εγω προσεφην μαλακοισι ϝεπεσσιν·
ναϝα μεν αρ πανπρωτα ϝερυσσομεν ηπειρονδε,
κτηματα τ' εν σπεϝεσσι πελασσομεν, ͱοπλα τε παντα·
αϝτοι δ' οτρυϝνεσθε εμοι ͱαμα παντες ͱεπεσθαι,
ͱοφρα ϝιδηθ' εταροϝς ͱιεροισ' εν δῶμασι κιρκης,
πιϝνοντας και εδοντας· επιϝετανον γαρ ͱεχοντιν.
ͱως εφαμην· ͱοι δ' ῶκα ϝεπεσσιν εμοισ' επιθοντο·
ευρυλοχος δε μοι οιος ερυκανε παντας ͱεταιροϝς,
και σφεας φῶνησανς ϝεπεα πτεροεντα προσηῦϝδα·
ϝαϝ δδειλοι, ποσ' ιμεν; τι κακων ͱιμειρετε τοϝτων,
κιρκης ες μεγαρον καταβημεναι; ͱη κεν ͱαπαντας
η συας, ηε λυκοϝς ποιησεται, ηε λεϝοντας·
ͱοι κεν ͱοι μεγα δῶμα φυλασσοιμεν και ανανκῃ.
ͱωσπερ κυκλωπς ερκσ', ͱοτε ͱοι μεσσαϝλον ͱικοντο
ͱημετεροι ͱεταροι, γσυν δ' ͱο θρασυς ͱεσπεθ' οδυσσεϝς·
τοϝτοϝο γαρ και εκεινοι ατασθαλιῃσιν ολοντο.
ͱως εφατ'· αϝταρ εγωγε μετα φρεσι μερμηρικσα,
σπασσαμενος τανυηκες αϝορ παχυος παρα μηροο,
τῷ ͱοι αποτμῆγσανς κεφαλην ουδασδε πελασσαι,
και πηῷ περ εοντι μαλα σχεδον· αλλα μ' ͱεταιροι
μειλιχιοισι ϝεπεσσιν ερητυϝον αλλοθεν αλλος·
διϝογενες, τοϝτον μεν εϝᾶσομεν, ει συ κελεϝεις,
αϝτοϝο παρ ναϝι τε μενεεν, και ναϝα ρυϝεσθαι·
ͱημῖν δ' ͱηγεμονεϝ' ͱιερα προς δῶματα κιρκης.
ͱως φαμενοι παρα ναϝος ανηϊον ηδε θαλασσης.
ουδε μεν ευρυλοχος κοιλῃ παρα ναϝ' ελελειπτο,
αλλ' ͱεπετ'· εδδειδσεν γαρ εμην εκπαγλον ενῖπην.
τοφρα δε τοϝς αλλοϝς ͱεταροϝς εν δῶμασι κιρκη
ενδυκεως λοϝεσεν τε, και εχριϝσεν λιπ' ελαιῳ·
αμφι δ' αρα χλαινας καλας βαλεν, ηδε χιτῶνας·
δαινυμενοϝς δ' αρα παντας εφευρομεν εν μεγαροισιν.
ͱοι δ' επει αλληλοϝς εϝιδον, φρασσαντο τ' εσαντα,
κλαϝον οδυϝρομενοι, περι δ' εστοναχιδσετο δῶμα.
ͱη δε μεϝ' ανχι σταντσα προσηῦϝδαε διϝα θεαϝων·
μηκετι νῦν θαλερον γοον ορνυτε· ϝοιδα και αϝτη
ημεν ͱοσ' εν ποντῳ παθετ' αλγεα ͱιχθυϝοεντι,
ηδ' ͱοσ' ααρσιοι ανδρες εδηλησαντ' επι χερσοο.
αλλ' αγετ', εσθιετε βρῶμην, και πιϝνετε ϝοινον,
εις ͱο κεν αϝτις θυϝμον ενι στηθεσσι λαβητε.
ͱως εφαθ'· ημιν δ' αϝτ' επεπειθετο θυϝμος αγηνωρ.
ενθα μεν ͱηματα παντα τελεσφορον εις ενιαϝτον
ͱημεθα, δαινυμενοι κρεα' ασπετα και μεθυ ͱηδυ·
αλλ' ͱοτε δη ρ' ενιαϝτος εην, περι δ' ετραπον ͱωραι,

και τοτε μ' εκκαλεσαντες εφαν περιηρες ͱεταιροι·
δαιμονι', ηδη νῦν μιμνῆσκεο πατριδος αιης, K
ει τοι θεσφατον εστι σαῶθηναι, και ͱικεσθαι
ϝοικον ες ͱυψοροφον, και σην ες πατριδα γαιαν.
ͱως εφαν· αϝταρ εμοιγ' επεπειθετο θυϝμος αγῆνωρ.
ημος δ' ηελιος κατεδῦ, και επι κνεφας ηλθεν,
ͱοι μεν εκοιμησαντο κατα μεγαρα σκιοεντα.
αϝταρ εγω κιρκης επιβανς περικαλλεος ευνης
γουϝων ελιτανεϝσα, θεα δε μεϝ' εκλυϝεν αυϝδης·
ω κιρκη, τελεσον μοι ͱυποσχεσιν, ͱην περ ͱυπεστης,
ϝοικαδε πεμπσεμεναι· θυϝμος δε μοι εσσυται ηδη,
ηδ' αλλων ͱεταρων, ͱοι μεο φθινυθοντι φιλον κεαρ,
αμφ' εμ' οδυϝρομενοι, ͱοτε που συγε νοσφι γενηαι.
ͱως εφαμην· ͱη δ' αϝτικ' αμειβετο διϝα θεαϝων·
διϝογενες λαϝερτιαδη, πολυμηχαν' ͱοδυσσεϝ,
μηκετι νῦν αϝεκοντες εμῷ ενι μιμνετε ϝοικῳ·
αλλ' αλλην χρη πρῶτον ͱοδον τελεσαι, και ͱικεσθαι
εις αϝιδαϝο δομοϝς και επαινης περσεφονειης,
ψυϝχῆ χρησομενοϝς θηβαιοϝο τειρεσιαϝο,
μαντιος αλαϝοο, τοϝο τε φρενες ενπεδοι εντιν·
τῷ και τεθνηῶτι νοον πορε περσεφονεια,
οιῳ πεπνῦσθαι· τοι δε σκιαι αϝισσοντιν.
ͱως εφατ'· αϝταρ εμοιγε κατεκλασθη φιλον ητορ·
κλαϝον δ' εν λεχεεσι καθημενος, ουδε τι θυϝμος
ηθελ' ετι δσαϝεεν και ͱορᾶν φαϝος ηελιοϝο.
αϝταρ επει κλαϝων τε κυλινδομενος τ' εκορεσθην,
και τοτε δη μιν ϝεπεσσιν αμειβομενος προσεϝεσπον·
ω κιρκη, τις γαρ ταϝτην ͱοδον ͱηγεμονεϝσει;
εις αϝιδος δ' ου πῷ τις αφικετο ναϝι μελαινῆ.
ͱως εφαμην· ͱη δ' αϝτικ' αμειβετο διϝα θεαϝων·
διϝογενες λαϝερτιαδη, πολυμηχαν' ͱοδυσσεϝ,
μη τι τοι ͱηγεμονος γε ποθη παρα ναϝι μελεσθω·
ͱιστον δε στησανς, ανα δ' ͱιστια λεϝκα πετασσανς,
ͱησθαι· την δε κε τοι πνοϝη βορεαϝο φερητιν.
αλλ' ͱοποτ' αν δη ναϝι δι' ωκεανοϝο περησῃς,
ενθ' ακτη τε λαχεια και αλσεα περσεφονειης,
μακραι τ' αιγειροι, και ϝιτεαι ωλεσικαρποι·
ναϝα μεν αϝτοϝο κελσαι επ' ωκεανῷ βαθυδινῆ.
ενθα δ' επειθ', ηρως, χριμφθενς πελας, ͱως σε κελεϝω,
βοθρον ορυκσαι ͱοσον πυγοεντιον, ενθα και ενθα·
αμφ' αϝτῷ δε χοϝην χεϝσθαι παντσιν νεκυεσιν.
πρῶτα μελικρητῳ, μετεπειτα δε ͱηδυϊ ϝοινῳ,
το τριτον αϝθ' υδατι· επι δ' αλφιτα λεϝκα παλυϝνεεν.
πολλα δε γουϝῶσθαι νεκυων αμενηνα καρηνα,
ελθων εις ιθακην, στειραν βοϝν, ͱητις αριστη,
ρεκσεμεν εν μεγαροισι, πυρην τ' ενπλησεμεν εσθλων.

τειρεσιῃ̃ δ' απανευθεν οϝιν ͱιερεϝσεμεν οιῳ̃ K
πανμελαν', ͱος μηλοισι μεταπρεπει ͱυμετεροισιν.
αϝταρ επην ευχῇσι λισεαι κλυτα ϝεθνεα νεκρων,
οϝιν ϝαρνειον ρεδσεεν, θηλυν τε μελαιναν,
εις ερεβος τρεπσανς, αϝτος δ' απο νοσφι τραπεσθαι,
ͱιϝεμενος ποταμοϝο ροϝαϝων· ενθα δε πολλαι
πσυϝχαι ελευθσονται νεκυων κατατεθνηῶτων.
δη τοτ' επειθ' εταροισιν εποτρῦϝναι και ανωγσαι
μηλα, τα δη κατεκειθ' εσφαγμενα νηλεϊ χαλκῳ̃,
δεῖρϝαντας κατακῆαι· επευχσασθαι δε θεοισιν,
ἶφθῖμῳ̃ τ' αϝιδῃ̃ και επαινῃ̃ περσεφονειῃ̃.
αϝτος δε χσιφος ͱοκσυ ϝερυσσαμενος παρα μηροο
ͱησθαι, μηδ' εϝαεεν νεκυων αμενηνα καρηνα
ͱαιματος ασσον ιμεν, πριν τειρεσιαϝο πυθεσθαι.
ενθα τοι αϝτικα μαντις ελευθσεται, ορχαμε λαϝων,
ͱος κεν τοι ϝεσπητιν ͱοδον και μετρα κελευθοο,
νοστον θ', ως επι ποντον ελευθσεαι ͱιχθυϝοεντα.
ͱως εφατ'· αϝτικα δε χρυσοθρονος ηλυθεν ῆως.
αμφι δε με χλαιναν τε, χιτῶνα τε, ϝεσματ' εϝεσσεν·
αϝτη δ' αργυφεον φαϝρος μεγ' εϝεννυτο νυμφη,
λεπτον, και χαριεν, περι δε δσωνην βαλετ' ιχσυι,
καλην, χρυσειην· κεφαλῇ δ' επεθῆκε καλυπτρην.
αϝταρ εγω δια δῶματ' ιων ῶτρυϝνον ͱεταιροϝς
μειλιχιοισι ϝεπεσσι παρασταδον ανδρα ͱεκαστον·
μηκετι νῦν ͱευδοντες αϝωτεετε γλυκυν ͱυπνον·
αλλ' ιομεν· δη γαρ μοι επεφραδε ποτνια κιρκη.
ͱως εφαμην· τοισιν δ' επεπειθετο θυϝμος αγῆνωρ.
ουδε μεν ουδ' ενθεν περ απημονας ῆγον ͱεταιροϝς·
ͱελπῆνωρ δε τις εσκε νεϝωτατος, ουτε τι λιϝην
αλκιμος εν πολεμῳ̃, ουτε φρεσ' ͱεϝῇσιν αρῆρως,
ͱος μοι ανευθ' ͱεταρων ͱιεροισ' εν δῶμασι κιρκης
πσυϝχεος ͱιμειρων κατελεχσατο ϝοινοβαρεϝων·
κινυμενων δ' ͱεταρων ͱομαδον και δουπον ακοϝσανς
εκσαπινης ανοροϝσε, και εκλαθετο φρεσ' ͱεϝῇσιν
απσοροϝον καταβηναι ιων ες κλιμακα μακρην·
αλλα καταντικρυς τεγεος πεσεν· εκ δε ͱοι αϝχην
αστραγαλων εϝαγη, πσυϝχη δ' αϝιδοσδε κατηλθεν.
ερχομενοισι δε τοισιν εγω μετα μυϝθον εϝεσπον·
φᾶσθε νυ ποο ϝοικονδε φιλην ες πατριδα γαιαν
ερχεσθ'· αλλην δ' ͱημιν ͱοδον τεκμῆρατο κιρκη
εις αϝιδαϝο δομοϝς και επαινης περσεφονειης,
πσυϝχῇ χρησομενοϝς θηβαιοϝο τειρεσιαϝο.
ͱως εφαμην· τοισιν δε κατεκλασθη φιλον ητορ·
ͱεδσομενοι δε καταϝθ' εγοῶν, τιλλοντο τε χαιτας.
αλλ' ου γαρ τις πρῆκσις εγιγνετο μυϝρομενοισιν.
αϝταρ επει ρ' επι ναϝα κατηλθομεν, ηδε θαλασσαν, Λ

ναϝα μεν αρ πανπρωτ᾽ εϝερυσσαμεν εις ͱαλα διϝαν· Λ
εν δ᾽ ͱιστον τιθεμεσθα και ͱιστια ναϝι μελαινῃ̃·
εν δε τα μηλα λαβοντες εβησαμεν, εν δε και αϝτοι
βαινομεν αχνυμενοι, θαλερον κατα δακρυ χεϝοντες.
ͱημῖν δ᾽ αϝ κατοπισθε ναϝος κυϝανοπρω̃ροϝο
ͱικμενον ουρον ͱιͱεε πλησͱιστιον, εσθλον ͱεταιρον,
κιρκη ͱεϋπλοκαμος, δδεινη θεος, αυϝδη̃εντσα.
ͱημεες δ᾽ ͱοπλα ͱεκαστα πονησαμενοι κατα ναϝα
ͱημεθα· την δ᾽ ανεμος τε, κυβερνητης τ᾽ ιθυϝνεν.
  της δε πανͱημεριης τεταθ᾽ ιστια ποντοποροντσης·
δυϝσατο τ᾽ η̃ελιος, σκιαοντο τε παντσαι αγυιαι.
ͱη δ᾽ ες πειραθ᾽ ικανε βαθυροϝοϝ᾽ ωκεανοϝο·
ενθα δε κιμμεριων ανδρων δημος τε, πολις τε,
η̃ερι και νεφελῃ̃ κεκαλυπμενοι· ουδε ποτ᾽ αϝτοϝς
η̃ελιος φαϝεθων επιδερκεται ακτῖνεσιν,
ουθ᾽ οποτ᾽ αν στειχητι προς ουρανον αστεροεντα,
ουθ᾽ οτ᾽ αν απς επι γαιαν απ᾽ ουρανοθεν προτραπηται·
αλλ᾽ επι νυκς ολοϝη τεταται δδειλοισι βροτοισιν.
  ναϝα μεν ενθ᾽ ελθοντες εκελσαμεν· εκ δε τα μηλα
ͱελλομεθ᾽· αϝτοι δ᾽ αϝτε παρα ϱοϝον ωκεανοϝο
ῃ̃ομεν, ͱοφρ᾽ ες χω̃ρον αφικομεθ᾽, ͱον φρασε κιρκη.
ενθ᾽ ͱιερεϝια μεν περιμηδης, ευρυλοχος τε,
εσχον· εγω δ᾽ αͱορ ͱοκσυ ϝερυσσαμενος παρα μηροο
βοθρον ορυκσα, ͱοσον πυγοεντιον, ενθα και ενθα·
αμφ᾽ αϝτῳ̃ δε χοϝας χεϝομεν παντσιν νεκυεσιν,
πρω̃τα μελικϱη̃τῳ̃, μετεπειτα δε ͱηδυϊ ϝοινῳ̃,
το τϱιτον αϝθ᾽ υδατι· επι δ᾽ αλφιτα λεϝκ᾽ επαλυϝνον.
πολλα δε γουϝω̃μην νεκυων αμενηνα καρη̃να,
ελθων εις ιθακην, στειραν βοϝν, ͱητις αριστη,
ρεκσεμεν εν μεγαϱοισι, πυρην τ᾽ ενπλησεμεν εσθλων·
τειρεσιῃ̃ δ᾽ απανευθεν οϝιν ͱιεϱεϝσεμεν οιῳ̃
πανμελαν᾽, ͱος μηλοισι μεταπρεπει ͱημετεροισιν.
  τοϝς δ᾽ επει ευχωλῃ̃σι λιτῃ̃σι τε, ϝεθνεα νεκρων,
ελισαμην, τα δε μηλα λαβων απεδειροτομησα
ες βοθρον, ϱεϝε δ᾽ ͱαιμα κελαινεφες· ͱαι δ᾽ αγεροντο
πσυϝχαι ͱυπ᾽ εκς ερεβεος νεκυων κατατεθνη̃ω̃των,
νυμφαι τ᾽, ηϊθεοι τε, πολυτλη̃τοι τε γεροντες,
παρθενικαι τ᾽ αταλαι, νεϝοπενθεα θυϝμον ͱεχοντσαι·
πολλοι δ᾽ ουταμενοι χαλκηρεσιν ενχειῃ̃σιν,
ανδρες αρεϝιφατοι, βεβϱοτωμενα τευχε᾽ ͱεχοντες·
ͱοι πολλοι περι βοθρον εφοιταον αλλοθεν αλλος,
θεσπεσιῃ̃ ϝιϝαχῃ̃· εμε δε χλωϱον δδεος ͱαιρεεν.
  δη τοτ᾽ επειθ᾽ εταροισιν εποτρῦϝνανς εκελεϝσα
μηλα, τα δη κατεκειθ᾽ εσφαγμενα νηλεϊ χαλκῳ̃,
δε̃ρϝαντας κατακη̃αι, επευχσασθαι δε θεοισιν,
ῖφθῖμῳ̃ τ᾽ αϝιδῃ̃ και επαινῃ̃ περσεφονειῃ̃.

αϝταρ εγω χσιφος ͱοκσυ ϝερυσσαμενος παρα μηροο Λ
ͱημην, ουδ' εϝαον νεκυων αμενηνα καρῆνα
ͱαιματος ασσον ιμεν, πριν τειρεσιαϝο πυθεσθαι. 50
ηλθε δ' επι πσυϝχη μητρος κατατεθνῆυιης, 84
αϝτολυκοο θυγατηρ μεγαλητορος αντικλεια, 85
την δσαϝην κατελειπον, ιων εις ϝιλϝιον ͱιερην.
την μεν εγω δακρυϝσα ϝιδων, ελεησα τε θυϝμῷ·
αλλ' ουδ' ͱως εϝαον προτερην, πυκινον περ αχεϝων,
ͱαιματος ασσον ιμεν, πριν τειρεσιαϝο πυθεσθαι.
ηλθε δ' επι πσυϝχη θηβαιοϝο τειρεσιαϝο, 90
χρυσεον σκηπτρον ͱεχων, εμε δ' εγνῶ και προσεϝεσπεν·
τιπτ' αϝτ', ω δυστηνε, λιπων φαϝος ῆελιοϝο,
ηλυθες, ͱοφρα ϝιδῃς νεκυας και ατερπεα χῶρον;
αλλ' αποχαδσεο βοθροϝ, αφισχε δε φασγανον ͱοκσυ,
ͱαιματος ͱοφρα πιϝω, και τοι νημερτεα ϝεσπω. 95
ͱως φατ'· εγω δ' αναχασσαμενος χσιφος αργυροͱηλον
κουλεῷ ενκατεπηγσ'· ͱο δ' επει πιϝεν ͱαιμα κελαινον
και τοτε δη με ϝεπεσσι προσηυϝδαε μαντις αμυϝμων·
νοστον διδσηαι μελιͱηδεα, φαιδιμ' ͱοδυσσεϝ·
τον δε τοι αργαλεον θησει θεος· ου γαρ οἴϝω 100
ληθσεμεν εννοσιγαιον, ͱο τοι κοτον ενθετο θυϝμῷ,
χωομενος, ͱοτι ͱοι ͱυἵον φιλον εκσαλαϝῶσας.
αλλ' ετι μεν κε και ͱως, κακα περ πασχοντες, ͱικοισθε,
αι κ' εθελῃς σον θυϝμον ερυκακεεν και ͱεταιρων,
ͱοποτε δη πρῶτον πελασῃς ͱεΰϝεργεα ναϝα 105
θρινακιῃ νησῳ, προφυγων ϝιοϝειδεα ποντον·
βοσκομενας δ' ͱευρητε βοϝας και ϝἴφια μηλα
ῆελιοϝ, ͱος παντ' εφορᾳ και παντ' επακοϝει·
τας ει μεν κ' ασινεας εϝαῃς, νοστοο τε μεδηαι,
και κεν ετ' εις ιθακην, κακα περ πασχοντες, ͱικοισθε· 110
ει δε κε σινηαι, τοτε τοι τεκμαιρομ' ολεθρον
ναϝι τε, και ͱεταροισ'· αϝτος δ' ειπερ κεν αλυκσῃς,
οπσε κακως νεεαι, ολεσανς απο παντας ͱεταιροϝς,
ναϝος επ' αλλοτριης· δηεις δ' εν πηματα ϝοικῳ,
ανδρας ͱυπερφιαλοϝς, ͱοι τοι βιϝοτον κατεδοντιν, 115
μνῶμενοι αντιθεην ͱαλοχον, και εεδνα διδοντες·
αλλ' ητοι κεινων γε βιας αποτιϝσεαι ελθων.
αϝταρ επῆν μνῆστηρας ενι μεγαροισι τεϝοισιν
κτεινῃς, ηε δολῳ, η' ανφαδον ͱοκσυϊ χαλκῳ,
ερχεσθαι δη επειτα, λαβων ͱεΰῆρες ερετμον, 120
εις ͱο κε τοϝς αφικηαι, ͱοι ουκ ϝιδσαντι θαλασσαν. 121
σημα δε τοι ϝερεω μαλ' αριφραδες, ουδε σε ληθσει· 125
ͱοποτε κεν δη τοι γσυνβλῆμενος αλλος ͱοδῖτης
φῆῃ αθηρηλοιγον ͱεχεεν ανα φαιδιμῳ ωμῳ,
και τοτε δη γαιῃ πηγσανς ͱεΰῆρες ερετμον,
ρεκσανς ͱιερα καλα ποσειδαϝῶνι ϝανακτι,

ϝαρνειον, ταυρον τε, συων τ' επιβητορα καπρον,
ϝοικαδ' αποστειχεεν, ερδεεν θ' ιερας ͱεκατονβας Λ
ἀθανατοισι θεοισι, τοι ουρανον ευρυν εχοντιν,
παντσι μαλ' ͱεχσειης· θανατος δε τοι εκς ͱαλος αϝτῷ
αβληχρος μαλα τοιος ελευθσεται, ͱος κε σε πεφνῃ
γηρᾳ ͱυπο λιπαρῷ ϝεϝαρημενον· αμφι δε λαϝοι
ολβιοι εσσονται· ταδε τοι νημερτεα ϝερπω.
ͱως εφατ'· αϝταρ εγω μιν αμειβομενος προσεϝεσπον·
τειρεσιη, τα μεν αρ ποϝ' επεκλωθσαν θεοι αϝτοι.
αλλ' αγε μοι τοδε ϝεσπε, και ατρεκεως καταλεγσον,
μητρος τηνδ' ͱοραω πσυϝχην κατατεθνῆυιης·
ͱη δ' ακεουτσ' ͱησται σχεδον ͱαιματος, ουδ' ͱεϝον ͱυιον
ετλῆ ες αντα ϝιδεεν, ουδε προτιμυϝθησασθαι.
ϝεσπε, ϝανακς, πως κεν με γνοιη τοιον εοντα.
ͱως εφαμην· ͱο δε μ' αϝτις αμειβομενος προσεϝεσπεν·
ͱοντινα μεν κ' εϝαεις νεκυων κατατεθνῆωτων
ͱαιματος ασσον ιμεν, ͱοδε τοι νημερτες ενεπσει·
ͱῷ δε κ' επιφθονεεις, ͱοδε τοι παλιν ειτιν οπισσῷ.
ͱως φαμενη πσυϝχη μεν εβη δομον αϝιδος εισῷ.
αϝταρ εγων αϝτοο μενον ενπεδον, ͱοφρ' επι μητηρ
ηλυθε, και πιϝεν ͱαιμα κελαινεφες· αϝτικα δ' εγνῶ,
και μ' ολοφυϝρομενη ϝεπεα πτεροεντα προσῆυϝδα·
τεκνον εμον, πως ηλθες ͱυπο δσοφον ῆεροεντα,
δσαϝος εων; χαλεπον δε ταδε δσαϝοισ' ͱοραεσθαι·
μεσσῷ γαρ μεγαλοι ποταμοι και δδεινα ρεϝεθρα,
ωκεανος μεν πρῶτα, τον ου πως εστι περῆσαι,
πεδσον εοντ', ῆν μη τις ͱεχῃ ͱεϋϝεργεα ναϝα.
ͱως εφατ'· αϝταρ εγω μιν αμειβομενος προσεϝεσπον·
μητερ εμη, χρεϝω με κατῆγαγεν εις αϝιδαϝο,
πσυϝχῇ χρησομενον θηβαιοϝο τειρεσιαϝο.
ου γαρ πῷ σχεδον ηλθον αχαιϝιδος, ουδε πῷ αμης
γης επεβην, αλλ' αιϝεν ͱεχων αλαλημαι οϊδσυν,
εκς ͱοϝο τα πρῶτισθ' επομην αγαμεμνονι διϝῷ
ϝιλϝιον εις ͱεϋπωλον, ͱινα τροϝεσι μαχοιμην.
αλλ' αγε μοι τοδε ϝεσπε και ατρεκεως καταλεγσον,
τις νυ σε κηρ εδαμασσε τανηλεγεος θανατοϝο;
η δολιχη νουσος; η' αρτεμις ͱιͱοχεαιρα
ͱοισ' αγανοισι βελεσσιν εποιχομενη κατεπεφνεν;
ϝεσπε δε μοι πατερος τε, και ͱυιιος ͱον κατελειπον,
η' ετι παρ κεινοισιν εμον γερας, ηε τις ηδη
ανδρων αλλος ͱεχει, εμε δ' ουκ ετι φαντι νεεσθαι.
ϝεσπε δε μοι μνῆστης ͱαλοχοο βουλην τε νοον τε,
ηε μενει παρα παιδι, και ενπεδα παντα φυλασσει·
η' ηδη μιν εγῆμεν αχαιϝων, ͱοστις αριστος.
ͱως εφαμην· ͱη δ' αϝτικ' αμειβετο ποτνια μητηρ·
και λιϝην κεινη γε μενει τετλῆοτι θυϝμῷ

σοίσιν ενι μεγαροισιν· οϊδσυϝϱαι δε ⱶοι αιϝει Λ
φθινοντιν νυκτες τε, και ⱶηματα, δακρυχεϝοντσῃ.
σον δ' ου πῳ τις ⱶεχει καλον γερας· αλλα ⱶεκηλος
τηλεμαχος τεμενεα νεμεται, και δαιτας ϝεϊσϝας
δαινυται, ⱶας ϝεϝοικε δικασπολον ανδρ' αλεγυϝνεεν·
παντες γαρ καλεοντι· πατηρ δε σος αϝτοθι μιμνει
αγρῷ, ουδε πολινδε κατερχεται· ουδε ⱶοι ευναι,
δεμνια, και χλαιναι, και ϝρῆγεα σιϝαλοεντα·
αλλ' ⱶογε χειμα μεν ⱶευδει, ⱶοθι δμῶες, κατα ϝοικον,
εν κονί, αγχι πυρος, κακα δε χροϊ ϝεσματα ϝεσται·
αϝταϱ επῆν ελθητι θερος, τεθαλυια τ' οπωρη,
παντῆ ⱶοι κατα γονϝον αλοϝης ϝοινοπεδοϝο
φυλλων κεκλιμενων χθαμαλαι βεβλῆαται ευναι·
ενθ' ⱶογε κειτ' αχεϝων, μεγα δε φϱεσι πενθος αⱶεχσει,
σον ποτμον γοαων· χαλεπον δ' επι γηρας ⱶικανει.
ⱶουτῳ γαρ και εγων ολομην, και ποτμον εφεσπον·
ουτ' εμ' ενι μεγαροισιν ⱶεΰσκοπος ⱶιⱶοχεαιρα
ⱶοισ' αγανοισι βελεσσιν εποιχομενη κατεπεφνεν·
ουτε τις ῶν μοι νουσος επηλυθεν, ⱶητε μαλιστα
τηκεδονι στυγερῇ μελεων εκσⱶελλετο θυϝμον·
αλλα με σος τε ποθος, σα τε μηδεα, φαιδιμ' ⱶοδυσσεϝ,
ση τ' αγανοφροσυνη μελιⱶηδεα θυϝμον απῆϝϱα.
ⱶως εφατ'· αϝταρ εγωγ' εθελον φρεσι μερμηρικσανς
μητϱος εμης πσυϝχην ⱶελεεεν κατατεθνῆυιης·
τρις μεν εφορμῆθην, ⱶελεεεν τε με θυϝμος ανωγεν,
τρις δε μοι εκ χειρων, ϝικελον σκιῇ, η και ονειρῳ,
επτατ'· εμοι δ' αχος ⱶοκσυ γενεσκετο κεαροθι μαλλον·
και μιν φῶνησανς ϝεπεα πτεϱοεντα προσηῦϝδων·
μητερ εμη, τι νυ μ' ου μιμνεις ⱶελεεεν μεμαϝῶτα,
ⱶοφρα και ειν αϝιδαϝο φιλᾶ περι χειρε βαλοντε
αμφοτερω κρυεροϝο τεταρπωμεσθα γοοϝο;
η μοι ϝειδωλον τοδ' αγαϝη περσεφονεια
ῶτρυϝν', ⱶοφρ' ετι μαλλον οδυϝρομενος στοναχιδσω;
ⱶως εφαμην· ⱶη δ' αϝτικ' αμειβετο ποτνια μητηρ·
ω μοι τεκνον εμον, περι παντων κακμορε φωτων,
ουτι σε περσεφονεια, διος θυγατηρ, απαφισκει,
αλλ' αϝτη δικη εστι βροτων, ⱶοτε κεν τε θανωντιν·
ου γαρ ετι σαρκας τε και οστεα ϝῖνες ⱶεχοντιν,
αλλα τα μεν τε πυρος κρατερον μενος αιθομενοϝο
δαμνα', επει κε πρῶτα λιπῇ λεϝκ' οστεα θυϝμος·
πσυϝχη δ', ηΰτ' ονειρος, αποπταμενη πεποτῆται.
αλλα φαϝοσδε ταχιστα λιλαϝεο· ταϝτα δε παντα
ϝιδσθ', ⱶινα και μετοπισθε τεϝῇ ϝεσπῆσθα γυναικι.
νοϝι μεν ⱶως ϝεπεεσιν αμειβομεθ'· ⱶαι δε γυναικες
ηλυθον,—ῶτρυϝνεν γαρ αγαϝη περσεφονεια,—
ⱶοσαι αριστεϝων ⱶαλοχοι εσαν, ηδε θυγατρες·

ͱαι δ' αμφ' ͱαιμα κελαινον ͱαϝολϝεες ῆγερεθοντο. Λ
αϝταρ εγω βουλεϝον, ͱοπως ερεοιμι ͱεκαστην·
ͱηδε δε μοι κατα θυϝμον αριστη εφαινετο βουλη·
σπασσαμενος τανυηκες αͱορ παχυος παρα μηροο
ουκ εϝαον πιϝνεεν ͱαμα παντσας ͱαΐμα κελαινον.
ͱαι δε προμνηστῖναι επηισαν· ͱη δε ͱεκαστη
ͱον γονον εκσαγορεϝεν· εγω δ' ερεεινον ͱαπαντσας.
ενθ' ητοι πρῶτην τυϝρῶ ϝιδον ͱευπατερειαν,
ͱη φατο σαλμωνεϝος αμυϝμονος εκγονος εεναι,
φη δε κρηθεϝος γυνη εσμεναι αιϝολιδαϝο·
ͱη ποταμοϝ' ηρασσατ' ενιπεϝος θειοϝο,
ͱος πολυ καλλιστος ποταμων επι γαιαν ιητιν·
και ρ' επ' ενιπεϝος πωλεσκετο καλα ρεϝεθρα.
τῷ δ' αρα ϝειδσαμενος γαιηͱοχος εννοσιγαιος
εν προχοϝῇς ποταμοο παρελεχσατο δινεϝεντος·
πορφυρεον δ' αρα κυϝμα περισταθη, ορεϊ ϝεισϝον,
κυρτῶθεν· κρυπτσεν τε θεον, θνῆτην τε γυναικα·
λυϝσε δε παρθενιην δσωνην, κατα δ' ͱυπνον εχεϝσεν.
αϝταρ επει ρ' ετελεσσε θεος φιλοτησια ϝεργα,
εν τ' αρα ͱοι φῦ χειρι, ϝεπος τ' εφατ', εκ τ' ονομαδσεν·
χαιρε, γυναι, φιλοτητι· περιπλομενοο δ' ενιαϝτοο
τεκσεις αγλαϝα τεκν'· επει ουκ αποφωλιοι ευναι
αθανατων· συ δε τοϝς κομεεεν, ατιταλλεμεναι τε.
νῦν δ' ερχεο προς δῶμα, και ͱισχεο, μηδ' ονομῆνῇς·
αϝταρ εγω τοι ῆμι ποσειδαϝων ενοσιχθων.
ͱως ϝεσπων, ͱυπο ποντον εδυϝσατο κυϝμαινοντα.
ͱη δ' ͱυποκυσσαμενη πελιην τεκε και νηλεϝα·
τω κρατερω θεραποντε διος μεγαλοϝ' εγενεσθην
αμφοτερω· πελιης μεν εν ευρυχορῷ ϝιαϝολκῷ
ναιε πολυϝρῆνος· ͱο δ' αρ' εν πυλῷ αμαθοεντι.
τοϝς δ' ͱετεροϝς κρηθεϝι τεκεν βασιλεια γυναικων,
αισονα τ', ηδε φερητ', αμυθαϝονα θ' ιππιοχαρμην.
την δε μετ', αντιοπην ϝιδον, ασωποϝο θυγατρα,
ͱη δη και διος ευχετ' εν ανκοινῇσιν ͱιαϝσαι·
και ρ' ετεκεν δυο παιδ', αμφιͱονα τε, δσηθον τε,
ͱοι πρῶτοι θηβης ͱεδος εκτισαν ͱεπταπυλοϝο,
πυργῶσαν τ'· επει ου μεν απυργῶτον γ' εδυναντο
ναιεμεν ευρυχορον θηβην, κρατερω περ εοντε.
την δε μετ', αλκμηνην ϝιδον, αμφιτρυϝῶνος ͱακοιτιν,
ͱη ρ' ͱηρακλεεα θρασυμεμνονα, θυϝμολεϝοντα,
γῆνατ', εν ανκοινῇσι διος μεγαλοϝο μιγεντσα.
μητερα τ' οιδιποδαϝ' εϝιδον, καλην επικαστην,
ͱη μεγα ϝεργον ερεκσεν αϝιδρυιῇσι νοοϝο,
γῆμαμενη ͱεϝῷ ͱυιι· ͱο δ' ͱον πατερ' εκσεναριχσανς
γῆμεν· ͱαφαρ δ' αναπυθτα θεοι θεσαν ανθρωποισιν.
αλλ' ͱο μεν εν θηβῃ πολυηρατῷ αλγεα πασχων

καδμεΐων εϝανασσε, θεων ολοϝας δια βουλας·
ⱶη δ' εβη εις αϝιδαϝο πυλαρταϝο κρατεροϝο, Λ
ⱶαπτσαμενη βροχον αιπυν αφ' υπσηλοϝο μελαθροο,
ⱶῷ αχεϊ σχομενη· τῷ δ' αλγεα κατλιπ' οπισσῷ
πολλα μαλ', ⱶοσα τε μητρος ερινυυες εκτελεοντιν.
και χλῶριν ϝειδον περικαλλεα· την ποτε νηλεϝς
γῆμεν ⱶεϝον δια καλλος, επει πορε μυϝρι' εεδνα,
ⱶοπλοτατην κοϝρην αμφιⱶονος ⱶιⱶασιδαϝο·
ⱶος ποτ' εν ορχομενῷ μινυαιῷ ϝῖφ' εϝανασσεν,
ηδε πυλοο βασιλεϝ'· ετεκεν δε ⱶοι αγλαϝα τεκνα,
νεστορα τε, χρομιον τε, περικλυμενον τ' αγερωχον.
τοισι δ' επ' ῖφθῖμην πηρῶ τεκε, θαϝμα βροτοισιν,
την παντες μναϝοντο περικτιται· ουδ' ετι νηλεϝς
τεῷ εδιδῷ, ⱶος μη ϝελικας βοϝας ευρυμετωποϝς
εκ φυλακης ελασειε βιης ϝῖφικλεειϝης
αργαλεας· τας δ' οιος ⱶυπεσχετο μαντις αμυϝμων
εκσελαεεν· χαλεπη δε θεοο κατα μοιρ' επεδῆσεν,
δεσμοι τ' αργαλεοι, και βοϝκολοι αγροιῶται.
αλλ' ⱶοτε δη μηνες τε και ⱶημεραι εκσετελεοντο,
απς περιτελλομενοο ϝετεος, και επηλυθον ⱶωραι,
και τοτε δη μιν ελυϝσε βιη ϝῖφικλεειϝη.
και ληδην εϝιδον, την τυνδαρεοο παρακοιτιν,
ⱶη ρ' ⱶυπο τυνδαρεῷ κρατεροφρον' εγῆνατο παιδε,
καστορα θ' ιπποδαμον, και πυγς αγαθον πολυδευκεα.
την δε μετ', ῖφιμεδειαν, αλωεϝος παρακοιτιν,
εϝιδον, ⱶη δη εφᾶσκε ποσειδαϝῶνι μιγηναι·
και ρ' ετεκεν δυο παιδε, μινυνθαδιω δ' εγενεσθην,
ωτον τ' αντιθεον, τηλεκλειτον τ' εφιαλτην·
ⱶοϝς δη μηκιστοϝς τρεφσε δσαϝδῶρος αροϝρα,
και πολυ καλλιστοϝς, μετ' αγακλυτον ωαριϝῶνα·
εννⱶωροι γαρ τοιγε και ⱶεννεαπηχυες ησαν
ευρος, αταρ μηκος γ' εγενεσθην ⱶεννοργυιοι.
ⱶοι ρα και αθανατοισιν απειλῆτην εν ολυνπῷ
φυϝλϝοπιδα στησεεν πολυαⱶικος πολεμοϝο·
οσσαν επ' ολυνπῷ μεμασαν θεμεν, αϝταρ επ' οσσῇ
πηλιον εννοσιφυλλον, ⱶιν' ουρανος ανβατος ειη.
και νυ κεν εκσετελεσσαν, ει ⱶηβης μετρον ⱶικοντο·
αλλ' ολεσεν διος ⱶυιος, ⱶον ῆϋκομος τεκε λητω.
φαιδρην τε, προκριν τ' εϝιδον, καλην τ' αριαδνην,
κοϝρην μινῶος ολοϝοφρονος, ⱶην ποτε θησεϝς
εκ κρητης ες γουνϝον αθηναϝων ⱶιεραϝων
ῆγε μεν, ουδ' απονητο· παρος δε μιν αρτεμις εκτα.
μαιραν τε, κλυμενην τ' εϝιδον, στυγερην τ' εριφυϝλην,
ⱶη χρυσον φιλοϝ ανδρος εδεχσατο τιϝμῆεντα.
παντσας δ' ουκ αν εγω μυϝθησομαι ουδ' ονομῆνω,
ⱶοσας ⱶηροϝων ⱶαλοχοϝς ϝιδον, ηδε θυγατρας·

πριν γαρ κεν και νυξ φθῖτ' ανβροτος· αλλα και ͱωρη
ͱευδεμεν, η' επι ναϝα θοϝην ελθοντ' ες ͱεταιροϝς,
η' αϝτοο· πομπη δε θεοισ', ͱυμῖν τε, μελησει.
ͱως εφαθ'· οι δ' αρα παντες ακην εγενοντο σιωπῆ·
κηληθμῷ δ' εσχοντο κατα μεγαρα σκιοεντα.
τοισιν δ' αρητη λεϝκωλενος ἦρχετο μυϝθων·
φαιηκες, πως υμμιν ανηρ ͱοδε φαινεται εεναι,
ϝειδος τε, μεγαθος τ', ηδε φρενας ενδον ϝεϊσϝας;
χσεινος δ' αϝτ' εμος εστιν· ͱεκαστος δε μορε τιϝμης·
τῷ μη επειγομενοι αποπεμπετε, μηδε τα δῶρα
ͱοϝτῷ χρῆϊδσοντι κολοϝετε· πολλα γαρ υμμιν
κτηματ' ενι μεγαροισι, θεων ͱιͱοτητι, κεονται.
τοισι δε και μετεϝεσπε γερων ͱηρως ͱεχεναϝος,
ͱος δη φαιηκων ανδρων προγενεστερος ῆεν·
ω φιλοι, ου μαν υμμιν απο σκοποϝ' ουδ' απο δοκσης
μυϝθεεται βασιλεια περιφρων· αλλα πιθεσθε·
αλκινοοο δ' εκ τοοδ' ͱεχεται ϝεργον τε, ϝεπος τε.
τον δ' αϝτ' αλκινοος απαμειβετ', εφῶνησεν τε·
τοϝτο μεν ͱοϝτῷ δη ϝεπος εσσεται, αι κεν εγωγε
δσαϝος φαιηκεσι φιλῆρετμοισι ϝανασσω.
χσεινος δε τλῆτω, μαλα περ νοστοϝο χατιδσων,
ενπης ῶν επιμῆναι ες αϝριον, εις ͱο κε παντσαν
δῶτῖνην τελεσω· πομπη δ' ανδρεσι μελησει
παντσι, μαλιστα δ' εμοι· τοϝο γαρ κρατος εστ' ενι δημῷ.
τον δ' απαμειβομενος προσεφη πολυμητις ͱοδυσσεϝς·
αλκινοε κρεϝον, παντων αριδεικετε λαϝων,
ει με και εις ενιαϝτον ανωγοιτ' αϝτοθι μιμνεεν,
πομπην τ' οτρυϝνοιτε, και αγλαϝα δῶρα διδοιτε,
και κε το βουλοιμην, και κεν πολυ κερδιον ειη,
πλειοτερῆ γσυν χειρι φιλην ες πατριδ' ͱικεσθαι·
και κ' αιδοιοτερος και φιλτερος ανδρεσιν ειην
παντσιν, ͱοσοι μ' ιθακηνδε ϝιδοιατο νοστησαντα.
τον δ' αϝτ' αλκινοος απαμειβετ', εφῶνησεν τε·
ω ͱοδυσεϝ, το μεν ουτι σε ϝεισκομεν εισͱοραοντες,
ηπεροπεϝα τ' εμεν και επικλοπον, ͱοια τε πολλοϝς
βοσκει γαια μελαινα πολυσπερεας ανθρωποϝς,
πσευδεα τ' αρτυϝνοντας, ͱοθεν κε τις ουδε ϝιδοιτο·
σοι δ' ενι μεν μορφη ϝεπεων, ενι δε φρενες εσθλαι·
μυϝθον δ', ͱως ͱοτ' αϝοιδος, επισταμενως κατελεγσας,
παντων τ' αργειϝων, σεϝο τ' αϝτοϝο, κηδεα λυγρα.
αλλ' αγε μοι τοδε ϝεσπε, και ατρεκεως καταλεγσον,
ει τινας αντιθεων ͱεταρων ϝιδες, ͱοι τοι ͱαμ' αϝτῷ
ϝιλϝιον εις ͱαμ' ͱεποντο, και αϝτοϝο ποτμον εφεσπον.
νυξ δ' ͱηδε μαλα μακρη, αθεσφατος· ουδε πω ͱωρη
ͱευδεμεν εν μεγαρῷ· συ δε μοι λεγε θεσκελα ϝεργα.
και κεν ες ῆοα διϝαν ανασχοιμην, ͱοτε μοι συ

τλᾱιης εν μεγαρῳ τεFα κηδεα μυFθησασθαι.
τον δ' απαμειβομενος προσεφη πολυμητις ͱοδυσσεFς· Λ
αλκινοε κρεFον, παντων αριδεικετε λαFων,
ͱωρη μεν πολυων μυFθων, ͱωρη δε και ͱυπνοο·
ει δ' ετ' ακοFεμεναι γε λιλαFεαι, ουκ αν εγωγε
τοFτων σοι φθονεοιμι και οικτροτερ' αλλ' αγορεFσαι
κηδε' εμων ͱεταρων, ͱοι δη μετοπισθεν ολοντο·
ͱοι τροFων μεν ͱυπεκσεφυγον στονοεντσαν αͱυFτην,
εν νοστῳ δ' απολοντο, κακης ͱιͱοτητι γυναικος.
αFταρ επει πσυFχας μεν απεσκεδασ' αλλυδις αλλῃ
ͱαγνη περσεφονεια γυναικων θηλυτεραFων,
ηλθε δ' επι πσυFχη αγαμεμνονος ατρεFιδαFο
αχνυμενη· περι δ' αλλαι αγη̄γεραθ', οσαι ͱαμ' αFτῳ
Fοικῳ εν αιγισθοF εθανον και ποτμον εφεσπον.
εγνω̄ δ' αιπσ' εμε κεινος, επει πιFεν ͱαιμα κελαινον·
κλαFε δ' ͱογε λιγυως, θαλερα κατα δακρυFα λειβων,
πιτνανς εις εμε χειρας, ορεγσασθαι μενεαινων·
αλλ' ου γαρ ͱοι ετ' η̄ν Fις ευπεδος, ουδ' ετι κικυς,
ͱοιη περ παρος εσκεν ενι γναμπτοισι μελεσσιν.
τον μεν εγω δακρυFσα Fιδων, ελεησα με θυFμῳ,
και μιν φω̄νησανς Fεπεα πτεροεντα προση̄υFδω̄ν·
ατρεFιδη κυFδιστε, Fαναξ ανδρων, αγαμεμνον,
τις νυ σε κηρ εδαμασσε τανηλεγεος θανατοFο;
ηε σεγ' εν ναFεσι ποσειδαFων εδαμασσεν,
ορσανς αργαλεων ανεμων αμεγαρτον αͱυFτμην;
ηε σ' ααρσιοι ανδρες εδηλησαντ' επι χερσοο,
βοFς περιταμνομενον, ηδ' οFιων πω̄υFα καλα;
ͱως εφαμην· ͱο δε μ' αFτικ' αμειβομενος προσεFεσπεν·
διFογενες λαFερτιαδη, πολυμηχαν' ͱοδυσσεF,
ουτ' εμε γ' εν ναFεσι ποσειδαFων εδαμασσεν,
ορσανς αργαλεων ανεμων αμεγαρτον αͱυFτμην,
ουτε μ' ααρσιοι ανδρες εδηλησαντ' επι χερσοο·
αλλα μοι αιγισθος τευχσανς θανατον τε, μορον τε,
εκτα, συν ολομενῃ ͱαλοχῳ, Fοικονδε καλεσσανς,
δειπνισσανς, ͱως τις τε κατεκτανε βοFν επι φατνῃ.
ͱως θανον οικτιστῳ θανατῳ· περι δ' αλλοι ͱεταιροι
νωλεμεως κτεινοντο, συες ͱως αργιοδοντες,
ͱοι ρα τ' εν ͱαφνειοF ανδρος μεγα δυναμενοFο
η γαμῳ, η' ερανῳ, η ͱελλαπινῃ τεθαλυιῃ.
ηδη μεν πολυων ανδρων φονῳ αντεβολησας
μουνακς κτεινομενων, και ενι κρατερῃ ͱυσμινῃ·
αλλα κε κεινα μαλιστα Fιδων ολοφυFραο θυFμῳ,
ͱως αμφι κρη̄τηρα, τραπεδσας τε πληθοντσας,
κειμεθ' ενι μεγαρῳ· δαπεδον δ' ͱαπαν ͱαιματι θυFεν.
οικτροτατην δ' η̄κοFσα Fοπα πριαμοFο θυγατρος,
κασσανδρης, την κτεινε κλυταιμνηστρη δολομητις

αμφ' εμοι· αϝταρ εγω ποτι γαιῃ χειρας αͱειρων Λ
βαλλον αποθνῃσκων περι φασγανῳ· ͱη δε κυνω̃πις
νοσφισατ', ουδε μοι ετλῃ, ιοντι περ εις αϝιδαϝο,
χερσι κατ' οφθαλμοϝς ͱελεεεν, γσυν τε στομ' ερειδσαι.
ͱως ουκ αινοτερον και κυντερον αλλο γυναικος.
ͱοιον δη και εκεινη εμηδσατο ϝεργον αϝεικες,
κοϝριδιῳ τευχσαντσα ποσιι φονον! ητοι εφην γε
ασπασιος παιδεσιν, ιδε δμω̃εσιν εμοισιν,
ϝοικαδ' ελευθσεσθαι· ͱη δ' εκσͱοχα λυγρα ϝιδυια
ͱη τε κατ' αισχος εχεϝε, και εσσομενῃσιν οπισσῳ
θηλυτερῃσι γυναικσι, και ͱη χ' εϋϝεργος εητιν!
τῳ νυ̃ν μη ποτε και συ γυναικι περ ηπιος εεναι,
μηδ' ͱοι μυϝθον ͱαπαντα πιφαϝσκεμεν, ͱον χ' εϋ ϝειδῃς.
αλλ' ου σοιγ', ͱοδυσεϝ, φονος εσσεται εκ τε γυναικος·
λιϝην γαρ πινυτη τε, και ͱευ φρεσι μηδεα ϝοιδεν,
κοϝρη ϝικαριοϝο, περιφρων πηνελοπεια.
η μεν μιν νυμφην γε νεϝην κατελειπομεν ͱημεες,
ερχομενοι πολεμονδε· παϊς δε ͱοι ην επι μαδσῳ,
νηπιος, ͱος ποϝο νυ̃ν γε μετ' ανδρων ͱιδσει αριθμῳ,
ολβιος· η γαρ τον γε πατηρ φιλος οπτσεται ελθων,
και κεινος πατερα προσπτυχσεται, ͱῃ θεμις εστιν.
ͱη δ' εμη ουδε περ ͱυιος ενιπλησθηναι ͱακοιτις
οφθαλμοισιν εϝα̃σε· παρος δ' εμ' επεφνε και αϝτον.
αλλο δε τοι ϝερεω, συ δ' ενι φρεσι βαλλεο σῃσιν·
κρυβδην, μηδ' αναφανδα, φιλην ες πατριδα γαιαν
ναϝα καθισχεμεναι· επει ουκ ετι πιθτα γυναικσιν.
αλλ' αγε μοι τοδε ϝεσπε, και ατρεκεως καταλεγσον,
ει ποϝ ετι δσαϝοντος ακοϝετε παιδος εμοϝο,
η ποϝ εν ορχομενῳ, η' εν πυλῳ αμαθοεντι,
η ποϝο παρ μενελαϝῳ ενι σπαρτῃ ευρυιῃ·
ου γαρ πῳ τεθνηκεν επι χθονι διϝος ορεστης.
ͱως εφατ'· αϝταρ εγω μιν αμειβομενος προσεϝεσπον·
ατρεϝιδη, τι με ταϝτα διειρεαι; ουδε τι ϝοιδα,
δσαϝει ͱογ', η τεθνηκε· κακον δ' ανεμωλια βαδσεεν.
νοϝι μεν ͱως ϝεπεεσιν αμειβομενω στυγεροισιν
ͱεσταμεν αχνυμενοι, θαλερον κατα δακρυ χεϝοντες.
ηλθε δ' επι πσυϝχη πηλεϝιαδαϝ αχιλεϝος,
και πατροκλεεος, και αμυϝμονος αντιλοχοϝο,
αιϝαντος θ', ος αριστος εη̃ν ϝειδος τε, δεμας τε,
των αλλων δαναων, μετ' αμυϝμονα πηλεϝιϝω̃να.
εγνω̃ δε πσυϝχη με ποδωκεος αιϝακιδαϝο,
και ρ' ολοφυϝρομενη ϝεπεα πτεροεντα προσηυϝδα·
διϝογενες λαϝερτιαδη, πολυμηχαν' ͱοδυσσεϝ,
σχετλιε, τιπτ' ετι μειδσον ενι φρεσ' εμηδσαο ϝεργον;
πως ετλη̃ς αϝιδοσδε κατελθεμεν, ενθα τε νεκροι
αφραδεες ναιοντι, βροτων ϝειδωλα καμοντων;

ͱως εφατ'· αϝταρ εγω μιν αμειβομενος προσεϝεσπον· Λ
ω αχιλεϝ, πηλεϝος ͱυι, μεγα φερτατ' αχαιϝων,
ηλθον τειρεσιαϝο κατα χρεϝος, ει τινα βουλην
ϝεσποι, ͱοπως ιθακην ες παιπαλοεντσαν ͱικοιμην·
ου γαρ πῷ σχεδον ηλθον αχαιϝιδος, ουδε πῷ αμης
γης επεβην, αλλ' αιϝεν ͱεχω κακα· σεϝο δ', αχιλλεϝ,
ου τις ανηρ προπαροιθε μακαρτατος, ουτ' αρ' οπισσῷ·
πριν μεν γαρ σε δσαϝον ετιϝομεν, ϝεισϝα θεοισιν,
αργειϝοι, νῦν αϝτε μεγα κρατεεις νεκυεσιν,
ενθαδ' εων· τῷ μη τι θανων ακαχιδσε', αχιλλεϝ.
ͱως εφαμην· ͱο δε μ' αϝτικ' αμειβομενος προσεϝεσπεν·
μη δη μοι θανατον γε παραυϝδαε, φαιδιμ' ͱοδυσσεϝ·
βουλοιμην κ' επαροϝρος εων θητεϝεμεν αλλῳ
ανδρι παρ' ακλῆρῳ, ͱῷ μη βιϝοτος πολυς ειη,
η παντσιν νεκυεσι καταφθιμενοισι ϝανασσεεν.
αλλ' αγε μοι τοϝο παιδος αγαϝοϝο μυϝθον ενισπε,
η ͱεπετ' ες πολεμον προμος εσμεναι, ηε και ουκι.
ϝεσπε δε μοι, πηλεϝος αμυϝμονος ει τι πεπυθσαι,
η' εθ' εχει τιϝμην πολυσιν μετα μυρμιδονεσιν,
η μιν ατιϝμαδσοντιν αν' ͱελλαδα τε φθιϝην τε,
ͱοονεκα μιν κατα γηρας ͱεχει χειρας τε ποδας τε.
ει γαρ εγων επαρωγος ͱυπ' αϝγας ῆελιοϝο,
τοιος εων, ͱοιος ποτ' ενι τροϝιῇ ευρυιῇ
πεφνον λαϝον αριστον, αμυϝνων αργειϝοισιν,—
ει τοιοσδ' ελθοιμι μινυνθα περ ες πατερος δῶ,—
τῷ κε τεῷ στυγσαιμι μενος και χειρας ααπτοϝς,
ͱοι κεινον βιαονται, εεργοντιν τ' απο τιϝμης.
ͱως εφατ'· αϝταρ εγω μιν αμειβομενος προσεϝεσπον·
ητοι μεν πηλεϝος αμυϝμονος ουτι πεπυθμαι·
αϝταρ τοι παιδος γε νεοπτολεμοϝο φιλοϝο
παντσαν αληθειην μυϝθησομαι, ͱως με κελεϝεις·
αϝτος γαρ μιν εγω κοιλης επι ναϝος ϝεϊσϝης
ῆγαγον εκ σκυροο μεθ' εϋκνημῖδας αχαιϝοϝς.
ητοι ͱοτ' αμφι πολιν τροϝιην φραδσοιμεθα βουλας,
αιϝει πρῶτος εβαδσε, και ουκ ῆμαρτανε μυϝθων·
νεστωρ τ' αντιθεος και εγω νεικεσκομεν οιω.
αϝταρ ͱοτ' εν πεδιῷ τροϝων μαρνοιμεθα χαλκῷ,
ου ποτ' ενι πληθυι μενεν ανδρων, ουδ' εν ͱομιλϝῷ,
αλλα πολυ προθεϝεσκεν, ͱεϝον μενος ουδενι ϝεικων·
πολλοϝς δ' ανδρας επεφνεν εν αινῇ δαϝιοτητι.
παντας δ' ουκ αν εγω μυϝθησομαι, ουδ' ονομῆνω,
ͱοσον λαϝον επεφνεν αμυϝνων αργειϝοισιν·
αλλ' ͱοιον τον τηλεφιδην κατενͱῆρατο χαλκῷ
ͱηροϝ' ευρυπυλον· πολλοι δ' αμφ' αϝτον ͱεταιροι
κητειοι κτεινοντο, γυναιων ͱεινεκα δῶρων·
κεινον δη καλλιστον ϝιδον, μετα μεμνονα διϝον.

αϝταρ ͱοτ' εις ͱιππον κατεβαινομεν, ͱον καμ' επειος, Λ
αργειϝων ͱοι αριστοι, εμοι δ' επι παντ' ετεταλτο·
ενθ' αλλοι δαναων ͱηγητορες, ηδε μεδοντες,
δακρυϝα τ' ὠμοργνῦντ', ετρεμεν δ' ͱυπο γυια ͱεκαστοο·
κεινον δ' ου ποτε πανπαν εγω ϝιδον οφθαλμοισιν,
ουτ' ωχρησαντα χροα καλλιμον, ουτε παρειεων
δακρυϝ' ομοργσαμενον· ͱο δε με μαλα πολλ' ͱικετεϝεν
ͱιπποθεν εκσͱεμεναι· χσιφεος δ' επεμαϝετο κωπην,
και δορυ χαλκοβαρες, κακα δε τροϝεσ' εμενοινα.
αλλ' ͱοτε δη πριαμοϝο πολιν διεπερθσαμεν αιπυν,
μοιραν και γερας εσθλον ͱεχων επι ναϝος εβαινεν
ασκηθης, ουτ' αρ βεβλῆμενος ͱοκσυϊ χαλκῷ,
ουτ' αϝτοσχεδιην ουτασμενος· ͱοια τε πολλα
γιγνεται εν πολεμῷ· επιμιγς δε τε μαινεται αρεϝς.
ͱως εφαμην· πσυϝχη δε ποδῶκεος αιϝακιδαϝο
φοιταε, μακρα βιβῶντσα, κατ' ασφοδελον λειμῶνα,
γηθοσυνη, ͱο ͱοι ͱυιον εφην αριδεικετον εεναι.
ͱαι δ' αλλαι πσυϝχαι νεκυων κατατεθνῆῶτων
ͱεστασαν αχνυμεναι, ϝερποντο δε κηδε' ͱεκαστη.
οιη δ' αιϝαντος πσυϝχη τελαμωνιαδαϝο
νοσφιν αφεστηκεε, κεχολῶμενη ͱεινεκα νικης,
την μιν εγω νικῆσα, δικαδσομενος παρα ναϝσιν,
τευχεσιν αμφ' αχιλεϝος· εθῆκε δε ποτνια μητηρ.
ͱως δη μη οφελον νικᾶν τοιῷδ' επ' αϝεθλῷ·
τοιην γαρ κεφαλην ͱενεκ' αϝτων γαια κατεσχεν.
τον μεν εγω ϝεπεεσι προσῆυϝδῶν μειλιχιοισιν·
αιϝαν, παι τελαμῶνος αμυϝμονος, ουκ αρ' εμελλες
ουδε θανων ληθσεσθαι εμοι χολοϝ, ͱεινεκα τευχεων
ολομενων; τα δε πημα θεοι θεσαν αργειϝοισιν·
τοιος γαρ σφιν πυργος απῶλεο· σεϝο δ' αχαιϝοι
ϝεισϝον αχιλλεϝος κεφαλῇ πηλεϝιαδαϝο
αχνυμεθα φθιμενοϝο διανπερες· ουδε τις αλλος
αιτιος, αλλα δσεϝς δαναων στρατον αιχμῆταϝων
εκπαγλως ηχθῆρε· τεϝιν δ' επι μοιραν εθῆκεν.
ͱως εφαμην· ͱο δε μ' ουδεν αμειβετ', εβη δε μετ' αλλας
πσυϝχας εις ερεβος νεκυων κατατεθνῆῶτων.
ενθα χ' ομως προσεφη κεχολῶμενος, η κεν εγω τον,
αλλα μοι ηθελε θυϝμος ενι στηθεσσι φιλοισιν
των αλλων πσυϝχας ϝιδεεεν κατατεθνῆῶτων.
ενθ' ητοι μινῶ' εϝιδον, διος αγλαϝον ͱυιον,
χρυσεον σκηπτρον ͱεχοντα, θεμιστεϝοντα νεκυσσιν,
ͱημενον· ͱοι δε μιν αμφι δικας ϝερποντο ϝανακτα,
ͱημενοι, ͱεσταοτες τε, κατ' ευρυπυλες αϝιδος δῶ.
τον δε μετ', ωαριϝῶνα πελωριον εισενοησα
θηρας ͱομοο ϝελϝεοντα κατ' ασφοδελον λειμῶνα·
τοϝς αϝτος κατεπεφνεν εν οιοπολοισιν ορεσσιν,

χερσιν ͱεχων ϝροπαλον πανχαλκεον, αιϝεν αϝαγες. Λ
και τιτυον ϝειδον, γαιης ερικυϝδεος ͱυιον,
κειμενον εν δαπεδῷ· ͱο δ' εφ' εννεα κειτο πελεθρα·
γυϝπε δε μιν ͱεκατερθε παρͱημενω ͱηπαρ εκειρον,
δερτρον εσῷ δυϝνοντες· ͱο δ' ουκ απαμυϝνετο χερσιν·
λητοα γαρ ͱελκησε, διος κυδρην παρακοιτιν,
πυθοαδ' ερχομενην, δια καλλιχοροο πανοπεϝος.
και μην ταντᾰλον εϝειδον, χαλεπ' αλγε' ͱεχοντα,
ͱεσταοτ' εν λιμνῇ· ͱη δε προσεπλαδσε γενειῷ·
στεϝτο δε διπσαϝων πιϝεεεν, ουδ' εσχεν ͱελεσθαι·
ͱοσακι γαρ κυπτσει' ͱο γερων, πιϝεεεν μενεαινων,
τοσαχ' υδωρ απολεσκετ' αναβροχεν· αμφι δε ποδσιν
γαια μελαινα φανεσκε, καταδσῆνᾰσκε δε δαιμων.
δενδρεα δ' ͱυπσιπετηλα κατακρῆθεν χεϝε καρπον,
ονχναι, και ροιαι, και μηλεαι αγλαϝοκαρποι,
συκαι τε γλυκεραι, και ελαιαι τηλεθαοντσαι·
τεων ͱοποτ' ιθυϝσει' ͱο γερων επι χερσι μασασθαι,
τασδ' ανεμος ριπτᾰσκε ποτι νεφεα σκιοεντα.
και μην σισυφον εϝειδον, κρατερ' αλγε' ͱεχοντα,
λαϝαν βασταδσοντα πελωριον αμφοτερῇσιν.
ητοι ͱο μεν, σκηριπτομενος χερσιν τε ποσιν τε,
λαϝαν ανω οθσᾰσκε ποτι λοφον· αλλ' ͱοτε μελλοι
ακρον ͱυπερβαλεεεν, τοτ' αποστρεφσᾰσκε κραταιΐς
αϝτις, επειτα πεδονδε κυλινδετο λαϝας ααιδης.
αϝταρ ͱογ' απς οθσᾰσκε τιταινομενος· κατα δ' ͱιδρως
ερεϝεν εκ μελεων, κονιϝη δ' εκ κρᾱτος ορωρεεν.
τον δε μετ', εισενοησα βιην ͱηρακλεειϝην·
αμφι δε μιν κλαγγη νεκυων ῆν, οιϝωνων ͱως,
παντοσ' ατυδσομενων· ͱο δ', ερεμνῇ νυκτι ϝεϝοικως,
γυμνον τοκσον ͱεχων, και επι νευρῆφιν οϊστον,
δδεινον παπταινων, αιϝει βαλεοντι ϝεϝοικως.
σμερδαλεος δε ͱοι αμφι περι στηθεσσιν αͱορτηρ,
χρυσεος ῆν τελαμων· ͱινα θεσκελα ϝεργ' ετετυχτο,
αρκτοι τ', αγροτεροι τε συες, χαροποι τε λεϝοντες,
ͱυσμῖναι τε, μαχαι τε, φονοι τ', ανδροκτασιαι τε.
μη τεχνησαμενος, μηδ' αλλο τι τεχνησαιτο,
ͱος κεινον τελαμῶνα ͱεϝῇ ενκατθετο τεχνῇ.
εγνῶ δ' αϝτικα κεινος, επει ϝιδεν οφθαλμοισιν,
και μ' ολοφυϝρομενος ϝεπεα πτεροεντα προσηῦϝδα·
διϝογενες λαϝερτιαδη, πολυμηχαν' ͱοδυσσεϝ,
ϝαͱ δδειλ', η τινα και συ κακον μορον ηγηλαδσεις,
ͱονπερ εγων ͱοχεεσκον ͱυπ' αϝγας ῆελιοϝο.
δσῆνος μεν παΐς ῆα κρονιϝονος, αϝταρ οϊδσυν
εσχον απειρεσιην· μαλα γαρ πολυ χειρονι φῶτι
δεδμῆμην, ͱο δε μοι χαλεποϝς επετελλετ' αϝεθλοϝς·
και ποτε μ' ενθαδ' επεμπσε κυν' αγσοντ'· ου γαρ ετ' αλλον

φραδσετο τοοδε τι μοι χαλεπωτερον εεναι αϝεθλον. Λ
τον μεν εγων ανενενκα και ἦγαγον εκς αϝιδαϝο·
ͱερμειας δε μ' επεμπσεν, ιδε γλαϝκῶπις αθηνη.
ͱως ϝεσπων, ͱο μεν αϝτις εβη δομον αϝιδος εισῶ.
αϝταρ εγων αϝτοο μενον ενπεδον, ει τις ετ' ελθοι
ανδρων ͱηροϝων, ͱοι δη το προσθεν ολοντο.
και νυ κ' ετι προτεροϝς ϝιδον ανερας, ͱοϝς εθελον περ· 629
αλλα πριν επι ϝεθνε' αγειρετο μυϝρια νεκρων, 631
ϝηχῆ θεσπεσίῃ· εμε δε χλωρον δδεος ͱαιρεεν,
μη μοι γοργοιην κεφαλην δδεινοϝο πελωροο
εκς αϝιδος πεμπσειεν αγαϝη περσεφονεια.
αϝτικ' επειτ' επι ναϝα κιων εκελεϝον ͱεταιροϝς
αϝτοϝς τ' ανβαινεεν, ανα τε πρυμνησια λυϝσαι·
ͱοι δ' αιπσ' εισβαινον, και επι κλεϝιεσι καθιδσον.
την δε κατ' ωκεανον ποταμον φερε κυϝμα ροϝοϝο. 638
αϝταρ επει ποταμοϝ' ελιπεν ροϝον ωκεανοϝο Μ
ναϝς, απο δ' ͱικετο κυϝμα θαλασσης ευρυποροϝο,
νησον ες αιαιην, ͱοθι τ' ἦοος ἠριγενειης
ϝοικια και χοροι εντι, και αντολαι ἠελιοϝο·
ναϝα μεν ενθ' ελθοντες εκελσαμεν εν πσαμαθοισιν,
εκ δε και αϝτοι εβημεν επι ϝρηγμῖνι θαλασσης·
ενθα δ' αποβρικσαντες εμῆναμεν ἦοα διϝαν.
ημος δ' ἠριγενει' εφανη ϝροδοδακτυλος ἦως,
δη τοτ' εγων ͱεταροϝς προͱιͱην εις δῶματα κιρκης
ͱοισεμεναι νεκρον ͱελπῆνορα τεθνῆῶτα.
φιτροϝς δ' αιπσα ταμοντες, ͱοθ' ακροτατη προͱεχ' ακτη,
θαπτομεν αχνυμενοι, θαλερον κατα δακρυ χεϝοντες.
αϝταρ επει νεκρος τ' εκαϝη, και τευχεα νεκροο,
τυμβον χεϝσαντες, και επι στηλην ϝερυσαντες,
πηγσαμεν ακροτατῷ τυμβῷ ͱεΰῆρες ερετμον.
ͱημεες μεν τα ͱεκαστα διͱεσπομεν· ουδ' αρα κιρκην
εκς αϝιδαϝ' ελθοντες εληθομεν, αλλα μαλ' ῶκα
ηλθ' εντῦϝναμενη· ͱαμα δ' αμφιπολοι φερον αϝτῆ
σῖτον και κρεα πολλα, και αιθοπα ϝοινον ερυθρον.
ͱη δ' εν μεσσῷ σταντσα μετῆυϝδαε διϝα θεαϝων·
σχετλιοι, ͱοι δσαϝοντες ͱυπηλθετε δῶμ' αϝιδαϝο,
δισθανεες, ͱοτε τ' αλλοι ͱαπακς θνῆσκοντ' ανθρωποι.
αλλ' αγετ', εσθιετε βρῶμην και πιϝνετε ϝοινον
αϝθι πανͱημεριοι· ͱαμα δ' ἦοϊ φαινομενηφι
πλεϝσεσθ'· αϝταρ εγω δεικσω ͱοδον, ηδε ͱεκαστα
σημανεω· ͱινα μη τι κακοραφιῇ αλεγεινῇ,
η' ͱαλος, η' επι γης, αλγησετε πημα παθοντες.
ͱως εφαθ'· ημῖν δ' αϝτ' επεπειθετο θυϝμος αγῆνωρ.
ͱως τοτε μεν προπαν ͱημαρ, ες ἦελιον καταδῦντα,
ͱημεθα, δαινυμενοι κρεα' ασπετα, και μεθυ ͱηδυ.
ημος δ' ἦελιος κατεδῦ και επι κνεφας ηλθεν,

ͱοι μεν εκοιμῆσαντο παρα πρυμνησια ναϝος· M
ͱη δε με χειρος ͱελοντσα φιλων απονοσφιν ͱεταιρων
ͱεσσε τε, καὶ προσελεγτο, καὶ εκσερεεινεν ͱεκαστα·
αϝταρ εγω τῇ παντα κατα μοιραν κατελεγσα. 35
και τοτε δη με ϝεπεσσι προσῆυϝδαε ποτνια κιρκη·
ταϝτα μεν ͱοϝτῳ̃ παντα πεπῆρανται· συ δ' ακοϝσον,
ͱως τοι εγω ϝερεω, μνῆσει δε σε και θεος αϝτος.
σειρηνας μεν πρῶτον αφικσεαι, ͱαι ῥα τε παντας
ανθρωποϝς θελγοντιν, ͱοτ' αν σφεϝας εισαφικῶνται. 40
ͱοστις αϝιδριῇ πελασῇ, και φθονγον ακοϝσῇ
σειρηνων, τῷ δ' ουτι γυνη, και νηπια τεκνα,
ϝοικαδε νοστησαντι, παρͱισταται, ουδε γανῦνται·
αλλα τε σειρηνες λιγυρῇ θελγοντιν αϝοιδῇ,
ͱημεναι εν λειμῶνι· πολυς δ' αμφ' οστεοφιν θῖς 45
ανδρων πυϝθομενων, περι δε ϝρινοι μινυθοντιν.
αλλα παρεκς ελαεεν· επι δ' οϝατ' αλειφσαι ͱεταιρων
κηρον δεπσησανς μελιͱηδεα, μη τις ακοϝσῇ
των αλλων· αταρ αϝτος ακοϝεμεν, αι κ' εθελῇσθα.
δησαντων σ' εν ναϝι θοϝῇ χειρας τε, ποδας τε, 50
ορθον εν ͱιστοπεδῇ· εκ δ' αϝτοϝο πειρατ' ανͱαφθω·
ͱοφρα κε τερπομενος ϝοπ' ακοϝῆς σειρηνοιϊν.
αι δε κε λισσηαι ͱεταροϝς, λυϝσαι τε κελεϝῃς,
ͱοι δε σ' ενι πλεονεσι τοτ' εν δεσμοισι δεοντων.
αϝταρ επειδη τασγε παρεκς ελασωντιν ͱεταιροι, 55
ενθα τοι ουκ ετ' επειτα διηνεκεως αγορεϝσω,
ͱοποτερη δη τοι ͱοδος εσσεται, αλλα και αϝτος
θυϝμῷ βουλεϝεεν· ϝερεω δε τοι αμφοτερωθεν.
ενθεν μεν γαρ πετραι επῆρεφεες, προτι δ' αϝτας
κυϝμα μεγα ϝροχθεῖ κυϝανῶπιδος αμφιτρῖτης· 60
πλανγτας δη τοι τασγε θεοι μακαρες καλεοντιν.
τῇ μεν τ' ουδε ποτῆτα παρερχεται, ουδε πελειαι
τρῆρῶνες, ται τ' ανβροσιην διϊ πατρι φεροντιν,
αλλα τε και τεων αιϝει αφαιρεεται λῖς πετρη. 64
τῇ δ' ου πω τις ναϝς φυγεν ανδρων, ͱητις ͱικηται, 66
αλλα θ' ομοο πινακας τε ναϝων και σωματα φῶτῶν
κυϝμαθ' αλος φορεοντι πυρος τ' ολοϝοϝο θυϝελλαι. 68
ͱοι δε δυω σκοπελοι· ͱο μεν ουρανον ευρυν ͱικανει 73
ͱοκσυιῇ κορυφῇ, νεφελη δε μιν αμφιβεβηκεν
κυϝανεη· το μεν ου ποτ' εροϝεει, ουδε ποτ' αιθρη 75
κεινοϝ' ͱεχει κορυφην, ουτ' εν θερει, ουτ' εν οπωρῇ·
ουδε κεν ανβαιη βροτος ανηρ, ου καταβαιη. 77
πετρη γαρ λῖς εστι, περιχσεστῇ ϝεϝικυια. 79
μεσσῳ δ' εν σκοπελῳ εστι σπεϝος ῆεροϝειδες 80
προς δσοφον, εις ερεβος τετραπμενον· ͱῆπερ αν ͱυμεες
ναϝα παρα γλαφυρην ιθυϝετε, φαιδιμ' ͱοδυσσεϝ.
ουδε κεν εκ ναϝος γλαφυρης αιδσῆϊος ανηρ

τοκσῷ οϊστεϝσανς κοιλον σπεϝος εισαφικοιτο.
ενθα δ' ενι σκυλλη ναιει, δδεινον λελακυια·
της ητοι ποδες εντι δυωδεκα παντες αϝωροι,
ͱεκς δε τε ͱοι δειραι περιμηκεες· εν δε ͱεκαστῃ
σμερδαλεη κεφαλη, εν δε τριστοιχοι οδοντες,
πυκνοι και θαμεες, πλεεοι μελανος θανατοϝο.
μεσση μεν τε κατα σπεϝεος κοιλοϝο δεδυϝκεν,
εκσῷ δ' εκσͱισχει κεφαλας δδεινοϝο βερεθροο·
αϝτοϝο δ' ͱιχθυϝαει σκοπελον περι μαιμαϝοντσα
δελφῖνας τε, κυνας τε, και ει ποθι μειδσον ͱεληπτιν
κητος, ͱα μυϝρια βοσκει αγαστονος αμφιτρῖτη.
τῇ δ' ουπῷ ποτε ναϝται ακηριοι ευχεταονται
παρφυγεεεν γσυν ναϝι· φερει δε τε κρᾶτι ͱεκαστῷ
φῶτ' εκσͱαρπακσαντσα ναϝος κυϝανοπρῷροϝο.
τον δ' ͱετερον σκοπελον χθαμαλωτερον οπτσε', ͱοδυσσεϝ,
πλῆσιον αλληλων· και κεν διοϊστεϝσειας.
τῷ δ' εν ερινεος εστι μεγας, φυλλοισι τεθῆλως·
τῷ δ' ͱυπο διϝα χαρυβδις αναϝροιβδεῖ μελαν ͱυϝδωρ·
τρις μεν γαρ τ' ανͱιͱητιν εφ' ηματι, τρις δ' αναϝροιβδεῖ
δδεινον· μη συγε κειθι τυχοις, ͱοτε ϝροιβδησειεν·
ου γαρ κεν ρυϝσαιτο σ' ͱυπ' εκ κακοϝ' ουδ' ενοσιχθων.
αλλα μαλα σκυλλης σκοπελῷ πεπλῆμενος ῶκα
ναϝα παρεκς ελαεεν· επειη πολυ φερτερον εστιν,
ͱεκς ͱεταροϝς εν ναϝι ποθημεναι, ῆ' ͱαμα παντας.
ͱως εφατ'· αϝταρ εγω μιν αμειβομενος προσεϝεσπον·
ει δ' αγε δη μοι τοϝτο, θεα, νημερτες ενισπε,
ει πως την ολοϝην μεν ͱυπεκπροφυγοιμι χαρυβδιν,
την δε κ' αμῦϝναιμην, ͱοτε μοι σινοιτο γ' ͱεταιροϝς.
ͱως εφαμην· ͱη δ' αϝτικ' αμειβετο διϝα θεαϝων·
σχετλιε! και δ' αϝ τοι πολεμῆϊα ϝεργα μεμῆλεν
και πονος· ουδε θεοισ' ͱυποϝεικσεαι αθανατοισιν;
ͱη δε τοι ου θνῆτη, αλλ' αθανατον κακον εστιν,
δδεινον τ', αργαλεον τε, και αγριον, ουδε μαχητον·
ουδε τις εστ' αλκη· φυγεεεν καρτιστον απ' αϝτης·
ῆν γαρ δηθυϝνῆσθα, κορυσσομενος παρα πετρῇ,
δδειδω, μη σ' εκσαϝτις εφορμῆθεντσα κιχητιν
τοσῇσιν κεφαλῇσι, τοσοϝς δ' εκ φῶτας ͱεληται.
θρινακιην δ' ες νησον αφικσεαι· ενθα δε πολλαι
βοσκοντ' ῆελιοϝο βοϝες και ϝῖφια μηλα,
ͱεπτα βοϝων αγελαι, τοσα δ' οϝιων πῶυϝα καλα,
πεντηκοντα δ' ͱεκαστα· γονος δ' ου γινεται αϝτων,
ουδε ποτε φθινυθοντι· θεαι δ' επι ποιμενες εντιν,
νυμφαι ͱεϋπλοκαμοι, φαϝεθοντσα τε, λαμπετιη τε,
ͱας τεκεν ῆελιῷ ͱυπεριονι διϝα νεϝαιρα.
τας μεν αρα τρεφσαντσα, τεκοντσα τε, ποτνια μητηρ
θρινακιην ες νησον εϝοικισε τηλοθι ναιεεν,

μηλα φυλασσεμεναι πατροϝια και ϝελικας βοϝς. M
τας ει μεν κ' ασινεας εϝαῃς, νοστοο τε μεδηαι,
η τ' αν ετ' εις ιθακην, κακα περ πασχοντες, ͱικοισθε·
ει δε κε σινηαι, τοτε τοι τεκμαιρομ' ολεθρον
ναϝι τε, και ͱεταροισ'· αϝτος δ' ειπερ κεν αλυκσῃς,
οπσε κακως νεεαι, ολεσανς απο παντας ͱεταιροϝς.
ͱως εφατ'· αϝτικα δε χρυσοθρονος ηλυθεν ἠως.
ͱη μεν επειτ' ανα νησον απεστιχε διϝα θεαϝων·
αϝταρ εγων επι ναϝα κιων ὠτρυϝνον ͱεταιροϝς,
αϝτοϝς τ' ανβαινεεν, ανα τε πρυμνησια λυϝσαι.
ͱοι δ' αιπσ' εισβαινον, και επι κληϝιεσι καθιδσον·
ͱεχσης δ' ͱεδσομενοι πολιην ͱαλ' ετυπτον ερετμοις.
ͱημῖν δ' αϝ κατοπισθε ναϝος κυϝανοπρῳροϝο
ͱικμενον ουρον ͱιϝεε πλησͱιστιον, εσθλον ͱεταιρον,
κιρκη ͱεϋπλοκαμος, δδεινη θεος, αυϝδηεντσα.
αϝτικα δ' ͱοπλα ͱεκαστα πονησαμενοι κατα ναϝα
ͱημεθα· την δ' ανεμος τε κυβερνῆτης τ' ιθυϝνον.
δη τοτ' εγων ͱεταροισι μετῆυϝδαον, αχνυμενος κεαρ·
ω φιλοι, ου γαρ χρη ͱενα ϝιδμεναι, ουδε δυ' οιοϝς,
θεσφαθ', α μοι κιρκη μυϝθησατο, διϝα θεαϝων·
σειρηνων μεν πρῶτον ανωγεν θεσπεσιαϝων
φθονγον αλεϝσασθαι, και λειμῶν' ανθεμοεντα·
οιον εμ' ῆνωγεν ͱοπ' ακοϝεμεν· αλλα με δεσμῷ
δησατ' εν αργαλεῳ, ͱοφρ' ενπεδον αϝτοθι μιμνω,
ορθον εν ͱιστοπεδῃ· εκ δ' αϝτοϝο πειρατ' ανͱαφθω.
αι δε κε λισσωμαι ͱυμεας, λυϝσαι τε κελεϝω,
ͱυμεες δε πλεονεσι τοτ' εν δεσμοισι πιεδσεεν.
ητοι εγω τα ͱεκαστα λεγων ͱεταροισι πιφαϝσκον·
τοφρα δε καρπαλιμως εκσͱικετο ναϝς ͱεϋϝεργης
νησον σειρηνοιϊν· επειγε γαρ ουρος απημων.
αϝτικ' επειτ' ανεμος μεν επαϝσατο, ηδε γαληνη
επλετο νηνεμιη, κοιμῆσε δε κυϝματα δαιμων.
ανσταντες δ' ͱεταροι ναϝος ͱιστια μηρυϝσαντο,
και τα μεν εν ναϝι γλαφυρῃ βαλον· ͱοι δ' επ' ερετμα
ͱεδσομενοι λεϝκαινον ͱυδωρ χσεστῇσ' ελατῇσιν.
αϝταρ εγω κηροϝο μεγαν τροχον ͱοκσυϊ χαλκῳ
τυτθα διατμῆγσανς χερσι στιβαρῃσ' επιεδσεον·
αιπσα δ' ιαινετο κηρος, επει κελετο μεγαλη ϝις·
ͱεχσειης δ' ͱεταροισιν επ' οϝατα παντσιν αλειφσα.
ͱοι δ' εν ναϝι μ' εδησαν ͱομοο χειρας τε, ποδας τε,
ορθον εν ͱιστοπεδῃ, εκ δ' αϝτοϝο πειρατ' ανͱαπτσαν·
αϝτοι δ' ͱεδσομενοι πολιην ͱαλ' ετυπτον ερετμοις.
αλλ' ͱοτε τοσον απῆμεν, ͱοσον τ' εγεγωνε βοῆσανς,
ριμφα διῶκοντες, τασδ' ου λαθεν ὠκυͱαλος ναϝς
ενγυθεν ορνυμενη· λιγυρην δ' εντυϝνον αϝοιδην·
δευρ' αγ' ιων, πολυαιν' ͱοδυσεϝ, μεγα κυϝδος αχαιϝων,

ναϝα καταστησον, ͱινα νοϝιτερην ϝοπ' ακοϝσῃς.
ου γαρ πῶ τις τῇδε παρηλασε ναϝι μελαινῇ, M
πριν γ' ͱημεων μελιγηρυν απο στοματων ϝοπ' ακοϝσαι·
αλλ' ͱογε τερψαμενος νεεται, και πλειονα ϝειδως.
ϝιδμεν γαρ τοι πανθ', οσ' ενι τροϝιῇ ευρυιῇ
αργειϝοι, τροϝες τε, θεων ͱιϝοτητι μογησαν·
ϝιδμεν δ', ͱοσα γενηται επι χθονι πολυβοτειρῇ.
ͱως φασαν, ͱιϝεντσαι ϝοπα καλλιμον· αϝταρ εμον κεαρ
ηθελ' ακοϝεμεναι, λυϝσαι τ' εκελεϝον ͱεταιροϝς,
οφρυσι νευσταδσων· ͱοι δε προπεσοντες ερεσσον.
αϝτικα δ' ανσταντες περιμηδης, ευρυλοχος τε,
πλειοσι μ' εν δεσμοισ' εδεον, μαλλον τ' επιεδσεον.
αϝταρ επειδη τασγε παρηλασεν, ουδε τ' επειτα
φθονγης σειρηνων ῆκοϝομεν, ουδε τ' αϝοιδης,
αιψ' απο κηρον ͱελοντο εμοι περιηρες ͱεταιροι,
ͱον σφιν επ' οϝασ' αλειφσ', εμε τ' εκ δεσμων ανελυϝσαν.
αλλ' ͱοτε δη την νησον ελειπομεν, αϝτικ' επειτα
καπνον και μεγα κυϝμ' εϝιδον, και δουπον ακοϝσα·
των δε δδειδσαντων εκ χειρων επτατ' ερετμα·
βομβησεν δ' αρα παντα κατα ροϝον· εσχετο δ' αϝτοο
ναϝς, επει ουκ ετ' ερετμα προͱηκεα χερσιν επειγον.
αϝταρ εγω, δια ναϝος ιων, ῶτρυϝνον ͱεταιροϝς
μειλιχιοισι ϝεπεσσι παρασταδον ανδρα ͱεκαστον·
ω φιλοι, ου γαρ πῶ τι κακων αδαημονες εσμεν·
ου μεν δη τοδε μειδσον επι κακον, η' ͱοτε κυκλωψ
ϝελϝε' ενι σπεϝεϊ γλαφυρῷ κρατερηφι βιηφιν·
αλλα και ενθεν εμῇ αρετῇ, βουλῇ τε, νοῷ τε,
εκφυγομεν· και ποο τωνδε μνῆσεσθαι οϊϝω.
νῦν δ' αγεθ', ως αν εγω ϝεσπω, πειθωμεθα παντες.
ͱυμεες μεν κωπῇσιν ͱαλος ϝρῆγμῖνα βαθυιαν
τυπτετε, κληϝῖδεσιν εφημενοι, αι κε ποθι δσεϝς
δῶῃ τονδε γ' ολεθρον ͱυπεκφυγεεν και αλυκσαι.
σοι δε, κυβερνηθ', ῷδ' επιτελλομαι, αλλ' ενι θυϝμῷ
βαλλε', επει ναϝος γλαφυρης ͱοιηϊα νωμᾷς·
τοϝτοϝο μεν καπνοο και κυϝματος εκτος εεργε
ναϝα· συ δε σκοπελοϝ επιμαϝεο, μη σε λαθητιν
κεισ' εκσͱορμῆσαντσα, και ες κακον αμμε βαλῆσθα.
ͱως εφαμην· ͱοι δ' ῶκα ϝεπεσσιν εμοισ' επιθοντο.
σκυλλην δ' ουκετ' εμυϝθεομην, απρῆκτον ανιϝην,
μη πως μοι δδειδσαντες απολληγσειαν ͱεταιροι
ειρεσιης, εντος δε πυκαδσοιεν σφεϝας αϝτοϝς.
και τοτε δη κιρκης μεν εφημοσυνης αλεγεινης
λανθανομην, επει ουτι μ' ανωγεν θωρησσεσθαι·
αϝταρ εγω καταδῦνς κλυτα τευχεα, και δυο δορϝε
μακρ' εν χερσιν ͱελων, εις ͱικρια ναϝος εβαινον
πρῶρης· ενθεν γαρ μιν εδεχμην πρῶτα φανεεσθαι.

ουδε πῇ αθρησαι δυναμην· εκαμον δε μοι οσσε
παντῇ παπταινοντι προς ἦεροϝειδεα πετρην. M
ͱημεες δε στεινωπον ανεπλεϝομεν γοαοντες·
ενθεν μεν γαρ σκυλλ', ͱετερωθι δε διϝα χαρυβδις
δδεινον ανεϝροιβδησε θαλασσης ͱαλμυρον ͱυϝδωρ.
ητοι ͱοτ' εκσεμεσειε, λεβης ͱως εν πυρι πολλῷ,
παντσ' αναμορμυϝρεσκε κυκῶμενη· ͱυπσοσε δ' αχνη
ακροισι σκοπελοισιν επ' αμφοτεροισιν επιπτεν·
αλλ' ͱοτ' αναβροχσειε θαλασσης ͱαλμυρον ͱυϝδωρ,
παντσ' εντοσθε φανεσκε κυκῶμενη· αμφι δε πετρῇ
δδεινον εβεβρυχκεεν ͱυπενερθε δε γαια φανεσκεν
πσαμμῷ κυϝανεῇ· τοϝς δε χλωρον δδεος ͱαιρεεν.
ͱημεες μεν προς την ϝιδομεν, δδειδσαντες ολεθρον·
τοφρα δε μοι σκυλλη γλαφυρης εκ ναϝος ͱεταιροϝς
ͱεκς ͱελεθ', οι χερσιν τε βιηφι τε φερτατοι ἦσαν.
σκεπτσαμενος δ' ες ναϝα θοϝην ͱαμα και μεθ' εταιροϝς
ηδη των ενοησα ποδας, και χειρας ͱυπερθεν,
ͱυπσοσ' αͱειρομενων· εμε δ' εφθενγοντο καλεοντες
εκσονομακλῆδην, τοτε γ' ͱυστατον, αχνυμενοι κεαρ.
ͱως δ' ͱοτ' επι προβολῷ ͱαλιεϝς περιμηκεϊ ϝραβδῷ
ͱιχθυσι τοισ' ολιγοις δολοεντα κατ' ἦδατα βαλλων,
ες ποντον προͱιͱητι βοϝος κερας αγραϝλοϝο,
ασπαιροντα δ' επειτα λαβων εριπτσε θυραδσε·
ͱως ͱοιγ' ασπαιροντες αͱειροντο προτι πετρας.
αϝταρ επει πετρας φυγομεν, δδεινην τε χαρυβδιν,
σκυλλην τ', αϝτικ' επειτα θεοϝ' ες αμυϝμονα νησον
ͱικομεθ'· ενθα δ' εσαν καλαι βοϝες ευρυμετῶποι,
πολλα δε ϝῖφια μηλ' ͱυπεριονος ἦελιοϝο.
δη τοτ' εγων, ετι ποντῷ εων εν ναϝι μελαινῇ,
μυκηθμοο τ' ἦκοϝσα βοϝων αϝλιδσομεναϝων,
οϝιων τε βληχην· και μοι ϝεπος ενπεσε θυϝμῷ
μαντιος αλαϝοο, θηβαιοϝο τειρεσιαϝο,
κιρκης τ' αιαιης, ͱη μοι μαλα πολλ' επετελλεν,
νησον αλεϝσασθαι τερπσιμβροτοϝ' ἦελιοϝο.
δη τοτ' εγων ͱεταροισι μετῆυϝδαον, αχνυμενος κεαρ·
κεκλυτε μεο μυϝθων, κακα περ πασχοντες, ͱεταιροι,
ͱοφρ' ͱυμιν ϝεσπω μαντῆϊα τειρεσιαϝο,
κιρκης τ' αιαιης, ͱη μοι μαλα πολλ' επετελλεν,
νησον αλεϝσασθαι τερπσιμβροτοϝ' ἦελιοϝο·
ενθα γαρ αινοτατον κακον εσμεναι αμμιν εφᾶσκεν.
αλλα παρεκς την νησον ελαϝνετε ναϝα μελαιναν.
ͱως εφαμην· τοισιν δε κατεκλασθη φιλον ητορ.
αϝτικα δ' ευρυλοχος στυγερῷ μ' ἦμειβετο μυϝθῷ·
σχετλιος εσσ', ͱοδυσεϝ· περι τοι μενος, ουδε τι γυια
καμνεις· η ρα νυ σοιγε σιδηρεα παντα τετυχται,
ͱος ρ' ͱεταροϝς καματῷ ͱεͱαδηκοτας, ηδε και ͱυπνῷ,

ουκ εϝαεις γαιης επιβημεναι· ενθα κεν αϝτε M
νησῳ εν αμφιρυτῃ λαϝρον τετυχοιμεθα δορπον·
αλλ' αϝτως δια νυκτα θοϝην αλαλῆσθαι ανῶγας,
νησοϝ αποπλαγχθεντας εν ῆεροϝειδεϊ ποντῳ.
εκ νυκτων δ' ανεμοι χαλεποι, δηλημματα ναϝων,
γιγνονται· πῆ κεν τις ͱυπεκφυγοι αιπυν ολεθρον,
ῆν πως εκσαπινης ελθητ' ανεμοϝο θυϝελλα,
η νοτοϝ, η δσεφυροϝο δυσαͱεϝος, ͱοι τε μαλιστα
ναϝα διαϝραιοντι, θεων αͱεκητι ϝανακτων;
αλλ' ητοι νῦν μεν πειθωμεθα νυκτι μελαινῃ,
δορπον θ' οπλισομεσθα, θοϝῃ παρα ναϝι μενοντες·
ῆοαθεν δ' αναβαντες ενͱησομεν ευρυϊ ποντῳ.
ͱως εφατ' ευρυλοχος· επι δ' ῆνεον αλλοι ͱεταιροι.
και τοτε δη γιγνῶσκον, ͱο δη κακ' εμηδετο δαιμων·
και μιν φῶνησανς ϝεπεα πτεροεντα προσῆυϝδῶν·
ͱευρυλοχ', η μαλα δη με βιαδσετε μουνον εοντα·
αλλ' αγε νῦν μοι παντες ομοσσατε καρτερον ͱορκον,
ει κε τιν' ηε βοϝων αγελην, η πῶϋ μεγ' οϝιων,
ͱευρωμεν, μη ποο τις, ατασθαλιῃσι κακῃσιν,
η βοϝν, η' ετι μηλον, αποκτανῃ· αλλα ͱεκηλοι
εσθιετε βρῶμην, την αθανατη πορε κιρκη.
ͱως εφαμην· ͱοι δ' αϝτικ' απῶμνυον, ͱως εκελεϝον.
αϝταρ επει ρ' ομοσαν τ', ετελεϝτῆσαν τε τον ͱορκον,
στησαμεν εν λιμενι γλαφυρῳ ͱεϋϝεργεα ναϝα,
αγχ' ͱυδατος γλυκεροϝο· και εκσαπεβησαν ͱεταιροι
ναϝος, επειτα δε δορπον επισταμενως τετυχοντο.
αϝταρ επει ποσιος και εδητυος εκς ερον ͱεντο,
μνῆσαμενοι δη επειτα φιλοϝς εκλαϝον ͱεταιροϝς,
ͱοϝς εφαγε σκυλλη, γλαφυρης εκ ναϝος ͱελοντσα·
κλαϝοντεσι δε τοισιν επηλυθεν ͱηδυμος ͱυπνος.
ημος δε τριχα νυκτος εῆν, μετα δ' αστρ' εβεβηκεεν,
ῶρσεν επι δσαͱεϝ' ανεμον νεφεληγερετα δσεϝς
λαιλαπι θεσπεσιῃ, γσυν δε νεφεεσ' εκαλυπτσεν
γαιαν ͱομοο και ποντον· ορῶρεε δ' ουρανοθεν νυκς·
ημος δ' ῆριγενει' εφανη ϝροδοδακτυλος ῆως,
ναϝα μεν ͱορμισαμεν, κοιλον σπεϝος εισϝερυσαντες·
ενθα δ' εσαν νυμφεων καλοι χοροι, ηδε θαϝακοι·
και τοτ' εγων αγορην θεμενος μετα μυϝθον εϝεσπον·
ω φιλοι, εν γαρ ναϝι θοϝῃ βρῶσις τε, ποσις τε,
εστιν, τεων δε βοϝων αφεχωμεθα, μη τι παθωμεν·
δδεινοϝο γαρ θεοϝ ͱαιδε βοϝες και ϝῖφια μηλα,
ῆελιοϝ, ͱος παντ' εφορᾷ και παντ' επακοϝει.
ͱως εφαμην· τοισιν δ' επεπειθετο θυϝμος αγῆνωρ.
μηνα δε παντ' αληγτος αͱη νοτος, ουδε τις αλλος
γιγνετ' επειτ' ανεμων, ει μη ευρος τε, νοτος τε.
ͱοι δε, ͱεϝος μεν σῖτον ͱεχον και ϝοινον ερυθρον,

τοφρα βοϝων αφεχοντο, λιλαϝομενοι βιϝοτοϝο· Μ
αλλ' ͱοτε δη ναϝος εκσεφθιτο ηϊϝα παντα,
και δη αγρην εφεπεσκον αλῆτεϝοντες ανανκῇ,
ͱιχθυας, ορνιχθας τε, φιλας ͱο τι χειρας ͱικοιτο,
γναμπτοισ' ανκιστροισιν· ετειρε δε γαστερα λειμος.
δη τοτ' εγων ανα νησον απεστιχον, ͱοφρα θεοισιν
ευχσαιμην, ει τις μοι ͱοδον φῆνειε νεεσθαι.
αλλ' ͱοτε δη δια νησοϝ' ιων ῆλυκσα ͱεταιροϝς,
χειρας νιπτσαμενος, ͱοθ' επι σκεπας ῆν ανεμοϝο,
ῆραομην παντεσι θεοισ', ͱοι ολυνπον ͱεχοντιν·
ͱοι δ' αρα μοι γλυκυν ͱυπνον επι βλεφαροισιν εχεϝσαν.
ευρυλοχος δ' ͱεταροισι κακης εκσῆρχετο βουλης·
κεκλυτε μεο μυϝθων, κακα περ πασχοντες, ͱεταιροι·
παντες μεν στυγεροι θανατοι δδειλοισι βροτοισιν,
λειμῷ δ' οικτιστον θανεεεν και ποτμον εφεσπεεν.
αλλ' αγετ', ῆελιοϝο βοϝων ελασαντες αριστας,
ρεκσομεν αθανατοισι, τοι ουρανον ευρυν ͱεχοντιν.
ει δε κεν εις ιθακην αφικοιμεθα, πατριδα γαιαν,
αιπσα κεν ῆελιῷ ͱυπεριονι πιϝονα ναϝον
τευχσομεν, ενθα κε θειμεν αγαλματα πολλα και εσθλα·
ει δε χολῶσαμενος τι βοϝων ορθοκραιραϝων
ναϝ' εθελει ολεσαι, επι δ' ͱεσπονται θεοι αλλοι,
βουλομ' ͱαπακς προς κυϝμα χανων απο θυϝμον ολεσσαι,
η δηθα στρευγεσθαι, εων εν νησῷ ερημῇ.
ͱως εφατ' ευρυλοχος, επι δ' ῆνεον αλλοι ͱεταιροι.
αϝτικα δ' ῆελιοϝο βοϝων ελασαντες αριστας
ενγυθεν, ου γαρ τηλε ναϝος κυϝανοπρῶροϝο
βοσκοντο ϝελικες καλαι βοϝες, ευρυμετῶποι,
τας δε περι στησαντο, και ευχεταοντο θεοισιν,
φυλλα δρεπσαμενοι τερενα δρυος ͱυπσικομοϝο·
ου γαρ ͱεχον κρῖ λεϝκον ͱεϋσελμοϝ' επι ναϝος.
αϝταρ επει ρ' ευχσαντο, και εσφαγσαν και εδε͂ρϝαν,
μηροϝς τ' εκσεταμον, κατα τε κνισσῇ εκαλυπτσαν,
διπτυχα ποιησαντες, επ' αϝτων δ' ωμοθετησαν·
ουδ' εσχον μεθυ λειβσαι επ' αιθομενοισ' ͱιεροισιν,
αλλ' ͱυδατι σπενδοντες επ' ῶπταον ενκατα παντα.
αϝταρ επει κατα μηρ' εκαϝη, και σπλανχν' επασαντο,
μιστυλλον τ' αρα τ' αλλα, και αμφ' οβελοισιν επῆραν·
και τοτε μοι βλεφαρων εκσεσσυτο ͱηδυμος ͱυπνος·
βην δ' ιμεναι επι ναϝα θοϝην και θῖνα θαλασσης.
αλλ' ͱοτε δη σχεδον ῆα κιων ναϝος αμφιϝελισσης,
και τοτε με κνισσης αμφ' ηλυθεν ͱηδυς αͱυϝτμη·
οιμωγσανς δε θεοισι μετ' αθανατοισ' εγεγωνον·
δσεϝ πατερ, ηδ' αλλοι μακαρες θεοι, αιϝεν εοντες,
η με μαλ' εις αϝατην κοιμῆσατε νηλεϊ ͱυπνῷ·
ͱοι δ' ͱεταροι μεγα ϝεργον εμητιϝσαντο μενοντες.

αϝταρ επει ρ' επι ναϝα κατηλυθον ηδε θαλασσαν,
νειχεον αλλοθεν αλλον επισταδον, ουδε τι μηχος M
ͱευρεμεναι δυναμεσθα· βοϝες δ' απετεθνασαν ηδη.
τοισιν δ' αϝτικ' επειτα θεοι τερατα προεφαινον·
ͱερπον μεν ϝρῖνοι, κρεα δ' αμφ' οβελοισ' εμεμυκκεεν,
οπταλεα τε και ωμα· βοϝων δ' ͱως γιγνετο φω̃νη.
ͱεκσͱημαρ μεν επειτα εμοι περιηρες ͱεταιροι
δαινῦντ', η̃ελιοϝο βοϝων ελασαντες αριστας·
αλλ' ͱοτ' αρ' ͱεβδομον ͱημαρ επι δσεϝς θη̃κε κρονιϝων,
και τοτ' επειτ' ανεμος μεν επαϝσατο λαιλαπι θυϝων·
ͱημεες δ' αιπσ' αναβαντες ενͱηκαμεν ευρυϊ ποντῳ̃,
ͱιστον στησαμενοι, ανα θ' ιστια λευχ' ελκσαντες.
αλλ' ͱοτε δη την νησον ελειπομεν, ουδε τις αλλη
φαινετο γαιαϝων, αλλ' ουρανος ηδε θαλασσα,
δη τοτε κυϝανεην νεφελην εστησε κρονιϝων
ναϝος ͱυπερ γλαφυρης· η̃χλυϝσε δε ποντος ͱυπ' αϝτης.
ͱη δ' εθεϝ' ου μαλα πολλον επι χρονον· αιπσα γαρ ηλθεν
κεκλη̃γως δσεφυρος, μεγαλῃ̃ γσυν λαιλαπι θυϝων·
ͱιστοϝο δε προτονοϝς εϝρη̃γσ' ανεμοϝο θυϝελλα
αμφοτεροϝς· ͱιστος δ' οπισῳ̃ πεσεν, ͱοπλα τε παντα
εις αντλον κατεχῦνθ'· ο δ' αρα πρυμνῃ̃ ενι ναϝι
πληγσε κυβερνητεο κεφαλην, γσυν δ' οστε' αραγσεν
πανθ' αμυδις κεφαλης· ͱο δε ϝαρνεϝτηρι ϝεϝοικως
καππεσ' αφ' ικριοφιν, λιπε δ' οστεα θυϝμος αγη̃νωρ.
δσεϝς δ' ͱαμυδις βροντη̃σε, και ενβαλε ναϝι κεραυνον·
ͱη δ' ελελιχθη παντσα, διος πληγεντσα κεραυνῳ̃,
εν δε θεειϝοο πλητ'· επεσον δ' εκ ναϝος ͱεταιροι.
ͱοι δε κορωνῃ̃σιν ϝικελοι περι ναϝα μελαιναν
κυϝμασιν ενφορεοντο· θεος δ' αποαινυτο νοστον.
αϝταρ εγω δια ναϝος εφοιταον, ͱοφρ' απο τοιχοϝς
λυϝσε κλυδων τροπιος· την δε πσιλην φερε κυϝμα.
εκ δε ͱοι ͱιστον εϝανγσε ποτι τροπιν· αϝταρ επ' αϝτῳ̃
επιτονος τετανυστο, βοϝος ϝῖφι κταμενοϝο·
τῳ̃ ρ' αμφω γσυνεͱεργον ͱομοο τροπιν ηδε και ͱιστον·
ͱεδσομενος δ' επι τοις, φερομην ολοϝοισ' ανεμοισιν.
ενθ' ητοι δσεφυρος μεν επαϝσατο λαιλαπι θυϝων·
ηλθε δ' επι νοτος ω̃κα, φερων εμῳ̃ αλγεα θυϝμῳ̃,
ͱοφρ' ετι την ολοϝην αναμετρησαιμι χαρυβδιν.
παννυχιος φερομην, ͱαμα δ' ηελιῳ̃ ανιοντι
ηλθον επι σκυλλης σκοπελον, δδεινην τε χαρυβδιν.
ͱη μεν ανεϝροιβδησε θαλασσης ͱαλμυρον ͱυϝδωρ·
αϝταρ εγω ποτι μακρον ερινεον ͱυπσοσ' αͱερθεις
τῳ̃ προσφῦς ͱεχομην, ͱως νυκτερις· ουδε πῃ̃ εσχον
ουτε στηρικσαι ποσιν ενπεδον, ουτ' επιβηναι.
νωλεμεως δ' ͱεχομην, ͱοφρ' εκσεμεσειεν οπισσῳ̃
ͱιστον και τροπιν αϝτις· ϝελδομενῳ̃ δε μοι ηλθεν

οπσ'· ημος δ' επι δορπον ανηρ αγορηθεν ανεστη, M
κρινων νεικεα πολλα δικαδσομενων αιδσηων,
τημος δη τα γε δορϝα χαρυβδιος εκσεφαϝενθη.
ͱηκα δ' εγω καθυπερθε ποδας και χειρε φερεσθαι,
μεσσῳ δ' ενδουπησα παρεκς περιμηκεα δορϝα,
ͱεδσομενος δ' επι τοισι διηρεσα χερσιν εμῆσιν.
ενθεν δ' ͱεννͱημαρ φερομην· δεκατῇ δε με νυκτι
νησον ες ωγυγιην πελασαν θεοι· ενθα καλυπσω
ναιει ͱεϋπλοκαμος, δδεινη θεος, αυϝδῆεντσα·
ͱη μ' εφιλεε τ', εκομεε τε. τι τοι ταδε μυϝθογολεϝω;
ηδη γαρ τοι χθιδσος εμυϝθεομην ενι ϝοικῳ.

N

ͱως εφαθ'· οι δ' αρα παντες ακην εγενοντο σιωπῇ,
κηληθμῳ δ' εσχοντο κατα μεγαρα σκιοεντα.
τον δ' αϝτ' αλκινοος απαμειβετ', εφῶνησεν τε·
ω ͱοδυσεϝ, επει ͱικε' εμον ποτι χαλκοβατες δῶ
ͱυπσερεφες, τῳ σ' ουτι παλινπλανχθεντα γ' οϊϝω
απς απονοστησεεν, ει και μαλα πολλα πεπονθας.
ͱυμεων δ' ανδρι ͱεκαστῳ εφιͱεμενος ταδε ϝερπω,
ͱοσοι ενι μεγαροισι γεροντιον αιθοπα ϝοινον
αιϝει πιϝνετ' εμοισιν, ακοϝαδσεσθε δ' αϝοιδοο·
ϝεσματα μεν δη χσεινῳ ͱεϋχσεστῃ ενι χηλῳ
κειται, και χρυσος πολυδαιδαλος, αλλα τε παντα
δῶρ', ͱοσα φαιηκων βουληφοροι ενθαδ' ενενκαν·
αλλ' αγε, δῶωμεν τριποδα μεγαν, ηδε λεβητα,
ανδρακας· ͱημεες δ' αϝτε αγειρομενοι κατα δημον
τιϝσομεθ'· αργαλεον γαρ ͱενα προͱικος χαρισασθαι.
ͱως εφατ' αλκινοος· τοισιν δ' επεϝανδανε μυϝθος.
ͱοι μεν κατκειοντες εβαν ϝοικονδε ͱεκαστος.
ημος δ' ῆριγενει' εφανη ϝροδοδακτυλος ῆως,
ναϝ' αρ' επεσσεϝοντ', εφερον δ' ͱεϋῆνορα χαλκον·
και τα μεν ͱευ κατεθῆχ' ιερον μενος αλκινοοϝο,
αϝτος ιων δια ναϝος, ͱυπο δσυγα, μη τιν' ͱεταιρων
βλαπτοι ελαϝνοντων, ͱοποτε σπερχοιατ' ερετμοις.
ͱοι δ' εις αλκινοοϝ' εκιον, και δαιτ' αλεγυϝνον.
τοισι δε βοϝν ͱιερεϝσ' ͱιερον μενος αλκινοοϝο
δσῆνι κελαινεφεϊ κρονιδῃ, ͱος παντσι ϝανασσει.
μηρα δε κῆαντες δαινῦντ' ερικυϝδεα δαιτα
τερπομενοι· μετα δε σφιν εμελπετο θειος αϝοιδος
δημοδοκος, λαϝοισι τετιϝμενος· αϝταρ ͱοδυσσεϝς
πολλα προς ῆελιον κεφαλην τρεπε πανφαναοντα,
δῦναι επειγομενος· δη γαρ μενεαινε νεεσθαι.
ͱως δ' ͱοτ' ανηρ δορποϝο λιλαϝεται, ͱῷτε πανͱημαρ
νεϝον αν' ͱελκητον βοϝε ϝοινοπε πηγτον αροτρον,
ασπασιως δ' αρα τῳ κατεδῦ φαϝος ῆελιοϝο,
δορπον εποιχεσθαι, βλαβεται δε τε γουϝατ' ιοντι·
ͱως ͱοδυσεϝ ασπαστον εδῦ φαϝος ῆελιοϝο.

αιπσα δε φαιηκεσι φιληρετμοισι μετῆυϝδα, Ν
αλκινοῷ δε μαλιστα πιφαϝσκομενος φατο μυϝθον·
αλκινοε κρεϝον, παντων αριδεικετε λαϝων,
πεμπετε με σπενδσαντες απημονα· χαιρετε δ' αϝτοι·
ηδη γαρ τετελεσται, ͱα μοι φιλος ηθελε θυϝμος.
ͱυμεες δ' αϝθι μενοντες ͱεϋφραινοιτε γυναικας
κοϝριδιας, και τεκνα· θεοι δ' αρετην οπασειαν
παντοιην· και μη τι κακον μεταδημιον ειη.
ͱως εφαθ'· οι δ' αρα παντες επῄνεον, ηδ' εκελεϝον
πεμπεμεναι τον χσεινον, επει κατα μοιραν εϝεσπεν.
και τοτε κηρῦκα προσεφη μενος αλκινοοϝο·
ποντονοε, κρῆτηρα κερασσαμενος, μεθυ νῆμον
παντσιν ανα μεγαρον· ͱοφρ' ευχσαμενοι διϊ πατρι,
τον χσεινον πεμπωμεν ͱεϝην ες πατριδα γαιαν.
ͱως φατο· ποντονοος δε μελιφρονα ϝοινον εκιρνα·
νωμῆσεν δ' αρα παντσιν επισταδον· ͱοι δε θεοισιν
εσπενδσαν μακαρεσι, τοι ουρανον ευρυν ͱεχοντιν,
αϝτοθεν εκς ͱεδρεων· ανα δ' ͱισατο διϝος ͱοδυσσεϝς,
αρητῇ δ' εν χερσ' ετιθεε δεπας αμφικυπελλον,
και μιν φωνησανς ϝεπεα πτεροεντα προσηυϝδα·
χαιρε μοι, ω βασιλεια, διανπερες, εις ͱο κε γηρας
ελθῃ, και θανατος, τα τ' επ' ανθρωποισι πελονται.
αϝταρ εγω νεομαι· συ δε τερπεο τῷδ' ενι ϝοικῷ,
παιδσι τε, και λαϝοισι, και αλκινοῷ βασιλεϝι.
ͱως ϝεσπων, ͱυπερ ουδον εβησατο διϝος ͱοδυσσεϝς.
τῷ δ' ͱαμα κηρῦκα προͱιεε μενος αλκινοοϝο,
ͱηγεεσθαι επι ναϝα θοϝην, και θῖνα θαλασσης·
αρητη δ' αρα ͱοι δμῶας ͱαμ' επεμπε γυναικας·
την μεν, φαϝρος ͱεχοντσαν ͱεϋπλυνες, ηδε χιτῶνα,
την δ' ͱετερην, χηλον πυκινην ͱαμ' επεμπε κομιδσεεν·
ͱη δ' αλλη σῖτον τ' εφερεν και ϝοινον ερυθρον.
αϝταρ επει ρ' επι ναϝα κατηλυθον, ηδε θαλασσαν,
αιπσα ταγ' εν ναϝι γλαφυρῇ πομπεϝες αγαϝοι
δεχσαμενοι κατεθεντο, ποσιν και βρῶσιν ͱαπαντσαν·
κατ δ' αρ' ͱοδυσσεϝι στορεσαν ϝρῆγος τε, λινον τε,
ναϝος εφ' ικριοφιν γλαφυρης, ͱινα νηγρετον ͱευδοι,
πρυμνης· αν δε και αϝτος εβησατο, και κατελεχτο
σιγῇ· τοι δε καθιδσον επι κληϝιεσιν ͱεκαστος
κοσμῷ· πεισμα δ' ελυϝσαν απο τρητοϝο λιθοϝο·
ενθ' ͱοι ανακλινθεντες ανεριπτον ͱαλα πηδῷ·
και τῷ ͱηδυμος ͱυπνος επι βλεφαροισιν επιπτεν,
νηγρετος, ͱηδιστος, θανατῷ ανχιστα ϝεϝοικως.
ͱη δ', ͱωστ' εν πεδιῷ τετραϝοροι αρσενες ͱιπποι,
παντες ͱαμ' ͱορμηθεντες ͱυπο πληγῇσιν ͱιμασθλης,
ͱυπσοσ' αϝειρομενοι, ριμφα πρῆσσοντι κελευθον·
ͱως αρα της πρυμνη μεν αϝειρετο, κυϝμα δ' οπισθεν

πορφυρεον μεγ᾽ εθυϝε πολυφλοισβοϝο θαλασσης.
ͱη δε μαλ᾽ ασφαλεως θεϝεν ενπεδον· ουδε κεν ͱιερηκς N
κιρκος ͱομαρτησειεν, ελαφροτατος πετεηνων·
ͱως ͱη ριμφα θεϝοντσα θαλασσης κυϝματ᾽ εταμνεν,
ανδρα φεροντσα, θεοισ᾽ εναλινκια μηδε᾽ ͱεχοντα·
ͱος πριν μεν μαλα πολλα παθ᾽ αλγε᾽ ͱεϝον κατα θυϝμον,
ανδρων τε πτολεμοϝς, αλεγεινα τε κυϝματα πειρων·
δη τοτε γ᾽ ατρεμας ͱευδε, λελαθμενος ͱοσ᾽ επεπονθεεν.
ευτ᾽ αστηρ ͱυπερεσχε φαϝεντατος, ͱος τε μαλιστα
ερχεται ανγελλων φαϝος ἦοος ἦριγενειης·
τημος δη νησῳ προσεπιλνατο ποντοπορος ναϝς.
φορκῦνος δε τις εστι λιμην ͱαλιοϝο γεροντος,
εν δημῳ ιθακης· δυο δε προβλῆτες εν αϝτῳ
ακται αποϝρῶγες, λιμενος ποτιπεπτῆυιαι·
ͱαι τ᾽ ανεμων σκεπαοντι δυσαͱεϝων μεγα κυϝμα
εκτοθεν· εντοσθεν δε ανευ δεσμοϝο μενοντιν
ναϝες ͱεϋσελμοι, ͱοτ᾽ αν ͱορμοϝο μετρον ͱικωνται.
αϝταρ επι κρᾶτος λιμενος τανυφυλλος ελαιη·
ανχοθι δ᾽ αϝτης, αντρον επῆρατον, ἦεροϝειδες,
ͱιερον νυμφαϝων, ͱαι ναϝιαδες καλεονται.
εν δε κρῆτηρες τε και αμφιφορεϝες εαντιν
λαϝινοι· ενθα δ᾽ επειτα τιθαιβωσσοντι μελισσαι.
εν δ᾽ ͱιστοι λιθεοι περιμηκεες, ενθα δε νυμφαι
φαϝρε᾽ ͱυφαινοντιν ͱαλιπορφυρα, θαϝμα ϝιδεσθαι.
εν δ᾽ ͱυδατ᾽ αιϝεναϝοντα· δυω δε τε ͱοι θυραι εντιν·
ͱαι μεν προς βορεαϝο, καταιβαται ανθρωποισιν,
ͱαι δ᾽ αϝ προς νοτοϝ᾽ εντι, θεωτεραι· ουδε τι κεινῃ
ανδρες εσερχονται, αλλ᾽ αθανατων ͱοδος εστιν.
ενθ᾽ ͱοιγ᾽ εισελασαν, πριν ϝειδοτες· ͱη μεν επειτα
ηπειρῳ επεκελσεν, ͱοσον τ᾽ επι ͱημισυ παντσης,
σπερχομενῃ· τοιων γαρ επειγετο χερσ᾽ ερεταϝων.
ͱοι δ᾽ εκ ναϝος βαντες ͱεϋδσυγοϝ᾽ ηπειρονδε
πρῶτον ͱοδυσσεϝα γλαφυρης εκ ναϝος αͱῆραν,
αϝτῳ γσυν τε λινῳ, και ϝρῆγεϊ σιϝαλοεντι,
κατ δ᾽ αρ᾽ επι πσαμαθῳ εθεσαν, δεδμῆμενον ͱυπνῳ·
εκ δε κτηματ᾽ αͱῆραν, ͱα ͱοι φαιηκες αγαϝοι
ὤπασαν ϝοικαδ᾽ ιοντι, δια μεγαθυϝμον αθηνην.
και τα μεν ὢν παρα πυθμεν᾽ ελαιης ͱαθροϝ᾽ εθῆκαν
εκτος ͱοδοο, μη ποο τις ͱοδῖταϝων ανθρωπων,
πριν γ᾽ ͱοδυσεϝ᾽ εγρεσθαι, επελθων δηλησαιτο.
αϝτοι δ᾽ αϝ ϝοικονδε παλιν κιον· ουδ᾽ ενοσιχθων
ληθετ᾽ απειλαϝων, τας αντιθεῳ ͱοδυσεϝι
πρῶτον επῆπειλῆσε· διος δ᾽ εκσειρετο βουλην·
δσεϝ πατερ, ουκετ᾽ εγωγε μετ᾽ αθανατοισι θεοισιν
τιϝμῆενς εσομαι, ͱοτε με βροτοι ουτι τιϝοντιν
φαιηκες, τοιπερ τοι εμης εκς εντι γενεθλης.

και γαρ νῦν ͱοδυσεϝ εφαμην κακα πολλα παθοντα N
ϝοικαδ᾽ ελευθσεσθαι· νοστον δε ͱοι ουποτ᾽ απῆϝρων. 132
ͱοι δ᾽ ͱευδοντ᾽ εν ναϝι θοϝῃ επι ποντον αγοντες 134
κατθεσαν ειν ιθακῃ, εδοσαν δε ͱοι ασπετα δῶρα, 135
χαλκον τε, χρυσον τε ͱαλις, ϝεσθητα θ᾽ υφαντην,
πολλ᾽, ͱοσ᾽ αν ουδε ποτε τροϝιης εκσͱῆραθ᾽ οδυσσεϝς,
ειπερ απημων ηλθε, λαχων απο λεϝιδος αισαν.
τον δ᾽ απαμειβομενος προσεφη νεφεληγερετα δσεϝς·
ω ποποι! εννοσιγαι᾽ ευρυσθενες, ͱοιον εϝεσπες; 140
ουτι σ᾽ ατιϝμαδσοντι θεοι· χαλεπον δε κεν ειη. 141
ανδρων δ᾽ ειπερ τις σε βιῃ και καρτεϊ ϝεικων 143
ουτι τιϝει, σοι δ᾽ εστι και εκσοπισῳ τισις αιϝεν.
ερκσον, ͱοπως εθελεις, και τοι φιλον επλετο θυϝμῷ. 145
τον δ᾽ ῆμειβετ᾽ επειτα ποσειδαϝων ενοσιχθων·
αιψα κ᾽ εγων ερκσαιμι, κελαινεφες, ͱως αγορεϝεις·
αλλα σον αιϝει θυϝμον οπιδσομαι, ηδ᾽ αλεϝεινω.
νῦν αϝ φαιηκων εθελω περικαλλεα ναϝα,
εκ πομπης ανιουσαν, εν ῆεροϝειδεϊ ποντῳ 150
ϝραισαι· ͱιν᾽ ηδη σχωνται, αποληγσωντι δε πομπης
ανθρωπων· μεγα δε σφιν ορος πολι᾽ αμφικαλυπσαι.
τον δ᾽ απαμειβομενος προσεφη νεφεληγερετα δσεϝς·
ω πεπον, ͱως μεν εμῷ θυϝμῷ δοκε᾽ εεναι αριστα,
ͱοποτε κεν δη παντες ελαϝνομενην προϝιδωνται 155
λαϝοι απο πτολιος, θεεναι λιθον εγγυθι γαιης
ναϝι θοϝῃ ϝικελον, ͱινα θαϝμασσωντιν ͱαπαντες
ανθρωποι· μεγα δε σφιν ορος πολι᾽ αμφικαλυπσαι.
αϝταρ επει τογ᾽ ακοϝσε ποσειδαϝων ενοσιχθων,
βη ρ᾽ ιμεν ες σχεριην, ͱοθι φαιηκες γεγαασιν· 160
ενθ᾽ εμεν᾽· ͱη δε μαλα σχεδον ηλυθε ποντοπορος ναϝς
ριμφα διῶκομενη· της δε σχεδον ηλθ᾽ ενοσιχθων,
ͱος μιν λαϝαν εθῆκε, και εϝριδσῶσεν ενερθεν,
χειρι καταπρηνει ελασανς· ͱο δε νοσφ᾽ εβεβηκεεν.
ͱοι δε προς αλληλοϝς ϝεπεα πτεροεντ᾽ αγορεϝον 165
φαιηκες δολιχῆρετμοι, ναϝσικλυτοι ανδρες·
ͱῷδε δε τις ϝεσπεσκε ϝιδων ες πλησιον αλλον·
ω μοι, τις δη ναϝα θοϝην επεδῆσ᾽ ενι ποντῳ,
ϝοικαδ᾽ ελαϝνομενην; και δη προεφαινετο πανσα.
ͱως αρα τις ϝεσπεσκε· τα δ᾽ ουκ ϝισαν, ͱως ετετυχτο. 170
τοισιν δ᾽ αλκινοος αγορεϝσατο και μετεϝεσπεν·
ω ποποι! η μαλα δη με παλαιφατα θεσφαθ᾽ ικανει
πατρος εμοϝ, ͱος εφᾶσκε ποσειδαϝῶν᾽ αγασασθαι
ͱημῖν, ͱοονεκα πομποι απημονες εσμεν ͱαπαντων.
φη ποτε φαιηκων ανδρων περικαλλεα ναϝα, 175
εκ πομπης ανιουσαν, εν ῆεροϝειδεϊ ποντῳ
ϝραισεμεναι, μεγα δ᾽ ͱημιν ορος πολι᾽ αμφικαλυπσαι.
ͱως αγορεϝ ͱο γερων· ταδε δη νῦν παντα τελεεται.

αλλ' αγεθ', ως αν εγω ϝεσπω, πειθωμεθα παντες·
πομπης μεν παϝσασθε βροτων, ͱοτε κεν τις ͱικηται
ͱημετερον προτι ϝαστυ· ποσειδαϝῶνι δε ταυροϝς
δωδεκα κεκριμενοϝς ͱιερεϝσομεν, αι κ' ελεησῃ,
μηδ' ͱημῖν περιμηκες ορος πολι' αμφικαλυπτσῃ.
ͱως εφαθ'· οι δ' εδδειδσαν, ͱετοιμασσαντο δε ταυροϝς.
ͱως ͱοι μεν ρ' ευχοντο ποσειδαϝῶνι ϝανακτι
δημοϝο φαιηκων ͱηγητορες, ηδε μεδοντες,
ͱεσταοτες περι βωμον· ͱο δ' εγρετο διϝος ͱοδυσσεϝς,
ͱευδων εν γαιῃ πατροϝιῃ, ουδε μιν εγνῶ,
ηδη δην απεων· περι γαρ θεος ῆερα χεϝεν,
παλλας αθηναιη, κοϝρη διος· ͱοφρα μιν αϝτον
αγνῶστον τευχσειεν, ͱεκαστα τε μυϝθησαιτο·
μη μιν πριν ͱαλοχος γνοιη, ϝαστοι τε, φιλοι τε,
πριν παντσαν μνῆστηρας ͱυπερβασιην αποτιϝσαι.
τοονεκ' αρ' αλλοϝειδε' εφαινετο παντα ϝανακτι,
ατραπιτοι τε διῆνεκεες, λιμενες τε πανͱορμοι,
πετραι τ' ηλιβατοι, και δενδρεα τηλεθαοντα.
στη δ' αρ' αναͱικσανς, και ρ' εισϝιδε πατριδα γαιαν·
ῷμωγσεν τ' αρ' επειτα, και ͱω πεπληγετο μηρω
χερσι καταπρηνεσσ'· ολοφυϝρομενος δε προσῆυϝδα·
ω μοι εγω, τεων αϝτε βροτων ες γαιαν ͱικανω;
η ρ' ͱοιγ' ͱυβρισται τε και αγριοι, ουδε δικαιοι,
ηε φιλοχσεινοι, και σφιν νοος εστι θεοϝδης;
πῇ δη χρηματα πολλα φερω ταδε; πῇ δε και αϝτος
πλαδσομαι; αιθ' οφελον μῆναι παρα φαιηκεσιν
αϝτοϝ· εγω δε κεν αλλον ͱυπερμενεων βασιλεϝων
εκσͱικομην, ͱος κεν μ' εφιλεε και επεμπε νεεσθαι.
νῦν δ' ουτ' αρ πῇ θεσθαι επισταμαι, ουδε μεν αϝτοο
κατλειπσω, μη πως μοι ͱελωρ αλλοισι γενηται.
ω ποποι! ουκ αρα παντα νοημονες, ουδε δικαιοι,
ῆσαν φαιηκων ͱηγητορες, ηδε μεδοντες,
ͱοι μ' εις αλλην γαιαν απῆγαγον· η τε μ' εφαντο
αγσεμεν εις ιθακην ͱευδεϝελον, ουδ' ετελεσσαν.
ͱως ϝεσπων, τριποδας περικαλλεας, ηδε λεβητας,
ῆριθμεε, και χρυσον, ͱυφαντα τε ϝεσματα καλα·
των μεν αρ' ουτι ποθεε· ͱο δ' οδυϝρετο πατριδα γαιαν,
ͱερπυδσων παρα θῖνα πολυφλοισβοϝο θαλασσης,
πολλ' ολοφυϝρομενος· σχεδοθεν δε ͱοι ηλθεν αθηνη,
ανδρι δεμας ϝεϝικυια νεϝῷ, επιβῶτορι μηλων,
πανͱαπαλῷ, ͱοιοι τε ϝανακτων παιδες εαντιν,
διπτυχον αμφ' ωμοισιν ͱεχοντσ' ͱευϝεργεα λωπην·
ποδσι δ' ͱυπο λιπαροισι πεδιλϝ' ͱεχε, χειρι δ' ακοντα.
την δ' ͱοδυσεϝς γηθησε ϝιδων, και εναντιος ηλθεν,
και μιν φῶνησανς ϝεπεα πτεροεντα προσῆυϝδα·
ω φιλ', επει σε πρῶτα κιχανω τῷδ' ενι χῶρῳ,

χαιρε τε, και μη μοι τι κακῳ̃ νοῳ̃ αντιβολησαις· N
αλλα σαω̃ μεν ταϝτα, σαω̃ δ' εμε· σοι γαρ εγωγε
ευχομαι, ͱως τε θεῳ̃, και σεο φιλα γουϝαθ' ικανω·
και μοι ταϝτ' αγορεϝσον ͱετητυμον, ͱοφρ' ͱεΰ ϝειδω·
τις γη; τις δημος; τινες ανερες ενγεγααντιν;
η ποϝο τις νησων ͱεϋδεϝελος, ηε τις ακτη
κειθ' αλι κεκλιμενη περιβω̃λακος ηπειροϝο;
 τον δ' αϝτε προσεϝεσπε θεα γλαϝκω̃πις αθηνη·
νηπιος εσσ', ω χσειν', η τηλοθεν ηληλουθας,
ει δη τηνδε τε γαιαν ανειρεαι· ουδε τι λιϝην
ͱοϝτῳ̃ νωνυμος εστι· ϝισαντι δε μιν μαλα πολλοι,
ημεν ͱοσοι ναιουντι προς η̃οα τ', η̃ελιον τε,
ηδε ͱοσοι μετοπισθε ποτι δσοφον η̃εροεντα.
ητοι μεν τρη̃χυια και ουχ ιππηλατος εστιν,
ουδε λιϝην λυπρη, αταρ ουδ' ευρυια τετυχται·
εν μεν γαρ ͱοι σι̃τος αθεσφατος, εν δε τε ϝοινος
γιγνεται· αιϝει δ' ομβρος ͱεχει, τεθαλυια τε ͱερση·
αιγιβοτος δ' αγαθη, και βοϝβοτος· εστι μεν ͱυλϝη
παντοιη, και ϝαρδμοι επιϝετανοι παρεαντιν.
τῳ̃ τοι, χσειν', ιθακης γε και ες τροϝιην ονομ' ͱικοι,
την περ τηλοϝο φαντιν αχαιϝιδος εσμεναι αιης.
 ͱως φατ'· εγηθησεν δε πολυτλα̃νς διϝος ͱοδυσσεϝς,
χαιρων ͱῃ̃ γαιῃ̃ πατροϝιῃ̃, ͱως ͱοι εϝεσπεν·
και μιν φω̃νησανς ϝεπεα πτεροεντα προση̃υϝδα·
 πυνθανομην ιθακης γε και εν κρητῃ̃ ευρυιῃ̃,
τηλοϝ' ͱυπερ ποντοο νυ̃ν δ' ηληλουθα και αϝτος
χρημασι συν τοισδεσσι· λιπων δ' ετι παιδσι τοσαϝτα
φευγω, επει φιλον ͱυια κατεκτανον ιδομενεϝος,
ορσιλοχον ποδας ω̃κυν, ͱος εν κρητῃ̃ ευρυιῃ̃
ανερας αλφηστας νικα̃ ταχυεσι ποδεσιν·
ͱοουνεκα με στερεσαι της λεϝιδος ηθελε παντσης
τροϝιαδος, της ͱεινεκ' εγω παθον αλγεα θυϝμῳ̃,
ανδρων τε πτολεμοϝς, αλεγεινα τε κυϝματα πειρων·
ͱοουνεκ' αρ' ουχ ῳ̃ πατρι χαριδσομενος θεραπεϝον
δημῳ̃ ενι τροϝων, αλλ' αλλων η̃ρχον ͱεταιρων·
τον μεν εγω κατιοντ' εβαλον χαλκηρεΐ δορϝι
αγροθεν, ενγυς ͱοδοϝο λοχησαμενος γσυν ͱεταιρῳ̃·
νυκς δε μαλα δνοφερη καθεχ' ουρανον, ουδε τις ͱημεας
ανθρωπων ενοησ'· ελαθον δε ͱε θυϝμον απα̃ϝρανς.
αϝταρ επειδη τονγε κατεκτανον ͱοκσυΐ χαλκῳ̃,
αϝτικ' εγων επι ναϝα κιων φοινικας αγαϝοϝς
ελισαμην, και σφιν μενοϝεικεα λεϝιδ' εδω̃κα·
τοϝς μ' εκελεϝσα πυλονδε καταστησαι και εφεσσαι,
η' εις ηλιδα διϝαν, ͱοθι κρατεουντιν επειοι.
αλλ' ητοι σφεας κειθεν απω̃σατο ϝις ανεμοϝο,
πολλ' αϝεκαδσομενοϝς· ουδ' ηθελον εκσαπατησαι.

κειθεν δε πλανχθεντες ͱικανομεν ενθαδε νυκτος· N
σπουδῇ δ' ες λιμενα προερεσσαμεν, ουδε τις ͱημῖν
δορποο μνῆστις εῆν, μαλα περ χατεουσιν ͱελεσθαι·
αλλ' αϝτως αποβαντες εκειμεθα ναϝος ͱαπαντες.
ενθ' εμε μεν γλυκυς ͱυπνος επηλυθε κεκμηῶτα·
ͱοι δε χρηματ' εμα γλαφυρης εκ ναϝος ͱελοντες
κατθεσαν, ενθα περ αϝτος επι πσαμαθοισιν εκειμην.
ͱοι δ' ες σιδονιην ͱεϋ ναιομενην αναβαντες
ῴχοντ'· αϝταρ εγω λιπομην ακαχημενος ητορ.
ͱως φατο· μειδῆσεν δε θεα γλαϝκῶπις αθηνη,
χειρι τε μιν κατερεξε· δεμας δ' εϝεϊκτο γυναικι
καλῇ τε, μεγαλῇ τε, και αγλαϝα ϝεργα ϝιδυιῃ·
και μιν φωνησαντσα ϝεπεα πτεροεντα προσηυϝδα·
κερδαλεος κ' ειη και επικλοπος, ͱος σε παρελθοι
εν παντεσι δολοισι, και ει θεος αντιασειεν.
σχετλιε, ποικιλομητα, δολων αϝατ', ουκ αρ' εμελλες,
ουδ' εν σῇ περ εων γαιῃ, ληγσεεν απαταϝων,
μυϝθων τε κλοπιων, ͱοι τοι πεδοθεν φιλοι εντιν;
αλλ' αγε, μηκετι ταϝτα λεγωμεθα, ϝειδοτες αμφω
κερδε'· επει συ μεν εσσι βροτων ͱοχ' αριστος ͱαπαντων
βουλῇ και μυϝθοισιν· εγω δ' εν παντσι θεοισιν
μητι τε κλεομαι και κερδεσιν· ουδε συγ' εγνῶς
παλλαδ' αθηναιην, κοϝρην διος, ͱητε τοι αιϝει
εν παντεσι πονοισι παρͱισταμαι, ηδε φυλασσω,
και δε σε φαιηκεσι φιλον παντεσιν εθῆκα.
νῦν δ' αϝ δευρ' ͱικομην, ͱινα τοι σουν μητιν ͱυφῆνω,
χρηματα τε κρυπτσω, ͱοσα τοι φαιηκες αγαϝοι
ῶπασαν, ϝοικαδ' ιοντι, εμῇ βουλῇ τε νοῳ τε·
ϝεσπω θ', οσα τοι αισα δομοισ' ενι ποιητοισιν
κηδε' ανασχεσθαι· συ δε τετλαμεναι και ανανκῇ·
μηδε τῷ εκφασθαι, μητ' ανδρων, μητε γυναικων,
παντων, ͱοονεκ' αρ' ηλθες αλῶμενος· αλλα σιωπῇ
πασχεμεν αλγεα πολλα, βιας ͱυποδεχμενος ανδρων.
την δ' απαμειβομενος προσεφη πολυμητις ͱοδυσσεϝς·
αργαλεον σε, θεα, γνῶναι βροτῷ αντιασαντι,
και μαλ' επισταμενῳ· σε γαρ αϝτην παντι ϝεϊσκεις.
τοϝτο δ' εγων ͱεϋ ϝοιδ', ͱοτι μοι παρος ηπιη ῆσθα,
ͱεϝος ενι τροϝιῃ πολεμιδσομεν ͱυιες αχαιϝων·
αϝταρ επει πριαμοϝο πολιν διεπερθσαμεν αιπυν,
βημεν δ' εν ναϝεσι, θεος δ' εκεδασσεν αχαιϝοϝς,
ου σεγ' επειτ' εϝιδον, κοϝρη διος, ουδ' ενοησα,
πριν γ' ͱοτε φαιηκων ανδρων εν πιϝονι δημῷ
θαρσῦϝνας τε ϝεπεσσι, και ες πολιν ῆγαγες αϝτη.
νῦν δε σε προς πατερος γουϝαδσομαι, ου γαρ οϊϝω
ͱηκεμεν εις ιθακην ͱεϋδεϝελον, αλλα τιν' αλλην
γαιαν αναστρεφομαι· σε δε κερτομεουσαν οϊϝω

ταϝτ᾽ αγορεϝεμεναι, ͱιν᾽ εμας φρενας ηπεροπεϝσῃς· N
ϝεσπε μοι, ει ͱετεον γε φιλην ες πατριδ᾽ ͱικανω.
τον δ᾽ ῆμειβετ᾽ επειτα θεα γλαϝκῶπις αθηνη·
αιϝει τοι τοιοϝτον ενι στηθεσσι νοημα·
τῷ σε και ου δυναμαι προλιπεεν δυστηνον εοντα.
ασπασιως γαρ κ᾽ αλλος ανηρ αλαλῆμενος ελθων
ͱιͱετ᾽ ενι μεγαροις ϝιδεεεν παιδας θ᾽ αλοχον τε·
σοι δ᾽ ου πῷ φιλον εστι δαημεναι, ουδε πυθεσθαι,
πριν γε τι σης ͱαλοχοο πειρῆσεαι, ͱητε τοι αϝτως
ͱησται ενι μεγαροισιν· οϊδσυϝραι δε ͱοι αιϝει
φθινοντιν νυκτες τε και ͱηματα δακρυ χεϝοντσῃ.
αϝταρ εγω το μεν ου ποτ᾽ απιθτεον, αλλ᾽ ενι θυϝμῷ
ϝοιδε᾽, ͱο νοστησεις ολεσανς απο παντας ͱεταιροϝς·
αλλα τοι ουκ εθελησα ποσειδαϝῶνι μαχεσθαι
πατροκασιγνῆτῳ, ͱος τοι χολον ενθετο θυϝμῷ,
χωομενος, ͱοτι ͱοι ͱυιον φιλον εκσαλαϝῶσας.
αλλ᾽ αγε τοι δεικσω ιθακης ͱεδος, ͱοφρα πεποιθῃς.
φορκῦνος μεν ͱοδ᾽ εστι λιμην ͱαλιοϝο γεροντος·
ͱηδε δ᾽ επι κρᾶτος λιμενος τανυφυλλος ελαιη·
τοϝτο δε τοι σπεϝος ευρυ κατῆρεφες, ενθα συ πολλας
ερδεσκες νυμφῇσι τελῆεντσας ͱεκατονβας·
τοϝτο δε νηριτον εστιν ορος, καταϝεσμενον ͱυλϝῃ.
ͱως ϝεσποντσα θεα σκεδασ᾽ ῆερ᾽· εϝειδσατο δε χθων·
γηθησεν τ᾽ αρ᾽ επειτα πολυτλᾶνς διϝος ͱοδυσσεϝς,
χαιρων ͱῃ γαιῃ· κυσε δε δσαϝδωρον αροϝραν·
αϝτικα δε νυμφῇσ᾽ ῆρῆσατο χειρας ανασχων·
νυμφαι ναϝιαδες, κοϝραι διος, ου ποτ᾽ εγωγε
οπτσεσθ᾽ υμμ᾽ εφαμην· νῦν δ᾽ ευχωλῇσ᾽ αγανῆσιν
χαιρετ᾽· αταρ και δῶρα διδῶσομεν, ͱως το παρος περ,
αι κ᾽ εϝαῃ προφρων με διος θυγατηρ αγελαϝη
αϝτον τε δσαϝεεν, και μοι φιλον ͱυιον αϝεχσῃ.
τον δ᾽ αϝτε προσεϝεσπε θεα γλαϝκῶπις αθηνη·
θαρσεε, μηδε τι ταϝτα μετα φρεσι σῇσι μελοντων.
αλλ᾽ αγε, χρηματα μεν μυχῷ αντρϝοϝο θεσπεσιοϝο
θειομεν αϝτικα νῦν, ͱινα περ ταδε τοι σαα μιμνῃ·
αϝτοι δε φραδσωμεθ᾽, ͱοπως ͱοχ᾽ αριστα γενηται.
ͱως ϝεσποντσα θεα δυϝνε σπεϝος ῆεροϝειδες,
μαϝομενη κεϝθμῶνας ανα σπεϝος· αϝταρ ͱοδυσσεϝς
ασσον παντ᾽ εφορεε, χρυσον, και ατειρεα χαλκον,
ϝεσματα θ᾽ ευ ποιητα, τα ͱοι φαιηκες εδῶκαν·
και τα μεν ͱευ κατεθῆκε· λιθον δ᾽ επεθῆκε θυρῇσιν.
τω δε καθεδσομενω ͱιερης παρα πυθμεν᾽ ελαιης,
φραδσεσθην μνῆστηρσιν ͱυπερφιαλοισιν ολεθρον.
τοισι δε μυϝθων ῆρχε θεα γλαϝκῶπις αθηνη·
διϝογενες λαϝερτιαδη, πολυμηχαν᾽ ͱοδυσσεϝ,
φραδσε᾽, ͱοπως μνῆστηρσιν αναιδεσι χειρας εφησῃς,

ͱοι δη τοι τριϝετες μεγαρον κατακοιρανεοντιν,
μνωμενοι αντιθεην ͱαλοχον, και εεδνα διδοντες·
ͱη δε σον αιϝει νοστον οδυϝρομενη κατα θυϝμον
παντας μεν ͱελπει, και ͱυφισχεται ανδρι ͱεκαστῳ,
αγγελιας προϊͱεντσα· νοος δε ͱοι αλλα μενοινᾳ.
  την δ᾽ απαμειβομενος προσεφη πολυμητις ͱοδυσσεϝς·
ω ποποι! η μαλα δη αγαμεμνονος ατρεϝιδαϝο
φθῖσεσθαι κακὸν οιτον ενι μεγαροισιν εμελλον,
ει μη μοι συ ͱεκαστα, θεα, κατα μοιραν εϝεσπες.
αλλ᾽ αγε, μητιν ͱυφῆνον, ͱοπως αποτιϝσομαι αϝτοϝς·
παρ δε μοι αϝτη στηθι, μενος πολυθαρσες ενͱεντσα,
ͱοιον ͱοτε τροϝιης λυϝομεν λιπαρα κρηδεμνα.
αι κε μοι ͱως μεμαϝυια παρασταιης, γλαϝκῶπι,
και κε τριηκοσιοισιν εγων ανδρεσι μαχοιμην,
γσυν σοι, ποτνια θεα, ͱοτε μοι προφρασσ᾽ επαρηγοις.
  τον δ᾽ ἦμειβετ᾽ επειτα θεα γλαϝκῶπις αθηνη·
και λιϝην τοι εγωγε παρεσσομαι, ουδε με ληθσεις,
ͱοποτε κεν δη ταϝτα πενωμεθα· και τιν᾽ οἴϝω
ͱαιματι τ᾽ ενκεφαλῳ τε παλακσεμεν ασπετον ουδας
ανδρων μνῆστηρων, ͱοι τοι βιϝοτον κατεδοντιν.
αλλ᾽ αγε, σ᾽ αγνῶστον τευχσω παντεσι βροτοισιν·
καρφσω μεν χροα καλον ενι γναμπτοισι μελεσσιν,
χσανθας δ᾽ εκ κεφαλης ολεσω τριχας, αμφι δε λαιφος
ϝεσσω, ͱο κεν στυγεητι ϝιδων ανθρωπος ͱεχοντα·
κνυδσῶσω δε τοι οσσε, παρος περικαλλε᾽ εοντε,
ͱως αν αϝεικελιος παντσι μνῆστηρσι φανειης,
σῇ θ᾽ αλοχῳ, και παιδι, τον εν μεγαροισιν ελειπες.
αϝτος δε πρῶτιστα συβῶτην εισαφικεσθαι,
ͱος τοι ͱυων επιουρος· ͱομως δε τοι ηπια ϝοιδεν,
παιδα τε σον φιλεει, και ͱεχεφρονα πηνελοπειαν.
δηεις τονγε συεσι παρͱημενον· ͱαι δε νεμονται
παρ κορακος πετρῃ, επι τε κρῆνῃ αρεθοντσῃ,
εσθοντσαι βαλανον μενοϝεικεα, και μελαν ͱυϝδωρ
πιϝνοντσαι, τα θ᾽ υεσι τρεφει τεθαλυιαν αλοιφην.
ενθα μενεεν, και παντα παρͱημενος εκσερεεσθαι,
ͱοφρ᾽ αν εγων ελθω σπαρτην ες καλλιγυναικα,
τηλεμαχον καλεοντσα, τεϝον φιλον ͱυιον, ͱοδυσσεϝ·
ͱος τοι ες ευρυχορον λακεδαιμονα παρ μενελαϝον
ῴχετο, πευθσομενος μετα σον κλεος, ἦν ποϝ ετ᾽ ειης.
  την δ᾽ απαμειβομενος προσεφη πολυμητις ͱοδυσσεϝς·
τιπτε τ᾽ αρ᾽ ου ͱοι εϝεσπες, ενι φρεσι παντα ϝιδυια;
η᾽ ͱινα ποο και κεινος αλῶμενος αλγεα πασχῃ
ποντον επ᾽ ατρυγετον, βιϝοτον δε ͱοι αλλοι εδωντιν;
  τον δ᾽ ἦμειβετ᾽ επειτα θεα γλαϝκῶπις αθηνη·
μη δη τοι κεινος γε λιϝην ενθυϝμιος εστω·
αϝτη μιν πομπεϝον, ͱινα κλεος εσθλον ͱαροιτο

κεισ᾽ ελθων· αταρ ουτιν᾽ ͱεχει πονον· αλλα ͱεκηλος  N
ͱησται εν ατρεFιδαFο δομοις, παρα δ᾽ ασπετα κειται.
η μεν μιν λοχαοντι νεFοι γσυν ναFι μελαινῃ,
ͱιͱεμενοι κτῆναι πριν πατριδα γαιαν ͱικεσθαι·
αλλα ταγ᾽ ουκ οἴFω, πριν και τινα γαια καθεχσει.
ͱως αρα μιν φαμενη Fραβδῳ επεμασσατ᾽ αθηνη·
καρφσε μεν ͱοι χροα καλον ενι γναμπτοισι μελεσσιν,
χσανθας δ᾽ εκ κεφαλης ολεσε τριχας, αμφι δε δερμα
παντεσιν μελεεσι παλαιοF εθῆκε γεροντος·
κνυδσῶσεν δε ͱοι οσσε, παρος περικαλλε᾽ εοντε·
αμφι δε μιν Fρακος αλλο κακον βαλεν, ηδε χιτωνα
Fρῶγαλεον, Fρυπαοντα, κακῳ μεμορυγμενα καπνῳ·
αμφι δε μιν μεγα δερμα ταχυιης Fεσσ᾽ ελαφοFο
πσιλον· εδῶκε δε ͱοι σκηπτρον και αFεικεα πηρην,
πυκνα Fρῶγαλεην· εν δε στροφος ῆεν αͱορτηρ.
τωγ᾽ ͱως βουλεFσαντε διετμαγον· ͱη μεν επειτα
εις λακεδαιμονα διFαν εβη μετα παιδ᾽ ͱοδυσεFος·
αFταρ ͱο γ᾽ εκ λιμενος προσεβη τρηχυιαν αταρπον,  Ξ
χῶρον αν᾽ ͱυλFῆεντα δι᾽ ακριας· ͱῃ ͱοι αθηνη
πεφραδε διFον ͱυφορβον, ͱος ͱοι βιFοτοFο μαλιστα
κηδετο Fοικεϝων, ͱοFς κτησατο διFος ͱοδυσσεFς.
τον δ᾽ αρ᾽ ενι προδομῳ ͱευρ᾽ ͱημενον, ενθα ͱοι αFλη
ͱυπσηλη δεδμῆτο, περισκεπτῳ ενι χῶρῳ,
καλη τε, μεγαλη τε, περιδρομος· ͱην ρα συβῶτης
αFτος δῆμαθ᾽ υεσιν, αποιχομενοFο Fανακτος,
νοσφιν δεσποινης, και λαFερταFο γεροντος,
Fρῦτοισιν λαFεσσι, και εθρινκωσεν αχερδῳ·
σταFροFς δ᾽ εκτος ελασσε διανπερες ενθα και ενθα,
πυκνοFς και θαμεας, το μελαν δρυος αμφικεασσανς·
εντοσθεν δ᾽ αFλης συφεοFς δυο και δεκ᾽ εποιεεν
πλησιον αλληλων, ευνας συσιν· εν δε ͱεκαστῳ
πεντηκοντα συες χαμαι ευναδες ͱερχαταοντο
θηλειαι τοκαδες· τοι δ᾽ αρσενες εκτος ͱιαFον,
πολλον παFροτεροι· τοFς γαρ μινυθεσκον εδοντες
αντιθεοι μνῆστηρες· επει προΐαλλε συβῶτης
αιFει δσατρεφεων σιFαλων τον αριστον ͱαπαντων·
ͱοι δε τριηκοσιοι τε και ͱεκσηκοντ᾽ επελοντο.
παρ δε κυνες, θηρεσι FεFοικοτες, εκτος ͱιαFον
τεσσαρες, ͱοFς ετρεφσε συβῶτης, ορχαμος ανδρων.
αFτος δ᾽ αμφι ποδεσιν ͱεFοισ᾽ αραρισκε πεδιλFα,
ταμνων δερμα βοFειον, ͱεϋχροες· ͱοι δε δη αλλοι
ῳχοντ᾽ αλλυδις αλλος, ͱαμ᾽ αγρομενοισι συεσιν
ͱοι τρεες· τον δε τεταρτον αποπροεͱῆκε πολινδε,
σῦν αγεμεν μνῆστηρσιν ͱυπερφιαλοισιν ανανκῃ,
ͱοφρ᾽ ͱιερεFσαντες κρεαων κορεσαιατο θυFμον.
εκσαπινης δ᾽ ͱοδυσεF᾽ εFιδον κυνες ͱυλακομῶροι·

ͱοι μεν κεκλῆγοντες επεδραμον· αϝταρ ͱοδυσσεϝς
ͱεδσετο κερδοσυνῇ· σκηπτρον δε ͱοι εκπεσε χειρος. Ξ
ενθα χ' εϝῷ παρ σταθμῷ αϝεικελιον παθεν αλγος,
αλλα συβῶτης ῶκα ποσι κραιπνοισι μεθεσπων
εσσυτ' ανα προθυρον· σκῦτος δε ͱοι εκπεσε χειρος.
τοϝς μεν ͱομοκλῆσανς σσεϝεν κυνας αλλυδις αλλῇ
πυκνῇσιν λιθαδεσιν· ͱο δε προσεϝεσπε ϝανακτα·
ω γερον, η' ολιγοο σε κυνες διεδηλησαντο
εκσαπινης· και κεν μοι ελενχειην κατεχεϝσας.
και δε μοι αλλα θεοι δοσαν αλγεα τε, στοναχας τε·
αντιθεοο γαρ ϝανακτος οδυϝρομενος και αχεϝων
ͱημαι, αλλοισιν δε συας σιϝαλοϝς ατιταλλω
εδμεναι· αϝταρ εκεινος εελδομενος ποϝ εδωδης
πλαδσετ' επ' αλλοθροων ανδρων δημον τε, πολιν τε,
ειποϝ ετι δσαϝει, και ͱορᾷ φαϝος ῆελιοϝο.
αλλ' ͱεπεο, κλισιηνδ' ιομεν, γερον, ͱοφρα και αϝτος
σῖτοϝο και ϝοινοϝο κορεσσαμενος κατα θυϝμον
ϝεσπῇς, ͱοποθεν εσσι, και ͱοποσα κηδε' ανετλῆς.
ͱως ϝεσπων, κλισιηνδ' ͱηγησατο διϝος ͱυφορβος·
ͱεσσεν δ' εισαγαγων, ρῶπας δ' ͱυπεχεϝσε δασυιας·
εστορεσεν δ' επι δερμα ϝιονθαδος αγριοϝ αιγος,
αϝτοϝ ενευναιον, μεγα και δασυ· χαιρε δ' ͱοδυσσεϝς,
ͱοτι μιν ͱως ͱυπεδεχτο· ϝεπος τ' εφατ', εκ τ' ονομαδσεν·
δσεϝς τοι δοιη, χσεινε, και αθανατοι θεοι αλλοι
ͱο τι μαλιστ' εθελεις, ͱοτι με προφρων ͱυπεδεχσο.
τον δ' απαμειβομενος προσεφης, ͱεϋμαιε συβῶτα·
χσειν', ου μοι θεμις εστ', ουδ' ει κακιων σεθεν ελθοι,
χσεινον ατιϝμῆσαι· προς γαρ διος εντιν ͱαπαντες
χσεινοι τε, πτῶχοι τε· δοσις δ' ολιγη τε φιλη τε
γιγνεται ͱημετερη· ͱη γαρ δμῶων δικη εστιν,
αιϝει δεδδιοτων, ͱοτ' επικρατεοντι ϝανακτες
ͱοι νεϝοι· η γαρ τοογε θεοι κατα νοστον εδησαν,
ͱος κεν εμ' ενδυκεως εφιλεε, και κτησιν οπασσεν,
ͱοια θ' εϝῷ ϝοικεϝι ϝανακς ͱεϋθυϝμος εδῶκεν,
ϝοικον τε, κλῆρον τε, πολυμνῆστην τε γυναικα,
ͱος ͱοι πολλα καμητι, θεος δ' επι ϝεργον αͱεχσῇ·
ͱως και εμοι τοδε ϝεργον αͱεχσεται, ͱῷ επι μιμνω.
τῷ κε με πολλ' ῶνησε ϝανακς, ει αϝτοθ' εγῆρα·
αλλ' ολεθ'· ως ῶφελλ' ͱελενης απο φυϝλον ολεσθαι!
και γαρ εκεινος εβη αγαμεμνονος ͱεινεκα τιϝμης
ϝιλϝιον εις ͱεϋπωλον, ͱινα τροϝεσι μαχοιτο.
ͱως ϝεσπων, δσωστηρι θοϝως γσυνεͱεργε χιτῶνα·
βη δ' ιμεν ες συφεοϝς, ͱοθι ϝεθνεα ͱερχατο χοιρων·
ενθεν ͱελων δυ' ενενκε, και αμφοτεροϝς ͱιερεϝσεν·
ͱεϝσε τε, μιστυλλεν τε, και αμφ' οβελοισιν επειρεν.
οπτῆσανς δ' αρα παντα φερων παρεθῆχ' οδυσεϝι,

θερμ' αϝτοισ' οβελοισιν· ͱο δ' αλφιτα λεϝκ' επαλυϝνεν· Ξ
εν δ' αρα κισσυβιῷ κιρνῇ μελιͱηδεα ϝοινον·
αϝτος δ' αντιον ͱιδσεν, εποτρυϝνων δε προσηυϝδα·
εσθιε νῦν, ω χσεινε, τα τε δμῶεσι παρεστιν,
χοιρε'· αταρ σιϝαλοϝς γε συας μνῆστηρες εδοντιν,
ουκ οπιδα φρονεοντες ενι φρεσιν, ουδ' ελεητυν.
ου μεν σχετλια ϝεργα θεοι μακαρες φιλεοντιν,
αλλα δικην τιϝοντι, και αισιμα ϝεργ' ανθρωπων.
και μεν δυσμενεες και ααρσιοι, ͱοιτ' επι γαιης
αλλοτριης βῶντιν, και σφιν δσεϝς λεϝιδα δῶῃ,
πλησαμενοι δε τε ναϝας εβαν ϝοικονδε ͱεκαστος·
και μεν τοισ' οπιδος κρατερον δδεος εν φρεσι πιπτει·
ͱοιδε δε και τι ϝισαντι, θεοο δε τιν' εκλυϝον αυϝδην,
κεινοϝο λυγρον ολεθρον, ͱοτ' ουκ εθελοντι δικαιως
μνᾶσθαι, ουδε νεεσθαι επι σφετερ'· αλλα ͱεκηλοι
κτηματα δαρδαπτοντιν ͱυπερβιον, ουδ' επι φειδω.
ͱοσαι γαρ νυκτες τε, και ͱημεραι εκ διος εντιν,
ου ποθ' εν ͱιερεϝονθ' ιερεϝιον, ουδε δυ' οιω·
ϝοινον δε φθινυθοντιν ͱυπερβιον εκσαφυϝοντες.
η γαρ ͱοι δσαϝη γ' ἦν ασπετος· ου τινι τοση
ανδρων ͱηροϝων, ουτ' ηπειροϝο μελαινης,
ουτ' αϝτης ιθακης, ουτε γσυνϝεικοσι φῶτων
εσθ' αφενος τοσοϝτον· εγω δε κε τοι καταλεγσω·
δῶδεκ' εν ηπειρῷ αγελαι, τοσα πῶυϝα μηλων,
τοσα συων συβοσεια, τοσ' αιπολια πλατε' αιγων
βοσκοντι χσεινοι τε, και αϝτοϝο βῶτορες ανδρες.
ενθα δε τ' αιπολια πλατε' αιγων ͱενδεκα παντα
εσχατιῇ βοσκοντ'· επι δ' ανερες εσθλοι ͱορῶνται.
των αιϝει σφιν ͱεκαστος εφ' ηματι μηλον αγινεῖ,
δσατρεφεων αιγων, ͱοστις φαινηται αριστος.
αϝταρ εγω συας τασδε φυλασσω τε, ρυϝομαι τε,
και σφι συων τον αριστον ͱεῢ κρῖνανς αποπεμπω.
ͱως φαθ'· ο δ' ενδυκεως κρεα' ησθιε, πιϝνε τε ϝοινον
ͱαρπαλεως, ακεων· κακα δε μνῆστηρσ' εφυτεϝεν.
αϝταρ επει δειπνησε, και ἦραρε θυϝμον εδῶδῃ,
και ͱοι πλησαμενος δῶκε σκυφος, ͱῷπερ επιϝνεν,
ϝοινοϝ ενιπλεεον· ͱο δ' εδεχσατ', εχαιρε δε θυϝμῷ,
και μιν φῶνησανς ϝεπεα πτεροεντα προσηυϝδα·
ω φιλε, τις γαρ σ' επριατο κτεατεσιν ͱεϝοισιν,
ͱῶδε μαλ' ͱαφνειος και καρτερος, ͱως αγορεϝεις;
φης δ' αϝτον φθῖσθαι αγαμεμνονος ͱεινεκα τιϝμης.
ϝεσπε μοι, αι κε ποθι γνῶω τοιοϝτον εοντα.
δσεϝς γαρ ποο τογε ϝοιδε, και αθανατοι θεοι αλλοι,
ει κε μιν ανγῆλαιμι ϝιδων· επι πολλα δ' αλῆθην.
τον δ' ἦμειβετ' επειτα συβῶτης, ορχαμος ανδρων·
ω γερον, ου τις εκεινον ανηρ αλαλῆμενος ελθων

ανγελλων πειθσειε γυναικα τε και φιλον ͱυιον. Ξ
αλλ' αλλως κομιδης κεχρῆμενοι ανδρες αλῆται
πσευδοντ', ουδ' εθελοντιν αληθεα μυϝθησασθαι.
ͱος δε κ' αλῆτεϝων ιθακης ες δημον ͱικηται,
ελθων ες δεσποιναν εμην απατηλια βαδσει·
ͱη δ' ͱεῢ δεχσαμενη φιλεει, και ͱεκαστα μεταλλᾶ·
και ͱοι οδυϝρομενῃ βλεφαρων απο δακρυϝα πιπτει,
ͱῂ θεμις εστι γυναικος, επῆν ποσις αλλοθ' οληται.
αιπσα κε και συ, γεραϝε, ϝεπος παρατεχτῆναιο,
ει τις τοι χλαιναν τε, χιτῶνα τε, ϝεσματα δοιη.
τοο δ' ηδη μελλοντι κυνες ταχυες τ' οἰϝωνοι
ϝρῖνον απ' οστεοφιν ϝερυσαι· πσυϝχη δε λελοιπεν·
η τονγ' εν ποντῳ φαγον ͱιχθυες, οστεα δ' αϝτοο
κειται επ' ηπειροο, πσαμαθῳ ϝελϝῦμενα πολλῃ.
ͱως ͱο μεν ενθ' απολῶλε· φιλοισι δε κηδε' οπισσῳ
παντσιν, εμοι δε μαλιστα, τετευχαται· ου γαρ ετ' αλλον
ηπιον ͱῶδε ϝανακτα κιχησομαι, ͱοποσ' επελθω·
ουδ' ει κεν πατερος και μητερος αϝτις ͱικωμαι
ϝοικον, ͱοθι πρῶτον γενομην, και μ' ετρεφον αϝτοι.
ουδε νυ των ετι τοσον οδυϝρομαι, αχνυμενος περ,
οφθαλμοισι ϝιδεσθαι, εων εν πατριδι γαιῃ·
αλλα μ' ͱοδυσσεϝος ποθος αινυται οιχομενοϝο.
τον μεν εγων, ω χσεινε, και ου παρεοντ' ονομαδσεεν
αιδεομαι· περι γαρ μ' εφιλεε και εκηδετο θυϝμῳ·
αλλα μιν ηθειον καλεω, και νοσφιν εοντα.
τον δ' αϝτε προσεϝεσπε πολυτλᾶνς διϝος ͱοδυσσεϝς·
ω φιλ', επειδη πανπαν ααινεαι, ουδε τι φησθα
κεινον ελευθσεσθαι, θυϝμος δε τοι αιϝεν απιθτος·
αλλ' εγω ουκ αϝτως μυϝθησομαι, αλλα συν ͱορκῳ,
ϝως νεεται ͱοδυσεϝς· ͱεῢανγελιον δε μοι εστω,
αϝτικ', επει κεν κεινος ιων ͱεϝα δωμαθ' ικηται·
πριν δε κε, και μαλα περ κεχρημενος, ουτι δεχοιμην.
ϝιδστω νῦν δσεϝς πρῶτα θεων, χσενιη τε τραπεδσα,
ͱεστιϝη θ' οδυσεϝος αμυϝμονος, ͱην αφικανω,
η μεν τοι ταδε παντα τελεϝεται, ͱως αγορεϝω·
τοο δ' αϝτοο λυκαβαντος ελευθσεται ενθαδ' ͱοδυσσεϝς·
τοο μεν φθινοντος μηνος, τοο δ' ͱισταμενοϝο,
ϝοικαδε νοστησει, και τιϝσεται, ͱοστις εκεινοο
ενθαδ' ατιϝμαδσει ͱαλοχον, και φαιδιμον ͱυιον.
τον δ' απαμειβομενος προσεφης, ͱεῢμαιε συβῶτα·
ω γερον, ουτ' αρ' εγων ͱεῢανγελιον τοδε τιϝσω,
ουθ' οδυσεϝς ετι ϝοικον ελευθσεται· αλλα ͱεκηλος
πιϝνε, και αλλα παρεκς μεμνωμεθα, μηδε με τοϝτων
μιμνησκ'· η γαρ θυϝμον ενι στηθεσσιν εμοισιν
αχνυμαι, ͱοποτε τις μνῆσῃ κεδνοϝο ϝανακτος.
αλλ' ητοι ͱορκον μεν εϝᾶσομεν· αϝταρ ͱοδυσσεϝς

ελθοι, ϝοπως μιν εγωγ᾽ εθελω, και πηνελοπεια, Ξ
λαϝερτης θ᾽ ο γερων, και τηλεμαχος θεοϝειδης.
νῦν αϝ παιδος αλαστον οδυϝρομαι, ϝον τεχ᾽ οδυσσεϝς,
τηλεμαχοο· τον επει τρεφσαν θεοι, ερνεϊ ϝεισϝον,
και μιν εφην εσσεσθαι εν ανδρεσιν ουτι χερειῶ
πατρος ϝεϝοϝο φιλοϝο, φρενας και ϝειδος αγῆτον·
τοο δε τις αθανατων βλαπτσε φρενας ενδον ϝεϊσϝας,
ηε τις ανθρωπων· ϝο δ᾽ εβη, μετα πατρος ακοϝην,
ες πυλον αγαθεην· τον δε μνῆστηρες αγαϝοι
ϝοικαδ᾽ ιοντα λοχῶντιν, ϝοπως απο φυϝλον οληται
νωνυμον εκς ιθακης αρκεισιοϝ αντιθεοϝο.
αλλ᾽ ητοι κεινον μεν εϝᾶσομεν, η κεν ϝαλῷῃ,
η κε φυγοι, και κεν ϝοι ϝυπερσχοι χειρα κρονιϝων.
αλλ᾽ αγε μοι συ, γεραϝε, σεϝ αϝτοϝο κηδε᾽ ενισπε,
και μοι τοϝτ᾽ αγορεϝσον ϝετητυμον, ϝοφρ᾽ ϝεῢ ϝειδω·
τις; ποθεν εσσ᾽ ανδρων; ποθι τοι πολις, ηδε τοκεϝες;
ϝοποιης δ᾽ επι ναϝος αφικεο; πως δε σε ναϝται
ἦγαγον ες ιθακην; τινες εσμεναι ευχεταοντο;
ου μεν γαρ τι σε πεδσον οϊϝομαι ενθαδ᾽ ϝικεσθαι.
τον δ᾽ απαμειβομενος προσεφη πολυμητις ϝοδυσσεϝς·
τοιγαρ εγω τοι ταϝτα μαλ᾽ ατρεκεως αγορεϝσω.
ειη μεν νῦν νοϝιν επι χρονον ημεν εδῶδη,
ηδε μεθυ γλυκερον, κλισιης εντοσθεν εοντσιν,
δαινῦσθαι τ᾽ ακεοντ᾽, αλλοι δ᾽ επι ϝεργα ϝεποιεν,
ρεϝιδιως κεν επειτα και εις ενιαϝτον ϝαπαντα
ουτι διαπρῆκσαιμι, λεγων εμα κηδεα θυϝμοο,
ϝοσα γε δη γσυνπαντα θεων ϝιϝοτητι μογησα.
εκ μεν κρηταϝων γενος ευχομαι ευρυιαϝων,
ανερος ϝαφνειοϝο παϊς· πολλοι δε και αλλοι
ϝυιες εν μεγαροισ᾽ ημεν τραφεν, ηδ᾽ εγενοντο,
γνησιοι εκς ϝαλοχοϝ· εμε δ᾽ ὦνητη τεκε μητηρ
παλλακις, αλλα με ϝεισϝον ιθαγενεεσιν ετιϝμα
καστωρ ϝυλϝακιδης, τοϝ᾽ εγω γενος ευχομαι εεναι·
ϝος ποτ᾽ ενι κρητεσι, θεος ϝως, τιϝετο δημῷ,
ολβῷ τε, πλουτῷ τε, και ϝυιεσι κυϝδαλιμοισιν.
αλλ᾽ ητοι τον κηρες εβαν θανατοϝο φεροντσαι
εις αϝιδαϝο δομοϝς· τοι δε δσαϝην εδασαντο
παιδες ϝυπερθυϝμοι, και επι κλῆροϝς εβαλοντο·
αϝταρ εμοι μαλα παϝρ᾽ εδοσαν, και ϝοικι᾽ ενῆμαν·
ἦγαγομην δε γυναικα πολυκλῆρων ανθρωπων,
ϝεινεκ᾽ εμης αρετης· επει ουκ αποφῶλιος ἦα,
ουδε φυγοπτολεμος· νῦν δ᾽ ηδη παντα λελοιπεν·
αλλ᾽ ενπης καλαμην γε σ᾽ οϊϝομαι εισϝοραοντα
γιγνωσκεεν· η γαρ με δυϝη ϝεχει ηλιθα πολλη.
η μεν δη θαρσος μοι αρεϝς τ᾽ εδοσαν και αθηνη,
και ϝρῆγσῆνοριην· ϝοποτε κρῖνοιμι λοχονδε

ανδρας αριστεϝας, κακα δυσμενεεσι φυτεϝων, Ξ
ου ποτε μοι θανατον προτιϝοσσετο θυϝμος αγῆνωρ,
αλλα πολυ πρῶτιστος εφαλμενος ενχει ͱελεσκον 220
ανδρων δυσμενεων, ͱος μοι ϝεικσειε ποδεσιν.
τοιος ε' εν πολεμῷ· ϝεργον δε μοι ου φιλον εσκεν, 222
αλλα μοι αιϝει ναϝες επῆρετμοι φιλοι ῆσαν, 224
και πολεμοι, και ακοντες εΰχσεστοι, και οϊστοι, 225
λυγρα, τα τ' αλλοισιν γε καταρῖγηλα πελονται. 226
πριν μεν γαρ τροϝιης επιβημεναι ͱυιας αχαιϝων, 229
ͱεννακις ανδρεσιν ῆρχσα, και ῶκυποροισι ναϝεσιν, 230
ανδρας ες αλλοδαποϝς· και μοι μαλ' ετυνχανε παντα·
των εκσͱαιρεομην μενοϝεικεα, πολλα δ' οπισσῷ
λανχανον· αιπσα δε ϝοικος οφελλετο, και δη επειτα
δδεινος τ', αιδοιος τε, μετα κρητεσ' ετετυχμην,
αλλ' ͱοτε δη τηνδε στυγερην ͱοδον ευρυοπα δσεϝς 235
εφρασαθ', η πολλων ανδρων ͱυπο γονϝατ' ελυϝσεν,
δη τοτε μ' ῆνωγον και αγακλυτον ιδομενεϝα
ναϝεσιν ͱηγησασθαι ες ϝιλϝιον· ουδε τι μηχος
ῆεν αῆνασθαι, χαλεπη δ' ͱεχε δημοϝο φημις.
ενθα μεν ͱενναϝετες πολεμιδσομεν ͱυιες αχαιϝων, 240
τῷ δεκατῷ δε πολιν πριαμοο περθσαντες εβημεν
ϝοικαδε συν ναϝεσι· θεος δ' εκεδασσεν αχαιϝοϝς.
αϝταρ εμοι δδειλῷ κακ' εμηδετο μητιετα δσεϝς·
μηνα γαρ οιον εμῆνα τεταρπομενος τεκεεσιν,
κοϝριδιῇ θ' αλοχῷ, και κτημασιν· αϝταρ επειτα 245
αιγυπτονδε με θυϝμος ανωγεν ναϝτιλλεσθαι,
ναϝας ͱεΰ στῆλαντα συν αντιθεοισ' ͱεταροισιν.
ͱεννεα ναϝας στῆλα, θοϝως δ' εσαγῆρατο λαϝος.
ͱεκσͱημαρ μεν επειτα εμοι περιῆρες ͱεταιροι
δαινῦντ'· αϝταρ εγων ͱιερεϝια πολλα παρεσχον 250
ͱεβδοματῇ δ' αναβαντες απο κρητης ευρυιης 252
επλεϝομεν βορεῇ ανεμῷ ακραͱεϝι, καλῷ,
ρεϝιδιως, ͱως ει τε κατα ροϝον· ουδε τις ῶν μοι
ναϝων πημανθη, αλλ' ασκηθεες και ανουσοι 255
ͱημεθα· τας δ' ανεμος τε, κυβερνῆται τ' ιθυϝνον.
πεμπταιοι δ' αιγυπτον ͱεϋρεϝτην ͱικομεσθα·
στησα δ' εν αιγυπτῷ ποταμῷ ναϝας αμφιϝελισσας.
ενθ' ητοι μεν εγω κελομην εριῆρας ͱεταιροϝς
αϝτοϝο παρ ναϝεσι μενεεν, ναϝας τε ρυϝεσθαι· 260
οπτηρας δε κατα σκοπιας ῶτρῦϝνα νεεσθαι·
ͱοι δ' ͱυβριι ϝεικσαντες, εφεσπομενοι μενεϊ σφῷ,
αιπσα μαλ' αιγυπτιων ανδρων περικαλλεας αγροϝς
πορθεον, εκ δε γυναικας αγον, και νηπια τεκνα,
αϝτοϝς τ' εκτεινον· ταχα δ' ες πολιν ͱικετ' αΰϝτη· 265
ͱοι δε, βοης αϝιοντες, ͱαμ' ῆοϊ φαινομενηφιν
ηλθον· πλητο δε παν πεδιον πεδσων τε και ͱιππων,

χαλκοϝο τ᾽ αστεροπης· εν δε δσεϝς τερπικεραυνος
φυδσαν εμοισ᾽ ͱεταροισι κακην εβαλ᾽, ουδε τις ετλῆ
μῆναι εναντιβιον· περι γαρ κακα παντοθεν εστη.
  ενθ᾽ ͱημεων πολλοϝς μεν απεκτανον ͱοκσυϊ χαλκῷ,
τοϝς δ᾽ αγαγον δσαϝοϝς, σφισι ϝεργαδσεσθαι αναγκῃ.
αϝταρ εμοι δσεϝς αϝτος ενι φρεσι τοϝτο νοημα
ποιησ᾽·—ͱως οφελον θανεεεν, και ποτμον εφεσπεεν
αϝτοϝ εν αιγυπτῷ· ετι γαρ νυ με πημ᾽ ͱυπεδεχτο·—
αϝτικ᾽ απο κρᾶτος κυνεην ͱεΰτυχτον εθῆκα,
και σακος ωμοιϊν· δορυ δ᾽ εκβαλον εκτοσε χειρος·
αϝταρ εγω βασιλεϝος εναντιον ηλυθον ͱιππων,
και κυσα γονϝαθ᾽ ελων· ͱο δ᾽ ερυϝσατο, και μ᾽ ελεησεν·
ες διφρον δε μ᾽ ͱεσανς αγε ϝοικαδε δακρυχεϝοντα.
η μεν μοι μαλα πολλοι επῆͱισσον μελιῃσιν,
ͱιͱεμενοι κτῆναι·—δη γαρ κεχολῶατο λιϝην·—
αλλ᾽ απο κεινος ερυκε· διος δ᾽ ῶπιδσετο μηνιν.
  ενθα μεν ͱεπταϝετες μενον αϝτοθι, πολλα δ᾽ αγῆρα
χρηματ᾽ αν᾽ αιγυπτιοϝς ανδρας· διδοσαν γαρ ͱαπαντες.
αλλ᾽ ͱοτε δη ͱογδοον μοι επιπλομενον ϝετος ηλθεν,
δη τοτε φοινικς ηλθεν ανηρ, απατηλια ϝειδως,
τρῶκτης, ͱος δη πολλα κακ᾽ ανθρωποισ᾽ εϝεϝοργεεν·
ͱος μ᾽ αγε παρπεπιθων ͱῇσι φρεσιν, ͱοφρ᾽ ͱικομεσθα
φοινῖκην, ͱοθι τοογε δομοι και κτηματ᾽ εκειτο.
  ενθα παρ᾽ αϝτῷ εμῆνα τελεσφορον εις ενιαϝτον·
αλλ᾽ ͱοτε δη μηνες τε, και ͱημεραι εκσετελεοντο,
αψ περιτελλομενοο ϝετεος, και επηλυθον ͱωραι,
ες λιβυην μ᾽ επι ναϝος εͱεσσατο ποντοποροϝο,
ψευδεα βουλεϝσανς, ͱινα ͱοι γσυν φορτον αγοιμι·
κειθι δε μ᾽ ͱως περασειε, και ασπετον ῶνον ͱαροιτο.
τῷ ͱεπομην επι ναϝος, οϊϝομενος περ, αναγκῃ.
ͱη δ᾽ εθεϝεν βορεῃ ανεμῷ ακραͱεϝι, καλῷ,
μεσσον ͱυπερ κρητης· δσεϝς δε σφισ᾽ εμηδετ᾽ ολεθρον.
αλλ᾽ ͱοτε δη κρητην μεν ελειπομεν, ουδε τις αλλη
φαινετο γαιαϝων, αλλ᾽ ουρανος ηδε θαλασσα,
δη τοτε κυϝανεην νεφελην εστησε κρονιϝων
ναϝος ͱυπερ γλαφυρης· ῆχλυϝσε δε ποντος ͱυπ᾽ αϝτης.
δσεϝς δ᾽ ͱαμυδις βροντῆσε, και ενβαλε ναϝι κεραυνον·
ͱη δ᾽ ελελιχθη παντσα, διος πληγεντσα κεραυνῷ,
εν δε θεειϝοο πλητ᾽· επεσον δ᾽ εκ ναϝος ͱαπαντες.
ͱοι δε κορωνῇσιν ϝικελοι περι ναϝα μελαιναν
κυϝμασιν ενφορεοντο· θεος δ᾽ αποαινυτο νοστον.
αϝταρ εμοι δσεϝς αϝτος, ͱεχοντι περ αλγεα θυϝμῷ,
ͱιστον αμαιμακετον ναϝος κυϝανοπρῶροϝο
εν χειρεσιν εθῆκεν, ͱοπως ετι πημα φυγοιμι.
τῷ ρα περιπλεχθενς φερομην ολοϝοισ᾽ ανεμοισιν·
ͱεννͱημαρ φερομην, δεκατῃ δε με νυκτι μελαινῃ

γαιῃ̄ θεσπρωτων πελασεν μεγα κυϝμα κυλινδον.
  ενθα με θεσπρωτων βασιλεϝς εκομισσατο φειδων Ξ
ͱηρως απϱιατην· τοϝο γαρ φιλος ͱυιος επελθων
αιθρῳ̄ και καματῳ̄ δεδμηῆμενον ἦγεν ες ϝοικον,
χειϱος αναστησανς, ͱοφρ' ͱικετο δῶματα πατρος·
αμφι δε με χλαιναν τε, χιτῶνα τε, ϝεσματ' εϝεσσεν.
ενθ' ͱοδυσεϝος εγω πυθομην· κεινος γαρ εφᾶσκεν
χσεινισαι, ηδε φιλησαι, ιοντ' ες πατριδα γαιαν·
και μοι κτηματ' εδειχσεν, ͱοσα γσυναγῆραθ' οδυσσεϝς,
χαλκον τε, χρυσον τε, πολυκμῆτον τε σιδηρον.
και νυ κεν ες δεκατην γενεην ͱετερον γ' ετι βοσκοι·
τοσα ͱοι εν μεγαροις κειμηλι' εκειτο ϝανακτος.
τον δ' ες δωδωνην φατο βημεναι, ͱοφϱα θεοϝο
εκ δρυος ͱυπσικομοϝο διος βουλην επακοϝσῃ̄,
ͱοπως νοστησῃ̄ ιθακης ες πιϝονα δημον,
ηδη δην απεων, ἠ' ανφαδον, ηε κρυφηδον.
ὤμοσε δε προς εμ' αϝτον, εποσπενδων ενι ϝοικῳ̄,
ναϝα καταϝεϝερυσθαι, επαρτεας τ' εσμεν' ͱεταιροϝς,
ͱοι δη μιν πεμπσωντι φιλην ες πατριδα γαιαν.
αλλ' εμε πριν απεπεμπσ'· ετυχησε γαϱ ερχομενη ναϝς
ανδρων θεσπρωτων ες δουλιχιον πολυπυϝρον.
  ενθ' ͱογε μ' ἦνωγεν πεμπσαι βασιλεϝι ακαστῳ̄
ενδυκεως· τοισιν δε κακη φρεσ' εϝανδανε βουλη
αμφ' εμοι, ͱοφρ' ετι πανχυ δυϝης επι πημα γενοιμην.
αλλ' ͱοτε γαιης πολλον απεπλω̄ ποντοπορος ναϝς,
αϝτικα δουλιον ͱημαρ εμοι περιμηχαναοντο·
εκ μεν με χλαιναν τε, χιτῶνα τε, ϝεσματ' εδυϝσαν,
αμφι δε μοι ϝρακος αλλο κακον βαλον, ηδε χιτῶνα
ϝρῶγαλεον, τα και αϝτος εν οφθαλμοισιν ͱορῆαι.
ϝεσπεριοι δ' ιθακης ͱεϋδεϝελα ϝεργ' αφικοντο·
ενθ' εμε μεν κατεδησαν ͱεϋσελμῳ̄ ενι ναϝι
ͱοπλῳ̄ ͱεϋστρεφεϊ στερεως· αϝτοι δ' αποβαντες
εσσυμενως παρα θῖνα θαλασσης δορπον ͱελοντο.
αϝταρ εμοι δεσμον μεν ανεγναμπτσαν θεοι αϝτοι
ρεϝιδιως· κεφαλῃ̄ δε κατα ϝρακος αμφικαλυπτσανς,
χσεστον εφολκαιον καταβανς, επελασσα θαλασσῃ̄
στηθος· επειτα δε χερσι διηρεσσ' αμφοτεϱῇσιν
νηχομενος, μαλα δ' ὦκα θυρηθεν ε' αμφις εκεινων.
ενθ' αναβανς, ͱοθι τε δρυμον ἦν πολυανθεος ͱυλϝης,
κειμην πεπτῆως· ͱοι δε μεγαλα στοναχοντες
φοιταον· αλλ',—ου γαρ σφιν εφαινετο κερδιον εεναι
μαϝεσθαι προτερῳ̄,—τοι μεν παλιν αϝτις εβαινον
ναϝος επι γλαφυρης· εμε δ' εκρυπτσαν θεοι αϝτοι
ρεϝιδιως, και με σταθμῳ̄ επελασσαν αγοντες
ανδρος επισταμενοϝ· ετι γαρ νυ μοι αισα βιϝῶναι.
  τον δ' απαμειβομενος προσεφης, ͱεϋμαιε συβῶτα·

ϝαι δδειλε χσεινων, η μοι μαλα θυϝμον ορῖνας,
ταϝτα ͱεκαστα λεγων, ͱοσα δη παθες, ηδ' ͱοσ' αλῆθης.
αλλα ταδ' ου κατα κοσμον οἴϝομαι, ουδε με πειθσεις,
ϝεσπων αμφ' ͱοδυσεϝι· τι σε χρη τοιον εοντα
μαπσιδιως πσευδεσθαι; εγω δ' ͱεῢ ϝοιδα και αϝτος
νοστον εμοϝο ϝανακτος, ͱοτ' ηχθετο παντσι θεοισιν
πανχυ μαλ', ͱοτι μιν ουτι μετα τροϝεσ' εδαμασσαν,
ηε φιλων εν χερσιν, επει πολεμον τολυπεϝσεν.
τῷ κεν ͱοι τυμβον μεν εποιησαν παναχαιϝοι,
ηδε κε και ͱῷ παιδι μεγα κλεος ͱῆρατ' οπισσῶ·
νῦν δε μιν ακλειως ͱαρπυιαι ανῆρειπτσαντο.
αϝταρ εγω παρ' ͱυεσιν αποτροπος· ουδε πολινδε
ερχομαι, ει μη ποο τι περιφρων πηνελοπεια
ελθεμεν οτρυϝνητιν, ͱοτ' ανγελιη ποθεν ελθῃ.
αλλ' ͱοι μεν τα ͱεκαστα παρϝημενοι εκσερεοντιν,
ημεν ͱοι αχνῦνται δην οιχομενοϝο ϝανακτος,
ηδ' ͱοι χαιροντιν βιϝοτον νηποινον εδοντες.
αλλ' εμοι ου φιλον εστι μεταλλῆσαι, και ερεσθαι,
εκς ͱοϝο δη μ' αιτωλος ανηρ εκσῆπαφε μυϝθῷ,
ͱος ρ' ανδρα κτῆνανς, πολλην επι γαιαν αλῆθενς,
ηλυθ' εμον προς σταθμον· εγω δε μιν αμφαγαπαδσον.
φη δε μιν εν κρητεσι παρ' ιδομενεϝι ϝιδεσθαι
ναϝας ακῆαμενον, τας ͱοι γσυνεϝανγσαν αϝελλαι·
και φατ' ελευθσεσθαι, η' ες θερος, η' ες οπωρην,
πολλα χρηματ' αγοντα, συν αντιθεοισ' ͱεταροισιν.
και συ, γερον πολυπενθες, επει σε μοι ῆγαγε δαιμων,
μητε τι μοι πσευδεσσι χαριδσεο, μητε τι θελγε·
ου γαρ τοονεκ' εγω σ' αιδεσσομαι, ουδε φιλησω.
τον δ' απαμειβομενος προσεφη πολυμητις ͱοδυσσεϝς·
η μαλα τις τοι θυϝμος ενι στηθεσσιν απιθτος,
ͱοιον σ' ουδ' ομοσανς περ επῆγαγον, ουδε σε πειθω.
αλλ' αγε νῦν ϝρῆτρην ποιησομεθ'· αϝταρ οπισθεν
μαρτυροι αμφοτεροισι θεοι, τοι ολυνπον ͱεχοντιν·
ει μεν κεν νοστητι ϝανακς τεϝος ες τοδε δῶμα,
ϝεσσανς με χλαιναν τε, χιτῶνα τε, ϝεσματα, πεμπσαι
δούλιχιονδ' ιμεναι, ͱοθι μοι φιλον επλετο θυϝμῷ·
ει δε κε μη ελθητι ϝανακς τεϝος, ͱως αγορεϝω,
δμῶας επισσεϝσανς, βαλεεεν μεγαλης κατα πετρης,
ͱοφρα και αλλος πτῶχος αλεϝσεται ηπεροπεϝεεν.
τον δ' απαμειβομενος προσεφῶνεε διϝος ͱυφορβος·
χσειν', ͱοϝτῷ γαρ κεν μοι ͱεῢκλειη τ' αρετη τε
ειη επ' ανθρωποϝς ͱαμα τ' αϝτικα, και μετεπειτα,
ͱος σ' επει ες κλισιην αγαγον, και χσεινι' εδῶκα,
αϝτις δε κτῆναιμι, φιλον δ' απο θυϝμον ͱελοιμην·
προφρων δη κεν επειτα δια κρονιϝωνα λιτοιμην.
νῦν δ' ͱωρη δορποϝο· ταχιστα μοι ενδον ͱεταιροι

ειεν, ͱιν' εν κλισιῃ λαϝρον τετυχοιμεθα δορπον. Ξ
ͱως ͱοι μεν τοιαϝτα προς αλληλοϝς αγορεϝον.
ανχιμολον δε συες τε και ανερες ηλθον ͱυφορβοι·
τας μεν αρ' εͱεργσαν κατα ϝηθεα κοιμηθηναι·
κλανγη δ' ασπετος ὦρτο συων αϝλιδσομεναϝων.
αϝταρ ͱο ͱοισ' ͱεταροισιν εκεκλετο διϝος ͱυφορβος·
αγσεθ' υων τον αριστον, ͱινα χσεινῳ ͱιερεϝσω
τηλεδαπῳ· προς δ' αϝτοι ονησομεθ', ͱοιπερ οϊδσυν
δην ͱεχομεν, πασχοντες ͱυων ͱενεκ' αργιοδοντων·
αλλοι δ' ͱημετερον καματον νηποινον εδοντιν.
ͱως αρα φωνησανς κεασε χσυλα νηλεϊ χαλκῳ·
ͱοι δ' ͱυν εισηγον μαλα πιϝονα πενταϝετηρον·
τον μεν επειτ' εστησαν επ' εσχαρῃ· ουδε συβωτης
ληθετ' αρ' αθανατων, φρεσι γαρ κεχρητ' αγαθῃσιν,
αλλ' ͱογ' απαρχομενος κεφαλης τριχας εν πυρ' εβαλλεν
αργιοδοντος ͱυος, και επευχετο παντσι θεοισιν,
νοστησαι ͱοδυσεϝα πολυφρον' ͱεϝονδε δομονδε.
κοπτσε δ' ανασχομενος σχιδσῃ δρυος, ͱην λιπε κεαων·
τον δ' ελιπε πσυϝχη· τοι δ' εσφαγσαν τε και ͱεϝσαν·
αιπσα δε μιν διεχεϝσαν· ͱο δ' ωμοθετεετο συβωτης,
παντοθεν αρχομενος μελεων, ες πιϝονα δημον·
και τα μεν εν πυρ' εβαλλε, παλυϝνανς αλφιτοϝ ακτῃ,
μιστυλλον τ' αρα τ' αλλα, και αμφ' οβελοισιν επηραν,
ωπτησαν τε περιφραδεως, ϝερυσαντο τε παντα.
ͱη δ' εις ευρυχορον λακεδαιμονα παλλας αθηνη Ο
ὠχεθ', οδυσσεϝος μεγαθυϝμοϝο φαιδιμον ͱυιον
νοστοϝ ͱυπομνησοντσα, και οτρυνεοντσα νεεσθαι.
ͱευρε δε τηλεμαχον και νεστορος αγλαϝον ͱυιον
ͱευδοντ' εν προδομῳ μενελαϝοϝο κυϝδαλιμοϝο·
ητοι νεστοριδην μαλακῳ δεδμημενον ͱυπνῳ·
τηλεμαχον δ' ουχ υπνος ͱεχε γλυκυς, αλλ' ενι θυϝμῳ
νυκτα δι' ανβροσιην μελεδηματα πατρος εγειρεν.
ανχοϝο δ' ͱισταμενη προσεφη γλαϝκωπις αθηνη·
τηλεμαχ', ουκ ετι καλα δομων απο δην αλαλησαι,
κτηματα τε προλιπων, ανδρας τ' εν σοισι δομοισιν
ͱοϝτῳ ͱυπερφιαλοϝς· μη τοι κατα παντα φαγωντιν,
κτηματα δασσαμενοι, συ δε τηϋσιην ͱοδον ελθῃς.
αλλ' οτρυϝνε ταχιστα βοην αγαθον μενελαϝον
πεμπεμεν, ͱοφρ' ετι ϝοικοι αμυϝμονα μητερα τετμῃς·
ηδη γαρ ρα πατηρ τε κασιγνητοι τε κελονται
ευρυμαχῳ γημασθαι· ͱο γαρ περιβαλλει ͱαπαντας
μνηστηρας δωροισι, και εκσωφελλεν εεδνα·
μη νυ τι, σεϝ αͱεκητι, δομων εκ κτημα φερηται.
ϝοιδσθα γαρ ͱοιος θυϝμος ενι στηθεσσι γυναικος·
κεινοϝο ϝοικον βουλετ' οφελλεμεν, ͱος κεν οπυιοι,
παιδων δε προτερων και κοϝριδιοϝο φιλοϝο

ουκ ετι μεμνῆται τεθνῆοτος, ουδε μεταλλᾷ.
αλλα συγ' ελθων αϝτος επιτρεπσειας ͱεκαστα
δμῳαϝων, ͱητις τοι αριστη φαινεται εεναι,
εις ͱο κε τοι φῆνωντι θεοι κυδρην παρακοιτιν.
αλλο δε τοι γε ϝεπος ϝερεω, συ δε συνθεο θυϝμῳ·
μνῆστηρων σ' επιτηδες αριστεϝες λοχαοντιν
εν πορθμῳ ιθακης τε, σαμοϝο τε παιπαλοεντσης,
ͱιͱεμενοι κτῆναι, πριν πατριδα γαιαν ͱικεσθαι.
αλλα ͱεκας νησων αφεχεεν ͱεϋϝεργεα ναϝα,
νυκτι δ' ͱομως πλεϝεμεν· πεμπσει δε τοι ουρον οπισθεν
αθανατων, ͱοστις σε φυλασσει τε ρυϝεται τε.
αϝταρ επῆν πρῳτην ακτην ιθακης αφικηαι,
ναϝα μεν ες πολιν οτρῦϝναι και παντας ͱεταιροϝς·
αϝτος δε πρῳτιστα συβῳτην εισαφικεσθαι,
ͱος τοι ͱυων επιουρος· ͱομως δε τοι ηπια ϝοιδεν.
ενθα δε νυκτ' αϝεσαι· τον δ' οτρῦϝναι πολιν εισῳ
αγγελιην ϝερεοντα περιφρονι πηνελοπειῃ,
ͱοονεκα ͱοι σαος εσσι, και εκ πυλοϝ ηληλουθας.
ͱη μεν αρ' ͱως ϝεσποντσ' απεβη προς μακρον ολυμπον.
αϝταρ ͱο νεστοριδην εκς ͱηδυος ͱυπνοϝ εγειρεν.
εγρεο, νεστοριδη πεισιστρατε, μωνυχας ͱιπποϝς
δσευγσον ͱυφ' αρματ' αγων, ͱοφρα πρῆσσωμεν ͱοδοϝο.
τον δ' αϝ νεστοριδης πεισιστρατος αντιον ῆυϝδα·
τηλεμαχ', ου πως εστιν, επειγομενοϝς περ ͱοδοϝο,
νυκτα δια δνοφερην ελαεεν· ταχα δ' εσσεται ῆως.
αλλα μεν', εις ͱο κε δῶρα φερων επιδιφρια θῆῃ
ͱηρως ατρεϝιδης, δορϝικλειτος μενελαϝος,
και μυϝθοισ' αγανοισι παραυϝδῆσανς αποπεμπσῃ.
τοο γαρ τε χσεινος μιμνῆσκεται ͱηματα παντα
ανδρος χσεινοδοκοϝ, ͱος κεν φιλοτητα παρασχῃ.
ͱως εφατ'· αϝτικα δε χρυσοθρονος ηλυθεν ῆως.
αγχιμολον δε σφ' ηλθε βοην αγαθος μενελαϝος,
ανστανς εκς ευνης, ͱελενης παρα καλλικομοϝο.
τον δ' ͱως ῶν ενοησεν ͱοδυσσεϝος φιλος ͱυιος,
σπερχομενος ρα χιτῶνα περι χροϊ σιϝαλοεντα
δυϝνεν, και μεγα φαϝρος επι στιβαροις βαλετ' ωμοις
ͱηρως· βη δε θυραδσε, παρͱισταμενος δε προσῆυϝδα·
ατρεϝιδη, μενελαϝε διοτρεφες, ορχαμε λαϝων,
ηδη νῦν μ' αποπεμπε φιλην ες πατριδα γαιαν.
τον δ' ῆμειβετ' επειτα βοην αγαθος μενελαϝος·
τηλεμαχ', ουτι σ' εγωγε πολυν χρονον ενθαδ' ερυκσω
ͱιͱεμενον νοστοϝο· νεμεσαομαι δε και αλλῳ
ανδρι χσεινοδοκῳ, ͱος κ' εκσͱοχα μεν φιλεητιν,
εκσͱοχα δ' εχθαιρητιν· αμεινονα δ' αισιμα παντα.
ϝεισϝον τοι κακον εσθ', ος τ' ουκ εθελοντα νεεσθαι
χσεινον εποτρυϝνῃ, και ͱος εσσυμενον κατερυκῃ.

χρη χσεινον παρεοντα φιλεεν, εθελοντα δε πεμπεεν.
αλλα μεν', εις ͱο κε δῶρα φερων επιδιφρια θειω
καλα, συ δ' οφθαλμοισι ϝιδῃς· ϝεσπω δε γυναικσιν
δειπνον ενι μεγαροις τετυχεεν ͱαλις ενδον εοντων.
τον δ' αϝ τηλεμαχος πεπνῦμενος αντιον ηὖϝδα·
ατρεϝιδη, μενελαϝε διοτρεφες, ορχαμε λαϝων,
βουλομαι ηδη νεεσθαι εφ' ημετερ'· ου γαρ οπισθεν
ουρον ιων κατελειπον επι κτεατεσιν εμοισιν·
μη πατερ' αντιθεον διδσημενος αϝτος ολωμαι,
η τι μοι εκ μεγαρων κειμηλιον εσθλον οληται.
αϝταρ επει τογ' ακοϝσε βοην αγαθος μενελαϝος,
αϝτικ' αρ' ͱῇ ͱαλοχῳ ηδε δμῳῇσ' εκελεϝσεν
δειπνον ενι μεγαροις τετυχεεν ͱαλις ενδον εοντων.
ανχιμολον δε ͱοι ηλθε βοηθοϝιδης ͱετεωνεϝς,
ανστανς εκς ευνης, επει ου πολυ ναιεν απ' αϝτοο·
τον πυρ κῆαι ανωγε βοην αγαθος μενελαϝος,
οπτῆσαι τε κρεῶν· ͱο δ' αρ' ουκ απιθησεν ακοϝσανς.
αϝτος δ' ες θαλαμον κατεβησατο κῆϝεντα,
ουκ οιος, ͱαμα τῳγ' ͱελενη κιε και μεγαπενθης.
αλλ' ͱοτε δη ρα ͱικανον, ͱοθ' ͱοι κειμηλι' εκειτο,
ατρεϝιδης μεν επειτα δεπας λαβεν αμφικυπελλον,
ͱυιον δε κρῆτηρα φερεεν μεγαπενθε' ανωγεν
αργυρεον· ͱελενη δε παρϝιστατο φῶριαμοισιν,
ενθ' εσαν ͱοι πεπλοι πανποικιλοι, ͱοϝς εκαμ' αϝτη.
των ͱεν' αϝῆραμενη ͱελενη φερε, διϝα γυναικων,
ͱος καλλιστος εῆν ποικιλμασιν, ηδε μεγιστος·
αστηρ δ' ͱως απελαμπεν, εκειτο δε νεϝατος αλλων.
βαν δ' ιμεναι προτερῳ δια δῶματος, ͱεϝος ͱικοντο
τηλεμαχον· τον δε προσεφη χσανθος μενελαϝος·
τηλεμαχ', ητοι νοστον, ͱοπως φρεσι σῇσι μενοινᾷς,
ͱως τοι δσεϝς τελεσειεν, εριγδουπος ποσις ͱηρης.
δῶρων δ', ͱοσ' εν εμῳ ϝοικῳ κειμηλια κειται,
δῶσω, ͱο καλλιστον και τιϝμῆεστατον εστιν·
δῶσω τοι κρῆτηρα τετυχμενον· αργυρεος δε
εστιν ͱαπανς, χρυσῳ δ' επι χειλεα κεκραϝᾶνται·
ϝεργον δ' ͱηφαιστοϝ'· επορεν δε ͱε φαιδιμος ͱηρως,
σιδονιων βασιλεϝς, ͱοθ' εϝος δομος αμφεκαλυπτσεν
κεισε με νοστησαντα· τεϝιν δ' εθελω τοδ' οπασσαι.
ͱως ϝεσπων, εν χερσ' ετιθεε δεπας αμφικυπελλον
ͱηρως ατρεϝιδης· ͱο δ' αρα κρῆτηρα φαϝεινον
θῆκ' αϝτοο προπαροιθε φερων κρατερος μεγαπενθης,
αργυρεον· ͱελενη δε παρϝιστατο καλλιπαρῇος,
πεπλον ͱεχοντσ' εν χερσι, ϝεπος τ' εφατ', εκ τ' ονομαδσεν·
δῶρον τοι και εγω, τεκνον φιλε, τοϝτο διδῶμι,
μνῆμ' ͱελενης χειρων, πολυῆρατοϝ' ες γαμοϝ' ͱωρην,
σῇ ͱαλοχῳ φορεεεν· τεϝος δε φιλῃ παρα μητρι

κεισθω ενι μεγαρῳ· συ δε μοι χαιρων αφικοιο O
ϝοικον ⊦εϋκτιμενον, και σην ες πατριδα γαιαν.
⊦ως ϝεσποντσ' εν χερσ' ετιθεε· ⊦ο δ' εδεχσατο χαιρων.
και τα μεν ες πειρινθ' ετιθεε πεισιστρατος ⊦ηρως
δεχσαμενος, και παντα ⊦εϝῳ θαϝησατο θυϝμῳ.
τοϝς δ' ἦγε προς δῶμα καρῆ χσανθος μενελαϝος·
⊦εδσεσθην δ' αρ' επειτα κατα κλισμοϝς τε, θρονοϝς τε.
χερνιϐα δ' αμφιπολος προχοϝῳ επεχεϝε φεροντσα
καλῇ, χρυσειῇ, ⊦υπερ αργυρεοϝο λεβητος,
νιπτσασθαι· παρα δε χσεστην ετανυσσε τραπεδσαν.
σῖτον δ' αιδοιη ταμιη παρεθῆκε φεροντσα,
ἦδατα πολλ' επιθεντσα, χαριδσομενη παρεοντων.
παρ δε βοηθοϝιδης κρε' εδαιετο, και νεμε μοιρας·
ϝοινοχοϝεε δ' ⊦υιος μενελαϝοϝο κυϝδαλιμοϝο·
⊦οι δ' επ' ονειαθ' ετοιμα προκειμενα χειρας ιαλλον.
αϝταρ επει ποσιος και εδητυος εκς ερον ⊦εντο,
και τοτε τηλεμαχος και νεστορος αγλαϝος ⊦υιος
⊦ιπποϝς τε δσευγνῦντ', ανα θ' αρματα ποικιλ' εβαινον·
εκ δ' ελασαν προθυροϝο και αιθουσης εριδουποο.
τοϝς δε μετ', ατρεϝιδης εκιε χσανθος μενελαϝος,
ϝοινον ⊦εχων εν χειρι μελιφρονα δεχσιτερηφιν,
εν δεπαϊ χρυσεῳ, ⊦οφρα λειβσαντε κιοιτην.
στη δ' ⊦ιππων προπαροιθε· δεδισκομενος δε προσῆυϝδα·
χαιρετον, ω κοϝρω, και νεστορι ποιμενι λαϝων
ϝεσπεμεν· η γαρ εμοιγε, πατηρ ⊦ως, ηπιος ῆεν,
⊦εϝος ενι τροϝιῃ πολεμιδσομεν ⊦υιες αχαιϝων.
τον δ' αϝ τηλεμαχος πεπνῦμενος αντιον ῆυϝδα·
και λιϝην κεινῳ γε, διοτρεφες, ⊦ως αγορεϝεις,
παντα ταδ' ελθοντες καταλεγσομεν· αι γαρ εγων ⊦ως
νοστησανς ιθακηνδε, κιχων ⊦οδυσεϝ' ενι ϝοικῳ
ϝεσποιμ', ⊦ως παρα σεϝο τυχων φιλοτητος ⊦απαντσης
ερχομαι, αϝταρ αγω κειμηλια πολλα και εσθλα.
⊦ως αρα ⊦οι ϝεσποντι επεπτατο δεχσιος ορνιχς,
αιετος αργην χῆνα φερων ονυχεσι πελωρον,
⊦ημερον εκς αϝλης· ⊦οι δ' ιϝυδσοντες ⊦εποντο
ανερες ηδε γυναικες· ⊦ο δε σφισιν ενγυθεν ελθων
δεχσιος ῆ⊦ικσε προσθ' ⊦ιππων, ⊦οι δε ϝιδοντες
γηθησαν, και παντσιν ενι φρεσι θυϝμος ιανθη.
τοισι δε νεστοριδης πεισιστρατος ῆρχετο μυϝθων·
φραδσεο δη, μενελαϝε διοτρεφες, ορχαμε λαϝων,
ει νοϝιν τοδ' εφῆνε θεος τερας, ηε σοι αϝτῳ.
⊦ως φατο· μερμηρικσε δ' αρεϝιφιλος μενελαϝος,
⊦οπως ⊦οι κατα μοιραν ⊦υποκρῖναιτο νοησανς.
τον δ' ⊦ελενη τανυπεπλος ⊦υποφθαμενη φατο μυϝθον·
κλῦτε μεϝ, αϝταρ εγω μαντεϝσομαι, ⊦ως ενι θυϝμῳ
αθανατοι βαλλοντι, και ⊦ως τελεεσθαι οΐϝω.

ͱως ͱοδε χῆν' ͱαρπακσ', ατιταλλομενην ενι ϝοικῳ, O
ελθων εκς ορεος, ͱοθι ͱοι γενεη τε, τοκος τε·
ͱως ͱοδυσεϝς κακα πολλα παθων, και πολλ' επαλῆθενς,
ϝοικαδε νοστησει, και τιϝσεται· ηε και ηδη
ϝοικοι, αταρ μνῆστηρσι κακον παντεσι φυτεϝει·
την δ' αϝ τηλεμαχος πεπνῦμενος αντιον ηῦϝδα·
ͱοϝτῳ νῦν δσεϝς θειη, εριγδουπος ποσις ͱηρης,
τῳ κεν τοι και κειθι, θεῳ ͱως, ευχεταοιμην.
ῆ, και εφ' ιπποιϊν μαστινγ' εβαλ'· ͱοι δε μαλ' ῶκα
ῆͱικσαν πεδιονδε δια πτολιος μεμαϝῶτες.
ͱοι δε πανͱημεριοι σειον δσυγον αμφις ͱεχοντες·
δυϝσατο τ' ῆελιος, σκιαοντο τε παντσαι αγυιαι·
ες φηρας δ' εͱικοντο, διοκλεεος ποτι δῶμα,
ͱυιιος ορσιλοχοϝο, τον αλφειος τεκε παιδα.
ενθα δε νυκτ' αͱεσαν· ͱο δε τοις παρ χσεινι' εθῆκεν.
ημος δ' ῆριγενει' εφανη ϝροδοδακτυλος ῆως,
ͱιπποϝς τε δσευγνῦντ', ανα θ' αρματα ποικιλ' εβαινον·
εκ δ' ελασαν προθυροϝο και αιθοντσης εριδουποο·
μαστινγσεν δ' ελαεεν· τω δ' ουκ αͱεκοντ' επετεσθην.
αιπσα δ' επειτ' εͱικοντο πυλοϝ αιπυ πτολιεθρον·
και τοτε τηλεμαχος προσεφῶνεε νεστορος ͱυιον·
νεστοριδη, πως κεν μοι ͱυποσχομενος τελεσειας
μυϝθον εμον; χσεινοι δε διανπερες ευχομεθ' εεναι
εκ πατερων φιλοτητος· αταρ και ͱομηλικες εσμεν·
ͱηδε δ' ͱοδος και μαλλον ͱομοφροσυνῃσιν ενͱησει.
μη με παρεκς αγε ναϝα, διοτρεφες, αλλα λιπ' αϝτοο,
μη μ' ͱο γερων αͱεκοντα κατασχῃ ͱῳ ενι ϝοικῳ,
ͱιͱεμενος φιλεεεν· εμε δε χρη θασσον ͱικεσθαι.
ͱως φατο· νεστοριδης δ' αρ' ͱεϝῳ γσυνφρασσατο θυϝμῳ,
ͱοπως ͱοι κατα μοιραν ͱυποσχομενος τελεσειεν·
ͱῶδε δε ͱοι φρονεοντι δοασσατο κερδιον εεναι·
στρεφσ' ͱιπποϝς επι ναϝα θοϝην, και θῖνα θαλασσης·
ναϝι δ' ενι πρυμνῃ εκσαινυτο καλλιμα δῶρα,
ϝεσθητα, χρυσον τε, τα ͱοι μενελαϝος εδῶκεν·
και μιν εποτρυϝνων ϝεπεα πτεροεντα προσηῦϝδα·
σπουδῃ νῦν αναβαινε, κελεϝε τε παντας ͱεταιροϝς,
πριν εμε ϝοικαδ' ͱικεσθαι, απαγγῆλαι τε γεροντι·
ͱευ γαρ εγω τοδε ϝοιδα κατα φρενα και κατα θυϝμον,
ͱοιος εκεινοϝο θυϝμος ͱυπερβιος· ου σε μεθησει·
αλλ' αϝτος καλεων δευρ' εισεται· ουδε σε φημι
απς ιμεναι κενεον· μαλα γαρ κεχολῶσεται ενπης.
ͱως αρα φῶνησανς ελασεν καλλιτριχας ͱιπποϝς
απς πυλιων εις ϝαστυ, θοϝως δ' αρα δῶμαθ' ικανεν.
τηλεμαχος δ' ͱεταροισιν εποτρυϝνων εκελεϝσεν·
ευκοσμεετε τα τευχε', ͱεταιροι, ναϝι μελαινῃ·
αϝτοι τ' ανβαινωμεν, ͱινα πρῆσσωμεν ͱοδοϝο.

ͱως εφαθ᾽· οι δ᾽ αρα τοο μαλα μεν κλυϝον, ηδ᾽ επιθοντο.
αιπσα δ᾽ αρ᾽ εισβαινον, και επι κλεϝιεσι καθιδσον.
ητοι ͱο μεν τα πονεετο, και ευχετ᾽· εθυϝε δ᾽ αθηνῃ
ναϝι παρα πρυμνῃ· σχεδοθεν δε ͱοι ηλυθεν ανηρ
τηλεδαπος, φευγων εκς αργεος, ανδρα κατακτανς,
μαντις· αταρ γενεην γε μελανποδος εκγονος ῆεν,
ͱος πριν μεν ποτ᾽ εναιε πυλῳ ενι, μητερι μηλων,
ͱαφνειος πυλιοισι μεγ᾽ εκσͱοχα δῶματα ναιων·
δη τοτε γ᾽ αλλον δημον αφικετο, πατριδα φευγων,
νηλεϝα τε μεγαθυϝμον, αγαϝοτατον δσαϝοντων,
ͱος ͱοι χρηματα πολλα τελεσφορον εις ενιαϝτον
εσχε βιῃ· ͱο δε τεϝος ενι μεγαροις φυλακοϝο
δεσμῷ εν αργαλεῷ δεδετο, κρατερ᾽ αλγεα πασχων,
ͱεινεκα νηλεϝος κοϝρης, αϝατης τε βαρυιης,
την ͱοι επι φρεσ᾽ εθῆκε θεα δασπλητις εριννυς.
αλλ᾽ ͱο μεν εκφυγε κηρα, και ηλασε βοϝς εριμυκοϝς
ες πυλον εκ φυλακης, και ετιϝσατο ϝεργον αϝεικες
αντιθεον νηλεϝα, κασιγνῆτῳ τε γυναικα
ῆγαγετο προς δῶμαθ᾽· ο δ᾽ αλλων ͱικετο δημον,
αργος ες ͱιπποβοτον· τοθι γαρ νυ ͱοι αισιμον ῆεν
ναιεμεναι πολλοισι ϝανασσοντ᾽ αργειϝοισιν·
ενθα δ᾽ εγῆμε γυναικα, και ͱυπσερεφες θετο δῶμα,
γῆνατο δ᾽ αντιφατην και μαντιον, ͱυιε κραταιω.
αντιφατης μεν ετικτεν ͱιͱοκλεεα μεγαθυϝμον·
μαντιος αϝ τεκετο πολυφειδεα τε, κλειτον τε·
αλλ᾽ ητοι κλειτον χρυσοθρονος ͱαρπασεν ῆως·
αϝταρ ͱυπερθυϝμον πολυφειδεα μαντιν απολλων
θῆκε βροτων ͱοχ᾽ αριστον, επει θανεν αμφιαρῆος.
τοο μεν αρ᾽ ͱυιος επηλθε, θεοκλυμενος δ᾽ ονομ᾽ ῆεν,
ͱος τοτε τηλεμαχοο πελας ͱιστατο· τον δ᾽ εκιχανεν
σπενδοντ᾽, ευχομενον τε, θοϝῃ παρα ναϝι μελαινῃ·
και μιν φῶνησανς ϝεπεα πτεροεντα προσηυϝδα·
ω φιλ᾽, επει σε θυϝοντα κιχανω τῷδ᾽ ενι χῶρῳ,
λισσομ᾽ ͱυπερ θυϝεων και δαιμονος, αϝταρ επειτα
σης τ᾽ αϝτοο κεφαλης, και ͱεταιρων, ͱοι τοι ͱεπονται,
ϝεσπε μοι ειρομενῳ νημερτεα, μηδ᾽ επικεϝθσῃς·
τις; ποθεν εσσ᾽ ανδρων; ποθι τοι πολις, ηδε τοκεϝες;
τον δ᾽ αϝ τηλεμαχος πεπνυμενος αντιον ηυϝδα·
τοιγαρ εγω τοι, χσεινε, μαλ᾽ ατρεκεως αγορεϝσω·
εκς ιθακης γενος ῆμι, πατηρ δε μοι εστιν ͱοδυσσεϝς,
ει ποτ᾽ εῆν· νῦν δ᾽ ηδη απεφθιτο λυγρῷ ολεθρῳ.
τοονεκα νῦν ͱεταροϝς τε λαβων και ναϝα μελαιναν
ηλθον πευθσομενος πατερος δην οιχομενοϝο.
τον δ᾽ αϝτε προσεϝεσπε θεοκλυμενος θεοϝειδης·
ͱοϝτῷ τοι και εγων εκ πατριδος, ανδρα κατακτανς
ενφυϝλον· πολλοι δε κασιγνῆτοι τε, ͱεται τε,

αργος αν' ͱιπποβοτον, μεγα δε κρατεουτιν αχαιϝοι· O
των ͱυπαλεϝσαμενος θανατον και κηρα μελαιναν
φευγω· επει νυ μοι αισα κατ' ανθρωποϝς αλαλῆσθαι.
αλλα με ναϝος εφεσσαι, επει σε φυγων ͱικετεϝσα,
μη με κατακτεινωντι· διώκεμεναι γαρ οἴϝω.
τον δ' αϝ τηλεμαχος πεπνῦμενος αντιον ῇυϝδα·
ου μεν δη σ' εθελοντα γ' αποθσω ναϝος ϝεϊσϝης·
αλλ' ͱεπε'· αϝταρ κειθι φιλησεαι, ͱοια χ' εχωμεν.
ͱως αρα φῶνησανς ͱοι εδεχσατο χαλκεον ενχος,
και τοδ' εφ' ικριοφιν τανυσεν ναϝος αμφιϝελισσης·
αν δε και αϝτος ναϝος εβησατο ποντοποροϝο.
εν πρυμνῇ δ' αρ' επειτα καθεδσετο· παρ δε ͱοι αϝτῷ
ͱεσσε θεοκλυμενον· τοι δε πρυμνησι' ελυϝσαν.
τηλεμαχος δ' ͱεταροισιν εποτρῦϝνανς εκελεϝσεν
ͱοπλων ͱαπτεσθαι· τοι δ' εσσυμενως επιθοντο.
ͱιστον δ' ειλατινον κοιλης εντοσθε μεσοδμης
στησαν αϝῆραντες· κατα δε προτονοισιν εδησαν·
ͱελκον δ' ͱιστια λεϝκα ͱεϋστρεπτοισι βοϝεϝσιν.
τοισιν δ' ͱικμενον ουρον ͱιϝεε γλαϝκῶπις αθηνη,
λαβρον επαιγιδσοντα δι' αιθερος, ͱοφρα ταχιστα
ναϝς ανυσειε θεϝοντσα θαλασσης ͱαλμυρον ͱυϝδωρ.
δυϝσατο τ' ῆελιος, σκιαοντο τε παντσαι αγυιαι·
ͱη δε φερας επεβαλλεν, επειγομενη διος ουρῷ,
ηδε παρ' ηλιδα διϝαν, ͱοθι κρατεουτιν επειοι.
ενθεν δ' αϝ νησοισιν επιπροεϝῆκε θοϝῇσιν,
ͱορμαινων, η κεν θανατον φυγοι, η κεν ͱαλῶῃ.
τω δ' αϝτ' εν κλισιῃ ͱοδυσεϝς και διϝος ͱυφορβος
δορπεετην· παρα δε σφιν εδορπεον ανερες αλλοι.
αϝταρ επει ποσιος και εδητυος εκς ερον ͱεντο,
τοισ' ͱοδυσεϝς μετεϝεσπε, συβῶτεο πειρῆτιδσων,
ει μιν ετ' ενδυκεως φιλεοι, μῆναι τε κελεϝοι
αϝτοϜ ενι σταθμῷ, ῆ' οτρῦϝνειε πολινδε·
κεκλυθι νῦν, ͱεϋμαιε, και αλλοι παντες ͱεταιροι·
ῆοαθεν προτι ϝαστυ λιλαϝομαι απονεεσθαι
πτωχεϝσων, ͱινα μη σε κατατρυϝχω και ͱεταιροϝς.
αλλα μοι ͱευ θ' υποθεο, και ͱαμ' ͱηγεμον' εσθλον οπασσον,
ͱος κε με κεισ' αγαγῇ· κατα δε πτολιν αϝτος ανανκῇ
πλανγσομαι, αι κεν τις κοτυλην και πυρνον ορεγσῇ.
και κ' ελθων προς δῶμαθ' οδυσσεϝος θειοϝο
ανγελιην ϝεσποιμι περιφρονι πηνελοπειῇ·
και κεν μνῆστηρεσιν ͱυπερφιαλοισι μιγειην,
ει μοι δειπνον δοιεν, ονειατα μυϝρι' ͱεχοντες.
αιπσα κεν ͱευ δραϝοιμι μετα σφισιν, ͱο τι θελοιεν·
εκ γαρ τοι ϝερεω, συ δε συνθεο, και μεϝ ακοϝσον·
ͱερμειαϝο ͱεκητι διακτοροϜ, ͱος ρα τε παντων
ανθρωπων ϝεργοισι χαριν και κυϝδος οπαδσει,

δρηστοσυνῃ ουκ αν μοι ερισσειεν βροτος αλλος,
πυρ θ' εῦ ναϝησαι, δια τε χσυλα δαϝνα κεασσαι,
δαιτρεϝσαι τε, και οπτῆσαι, και ϝοινοχοϝησαι·
ͱοια τε τοισ' αγαθοισι παραδραϝοντι χερεϝες.
τον δε μεγ' οχθησανς προσεφης, ͱεῦμαιε συβῶτα·
ω μοι, χσεινε, τιη τοι ενι φρεσι τοϝτο νοημα
επλετο; η συγε πανχυ λιλαϝεαι αϝτοθ' ολεσθαι,
ει δη μνηστηρων εθελεις καταδῦϝναι ͱομιλϝον,
των ͱυβρις τε, βιη τε, σιδηρεον ουρανον ͱικει.
ου τοι τοιοιδ' εντιν ͱυποδρηστηρες εκεινων,
αλλα νεϝοι, χλαινας ͱεῦ ϝεσμενοι, ηδε χιτῶνας,
αιϝει δε λιπαροι κεφαλας και καλα προσῶπα,
ͱοι σφιν ͱυποδραϝοντιν· ͱεῦχσεστοι δε τραπεδσαι
σῖτοϝο και κρεαων, και ϝοινοϝο, βεβρῖθαντιν.
αλλα μεν'· ου γαρ τις τοι ανιϝαεται παρεοντι,
ουτ' εγω, ουτε τις αλλος ͱεταιρων, ͱοι μοι εαντιν.
αϝταρ επῆν ελθητιν ͱοδυσσεϝος φιλος ͱυιος,
κεινος σε χλαιναν τε, χιτῶνα τε, ϝεσματα ϝεσσει,
πεμπσει δ', ͱοπῃ σε κραδιη, θυϝμος τε, κελεϝει.
τον δ' ἠμειβετ' επειτα πολυτλᾶνς διϝος ͱοδυσσεϝς·
αιθ' ͱοϝτως, ͱεῦμαιε, φιλος διϊ πατρι γενοιο,
ͱως εμοι, ͱοτι μ' επαϝσας αλης και οϊδσυος αινης.
πλανγτοσυνης δ' ουκ εστι κακωτερον αλλο βροτοισιν·
αλλ' ͱενεκ' ολομενης γαστρος κακα κηδε' ͱεχοντιν.
νῦν δ' επει ͱισχαναεις, μῆναι τε με κεινον ανῶγας,
ϝεσπ' αγε μοι περι μητρος ͱοδυσσεϝος θειοϝο,
πατρος θ', ον κατελειπεν ιων επι γηραος ουδῷ,
ει ποϝ ετι δσαϝοντιν ͱυπ' αϝγας ἠελιοϝο,
η' ηδη τεθναντι, και ειν αϝιδαϝο δομοισιν.
τον δ' αϝτε προσεϝεσπε συβῶτης, ορχαμος ανδρων·
τοιγαρ εγω τοι, χσεινε, μαλ' ατρεκεως αγορεϝσω·
λαϝερτης μεν ετι δσαϝει, διϊ δ' ευχεται αιϝει
θυϝμον απο μελεων φθῖσθαι ͱοισ' εν μεγαροισιν·
εκπαγλως γαρ παιδος οδυϝρεται οιχομενοϝο,
κοϝριδιης θ' αλοχοϝο, δαϝιφρονος, ͱη ͱε μαλιστα
ἠκαχ' αποφθιμενη, και εν ωμῷ γηρα' εθῆκεν.
ͱη δ' αχεϊ ͱοϝο παιδος απεφθιτο κυϝδαλιμοϝο,
λευγαλεῷ θανατῷ· ͱως μη θανοι, ͱοστις εμοιγε
ενθαδε ναιεταων φιλος ειη, και φιλα ϝεργοι.
ͱοφρα μεν ὠν δη κεινη εῆν, αχεϝοντσα περ ενπης,
τοφρα τι μοι φιλον εσκε μεταλλῆσαι και ερεσθαι,
ͱοονεκα μ' αϝτη τρεφσεν ͱαμα κτιμενῃ τανυπεπλῳ,
θυγατερ' ἰφθῖμῃ, την ͱοπλοτατην τεκε παιδων·
τῇ ͱομοϝ ετρεφομην, ολιγον δε τι μ' ͱησσον ετιϝμα.
αϝταρ επει ρ' ͱηβην πολυῆρατον ͱικομεθ' αμφω,
την μεν επειτα σαμηνδ' εδοσαν, και μυϝρι' ͱελοντο.

αϝταρ εμε χλαιναν τε, χιτῶνα τε, ϝεσματ᾽ εκεινη O
καλα μαλ᾽ αμφιϝεσαντσα, ποσιν δ᾽ ͱυποδηματα δοντσα,
αγρονδε προϊαλλ᾽· εφιλεε δε με κεαροθι μαλλον.
τον δ᾽ απαμειβομενος προσεφη πολυμητις ͱοδυσσεϝς·
ω ποποι! ͱως αρα τυτθος εων, ͱεϋμαιε συβῶτα,
πολλον απεπλαγχθης σης πατριδος ηδε τοκεϝων.
αλλ᾽ αγε μοι τοδε ϝεσπε, και ατρεκεως καταλεγσον,
ηε διεπραθετο πτολις ανδρων ευρυαγυια,
ͱῇ ενι ναιεταεσκε πατηρ και ποτνια μητηρ·
η σεγε μουνωθεντα παρ᾽ οϝιεσιν, η παρα βοϝσιν,
ανδρες δυσμενεες ναϝσιν λαβον, ηδ᾽ επερασσαν
τοοδ᾽ ανδρος προς δῶμαθ᾽, ο δ᾽ αγσιον ὦνον εδῶκεν.
τον δ᾽ αϝτε προσεϝεσπε συβῶτης, ορχαμος ανδρων·
χσειν᾽, επει αρ δη ταϝτα μ᾽ ανειρεαι ηδε μεταλλᾷς,
σιγῇ νῦν γσυνͱιͱεε και τερπεο, πιϝνε τε ϝοινον
ͱημενος· ͱαιδε δε νυκτες αθεσφατοι· εστι μεν ͱευδεεν,
εστι δε τερπομενοισιν ακοϝεμεν· ουδε τι σε χρη,
πριν ͱωρη, καταλεχθαι· ανιϝη και πολυς ͱυπνος.
των δ᾽ αλλων ͱον τε κραδιη και θυϝμος ανωγει,
ͱευδετω εκσελθων· ͱαμα δ᾽ ῆοϊ φαινομενηφιν
δειπνησανς ͱαμ᾽ ͱυεσι ϝανακτοριῇσιν ͱεπεσθω.
νοϝι δ᾽ ενι κλισιῇ πιϝνοντε τε, δαινυμενω τε,
κηδεσιν αλληλων τερπωμεθα λευγαλεοισιν,
μναϝομενω· μετα γαρ τε και αλγεσι τερπεται ανηρ,
ͱοστις δη μαλα πολλα παθῇ, και πολλ᾽ επαληθῇ.
τοϝτο δε τοι ϝερεω, ͱο μ᾽ ανειρεαι ηδε μεταλλᾷς·
νησος τις συριη κικλῇσκεται, ει ποϝ᾽ ακοϝεις,
ορτυγιης καθυπερθεν, ͱοθι τροπαι ῆελιοϝο,
ουτι περιπληθης λιϝην τοσον· αλλ᾽ αγαθη μεν,
ͱευβοτος, ͱευμηλος, ϝοινοπληθης, πολυπυϝρος·
πεινη δ᾽ ου ποτε δημον εσερχεται, ουδε τις αλλη
νουσος επι στυγερη πελεται δδειλοισι βροτοισιν·
αλλ᾽ ͱοτε γηρασκωντι πολιν κατα φυϝλ᾽ ανθρωπων,
ελθων αργυροτοκσος απολλων αρτεμιδι γσυν,
ͱοισ᾽ αγανοισι βελεσσιν εποιχομενος κατεπεφνεν.
ενθα δυω πολιες, διχα δε σφισι παντα δεδασται·
τῇσιν δ᾽ αμφοτερῇσι πατηρ εμος ενβασιλεϝεν,
κτησιος ορμενιδης, επιϝεικελος αθανατοισιν.
ενθα δε φοινῖκες ναϝσικλυτοι ηλυθον ανδρες,
τρῶκται, μυϝρι᾽ αγοντες αθυρματα ναϝι μελαινῇ.
εσκε δε πατρος εμοϝο γυνη φοινισσ᾽ ενι ϝοικῷ,
καλη τε, μεγαλη τε, και αγλαϝα ϝεργα ϝιδυια·
την δ᾽ αρα φοινῖκες πολυπαιπαλοι ηπεροπεϝον·
πλυϝνοντσῇ τις πρῶτ᾽ εμιγη, κοιλῇ παρα ναϝι,
ευνῇ και φιλοτητι· τα τε φρενας ηπεροπεϝει
θηλυτερῇσι γυναικσι, και ει χ᾽ εϋϝεργος εῃσιν.

ειρωτᾶ δη επειτα, τις ειη, και ποθεν ελθοι· O
ͱη δε μαλ' αϝτικα πατρος επεφραδεν ͱυπσερεφες δῶ·
εκ μεν σιδῶνος πολυχαλκοϝ ευχομαι εεναι·
κοϝρη δ' ἦμ' αρυβαντος εγω ρυδον ͱαφνειοϝο·
αλλα μ' ανͱαρπακσαν ταφιοι, λεϝιστορες ανδρες,
αγροθεν ερχομενην· περασαν δε με δευρ' αγαγοντες
τοοδ' ανδρος προς δῶμαθ'· ο δ' αγσιον ὦνον εδῶκεν.
την δ' αϝτε προσεϝεσπεν ανηρ, ͱος εμισγετο λαθρῇ·
η ρα κε νῦν παλιν αϝτις ͱαμ' ͱημῖν ϝοικαδ' ͱεποιο,
ͱοφρα ϝιδῇς πατερος και μητερος ͱυπσερεφες δῶ,
αϝτοϝς τ'; η γαρ ετ' εντι, και ͱαφνειοι καλεονται.
τον δ' αϝτε προσεϝεσπε γυνη, και αμειβετο μυϝθῳ·
ειη κεν και τοϝτ', ει εμοι εθελοιτε γε, ναϝται,
ͱορκῳ πιθτωθηναι, απημονα ϝοικαδ' απαγσεεν.
ͱως εφαθ'· οι δ' αρα παντες απῶμνυον, ͱως εκελεϝεν.
αϝταρ επει ρ' ομοσαν τ', ετελεϝτῆσαν τε τον ͱορκον,
τοις δ' αϝτις μετεϝεσπε γυνη, και αμειβετο μυϝθῳ·
σιγῇ νῦν, μη τις με προσαυϝδαετω ϝεπεεσιν
ͱυμετερων ͱεταρων, γσυνβλῆμενος η' εν αγυιῇ,
η ποϝ' επι κρῆνῃ· μη τις ποτι δῶμα γεροντι
ελθων εκσϝεσπῃ· ͱο δ' οϊϝσαμενος καταδησῃ
δεσμῳ εν αργαλεῳ, ͱυμῖν δ' επιφρασσετ' ολεθρον.
αλλ' ͱεχετ' εν φρεσι μυϝθον, επειγετε δ' ὦνον ͱοδαιων.
αλλ' ͱοτε κεν δη ναϝς πλεεη βιϝοτοϝο γενηται,
ανγελιη μοι επειτα θοϝως ες δῶμαθ' ικεσθω·
ͱοισω γαρ χρυσον, ͱοττις χ' υποχειριος ελθῃ·
και δε κεν αλλ' επιβαθρον εγων εθελοντσα γε δοιην.
ͱη μεν αρ' ͱως ϝεσποντσ' απεβη προς δῶματα καλα.
ͱοι δ' ενιαϝτον ͱαπαντα παρ' ͱημῖν αϝθι μενοντες
εν ναϝι γλαφυρῇ βιϝοτον πολυν ενπολαοντο·
αλλ' ͱοτε δη κοιλη ναϝς ῆχθετο τοισι νεεσθαι,
και τοτ' αρ' ανγελον ͱῆκαν, ͱος ανγῆλειε γυναικι·
ηλυθ' ανηρ πολυϝιδρις εμοο προς δῶματα πατρος,
χρυσεον ορμον ͱεχων, μετα δ' ηλεκτροισιν εερτο·
τον μεν αρ' εν μεγαρῳ δμωαι και ποτνια μητηρ
χειρεσιν αμφαφαοντο, και οφθαλμοισ' ͱοραοντο,
ὦνον ͱυποσχομεναι· ͱο δε τῇ κατενευσε σιωπῇ.
ητοι ͱο κατνευσανς κοιλην επι ναϝ' εβεβηκεεν·
ͱη δ' εμε χειρος ͱελοντσα δομων εκσῆγε θυραδσε·
ͱευρε δ' ενι προδομῳ ημεν δεπα' ηδε τραπεδσας
ανδρων δαιτυμονων, ͱοι μεο πατερ' αμφεπενοντο.
ͱοι μεν αρ' ες θαϝακον προμολον, δημοϝο τε φημιν·
ͱη δ' αιπσα τρι' αλεισα κατακρυπτσαντσ' ͱυπο κολπῳ
εκφερεν· αϝταρ εγων ͱεπομην αϝεσιφροσυνῇσιν.
δυϝσατο τ' ῆελιος, σκιαοντο τε παντσαι αγυιαι.
ͱημεες δ' ες λιμενα κλυτον ηλθομεν ὦκα κιοντες,

ενθ' αρα φοινῖκων ἦν ανδρων ὦκυͱαλος ναϝς.
ͱοι μεν επειτ' αναβαντες επεπλεϝον ͱυγρα κελευθα,
νοϝ' αναβησαμενοι· επι δε δσεϝς ουρον ιαλλεν.
ͱεκσͱημαρ μεν ͱομως πλεϝομεν νυκτας τε και ͱημαρ·
αλλ' ͱοτ' αρ' ͱεβδομον ͱημαρ επι δσεϝς θῆκε κρονιϝων,
την μεν επειτα γυναικ' εβαλ' αρτεμις ͱιͱοχεαιρα·
αντλῳ δ' ενδουπησε πεσοντσ', ͱως εινͱαλιη κηκς·
και την μεν φωκῃσι και ͱιχθυσι κυρμα γενεσθαι
εκβαλον· αϝταρ εγω λιπομην ακαχημενος ητορ.
τοϝς δ' ιθακῃ επελασσε φερων ανεμος τε και ͱυϝδωρ·
ενθα με λαϝερτης πριατο κτεατεσιν ͱεϝοισιν.
ͱοϝτῳ τηνδε τε γαιαν εγω ϝιδον οφθαλμοισιν.
τον δ' αϝ διϝογενης ͱοδυσεϝς ἠμειβετο μυϝθῳ·
ͱευμαι', η μαλα δη μοι ενι φρεσι θυϝμον ορῖνας,
ταϝτα ͱεκαστα λεγων, ͱοσα δη παθες αλγεα θυϝμῳ.
αλλ' ητοι σοι μεν παρα και κακῳ εσθλον εθῆκεν
δσεϝς, επει ανδρος δῶματ' αφικεο πολλα μογησανς
ηπιοϝ, ͱος δη τοι παρεχει βρῶσιν τε ποσιν τε
ενδυκεως· δσαϝεις δ' αγαθον βιϝον· αϝταρ εγωγε
πολλα βροτων επι ϝαστυϝ αλῶμενος ενθαδ' ͱικανω.
ͱως ͱοι μεν τοιαϝτα προς αλληλοϝς αγορεϝον·
κατδραθετην δ' ου πολλον επι χρονον, αλλα μινυνθα·
αιψα γαρ ἠως ηλθεν ͱεϋθρονος. ͱοι δ' επι χερσοο
τηλεμαχοϝ ͱεταροι λυϝον ͱιστια· κατ δ' ͱελον ͱιστον
καρπαλιμως, την δ' εις ͱορμον προερεσσαν ερετμοις·
εκ δ' ευνας εβαλον, κατα δε πρυμνησι' εδησαν·
εκ δε και αϝτοι εβαινον επι ϝρηγμῖνι θαλασσης.
τοισι δε τηλεμαχος πεπνῦμενος ἠρχετο μυϝθων·
ͱυμεες μεν νῦν ϝαστυδ' ελαϝνετε ναϝα μελαιναν·
αϝταρ εγων αγρονδ' επελευθσομαι, ηδε βοτηρας·
ϝεσπεριος δ' εις ϝαστυ ϝιδων εμα ϝεργα κατειμι·
ἠοαθεν δε κεν υμμιν ͱοδοιποριον παραθειμην,
δαιτ' αγαθην κρεαων και ϝοινοϝο ͱηδυποτοϝο.
τον δ' αϝτε προσεϝεσπε θεοκλυμενος θεοϝειδης·
πῃ γαρ εγω, φιλε τεκνον, ιω ; τεο δῶμαθ' ικωμαι ;
η' ιθυς σης μητρος ιω και σοϝο δομοϝο ;
τον δ' αϝ τηλεμαχος πεπνῦμενος αντιον ηυϝδα·
αλλως μεν σ' αν εγωγε και ͱημετερονδε κελοιμην
ερχεσθ'· ου γαρ τοι χσενιων ποθη· αλλα σοι αϝτῳ
χειρον· επει τοι εγω μεν απεσσομαι, ουδε σε μητηρ
οπτσεται· ου μεν γαρ τι θαμα μνηστηρσ' ενι ϝοικῳ
φαινεται, αλλ' απο των ͱυπεροϊῳ ͱιστον ͱυφαινει.
αλλα τοι αλλον φωτα πιφαϝσκομαι, ͱον κεν ͱικηαι,
ευρυμαχον, πολυβοϝο δαϊφρονος αγλαϝον ͱυιον,
τον νῦν ϝεισϝα θεῳ ιθακησιοι εισͱοραοντιν·
και γαρ πολλον αριστος ανηρ, μεμονεν τε μαλιστα

μητερ᾽ εμην γαμεεεν, και ͱοδυσσεϝος γερας ͱεχσεεν. O
αλλα ταγε δσεϝς ϝοιδεν ολυνπιος, αιθερι ναιων,
ει κε σφιν προ γαμοϝο τελεϝτῆσει κακον ͱημαρ.
ͱως αρα ͱοι ϝεσποντι επεπτατο δεχσιος ορνιχς,
κιρκος, απολλῶνος ταχυς αγγελος· εν δε ποδεσιν
τιλλε πελειαν ͱεχων, κατα δε πτερ᾽ εχεϝεν εραδσε,
μεσσηγυς ναϝος τε και αϝτοϝο τηλεμαχοϝο.
τον δε θεοκλυμενος ͱεταρων απονοσφι καλεσσανς
εν τ᾽ αρα ͱοι φῦ χειρι, ϝεπος τ᾽ εφατ᾽, εκ τ᾽ ονομαδσεν·
τηλεμαχ᾽, ου τοι ανευ θεοϝ επτατο δεχσιος ορνιχς·
εγνῶν γαρ μιν ες αντα ϝιδων, οιϝωνον εοντα.
ͱυμετεροο δ᾽ ουκ εστι γενεος βασιλεϝτερον αλλο
εν δημῷ ιθακης, αλλ᾽ ͱυμεες καρτεροι αιϝει.
τον δ᾽ αϝ τηλεμαχος πεπνῦμενος αντιον ἦυϝδα·
αι γαρ τοϝτο, χσεινε, ϝεπος τετελεσμενον ειη·
τῷ κε ταχα γνοιης φιλοτητα τε πολλα τε δῶρα
εχς εμεϝ, ͱως αν τις σε συναντομενος μακαριδσοι.
ἦ, και πειραιον προσεφῶνεε πιθτον ͱεταιρον·
πειραιε κλυτιδη, συ δε μοι τα περ αλλα μαλιστα
πειθε᾽ εμων ͱεταρων, ͱοι μοι πυλον εις ͱαμ᾽ ͱεποντο·
και νῦν μοι τον χσεινον αγων εν δῶμασι σοισιν
ενδυκεως φιλεεεν και τιϝεμεν, εις ͱο κεν ελθω.
τον δ᾽ αϝ πειραιος δορϝικλυτος αντιον ἦυϝδα·
τηλεμαχ᾽, ει γαρ κεν συ πολυν χρονον ενθαδε μιμνοις,
τονδε δ᾽ εγω κομιῶ, χσενιων δε ͱοι ου ποθη εσται.
ͱως ϝεσπων, επι ναϝος εβη, εκελεϝσε δ᾽ ͱεταιροϝς
αϝτοϝς τ᾽ ανβαινεεν, ανα τε πρυμνησια λυϝσαι.
ͱοι δ᾽ αιπσ᾽ εισβαινον, και επι κληϝισι καθιδσον.
τηλεμαχος δ᾽ ͱυπο ποδσιν εδησατο καλα πεδιλϝα,
ͱελλετο δ᾽ αλκιμον ενχος, ακαχμενον ͱοκσυϊ χαλκῷ,
ναϝος αφ᾽ ικριοφιν· τοι δε πρυμνησι᾽ ελυϝσαν.
ͱοι μεν ανοθσαντες πλεϝον ες πολιν, ͱως εκελεϝσεν· 552
τον δ᾽ ῶκα προβιβῶντα ποδες φερον, ͱοφρ᾽ ͱικετ᾽ αϝλην, 554
ενθα ͱοι ἦσαν ͱυες μαλα μυϝριαι, ͱῇσι συβῶτης
εσθλος εων ενͱιαϝε, ϝανακτεσιν ηπια ϝειδως.

τω δ᾽ αϝτ᾽ εν κλισιῇ ͱοδυσεϝς και διϝος ͱυφορβος Π
εντυϝνονθ᾽ αϝαριστον ͱαμ᾽ ἠοῖ, κῆαμενω πυρ,
εκπεμπσαν τε νομεϝας ͱαμ᾽ αγρομενοισι συεσιν.
τηλεμαχον δε περι σαινον κυνες ͱυλακομῶροι,
ουδ᾽ ͱυλαον προσιοντ᾽· ενοησε δε διϝος ͱοδυσσεϝς
σαινοντας τε κυνας, περι τε κτυπος ηλθε ποδοιϊν·
αιπσα δ᾽ αρ᾽ ͱευμαιον ϝεπεα πτεροεντα προσηῦϝδα·
ͱευμαι᾽, η μαλα τις τοι ελευθσεται ενθαδ᾽ ͱεταιρος,
η και γνῶριμος αλλος· επει κυνες ουχ υλαοντιν,
αλλα περι σαινοντι· ποδων δ᾽ ͱυπο δουπον ακοϝω.
ου πῷ παν εϝεϝπρτο ϝεπος, ͱοτε ͱοι φιλος ͱυιος

εστη ενι προθυροισι· ταφων δ' ανοροϝσε συβῶτης· Π
εκ δ' αρα ͱοι χειρων πεσεν αγγεα, τοισ' επονεετο,
κῖρνανς αιθοπα ϝοινον· ͱο δ' αντιος ηλθε ϝανακτος·
κυσσε δε μιν κεφαλην τε, και αμφω φαϝεα καλα,
χειρας τ' αμφοτερας· θαλερον δε ͱοι εκπεσε δακρυ.
ͱως δε πατηρ ͱον παιδα φιλα φρονεων αγαπαδσει,
ελθοντ' εκς απιης γαιης δεκατῳ̃ ενιαϝτῳ̃,
μουνον, τηλυγετον, τῳ̃ επ' αλγεα πολλα μογητιν.
ͱως τοτε τηλεμαχον θεοϝειδεα διϝος ͱυφορβος
παντ' εκυσεν περιφυνς, ͱως εκ θανατοϝο φυγοντα·
και ρ' ολοφυϝρομενος ϝεπεα πτεροεντα προσῆυϝδα·
ηλθες, τηλεμαχε, γλυκερον φαϝος· ου σ' ετ' εγωγε
οπτσεσθαι εφαμην, επει ᾧχεο ναϝι πυλονδε·
αλλ' αγε νῦν εισελθε, φιλον τεκος, ͱοφρα σε θυϝμῳ̃
τερπσομαι εισͱοραων νεϝον αλλοθεν ενδον εοντα.
ου μεν γαρ τι θαμ' αγρον επερχεαι, ουδε νομεϝας,
αλλ' επιδημεϝεις· ͱως γαρ νυ τοι εϝαδε θυϝμῳ̃,
ανδρων μνῆστηρων εσͱορᾶν αϝιδηλον ͱομιλϝον.
τον δ' αϝ τηλεμαχος πεπνῦμενος αντιον ῆυϝδα·
εσσεται ͱοϝτως, αττα· σεθεν δ' ͱενεκ' ενθαδ' ͱικανω,
ͱοφρα σε τ' οφθαλμοισι ϝιδω, και μυϝθον ακοϝσω,
ει μοι ετ' εν μεγαροις μητηρ μενει, ηε τις ηδη
ανδρων αλλος εγῆμεν· ͱοδυσσεϝος δε ποϝ' ευνη
χητει ενευναιων κακ' αραχνια κειται εχοντσα.
τον δ' αϝτε προσεϝεσπε συβῶτης, ορχαμος ανδρων·
και λιϝην κεινη γε μενει τετλῆοτι θυϝμῳ̃
σοισιν ενι μεγαροισιν· οϊδσυϝραι δε ͱοι αιϝει
φθινοντιν νυκτες τε και ͱηματα δακρυχεϝοντσῃ̃.
ͱως αρα φῶνησανς ͱοι εδεχσατο χαλκεον ενχος·
αϝταρ ͱογ' εισῳ̃ ιεν, και ͱυπερβη λαϝινον ουδον.
τῳ̃ δ' ͱεδρης επιοντι πατηρ ͱυποϝεικσεν ͱοδυσσεϝς·
τηλεμαχος δ' ͱετερωθεν ερητυϝ', εφῶνησεν τε·
ͱησο, χσειν'· ͱημεες δε και αλλοθι δηομεν ͱεδρην
σταθμῳ̃ εν ͱημετερῳ̃· παρα δ' ανηρ, ͱος καταθησει.
ͱως φαθ'· ο δ' αϝτις ιων κατ' αρ' ͱεδσετο· τῳ̃ δε συβῶτης
χεϝεν ͱυπο χλωρας ρῶπας, και κῶας ͱυπερθεν·
ενθα καθεδσετ' επειτα ͱοδυσσεϝος φιλος ͱυιος.
τοισιν δε κρεαων πινακας παρεθῆκε συβῶτης
οπταλεων, ͱα ρα τῃ̃ προτερῃ̃ ͱυπελειπον εδοντες·
σῖτον δ' εσσυμενως παρεναϝξεν εν κανεοισιν,
εν δ' αρα κισσυβιῳ̃ κιρνῆ μελιͱηδεα ϝοινον·
αϝτος δ' αντιον ͱιδσεν ͱοδυσσεϝος θειοϝο.
ͱοι δ' επ' ονειαθ' ετοιμα προκειμενα χειρας ιαλλον.
αϝταρ επει ποσιος και εδητυος εκς ερον ͱεντο,
δὴ τοτε τηλεμαχος προσεφῶνεε διϝον ͱυφορβον·
αττα, ποθεν τοι χσεινος ͱο δ' ͱικετο; πως δε ͱε ναϝται

ἦγαγον εις ιθακην; τινες εσμεναι ευχεταοντο; Π
ου μεν γαρ τι ͱε πεδσον οἴϝομαι ενθαδ' ͱικεσθαι.
τον δ' απαμειβομενος προσεφης, ͱεῦμαιε συβῶτα·
τοιγαρ εγω τοι, τεκνον, αληθεα παντ' αγορεϝσω·
εκ μεν κρηταϝων γενος ευχεται ευρυιαϝων·
φητι δε πολλα βροτων επι ϝαστυα δινεϝθηναι
πλαδσομενος· ͱως γαρ ͱοι επεκλωθσεν ταγε δαιμων.
νῦν δ' αϝ θεσπρωτων ανδρων εκ ναϝος αποδρανς
ηλυθ' εμον προς σταθμον· εγω δε σοι ενγυαλικσω·
ερκσον, ͱοπως εθελεις· ͱικετης δε τοι ευχεται εεναι.
τον δ' αϝ τηλεμαχος πεπνῦμενος αντιον ηὕϝδα·
ͱευμαι', η μαλα τοϝτο ϝεπος θυμαλγες εϝεσπες·
πως γαρ δη χσεινον ͱυποδεχσομ' εγων ενι ϝοικῳ;
αϝτος μεν νεϝος ημι, και ουπῳ χερσι πεποιθα
ανδρ' απαμῦϝνασθαι, ͱοτε τις προτερος χαλεπῆνῃ·
μητρι δ' εμῇ διχα θυϝμος ενι φρεσι μερμηριδσει,
η' αϝτοο παρ' εμοι τε μενῃ, και δῶμα κομιδσῃ,
ευνην τ' αιδομενη ποσιος, δημοϝο τε φημιν·
η' ηδη ͱαμ' ͱεπηται αχαιϝων, ͱοστις αριστος
μναϝητ' εν μεγαροισιν ανηρ, και πλειστα πορητιν.
αλλ' ητοι τον χσεινον, επει τεϝον ͱικετο δῶμα,
ϝεσσω μεν χλαιναν τε, χιτῶνα τε, ϝεσματα καλα·
δῶσω δε χσιφος αμφηκες, και ποδσι πεδιλϝα,
πεμπσω δ', ͱοπῇ μιν κραδιη θυϝμος τε κελεϝει.
ει δ' εθελεις συ, κομισσον ενι σταθμοισιν ερυκσανς·
ϝεσματα δ' ενθαδ' εγω πεμπσω, και σῖτον ͱαπαντα,
εδμεναι, ͱως αν μη σε κατατρυϝχῃ και ͱεταιροϝς.
κεισε δ' αν ου μιν εγωγε μετα μνῆστηρας εϝᾶσω
ερχεσθαι·—λιϝην γαρ ατασθαλον ͱυβριν ͱεχοντιν·—
μη μιν κερτομεωντιν, εμοι δ' αχος εσσεται αινον.
πρῆκσαι δ' αργαλεον τι μετα πλεονεσιν εοντα
ανδρα και ἶφθῖμον· επειη πολυ φερτεροι εντιν.
τον δ' αϝτε προσεϝεσπε πολυτλᾶνς διϝος ͱοδυσσεϝς·
ω φιλ', επει θην μοι και αμειβσασθαι θεμις εστιν·
η μαλα μεο καταδαπτετ' ακοϝοντος φιλον ητορ,
ͱοια φατε μνῆστηρας ατασθαλα μηχαναεσθαι
εν μεγαροισ', αϝεκητι σεθεν, τοιοϝτοϝ εοντος.
ϝεσπε μοι, ηε ͱεκων ͱυποδαμνασαι, η σεγε λαϝοι
εχθαιρουντ' ανα δημον, εφεσπομενοι θεοϝ ομφῇ·
η τι κασιγνῆτοισ' επιμεμφεαι· ͱοισι περ ανηρ
μαρναμενοισι πεποιθε, και ει μεγα νεικος ορωρεεν.
αι γαρ εγων ͱοϝτῳ νεϝος ειην τῳδ' ενι θυϝμῳ·
αϝτικ' επειτ' απ' εμεϝο καρῆ ταμοι αλλοτριος φῶς,
ει μη εγω κεινοισι κακον παντεσι γενοιμην,
ελθων ες μεγαρον λαϝερτιαδαϝ ͱοδυσεϝος.
ει δ' αϝ με πληθυι δαμασαιατο μουνον εοντα,

βουλοιμην κ' εν εμοισι κατακταμενος μεγαροισιν Π
τεθναμεν, η ταδε γ' αιϝεν αϝεικεα ϝεργ' ͱοραεσθαι.
τον δ' αϝ τηλεμαχος πεπνῦμενος αντιον ηῦϝδα·
τοιγαρ εγω τοι, χσεινε, μαλ' ατρεκεως αγορεϝσω·
ουτε τι μοι πανς δημος απεχθομενος χαλεπαινει,
ουτε κασιγνῆτοισ' επιμεμφομαι, ͱοισι περ ανηρ
μαρναμενοισι πεποιθε, και ει μεγα νεικος ορωρεεν·
ͱῷδε γαρ ͱημετερην γενεην μουνῶσε κρονιϝων·
μουνον λαϝερτην αρκεισιος ͱυιον ετικτεν,
μουνον δ' αϝ ͱοδυσεϝα πατηρ τεκεν· αϝταρ ͱοδυσσεϝς
μουνον εμ' εν μεγαροισι τεκων λιπεν, ουδ' απονητο·
τῷ νῦν δυσμενεες μαλα μυϝριοι εντ' ενι ϝοικῳ.
ͱοσσοι γαρ νησοισιν επικρατεοντιν αριστοι,
δουλιχιῷ τε, σαμῇ τε, και ͱυλϝῆεντι δακυνθῷ,
ηδε ͱοσσοι κραναην ιθακην κατακοιρανεοντιν,
τοσσοι μητερ' εμην μνῶνται, τρυϝχοντι δε ϝοικον.
ͱη δ' ουτ' αρνεεται στυγερον γαμον, ουτε τελεϝτην
ποιησαι δυναται· τοι δε φθινυθοντιν εδοντες
ϝοικον εμον· ταχα δη με διαϝραισοντι και αϝτον.
αλλ' ητοι μεν ταϝτα θεων εν γουϝασι κειται.
αττα, συ δ' ερχεο θασσον, ͱεχεφρονι πηνελοπειῇ
ϝεσφ' οτι ͱοι σαος ῆμι, και εκ πυλοϝ' ηληλουθα.
αϝταρ εγων αϝτοο μενεω, συ δε δευρο νεεσθαι,
οιῇ απανγῆλανς· των δ' αλλων μη τις αχαιϝων
πευθεσθω· πολλοι γαρ εμοι κακα μηχαναονται.
τον δ' απαμειβομενος προσεφης, ͱεῦμαιε συβῶτα·
γιγνῶσκω, φρονεω, ταγε δη νοεοντι κελεϝεις.
αλλ' αγε μοι τοδε ϝεσπε, και ατρεκεως καταλεγσον,
ῄ' αρα λαϝερτῇ αϝτην ͱοδον ανγελος ελθω
δυσμορῷ· ͱος τεϝος μεν ͱοδυσσεϝος μεγ' αχεϝων
ϝεργα τ' εποπτεϝεσκε, μετα δμῶων τ' ενι ϝοικῷ
πιϝνε και ῆσθ', ͱοτε θυϝμος ενι στηθεσσιν ανωγοι·
αϝταρ νῦν, εκς ͱοο συγ' εοιχεο ναϝι πυλονδε,
ου πῷ μιν φαντιν φαγεμεν και πιϝεμεν αϝτως,
ουδ' επι ϝεργα ϝιδεεν· αλλα στοναχῇ τε γοῷ τε
ͱησται οδυϝρομενος, φθινυθει δ' αμφ' οστεοφιν χρῶς.
τον δ' αϝ τηλεμαχος πεπνῦμενος αντιον ηῦϝδα·
αλγιον, αλλ' ενπης μιν εϝᾶσομεν, αχνυμενον περ.
ει γαρ πως ειη αϝταγρετα παντα βροτοισιν,
πρῶτον κεν τοϝο πατρος ͱελοιμεθα νοστιμον ͱημαρ.
αλλα συγ' ανγῆλανς οπισῷ κιε, μηδε κατ' αγροϝς
πλαδσεσθαι μετ' εκεινον· αταρ προς μητερα ϝεσπεεν,
αμφιπολον ταμιην οτρυϝνεμεν ͱοτι ταχιστα
κρυβδην· κεινη γαρ κεν απανγῆλειε γεροντι.
ῆ ρα, και ῶρσε συφορβον· ͱο δ' ͱελλετο χερσι πεδιλϝα,
δησαμενος δ' ͱυπο ποσσι πολινδ' ιεν· ουδ' αρ' αθηνην

ληθεν απο σταθμοϝο κιων ͱεϋμαιος ͱυφορβος· Π
αλλ' ͱηγε σχεδον ηλθε· δεμας δ' εϝεϊκτο γυναικι
καλῆ τε, μεγαλῆ τε, και αγλαϝα ϝεργα ϝιδυιῆ.
στη δε κατ' αντιθυρον κλισιης ͱοδυσεϝι φανεντσα·
ουδ' αρα τηλεμαχος ϝιδεν αντιον, ουδ' ενοησεν·
αλλ' ͱοδυσεϝς τε, κυνες τ' εϝιδον, και ρ' ουχ υλαοντο,
κνυδσηθμῷ δ' ͱετερωσε δια σταθμοϝ' εφοβηθεν.
ͱη δ' αρ' επ' οφρυσ' ενευσ'· ενοησε δε διϝος ͱοδυσσεϝς,
εκ δ' ηλθεν μεγαροϝο παρεκ μεγα τειχιον αϝλης,
στη δε παροιθ' αϝτης· τον δε προσεϝεσπεν αθηνη·
διϝογενες λαϝερτιαδη, πολυμηχαν' ͱοδυσσεϝ,
ηδη νῦν σῷ παιδι ϝεπος φαο, μηδ' επικεϝθε,
ͱως αν μνῆστηρσιν θανατον και κηρ' αραροντε
ερχησθον προτι ϝαστυ περικλυτον· ουδ' εγω αϝτη
δηρον απο σφοϝιν εσομαι, μεμαϝυια μαχεσθαι.
ῆ, και χρυσειῆ ϝραβδῷ επεμασσατ' αθηνη·
φαϝρος μεν ͱοι πρῶτον ͱεϋπλυνες, ηδε χιτῶνα,
θῆκ' αμφι στηθεσσι· δεμας δ' ὤφελλε και ͱηβην.
απς δε μελανχροϊης γενετο, γναθμοι δ' ετανυσθεν·
κυϝανεαι δ' εγενοντο ϝεθειραδες αμφι γενειον.
ͱη μεν αρ' ͱως ερκσαντσα παλιν κιεν· αϝταρ ͱοδυσσεϝς
ηϊεν ες κλισιην· θαμβησε δε μιν φιλος ͱυιος·
ταρβησανς δ' ͱετερωσ' εβαλ' οπματα, μη θεος ειη,
και μιν φωνησανς ϝεπεα πτεροεντα προσηυϝδα·
αλλοιος μοι, χσεινε, φανης νεϝον ηε παροιθεν,
αλλα δε ϝεσμαθ' εχεις, και τοι χρῶς ουκ εθ' ομοιος.
η μαλα τις θεος εσσι, τοι ουρανον ευρυν ͱεχοντιν·
αλλ' ͱιληθ', ͱινα τοι κεχαρισμενα δῶομεν ͱιερα,
ηδε χρυσεα δῶρα τετυχμενα· φειδεο δ' ͱημεων.
τον δ' ῆμειβετ' επειτα πολυτλᾶνς διϝος ͱοδυσσεϝς·
ου τις τοι θεος ῆμι, τι μ' αθανατοισι ϝεϊσκεις;
αλλα πατηρ τεϝος ῆμι, τοϝ ͱεινεκα συ στοναχιδσων
πασχεις αλγεα πολλα, βιας ͱυποδεχμενος ανδρων.
ͱως αρα φωνησανς ͱυϊον κυσε, κατ δε παρειεων
δακρυϝ' εϝῆκε χαμαδσε· παρος δ' ͱεχε νωλεμες αιϝει.
τηλεμαχος δ',—ου γαρ πῳ επειθεθ' εϝον πατερ' εεναι,—
εκσαϝτις μιν ϝεπεσσιν αμειβομενος προσεϝεσπεν·
ου συγ' ͱοδυσσεϝς εσσι, πατηρ εμος· αλλα με δαιμων
θελγει, ͱοφρ' ετι μαλλον οδυϝρομενος στοναχιδσω·
ου γαρ πως αν θνῆτος ανηρ ταδε μηχαναοιτο
ͱῷ αϝτοο γε νοῳ, ͱοτε μη θεος αϝτος επελθων,
ρεϝιδιως εθελων θειη νεϝον, ηδε γεροντα.
η γαρ τοι νεϝον ῆσθα γερων, και αϝεικε' εϝεσσο,
νῦν δε θεοισι ϝεϝοικας, ͱοι ουρανον ευρυν ͱεχοντιν.
τον δ' απαμειβομενος προσεφη πολυμητις ͱοδυσσεϝς·
τηλεμαχ', ου σε ϝεϝοικε φιλον πατερ' ενδον εοντα

ουτε τι θαϝμαδσεεν περιωσιον, ουτ' αγαεσθαι. Π
ου μεν γαρ τοι ετ' αλλος ελευθσεται ενθαδ' ͱοδυσσεϝς·
αλλ' ͱοδ' εγω τοιοσδε, παθων κακα, πολλα τ' ανατλᾶνς,
ηλυθα ϝεικοστῷ ϝετεϊ ες πατριδα γαιαν.
αϝταρ τοι τοδε ϝεργον αθηναιης αγελαϝης,
ͱητε με τοιον εθῆκεν, ͱοπως εθελει· δυναται γαρ·
αλλοτε μεν πτῶχῳ εναλινκιον, αλλοτε δ' αϝτε
ανδρι νεϝῳ, και καλα περι χροϊ ϝεσμαθ' εχοντι.
ρεϝιδιον δε θεοισι, τοι ουρανον ευρυν ͱεχοντιν,
ημεν κυϝδῆναι θνῆτον βροτον, ηδε κακῶσαι.
ͱως αρα φῶνησανς κατ' αρ' ͱεδσετο· τηλεμαχος δε
αμφιχυθενς πατερ' εσθλον οδυϝρετο, δακρυϝα λειβων.
αμφοτεροισι δε τοισιν ͱυφ' ιμερος ὦρτο γοοϝο·
κλαϝον δε λιγυως, ͱαδινωτερον η' οἰϝωνοι,
φηναι, η αιγυπιοι γαμπτσωνυχες, ͱοισι τε τεκνα
αγροται εκσͱελλοντο, παρος πετεῆνα γενεσθαι·
ͱως αρα τοιγ' ελεεινα ͱυπ' οφρυσι δακρυϝα λειβον.
και νυ κ' οδυϝρομενοισιν εδῦ φαϝος ῆελιοϝο,
ει μη τηλεμαχος προσεφῶνε' ͱεϝον πατερ' αιψα·
ποιῃ γαρ νῦν δευρο, πατερ φιλε, ναϝι σε ναϝται
ῆγαγον εις ιθακην; τινες εσμεναι ευχεταονται;
ου μεν γαρ τι σε πεδσον οἰϝομαι ενθαδ' ͱικεσθαι.
τον δ' αϝτε προσεϝεσπε πολυτλᾶνς διϝος ͱοδυσσεϝς·
τοιγαρ εγω τοι, τεκνον, αληθειην καταλεγσω·
φαιηκες μ' αγαγον ναϝσικλυτοι, ͱοι τε και αλλοϝς
ανθρωποϝς πεμπονθ', οστις σφεας εισαφικηται·
και μ' ͱευδοντ' εν ναϝι θοϝῇ επι ποντον αγοντες
κατθεσαν εις ιθακην· επορον δε μοι αγλαϝα δῶρα,
χαλκον τε χρυσον τε ͱαλις, ϝεσθητα θ' υφαντην·
και τα μεν εν σπεϝεσσι θεων ͱιͱοτητι κεονται.
νῦν δ' αϝ δευρ' ͱικομην ͱυποθημοσυνῇσιν αθηνης,
ͱοφρα κε δυσμενεεσι φονοο περι βουλεϝσωμεν.
αλλ' αγε μοι μνῇστηρας αριθμησανς καταλεγσον,
οφρα ϝιδεω, ͱοσοι τε και ͱοιτινες ανερες εντιν·
και κεν εμον κατα θυϝμον αμυϝμονα μερμηριχσανς
φρασσομαι, ει κεν νοϝι δυνῆσομεθ' αντιφερεσθαι,
μουνω ανευθ' αλλων, η και διδσησομεθ' αλλοϝς.
τον δ' αϝ τηλεμαχος πεπνῦμενος αντιον ηυϝδα·
ω πατερ, ητοι σεϝο μεγα κλεος αιϝεν ακοϝον,
χειρας τ' αιχμῆτην εμεναι, και επιφρονα βουλην·
αλλα λιϝην μεγ' εϝεσπες, αγη μ' ͱεχει· ουδε κεν ειη,
ανδρε δυω πολλοισι και ῖφθῖμοισι μαχεσθαι.
μνῆστηρων δ' ουτ' αρ δεκας ατρεκες, ουδε δυ' οιαι,
αλλα πολυ πλεονες· ταχα ϝειδσεαι ενθαδ' αριθμον.
εκ μεν δουλιχιοϝο δυω και πεντηκοντα
κοϝροι κεκριμενοι, ͱεκς δε δρῆστηρες ͱεπονται·

εκ δε σαμης πισυρες και ϝεικοσι κοϝροι εαντιν· Π
εκ δε δακυνθοϝ εαντι ϝεϊκοσι φῶτες αχαιϝων·
εκ δ' αϝτης ιθακης δυο και δεκα παντες αριστοι,
και σφιν ͱαμ' εστι μεδων κηρυκς, και θειος αϝοιδος,
και δοιω θεραποντε, δαημονε δαιτροσυναϝων.
των ει κεν παντων αντῆσομεν ενδον εοντων,
μη πολυ πικρα και αινα βιας αποτιϝσεαι ελθων·
αλλα συγ', ει δυνασαι τιν' αμυϝντορα μερμηρικσαι,
φραδσεο, ͱος κεν νοϝιν αμυϝνοι προφρονι θυϝμῳ.
  τον δ' αϝτε προσεϝεσπε πολυτλᾶνς διϝος ͱοδυσσεϝς·
τοιγαρ εγω ϝερεω, συ δε συνθεο, και μεϝ' ακοϝσον,
και φρασαι, ει και νοϝιν αθηνη, γσυν διϊ πατρι,
αρκεσει, ηε τιν' αλλον αμυϝντορα μερμηρικσω;
  τον δ' αϝ τηλεμαχος πεπνῦμενος αντιον ηὖϝδα·
εσθλω τοι τοϝτω γ' επαμυϝντορε, τοϝς αγορεϝεις,
ͱυπσι περ εν νεφεεσι καθημενω· ͱωτε και αλλοις
ανδρεσι τε κρατεοντι, και αθανατοισι θεοισιν.
  τον δ' αϝτε προσεϝεσπε πολυτλᾶνς διϝος ͱοδυσσεϝς·
ου μεν τοι κεινω γε πολυν χρονον αμφις εσεσθον
φυϝλϝοπιδος κρατερης, ͱοποτε μνῆστηρσι και ͱημῖν
εν μεγαροισιν εμοισι μενος κρῖνηται αρεϝος.
  αλλα συ μεν νῦν ερχε' ͱαμ' ἠοῖ φαινομενηφιν
ϝοικαδε, και μνῆστηρσιν ͱυπερφιαλοισιν ͱομιλϝεε·
αϝταρ εμε προτι ϝαστυ συβῶτης ͱυστερον αγσει,
πτῶχῳ λευγαλεῳ εναλινκιον, ηδε γεροντι.
ει δε μ' ατιϝμῆσοντι δομον κατα, σον δε φιλον κεαρ
τετλατω εν στηθεσσι, κακως πασχοντος εμεϝο·
ἦνπερ και δια δῶμα ποδων ͱελκωντι θυραδσε,
η βελεσιν βαλλωντι· συ δ' εισͱορασων ανͱεχεσθαι.
αλλο δε τοι ϝερεω, συ δ' ενι φρεσι βαλλεο σῇσιν·
ει ͱετεον γ' εμος εσσι, και ͱαιματος ͱημετεροϝο,
μη τις επειθ' οδυσεϝος ακοϝσατω ενδον εοντος,
μητ' ὦν λαϝερτης ϝιδστω τογε, μητε συβῶτης,
μητε τις ϝοικεϝων, μητ' αϝτη πηνελοπεια.
  τον δ' απαμειβομενος προσεφῶνεε φαιδιμος ͱυιος·
ω πατερ, ητοι εμον θυϝμον και επειτα γ' οϊϝω
γνῶσεαι· ου μεν γαρ τι χαλιφροσυναι με ͱεχοντιν.
  ͱως ͱοι μεν τοιαϝτα προς αλληλοϝς αγορεϝον.
ͱη δ' αρ' επειτ' ιθακηνδε κατῆγετο ναϝς ͱεϋϝεργης,
ͱη φερε τηλεμαχον πυλοθεν και παντας ͱεταιροϝς·
ͱοι δ' ͱοτε δη λιμενος πολυβενθεος εντος ͱικοντο,
ναϝα μεν ͱοιγε μελαιναν επ' ηπειροϝ εϝερυσσαν,
τευχεα δε σφ' απενενκαν ͱυπερθυϝμοι θεραποντες·
αϝτικα δ' ες κλυτιοϝ εφερον περικαλλεα δῶρα.
αϝταρ κηρῦκα προͱεσαν δομον εις ͱοδυσεϝος,
αγγελιην ϝερεοντα περιφρονι πηνελοπειῃ.

τω δε συναντῆτην κηρυκς και διFος ͱυφορβος, 333
της αFτης ͱενεκ' αγγελιης, Fερεοντε γυναικι. Π
αλλ' ͱοτε δη ρ' εͱικοντο δομον θειοο βασιλεFος, 335
κηρυκς μεν ρα μεσῃσι μετα δμωῃσιν εFεσπεν·
ηδη τοι, βασιλεια, φιλος παϊς ηληλουθεν. 337
μνῆστηρες δ' ακαχοντο, κατῆφησαν τ' ενι θυFμῳ· 342
εκ δ' ηλθον μεγαροFο παρεκ μεγα τειχιον αFλης,
αFτοFο δε προπαροιθε θυραFων ͱεδριαοντο·
τοισιν δ' ευρυμαχος, πολυβοο παϊς, ῆρχ' αγορεFεεν· 345
ω φιλοι, η μεγα Fεργον ͱυπερφιαλως τετελεσται
τηλεμαχῳ, ͱοδος ͱηδ'· εφαμεν δε ͱοι ου τελεεσθαι.
αλλ' αγε, ναFα μελαιναν Fερυσσομεν, ͱητις αριστη·
ες δ' ερετας ͱαλιεFας αγῆρομεν, ͱοι κε ταχιστα
κεινοισ' ανγῆλωντι θοFως Fοικονδε νεεσθαι. 350
ου πῳ παν εFεFερτο, ͱοτ' αμφινομος Fιδε ναFα,
στρεφθενς εκ χωρης, λιμενος πολυβενθεος εντος,
ͱιστια τε στελλοντας, ερετμα τε χερσιν ͱεχοντας.
ͱηδυ δ' αρ' εκγελασανς μετεφωνε' ͱεFοισ' ͱεταροισιν·
μη τιν' ετ' ανγελιην οτρυFνομεν· ͱοιδε γαρ ενδον· 355
η τις σφιν τοδ' εFεσπε θεων, η' εFιδον αFτοι
ναFα παρερχομενην, την δ' ουκ εδυναντο κιχῆναι.
ͱως εφαθ'· οι δ' ανσταντες εβαν επι θῖνα θαλασσης·
αιψα δε ναFα μελαιναν επ' ηπειροF εFερυσσαν,
τευχεα δε σφ' απενενκαν ͱυπερθυFμοι θεραποντες. 360
αFτοι δ' εις αγορην κιον ͱαθροFοι, ουδε τιν' αλλον
ηFαον, ουτε νεFων μεταͱιδσεμεν, ουτε γεροντων.
τοισιν δ' αντινοος μετεφη, ͱεϋπειθεος ͱυιος·
ω ποποι! ͱως τονδ' ανδρα θεοι κακοτητος ελυFσαν·
ͱηματα μεν σκοποι ͱιδσον επ' ακριας ανεμοεντσας 365
αιFεν επασσυτεροι· ͱαμα δ' ῆελιῳ καταδῦντι,
ου ποτ' επ' ηπειροο νυκτ' αͱεμεν, αλλ' ενι ποντῳ
ναFι θοFῃ πλεFοντες εμιμνομεν ῆοα διFαν,
τηλεμαχον λοχαοντες, ͱινα φθῖσωμεν ͱελοντες
αFτον· τον δ' αρα τεFος απῆγαγε Fοικαδε δαιμων. 370
ͱημεες δ' ενθαδε ͱοι φραδσωμεθα λυγρον ολεθρον. 371
ͱως εφαθ'· οι δ' αρα παντες ακην εγενοντο σιωπῃ. 393
τοισιν δ' αμφινομος αγορεFσατο και μετεFεσπεν,
νισοFο φαιδιμος ͱυιος, αρητιαδαFο Fανακτος· 395
ͱος ρ' εκ δουλιχιοο πολυπυFροFο, ποιῆεντος,
ͱηγεετο μνῆστηρσι· μαλιστα δε πηνελοπειῃ
Fανδανε μυFθοισι· φρεσι γαρ κεχρητ' αγαθῃσιν.
ͱο σφιν ͱεϋφρονεων αγορεFσατο και μετεFεσπεν·
ω φιλοι, ουκ αν εγωγε κατακτεινεεν εθελοιμι 400
τηλεμαχον· δδεινον δε γενος βασιλεFιον εστιν
κτεινεμεν· αλλα πρωτα θεων ειρωμεθα βουλας·
ει μεν κ' αινησωντι διος μεγαλοFο θεμιστες,

αϝτος τε κτενεω, τοϝς τ' αλλοϝς παντας ανωγσω· Π
ει δε κ' αποτροπαωντι θεοι, παϝσασθαι ανῶγα.
ͱως εφατ' αμφινομος· τοισιν δ' επεϝανδανε μυϝθος.
αϝτικ' επειτ' ανσταντες εβαν δομον εις ͱοδυσεϝος·
ελθοντες δ' εκαθιδσον επι χσεστοισι θρονοισιν.
ͱη δ' αϝτ' αλλ' ενοησε περιφρων πηνελοπεια,
μνῆστηρεσι φανηναι ͱυπερβιον ͱυβριν ͱεχοντσιν·
πευθετο γαρ ͱοϝο παιδος ενι μεγαροισιν ολεθρον·
κηρυκς γαρ ͱοι εϝεσπε μεδων, ͱος επευθετο βουλας.
βη δ' ιμεναι μεγαρονδε, συν αμφιπολοισι γυναικσιν·
αλλ' ͱοτε δη μνηστηρας αφικετο διϝα γυναικων,
στη ϱα παρα σταθμον τεγεος πυκα ποιητοϝο,
αντα παρειαϝων σχομενη λιπαρα κρῆδεμνα·
αντινοον δ' ενενῖπε, ϝεπος τ' εφατ', εκ τ' ονομαδσεν·
αντινο', ͱυβριν ͱεχων, κακομηχανε και δε σε φαντιν
εν δημῷ ιθακης μεθ' ομηλικας εσμεν' αριστον
βουλῆ και μυϝθοισι· συ δ' ουκ αρα τοιος εῆσθα.
μαργε, τιη δε συ τηλεμαχῷ θανατον τε μοϱον τε
ραπτεις, ουδ' ͱικετας ενπαδσεαι, ͱοισιν αρα δσεϝς
μαρτυρος; ουδ' ͱοσιη κακα ραπτεμεν αλληλοισιν.
η' ουκ ϝοιδσθ', ͱοτε δευρο πατηρ τεϝος ͱικετο φευγων,
δημον ͱυποδδειδσανς; δη γαρ κεχολῶατο λιϝην,
ͱοονεκα λεϝιστηρσιν εφεσπομενος ταφιοισιν
ῆκαχε θεσπρωτοϝς· ͱοι δ' ͱημῖν αρθμιοι ῆσαν·
τον ρ' εθελον φθῖσαι, και αποϝραισαι φιλον ητορ,
ηδε κατα δσαϝην φαγεεεν μενοϝεικεα πολλην·
αλλ' ͱοδυσεϝς κατερυκε, και εσχεθεν, ͱιϝεμενοϝς περ.
τοο νῦν ϝοικον ατιϝμον εδεις, μναϝεαι δε γυναικα,
παιδα τ' αποκτεινεις, εμε δε μεγαλως ακαχιδσεις·
αλλα σε παϝσασθαι κελομαι, και ανωγεμεν αλλοϝς.
την δ' αϝτ' ευρυμαχος, πολυβοο παϊς, αντιον ῆυϝδα·
κοϝρη ϝικαριοϝο, περιφρον πηνελοπεια,
θαρσεε, μη τοι ταϝτα μετα φρεσι σῆσι μελοντων·
ουκ εσθ' οϝτος ανηρ, ουδ' εσσεται, ουδε γενηται,
ͱος κεν τηλεμαχῷ σῷ ͱυιῖ χειρας εφοισει,
δσαϝοντος γ' εμεθεν και επι χθονι δερκομενοϝο.
ͱῷδε γαρ εκσϝερεω, και μην τετελεσμενον εσται,
αιπσα ͱοι ͱαιμα κελαινον εροϝησει περι δορϝι
ͱημετερῷ· επει η και εμε πτολιπορθος ͱοδυσσεϝς
πολλακι γουϝασσ' ͱεϝοισιν εφεσσαμενος κρεας οπτον
εν χειρεσιν εθῆκεν, επεσχε τε ϝοινον ερυθϱον.
τῷ μοι τηλεμαχος παντων πολυ φιλτατος εστιν
ανδρων· ουδε τι μιν θανατον τρομεεσθαι ανῶγα,
εκ γε μνῆστηρων· θεοθεν δ' ουκ εστ' αλεϝεσθαι.
ͱως φατο θαρσυϝνων· τῷ δ' ῆρτυϝεν αϝτος ολεθρον.
ͱη μεν αρ' εισαναβαντσ' ͱυπεροϝια σιϝαλοεντα

κλαϝεν επειθ' οδυσεϝα, φιλον ποσιν, ͱοφρα ͱοι ͱυπνον
ͱηδυν επι βλεφαροισ' εβαλε γλαϝκῶπις αθηνη. Π
ϝεσπεριος δ' ͱοδυσεϝι και ͱυιϊ διϝος ͱυφορβος
ηλυθεν· ͱοι δ' αρα δορπον επισταδον ͱοπλιδσοντο,
σῦν ιερεϝσαντες ενιαϝσιον· αϝταρ αθηνη
ανχι παρͱισταμενη λαϝερτιαδην ͱοδυσεϝα,
ϝραβδῷ πεπληγυια, παλιν ποιησε γεροντα·
λυγρα δε ϝεσματ' εϝεσσε περι χροϊ· μη ͱε συβῶτης
γνοιη ες αντα ϝιδων, και ͱεχεφρονι πηνελοπειῇ
ελθοι απανγελλων, μηδε φρεσιν ερυϝσαιτο.
τον και τηλεμαχος προτερος πρὸς μυϝθον εϝεσπεν·
ηλθες, διϝ' ͱεῦμαιε· τι δη κλεος εστ' ανα ϝαστυ;
η ρ' ηδη μνῆστηρες αγῆνορες ενδον εαντιν
εκ λοχοϝ; η' ετι μ' αϝτε ρυϝονται ϝοικαδ' ιοντα;
τον δ' απαμειβομενος προσεφης, ͱεῦμαιε συβῶτα·
ουκ εμελεν μοι ταϝτα μεταλλῆσαι και ερεσθαι,
ϝαστυ καταβλῶσκοντα· ταχιστα με θυϝμος ανωγεν
ανγελιην ϝεσποντα παλιν δευρ' απονεεσθαι.
ͱως φατο· μειδῆσεν δ' ͱιερη ϝις τηλεμαχοϝο,
ες πατερ' οφθαλμοισι ϝιδων· αλεϝεινε δ' ͱυφορβον.
ͱοι δ' επει ῶν παϝσαντο πονοο, τετυχοντο τε δαιτα,
δαινῦντ'· ουδε τι θυϝμος εδεϝετο δαιτος ϝεϊσϝης.
αϝταρ επει ποσιος και εδητυος εκς ερον ͱεντο,
δη τοτ' εκοιμῆσαντο, και ͱυπνοϝο δῶρον ͱελοντο.
ημος δ' ῆριγενει' εφανη ϝροδοδακτυλος ῆως, P
δη τοτ' επειθ' υπο ποδσιν εδησατο καλα πεδιλϝα
τηλεμαχος, φιλος ͱυιος ͱοδυσσεϝος θειοϝο·
ͱελλετο δ' αλκιμον ενχος, ͱο ͱοι παλαμηφιν αρῆρεεν,
ϝαστυδε ͱιͱεμενος, και ͱεϝον προσεϝεσπε συβῶτην·
αττ', ητοι μεν εγων ειμ' ες πολιν, ͱοφρα με μητηρ
οπτσεται· ου γαρ μιν προσθεν παϝσεσθαι οἰϝω
κλαϝθμοϝο τε στυγεροϝο, γοοϝο τε δακρυϝοεντος,
πριν γ' αϝτον με ϝιδηται· αταρ σοιγ' ͱῷδ' επιτελλω·
τον χσεινον δυστηνον αγ' ες πολιν, ͱοφρ' αν εκειθι
δαιτα πτῶχεϝῇ· δῶσει δε ͱοι, ͱος κ' εθεληητιν,
πυρνον και κοτυλην· εμε δ' ουπως εστιν ͱαπαντας
ανθρωποϝς ανεχεσθαι, ͱεχοντα περ αλγεα θυϝμῷ.
τον δ' απαμειβομενος προσεφη πολυμητις ͱοδυσσεϝς·
ω φιλος, ουδε τοι αϝτος ερυκεσθαι μενεαινω·
πτῶχῷ βελτερον εστι κατα πτολιν, ηε κατ' αγροϝς,
δαιτα πτῶχεϝεεν· δωσει δε μοι, ͱος κ' εθεληητιν.
ͱως φατο· τηλεμαχος δε δια σταθμοϝ εβεβηκεεν,
κραιπνα ποσι προβιβανς· κακα δε μνῆστηρσ' εφυτεϝεν.
αϝταρ επει ρ' εͱικανε δομοϝς ͱεῦ ναιεταοντας,
ενχος μεν ρ' εστησε φερων προς κιονα μακρην,
αϝτος δ' εισῷ ιεν, και ͱυπερβη λαϝινον ουδον.

τον δε πολυ πρῶτη Fειδε τροφος ευρυκλεια, P
κωεα κᾶστορνῦντσα θρονοισ' ενι δαιδαλεοισιν·
δακρυFσαντσα δ' επειτ' ιθυς κιεν· αμφι δ' αῤ αλλαι
δμῶαι ͱοδυσσεFος ταλασιφρονος ἧγερεθοντο,
και κυνεον αγαπαδσομεναι κεφαλην τε και ωμοFς.
ͱη δ' ιεν εκ θαλαμοFο περιφρων πηνελοπεια,
αῤτεμιδι Fικελη, ηε χρυσεῇ αφροδιτῇ·
αμφι δε παιδι φιλῷ βαλε πηχεε δακρυFσαντσα·
κυσσε δε μιν κεφαλην τε και αμφω φαFεα καλα,
και ρ' ολοφυFρομενη Fεπεα πτεροεντα προσῆυFδα·
  ηλθες, τηλεμαχε, γλυκεῤον φαFος· ου σ' ετ' εγωγε
οπτσεσθαι εφαμην, επει ᾢχεο ναFι πυλονδε
λαθρῇ, εμεF' αͱεκητι, φιλοο μετα πατρος ακοFην.
αλλ' αγε μοι καταλεγσον, ͱοπως ἦντησας οπῶπης.
  την δ' αF τηλεμαχος πεπνῦμενος αντιον ἦυFδα·
μητεῤ εμη, μη μοι γοον οῤνυθι, μηδε μοι ητορ
εν στηθεσσιν ορινε, φυγοντι περ αιπυν ολεθρον·
αλλ' ͱυFδρῆναμενη, καθαρα χροϊ Fεσμαθ' ελοντσα,
ευχεο παντσι θεοισι τελῆεντσας ͱεκατονβας
ρεκσεεν, αι κε ποθι δσεFς αντιτα Fεργα τελεσσῇ.
αFταρ εγων αγορηνδ' εσελευθσομαι, ͱοφρα καλεσσω
χσεινον, ͱος μοι κειθεν ͱαμ' ͱεσπετο δευρο κιοντι.
τον μεν εγω προεπεμπσα συν αντιθεοισ' ͱεταροισιν·
πειραιον δε μιν ἦνωγον προτι Fοικον αγοντα
ενδυκεως φιλεεεν και τιFεμεν, εις ͱο κεν ελθω.
  ͱως αρ' εφῶνησεν· τῇ δ' απτερος επλετο μυFθος.
ͱη δ' ͱυFδρῆναμενη, καθαρα χροϊ Fεσμαθ' ελοντσα,
ευχετο παντσι θεοισι τελῆεντσας ͱεκατονβας
ρεκσεεν, αι κε ποθι δσεFς αντιτα Fεργα τελεσσῇ.
  τηλεμαχος δ' αρ' επειτα δι' εκ μεγαροF' εβεβηκεεν,
ενχὸς ͱεχων· ͱαμα τῷγε κυνες ποδας αργοι ͱεποντο.
θεσπεσιην δ' αῤα τῷγε χαῤιν κατεχεFεν αθηνη·
τον δ' αρα παντες λαFοι επεῤχομενον θαFεοντο.
αμφι δε μιν μνῆστηρες αγῆνορες ἧγερεθοντο,
εσθλ' αγοῤεFοντες, κακα δε φρεσι βυσσοδομεFον.
αFταρ ͱο των μεν επειθ' υπαλεFσατο πολυν ͱομιλFον,
αλλ', ͱινα μεντωρ ͱηστο, και αντιφος, ηδ' ͱαλιθερσης,
ͱοιτε ͱοι εκς αρχης πατροFιοι ἦσαν ͱεταιροι,
ενθα καθεδσετ' ιων· τοι δ' εκσερεειναν ͱεκαστα.
τοισι δε πειραιος δορFικλυτος ενγυθεν ηλθεν,
χσεινον αγων αγορηνδε δια πτολιν· ουδ' αρ' ετι δην
τηλεμαχος χσεινοFο ͱεκας τραπετ', αλλα παῤεστη.
τον και πειραιος προτερος προς μυFθον εFεσπεν·
  τηλεμαχ', αιπσ' οτῤῦFνον εμον ποτι δῶμα γυναικας,
ͱως τοι δῶρ' αποπεμπσω, ͱα τοι μενελαFος εδῶκεν.
  τον δ' αF τηλεμαχος πεπνῦμενος αντιον ἦυFδα·

πειραι', ου γαρ Fιδμεν, ͱοπως εσται ταδε Fεργα· P
ει κεν εμε μνῆστηρες αγῆνορες εν μεγαροισιν
λαθρῇ κτῆναντες πατροFια παντα δασονται,
αFτον ͱεχοντα σε βουλομ' επαFρεμεν, η τινα τωνδε·
ει δε κ' εγω τοFτοισι φονον και κῆρα φυτεFσω,
δη τοτε μοι χαιροντι φερεεν προς δῶματα χαιρων.
ͱως Fεσπων, χσεινον ταλαπειριον ῆγεν ες Fοικον.
αFταρ επει ρ' εFικοντο δομοFς ͱεῢ ναιεταοντας,
χλαινας μεν κατεθεντο κατα κλισμοFς τε θρονοFς τε·
ες δ' ασαμινθοFς βαντες ͱεῢχσεστας λοFεσαντο.
τοFς δ' επει ῶν δμῶαι λοFεσαν, και χριFσαν ελαιῳ,
αμφι δ' αρα χλαινας FολFας βαλον, ηδε χιτῶνας·
εκ ρ' ασαμινθοFο βαντες επι κλισμοισι καθιδσον.
χερνιβα δ' αμφιπολος προχοFῳ επεχεFε φεροντσα
καλῇ, χρυσειῇ, ͱυπερ αργυρεοFο λεβητος,
νιπτσασθαι· παρα δε χσεστην ετανυσσε τραπεδσαν·
σῖτον δ' αιδοιη ταμιη παρεθῆκε φεροντσα,
ῆδατα πολλ' επιθεντσα, χαριδσομενη παρεοντων.
μητηρ δ' αντιον ͱιδσε παρα σταθμον μεγαροFο,
κλισμῳ κεκλιμενη, λεπτ' ηλακατα στροφαοντσα.
ͱοι δ' επ' ονειαθ' ετοιμα προκειμενα χειρας ιαλλον.
αFταρ επει ποσιος και εδητυος εκς ερον ͱεντο,
τοισι δε μυFθων ῆρχε περιφρων πηνελοπεια·
τηλεμαχ', ητοι εγων ͱυπεροFιον εισαναβαντσα
λεχσομαι εις ευνην, ͱη μοι στονοεντσα τετυχται,
αιFει δακρυσ' εμοισι πεφυFρμενη, εκς ͱοF ͱοδυσσεFς
ῳχεθ' αμ' ατρεFιδῆσιν ες FιλFιον· ουδε μοι ετλῆς,
πριν γ' ελθεεν μνῆστηρας αγῆνορας εις τοδε δῶμα,
νοστον σοο πατερος σαφα Fεσπεμεν, ει ποF' ακοFσας.
την δ' αF τηλεμαχος πεπνῦμενος αντιον ῆυFδα·
τοι γαρ εγω τοι, μητερ, αληθειην καταλεγσω·
ῳχομεθ' ες τε πυλον, και νεστορα, ποιμενα λαFων·
δεχσαμενος δε μ' εκεινος εν ͱυπσηλοισι δομοισιν
ενδυκεως εφιλεεν, ͱως ει τε πατηρ ͱεFον ͱυια
ελθοντα χρονιον νεFον αλλοθεν· ͱως εμε κεινος
ενδυκεως εκομιδσε συν ͱυιεσι κυFδαλιμοισιν.
αFταρ ͱοδυσσεFος ταλασιφρονος ου ποτ' εφᾶσκεν,
δσαFοF, ουδε θανοντος, επιχθονιων τεο ακοFσαι·
αλλα μ' ες ατρεFιδην δορFικλειτον μενελαFον
ͱιπποισι προεπεμπσε και ͱαρμασι κολλητοισιν.
ειρετο δ' αFτικ' επειτα βοην αγαθος μενελαFος
ͱοττεο χρεFιδσων ͱικομην λακεδαιμονα διFαν·
αFταρ εγω τῳ παντσαν αληθειην κατελεγσα·
και τοτε δη με Fεπεσσιν αμειβομενος προσεFεσπεν·
ω ποποι! η μαλα δη κρατεροφρονος ανδρος εν ευνῇ
ηθελον ευνῆθηναι αναλκιδες αFτοι εοντες.

ͱως δ' ͱοποτ' εν χσυλοχῷ ελαφος κρατεροϝο λεϝοντος P
νεβροϝς κοιμῆσαντσα νεϝηγενεας, γαλαθηνοϝς,
κνημοϝς εκσερεητι και ανκεα ποιῆεντα
βοσκομενη, ͱο δ' επειτα ͱεϝην εισηλυθεν ευνην,
αμφοτεροισι δε τοισιν αϝεικεα ποτμον εφῆκεν·
ͱως ͱοδυσεϝς κεινοισιν αϝεικεα ποτμον εφῆσει.
αι γαρ, δσεϝ τε πατερ, και αθηναιη, και απολλον,
τοιος εων, ͱοιος ποθ' εϋκτιμενῃ ενι λεσβῳ
εκς εριδος φιλομηλεϝιδῃ επαλαισεν αναστανς,
κατ δ' εβαλε κρατερως, κεχαροντο δε παντες αχαιϝοι·
τοιος εων μνῆστηρσιν ͱομιλϝησειεν ͱοδυσσεϝς·
παντες κ' ὠκυμοροι τε γενοιατο πικρογαμοι τε.
ταϝτα δ', ͱα μ' ειρωτᾳς και λισσεαι, ουκ αν εγωγε
αλλα παρεκς ϝεσποιμι παρακλιδον, ουδ' απατῆσω·
αλλα τα μεν μοι εϝεσπε γερων ͱαλιος νημερτης,
των ουδεν τοι εγω κρυπτσω ϝεπος, ουδ' επικεϝθσω.
  φη μιν ͱογ' εν νησῳ ϝιδεεεν κρατερ' αλγε' ͱεχοντα,
νυμφης εν μεγαροισι καλυπσοος, ͱη μιν ανανκῃ
ͱισχει· ͱο δ' ου δυναται ͱην πατριδα γαιαν ͱικεσθαι·
ου γαρ ͱοι παρα ναϝες επῆρετμοι και ͱεταιροι,
ͱοι κεν μιν πεμποιεν επ' ευρυα νωτα θαλασσης.
  ͱως ͱοι μεν τοιαϝτα προς αλληλοϝς αγορεϝον.
μνῆστηρες δε παροιθεν ͱοδυσσεϝος μεγαροϝο
δισκοισιν τερποντο, και αιγανεῃσιν ͱιͱεντες,
εν τυχτῷ δαπεδῷ, ͱοθι περ παρος ͱυβριν ͱεχεσκον.
αλλ' ͱοτε δη δειπνηστος εῆν, και επηλυθε μηλα
παντοθεν εκς αγρων, ͱοι δ' ῆγαγον, ͱοι το παρος περ,
και τοτε δη σφιν εϝεσπε μεδων, ͱος γαρ ρα μαλιστα
ϝανδανε κηρῦκων, και σφιν παρεγιγνετο δαιτι·
  κοϝροι, επειδη παντες ετερφθητε φρεν' αϝεθλοις,
ερχεσθε προς δῶμαθ', ιν' εντυϝνωμεθα δαιτα·
ου μεν γαρ τι χερειον εν ͱωρῃ δειπνον ͱελεσθαι.
  ͱως εφαθ'· οι δ' ανσταντες εβαν, πειθοντο τε μυϝθῳ.
αϝταρ επει ρ' εͱικοντο δομοϝς ͱεϋ ναιεταοντας,
χλαινας μεν κατεθεντο κατα κλισμοϝς τε θρονοϝς τε,
ͱοι δ' ͱιερεϝον οϝιας μεγαλοϝς και πιϝονας αιγας,
ͱιερεϝον δε συας σιϝαλοϝς, και βοϝν αγελαιην,
δαιτ' εντυϝνομενοι. τοι δ' εκς αγροϝο πολινδε
ὦτρυϝνονθ' οδυσεϝς τ' ιμεναι και διϝος ͱυφορβος·
τοισι δε μυϝθων ῆρχε συβωτης, ορχαμος ανδρων·
  χσειν', επει αρ δη επειτα πολινδ' ιμεναι μενεαινεις
σημερον, ͱως επετελλε ϝανακς εμος, η σ' αν εγωγε
αϝτοϝο βουλοιμην σταθμων ρυϝτηρα λιπεσθαι·
αλλα τον αιδεομαι, και δεδδια, μη μοι οπισσῷ
νεικειῃ· χαλεπαι δε ϝανακτων εντιν ͱομοκλαι.
αλλ' αγε νῦν ιομεν· δη γαρ μεμολωκε μαλιστα

ͱημαρ· αταρ ταχα τοι ποτι ϝεσπερα ριγιον εσται. P
τον δ' απαμειβομενος προσεφη πολυμητις ͱοδυσσεϝς·
γιγνωσκω, φρονεω· ταγε δη νοεοντι κελεϝεις·
αλλ' ιομεν· συ δ' επειτα διανπερες ͱηγεμονεϝε.
δος δε μοι, ει ποθι τοι ϝροπαλον τετμῆμενον εστιν,
σκηριπτεσθ', επειη φατ' αρισφαλες εσμεναι ουδας.
ἦ ρα, και αμφ' ωμοισιν αϝεικε' εβαλλετο πηρην,
πυκνα ϝρωγαλεην· εν δε στροφος ἦεν αͱορτηρ.
ͱευμαιος δ' αρα ͱοι σκηπτρον θυϝμαρες εδῶκεν.
τω βητην· σταθμον δε κυνες και βῶτορες ανδρες
ρυϝατ' οπισθε μενοντες· ͱο δ' ες πολιν ἦγε ϝανακτα,
πτῶχῳ λευγαλεῷ εναλινκιον, ηδε γεροντι,
σκηπτομενον· τα δε λυγρα περι χροϊ ϝεσματ' εϝεστο.
αλλ' ͱοτε δη στειχοντες ͱοδον κατα παιπαλοεντσαν
ϝαστυϝος εγγυς εσαν, και επι κρῆνην αφικοντο
τυχτην, καλλιροϝον, ͱοθεν ͱυϝδρεϝοντο πολῖται,
την ποιησ' ιθακος, και νηριτος, ηδε πολυκτωρ·
αμφι δ' αρ' αιγειρων ͱυδατοτρεφεων ἦν αλσος
παντοσε κυκλοτερες, κατα δε πσυϝχρον ρεϝεν ͱυϝδωρ
ͱυπσοθεν εκ πετρης· βωμος δ' εφυπερθ' ετετυχτο
νυμφαϝων, ͱοθι παντες επιρεδσεσκον ͱοδῖται·
ενθα σφεας εκιχαν' ͱυϊος δολιοϝο μελανθεϝς,
αιγας αγων, ͱαι παντσι μετεπρεπον αιπολιοισιν,
δειπνον μνῆστηρεσι· δυω δ' ͱαμ' ͱεποντο νομεϝες.
τοϝς δε ϝιδων νεικεσσε, ϝεπος τ' εφατ', εκ τ' ονομαδσεν,
εκπαγλον και αϝεικες· ορῖνε δε κεαρ ͱοδυσεϝος·
νῦν μεν δη μαλα πανχυ κακος κακον ͱηγηλαδσει·
ͱως αιϝει τον ͱομοιον αγει θεος εις τον ͱομοιον.
πῆ δη τονδε μολοβρον αγεις, αμεγαρτε συβῶτα,
πτῶχον ανιϝηρον, δαιτων απολοϝμαντηρα;
ͱος πολλῆς φλειῆσι παραστανς φλειβσεται ωμοϝς,
αιτιδσων ακολοϝς, ουκ αͱορα γ', ουδε λεβητας·
τον κ' ει μοι δοιης σταθμων ρυϝτηρα γενεσθαι,
σηκοκορον τ' εμεναι, θαλλον τ' εριφοισι φορηναι,
και κεν ορον πιϝνων μεγαλην επιγονϝιδα θειτο.
αλλ' επει ὦν δη ϝεργα κακ' εμαθεν, ουκ εθελησει
ϝεργον εποιχεσθαι, αλλα πτῶσσων κατα δημον
βουλεται αιτιδσων βοσκεεν ͱην γαστερ' ααλτον.
αλλ' εκ τοι ϝερεω, τοδε και τετελεσμενον εσται,
αι κ' ελθῃ προς δῶμαθ' οδυσσεϝος θειοϝο,
πολλα ͱοι αμφι καρῆ σφελα' ανδρων εκ παλαμαϝων
πλεϝραι αποτριβσοντι δομον κατα βαλλομενοϝο.
ͱως φατο· και παριων λακς ενθορεν αφραδιῃσιν
ͱισχιῷ· ουδε μιν εκτος αταρπιτοϝ εστυφελικσεν,
αλλ' εμεν' ασφαλεως· ͱο δε μερμηρικσεν ͱοδυσσεϝς,
ηε μεταͱικσανς ϝροπαλῷ εκ θυϝμον ͱελοιτο,

η προς γην ελασειε καρῆ, αμφουδις αϝῆραυς· P
αλλ' επετολμῆσε, φρεσι δ' εσχετο· τον δε συβῶτης
νεικεσσεν αντα ϝιδων· μεγα δ' ευχσατο, χειρας ανασχων·
νυμφαι κρῆναιαι, κοϝραι διος, ει ποθ' οδυσσεϝς
υμμ' επι μηρι' εκῆε, καλυπτσαυς πιϝονι δημῷ,
ϝαρνων, ηδ' εριφων, τοδε μοι κραϝῆνατ' εελδωρ,
ϝως ελθοι μεν κεινος ανηρ, αγαγοι δε ϝε δαιμων·
τῷ κε τοι αγλαϝιας γε διασκεδασειεν ϝαπαντσας,
τας νῦν ϝυβριδσων φορεεις, αλαλῆμενος αιϝεν
ϝαστυ κατ'· αϝταρ μηλα κακοι φθειροντι νομεϝες.
 τον δ' αϝτε προσεϝεσπε μελανθιος, αιπολος αιγων·
ω ποποι! ϝοιον εϝεσπε κυων, ϝολοφωϊα ϝειδως!
τον ποτ' εγων επι ναϝος ϝεϋσελμοϝο μελαινης
αγσω τηλ' ιθακης, ϝινα μοι βιϝοτον πολυν αλφοι.
αι γαρ τηλεμαχον βαλοι αργυροτοκσος απολλων
σημερον εν μεγαροισ', η ϝυπο μνῆστηρσι δαμειη,
ϝως ϝοδυσεϝι γε τηλοϝ απωλετο νοστιμον ϝημαρ.
 ϝως ϝεσπων, τοϝς μεν λιπεν αϝτοθι, ϝῆκα κιοντας,
αϝταρ ϝο βη· μαλα δ' ῶκα δομοϝς εϝικανε ϝανακτος.
αϝτικα δ' εισῷ ιεν, μετα δε μνῆστηρσι καθιδσεν,
αντιον ευρυμαχοο· τον γαρ φιλεεσκε μαλιστα.
τῷ παρα μεν κρεαων μοιραν θεσαν, ϝοι πονεοντο·
σῖτον δ' αιδοιη ταμιη παρεθῆκε φεροντσα,
εδμεναι· ανχιμολον δ' ϝοδυσεϝς και διϝος ϝυφορβος
στητην ερχομενω· περι δε σφεϝας ηλυθ' ϝιϝωη
φορμιγγος γλαφυρης· ανα γαρ σφισ' εβαλλετ' αϝειδεεν
φημιος· αϝταρ ϝο χειρος ϝελων προσεϝεσπε συβῶτην·
 ϝευμαι', η μαλα δη ταδε δῶματα καλ' ϝοδυσεϝος,
ρεϝα δ' αριγνῶτ' εστι και εν πολλοισι ϝιδεσθαι.
εκς ϝετερων ϝετερ' εστιν· επῆσκηται δε ϝοι αϝλη
τοιχῷ και θρινκοισι, θυραι δ' ϝεϋϝερκεες εντιν
δικλιδες· ουκ αν τις μιν ανηρ ϝυπεροπλισσαιτο.
γιγνῶσκω δ', ϝοτι πολλοι εν αϝτῷ δαιτα τιθενται
ανδρες· επει κνισση μεν ανηνοθεν, εν δε τε φορμιγγς
ηπυϝει, ϝην αρα δαιτι θεοι ποιησαν ϝεταιρην.
 τον δ' απαμειβομενος προσεφης, ϝεϋμαιε συβῶτα·
ρεϝ' εγνῶς· επει ουδε τα τ' αλλα περ εσσ' ανοημων.
αλλ' αγε δη φραδσωμεθ', ϝοπως εσται ταδε ϝεργα.
ηε συ πρῶτος εσελθε δομοϝς ϝεϋ ναιεταοντας,
δυϝσεο δε μνῆστηρας, εγω δ' ϝυπολειπσομαι αϝτοο·
ει δ' εθελεις, επιμῆνον, εγω δ' ειμι προπαροιθεν·
μηδε συ δηθυϝνεεν, μη τις σ' εκτοσθε νοησαυς
η βαλῇ, η' ελασῇ· ταδε σε φραδσεσθαι ανῶγα.
 τον δ' ῆμειβετ' επειτα πολυτλᾶνς διϝος ϝοδυσσεϝς·
γιγνῶσκω, φρονεω· ταγε δη νοεοντι κελεϝεις·
αλλ' ερχεο προπαροιθεν, εγω δ' ϝυπολειπσομαι αϝτοο·

ου γαρ τι πληγεων αδαημων, ουδε βολαϝων· P
τολμῆενς μοι θυϝμος, επει κακα πολλα πεπονθα
κυϝμασι και πολεμῳ· μετα και τοδε τοισι γενεσθω.
γαστερα δ' ου πως εστιν αποκρυπτσαι μεμαϝυιαν,
ολομενην, ͱη πολλα κακ' ανθρωποισι διδῶτιν·
της ͱενεκεν και ναϝες ͱεΰδσυγοι ͱοπλιδσονται
ποντον επ' ατρυγετον, κακα δυσμενεεσι φεροντσαι.
ͱως ͱοι μεν τοιαϝτα προς αλληλοϝς αγορεϝον·
αν δε κυων κεφαλην τε και οϝατα κειμενος εσχεν
αργος ͱοδυσσεϝος ταλασιφρονος, ͱον ρα ποτ' αϝτος
τρεφσε μεν, ουδ' απονητο· παρος δ' εις ϝιλϝιον ͱιερην
ῴχετο· τον δε παροιθεν αγινεσκον νεϝοι ανδρες
αιγας επ' αγροτερας, ηδε προκας, ηδε λαγοϝοϝς.
δὴ τοτε κειτ' αποθεστος, αποιχομενοϝο ϝανακτος,
εν πολλῇ κοπρῳ, ͱη ͱοι προπαροιθε θυραϝων,
ͱημιονων τε, βοϝων τε, ͱαλις κεχυθ'· οφρ' αν αγοιεν
δμῶες ͱοδυσσεϝος τεμενος μεγα κοπρησοντες·
ενθα κυων κειτ' αϱγος, ενιπλεεος κυνοϝϱαιστεων.
δη τοτε γ', ͱως ενοησεν ͱοδυσσεϝ' εγγυς εοντα,
ουϱῇ μεν ͱογ' εσῆνε, και οϝατα κατβαλεν αμφω·
ασσον δ' ουκ ετ' επειτ' εδυνῆσατο ͱοϝο ϝανακτος
ελθεμεν· αϝταρ ͱο νοσφι ϝιδων απομοργσατο δακρυ,
ρεϝα λαθων ͱεΰμαιον· ͱαφαρ δ' ερεεινετο μυϝθῳ·
ͱευμαι', η μαλα θαϝμα, κυων ͱοδε κειτ' ενι κοπρῳ,
καλος μεν δεμας εστιν, αταϱ τοδε γ' ου σαφα ϝοιδα,
ει δη και ταχυς εσκε θεϝεεν επι ϝειδεϊ τῳδε,
η' αϝτως, ͱοιοι τε τραπεδσεϝες κυνες ανδρων
γιγνοντ', αγλαϝιης δ' ͱενεκεν κομεουτι ϝανακτες.
τον δ' απαμειβομενος προσεφης, ͱεΰμαιε συβῶτα·
και λιϝην ανδϱος γε κυων ͱοδε τηλε θανοντος.
ει τοιοσδ' ειη ημεν δεμας, ηδε τε ϝεργα,
ͱοιον μιν τροϝιηνδε κιων κατελειπεν ͱοδυσσεϝς,
αιψα κε θαϝησαιο, ϝιδων ταχυτητα και αλκην·
ου μεν γαϱ τι φυγεσκε βαθυιης βενθεσιν ͱυλϝης
κνωδαλον, ͱο τι ϝιδοιτο· και ͱιχνεσι γαϱ περιϝοιδεεν·
νῦν δ' ͱεχεται κακοτητι· ϝαναχς δε ͱοι αλλοθι πατϱης
ῶλετο· τον δε γυναικες ακηδεες ου κομεουσιν.
δμῶες δ', ευτ' αν μηκετ' επικρατεωντι ϝανακτες,
ουκ ετ' επειτ' εθελοντιν εναισιμα ϝεργαδσεσθαι·
ͱημισυ γαρ τ' αρετης αποαινυται ευρυοπα δσεϝς
ανερος, ευτ' αν μιν κατα δουλιον ͱημαρ ͱελητιν.
ͱως ϝεσπων, εισηλθε δομοϝς ͱεΰ ναιεταοντας·
βη δ' ιθυς μεγαροϝο μετα μνῆστηρας αγαϝοϝς.
τον δε πολυ πρῶτος ϝιδε τηλεμαχος θεοϝειδης
ερχομενον κατα δῶμα συβῶτην· ῶκα δ' επειτα
νευσ' επι ͱοι καλεσανς· ͱο δε παπτῆνανς ͱελε διφρον

κειμενον, ενθαδε δαιτρος εφιδσεσκεν, κρεα πολλα
δαιομενος μνῆστηρσι, δομον κατα δαινυμενοισιν·
τον κατεθῆκε φερων προς τηλεμαχοϝο τραπεδσαν
αντιον· ενθα δ᾽ αρ᾽ αϝτος εφεδσετο· τῳ̃ δ᾽ αρα κηρυκς
μοιραν ͱελων ετιθεε, κανεοο τ᾽ εκ σῖτον αͱῆρανς.
αγχιμολον δε μετ᾽ αϝτον εδυϝσατο δῶμαθ᾽ οδυσσεϝς,
πτῶχῳ λευγαλεῳ̃ εναλινκιος, ηδε γεροντι,
σκηπτομενος· τα δε λυγρα περι χροϊ ϝεσματ᾽ εϝεστο·
ͱιδσε δ᾽ επι μελινοϝ ουδοϝ εντοσθε θυραϝων,
κλῖναμενος σταθμῳ̃ κυπαρισσινῳ̃, ͱον ποτε τεχτων
χσεσσεν επισταμενως, και επι σταθμην ιθυϝνεν.
τηλεμαχος δ᾽ επι ͱοι καλεσανς προσεϝεσπε συβῶτην,
αρτον ϝολϝον ͱελων περικαλλεος εκ κανεοϝο,
και κρεα᾽, ͱως ͱοι χειρες εχανδανον αμφιβαλοντι·
δος τῳ̃ χσεινῳ̃ ταϝτα φερων· αϝτον τε κελεϝε
αιτιδσεεν μαλα παντας εποιχομενον μνῆστηρας·
αιδως δ᾽ ουκ αγαθη κεχρημενῳ̃ ανδρι προͱικτῇ.
ͱως φατ᾽· εβη δε συφορβος, επει τον μυϝθον ακοϝσεν,
ανχοϝο δ᾽ ͱισταμενος ϝεπεα πτεροεντα προσῆυϝδα·
τηλεμαχος τοι, χσεινε, διδοι ταδε, και σε κελεϝει
αιτιδσεεν μαλα παντας εποιχομενον μνῆστηρας·
αιδοα δ᾽ ουκ αγαθην φητ᾽ εσμεναι ανδρι προͱικτῇ.
τον δ᾽ απαμειβομενος προσεφη πολυμητις ͱοδυσσεϝς·
δσεϝ ϝανα, τηλεμαχον μοι εν ανδρεσιν ολβιον εεναι,
και ͱοι παντα γενοιτο, ͱοσα φρεσ᾽ ͱεϝῇσι μενοινᾳ̃.
ῆ ρα, και αμφοτερῇσιν εδεχσατο, και κατεθῆκεν
αϝθι, ποδων προπαροιθεν, αϝεικελιης επι πηρης.
ησθιε δ᾽, ͱεϝος αϝοιδος ενι μεγαροισιν αϝειδεν.
μνῆστηρες δ᾽ ͱομαδησαν ανα μεγαρ᾽· αϝταρ αθηνη,
ανχι παρͱισταμενη, λαϝερτιαδην ͱοδυσεϝα
ῶτρυϝν᾽, ͱως αν πυρνα κατα μνῆστηρας αγειροι,
γνοιη θ᾽, οιτινες εντιν εναισιμοι, ͱοι τ᾽ αθεμιστοι·
αλλ᾽ ουδ᾽ ͱως τιν᾽ εμελλ᾽ απαλεκσησεεν κακοτητος.
βη δ᾽ ιμεν αιτησων ενδεχσια φῶτα ͱεκαστον,
παντοσε χειρ᾽ ορεγων, ͱως ει πτῶχος παλαι ειη.
ͱοι δ᾽ ελεαιροντες διδοσαν, και εθαμβεον αϝτον·
αλληλοϝς τ᾽ ειροντο, τις ειη, και ποθεν ελθοι.
τοισι δε και μετεϝεσπε μελανθιος, αιπολος αιγων·
κεκλυτε μεο, μνῆστηρες αγακλειτης βασιλειης,
τοοδε περι χσειϝοϝ· η γαρ μιν προσθεν οπῶπα.
ητοι μεν ͱοι δευρο συβῶτης ͱηγεμονεϝεν·
αϝτον δ᾽ ου σαφα ϝοιδα, ποθεν γενος ευχεται εεναι.
ͱως εφατ᾽· αντινοος δε ϝεπεσσιν ενεικεσ᾽ ͱυφορβον·
αριγνῶτε συβῶτα! τιη δε συ τονδε πολινδε
ῆγαγες; η ουχ αλις ͱημιν αλῆμονες εντι και αλλοι
πτῶχοι ανιϝηροι, δαιτων απολοϝμαντηρες;

ἠ' ονοσαι, ͱοτι τοι βιϝοτον κατεδοντι ϝανακτος P
ενθαδ' αγειρομενοι; συ δε και ποθι τονδ' εκαλεσσας;
τον δ' απαμειβομενος προσεφης, ͱεϋμαιε συβῶτα·
αντινο', ου μεν καλα και εσθλος εων αγορεϝεις·
τις γαρ δη χσεινον καλε' αλλοθεν αϝτος επελθων;
τον δ' αϝ τηλεμαχος πεπνῦμενος αντιον ἦυϝδα·
σιγαε, μη μοι τοϝτον αμειβεο πολλα ϝεπεσσιν·
αντινοος δε ϝεϝῶθε κακως ερεθιδσεμεν αιϝει
μυϝθοισιν χαλεποισιν, εποτρυϝνει δε και αλλοϝς.
ἦ ρα, και αντινοον ϝεπεα πτεροεντα προσῆυϝδα·
αντινο', η μεϝο καλα πατηρ ͱως κηδεαι ͱυιος,
ͱος τον χσεινον ανῶγας απο μεγαροϝο διεσθαι
μυϝθῳ ανανκαιῳ· μη τοϝτο θεος τελεσειεν.
δος ͱοι ͱελων· ου τοι φθονεω· κελομαι γαρ εγωγε·
μητ' ῶν μητερ' εμην ͱαδσεο τογε, μητε τιν' αλλον.
αλλ' ου τοι τοιοϝτον ενι στηθεσσι νοημα,
αϝτος γαρ φαγεμεν πολυ βουλεαι, η δομεν αλλῳ.
τον δ' αϝτ' αντινοος απαμειβομενος προσεϝεσπεν·
τηλεμαχ' ͱυπσαγορη, μενος ασχετε, ποιον εϝεσπες;
ει ͱοι τοσον ͱαπαντες ορεγσειαν μνῆστηρες,
και κεν μιν τρεας μηνας αποπροθε ϝοικος ερυκοι.
ͱως αρ' εφη, και θρῆνυν ͱελων ͱυπεφῆνε τραπεδσης
κειμενον, ͱῳ ρ' εφεχεν λιπαροϝς ποδας ͱελλαπιναδσων.
ͱοι δ' αλλοι παντες διδοσαν, πλησαν δ' αρα πηρην
σῖτοϝο και κρεαων· ταχα δη και εμελλεν ͱοδυσσεϝς,
αϝτις επ' ουδον ιων, προϝικος γεϝσεσθαι αχαιϝων·
στη δε παρ' αντινοον, και μιν προς μυϝθον εϝεσπεν·
δος, φιλος· ου μεν μοι δοκεεις τι κακιστος αχαιϝων
εσμεναι, αλλ' ͱοχ' αριστος, επει βασιλεϝι ϝεϝοικας.
τῳ σε χρη δομεναι και λαϝιον, ηε περ αλλοι,
σῖτοϝ· εγω δ' αν σε κλεεω κατ' απειρονα γαιαν.
και γαρ εγω ποτε ϝοικον εν ανθρωποισιν εναιον
ολβιος ͱαφνειον, και πολλακι δοσκον αλῆτῃ·
ἦσαν δε δμῶες μαλα μυϝριοι, αλλα τε πολλα,
ͱοισιν θ' ευ δσαϝουντι και ͱαφνειοι καλεονται·
αλλα δσεϝς αλαπακσε κρονιϝων, ηθελε γαρ που,
ͱος μ' ͱαμα λεϝιστηρσι πολυπλανκτοισιν ανͱῆκεν
αιγυπτονδ' ιμεναι, δολιχην ͱοδον, ͱοφρ' απολοιμην·
στησα δ' εν αιγυπτῳ ποταμῳ ναϝας αμφιϝελισσας·
ενθ' ητοι μεν εγω κελομην εριῆρας ͱεταιροϝς
αϝτοϝο παρ ναϝεσι μενεεν, ναϝας τε ρυϝεσθαι,
οπτηρας δε κατα σκοπιας ῶτρῦϝνα νεεσθαι·
ͱοι δ' ͱυβριι ϝεικσαντες, εφεσπομενοι μενεϊ σφῳ,
αιπσα μαλ' αιγυπτιων ανδρων περικαλλεας αγροϝς
πορθεον, εκ δε γυναικας αγον, και νηπια τεκνα,
αϝτοϝς τ' εκτεινον· ταχα δ' ες πολιν ͱικετ' αϝυϝτη.

ͱοι δε, βοης αϝιοντες, ͱαμ' ἦοϊ φαινομενηφιν
ηλθον· πλητο δε παν πεδιον πεδσων τε και ͱιππων, P
χαλκοϝο τ' αστεροπης· εν δε δσεϝς τερπικεραυνος
φυδσαν εμοισ' ͱεταροισι κακην βαλεν· ουδε τις ετλῆ
στηναι εναντιβιον· περι γαρ κακα παντοθεν εστη.
ενθ' ͱημεων πολλοϝς μεν απεκτανον ͱοκσυϊ χαλκῷ,
τοϝς δ' αναγον δσαϝοϝς σφισι ϝεργαδσεσθαι ανανκῇ.
αϝταρ εμ' ες κυπρον χσεινῷ δοσαν αντιασαντι
δμῆτορι ͱιͱασιδῇ, ͱος κυπροϝο ϝῖφ' εϝανασσεν·
ενθεν δη νῦν δευρο τοδ' ͱικω, πηματα πασχων.
τον δ' αϝτ' αντινοος απαμειβετ', εφῶνησεν τε·
τις δαιμων τοδε πημα προσῆγαγε, δαιτος ανιϝην;
στηθ' ͱοϝτως ες μεσσον, εμης απανευθε τραπεδσης,
μη ταχα πικρην αιγυπτον και κυπρον ϝιδηαι·
ͱοστις θαρσαλεος και αναιδης εσσι προͱικτης.
τον δ' αναχῶρησανς προσεφη πολυμητις ͱοδυσσεϝς·
ω ποποι! ουκ αρα σοιγ' επι ϝειδεϊ και φρενες ἦσαν·
ου συγ' αν εκς ϝοικοο σῷ εφισστατῇ ουδ' ͱαλα δοιης,
ͱος νῦν αλλοτριοισι παρͱημενος ουτι μοι ετλῆς
σῖτοϝ αποπροͱελων δομεναι· τα δε πολλα παρεστιν.
ͱως εφατ'· αντινοος δ' εχολῶσατο κεαροθι μαλλον,
και μιν ͱυποδρα ϝιδων ϝεπεα πτεροεντα προσηῦϝδα·
νῦν δη σ' ουκετι καλα δι' εκ μεγαροϝο γ' οἴϝω
απς αναχῶρησεεν, ͱοτε δη και ονειδεα βαδσεις.
ͱως αρ' εφη, και θρῆνυν ͱελων βαλε δεχσιον ωμον,
πρυμνοτατον κατα νωτον· ͱο δ' εσταθη, ηΰτε πετρη,
εμπεδον· ουδ' αρα μιν σφῆλεν βελος αντινοοϝο·
αλλ' ακεων κινησε καρῆ, κακα βυσσοδομεϝων.
απς δ' ͱογ' επ' ουδον ιων κατ' αρ' ͱεδσετο, κατ δ' αρα πηρην
θῆκεν ͱεΰπλεεην· μετα δε μνῆστηρσιν εϝεσπεν·
κεκλυτε μεο, μνῆστηρες αγακλειτης βασιλειης,
ͱοφρα ϝεπω, τα με θυϝμος ενι στηθεσσι κελεϝει·
ου μαν ουδ' αχος εστι μετα φρεσιν, ουδε τι πενθος,
ͱοποτ' ανηρ περι ͱοισι μαχειομενος κτεατεσσιν
βαλλεται, η περι βοϝσιν, η αργεννῆσ' οϝιεσιν·
αϝταρ εμ' αντινοος βαλε γαστερος ͱεινεκα λυγρης,
ολομενης, ͱη πολλα κακ' ανθρωποισι διδωτιν.
ͱως εφαθ'· οι δ' αρα παντες ͱυπερφιαλως νεμεσῆσαν·
ͱῶδε δε τις ϝεσπεσκε νεϝων ͱυπερῆνορεοντων·
αντινο', ου μεν καλ' εβαλες δυστηνον αλῆτην,
ολομεν'! ει δη ποο τις επουρανιος θεος εστιν!
και τε θεοι χσεινοισι ϝεϝοικοτες αλλοδαποισιν
παντοιοι τελεθοντες, επιστροφαοντι πολιστας,
ανθρωπων ͱυβριν τε και ͱευνομιην εφορῶντες.
ͱως αρ' εφαν μνῆστηρες· ͱο δ' ουκ ενπαδσετο μυϝθων.
τηλεμαχος δ' εν μεν κραδιῇ μεγα πενθος αͱεχσεν

βλῆμενοϝ· ουδ' αρα δακρυ χαμαι βαλεν εκ βλεφαροιϊν,
αλλ' ακεων κινησε καρῆ, κακα βυσσοδομεϝων. P
τοο δ' ͱως ων ῆκοϝσε περιφρων πηνελοπεια
βλῆμενοϝ εν μεγαρῳ, μετ' αρα δμῳῆσιν εϝεσπεν·
αιθ' ͱοϝτως αϝτον σε βαλοι κλυτοτοχσος απολλων!
την δ' αϝτ' ευρυνομη ταμιη προς μυϝθον εϝεσπεν·
ει γαρ επ' αρῆσιν τελος ͱημετερῆσι γενοιτο,
ουκ αν τις τοϝτων γε ͱεϋθρονον ῆο' ͱικοιτο.
την δ' αϝτε προσεϝεσπε περιφρων πηνελοπεια·
μαι', εχθροι μεν παντες, επει κακα μηχαναονται·
αντινοος δε μαλιστα μελαινῃ κηρι ϝεϝοικεν.
ͱη μεν αρ' ͱως αγορεϝε μετα δμῳῆσι γυναικσιν,
ͱημενη εν θαλαμῳ· ͱο δ' εδειπνεε διϝος ͱοδυσσεϝς·
ͱη δ' επι ͱοι καλεσαντσα προσηῦϝδαε διϝον ͱυφορβον·
ερχεο, διϝ' ͱεϋμαιε, κιων τον χσεινον ανωχθι
ελθεμεν, ͱοφρα τι μιν προσπτυχσομαι, ηδ' ερεωμαι,
ει ποϝ ͱοδυσσεϝος ταλασιφρονος ηε πεπυθται,
η ϝιδεν οφθαλμοισι· πολυπλανκτῳ γαρ ϝεϝοικεν.
την δ' απαμειβομενος προσεφης, ͱεϋμαιε συβῶτα·
ει γαρ τοι, βασιλεια, σιωπῆσειαν αχαιϝοι,
ͱοι' ͱογε μυϝθεεται, θελγοιτο κε τοι φιλον ητορ.
τρεας γαρ δη μιν νυκτας ͱεχον, τρια δ' ͱηματ' ερυκσα
εν κλισιῃ, πρῶτον γαρ εμ' ͱικετο ναϝος αποδρανς·
αλλ' ου πω κακοτητα διῆνυσ' ͱεϝην αγορεϝων.
ͱως δ' ͱοτ' αϝοιδον ανηρ ποτιδερκεται, ͱος τε θεων εκς
αϝειδει δεδαως ϝεπε' ͱιμεροεντα βροτοισιν,
τοο δ' ͱαμοτον μεμαϝαντιν ακοϝεμεν, ͱοποτ' αϝειδῃ·
ͱως εμε κεινος εθελγε παρͱημενος εν μεγαροισιν.
φητι δ' ͱοδυσσεϝος χσεινος πατροϝιος εεναι,
κρητῃ ναιεταων, ͱοθι μινῶος γενος εστιν.
ενθεν δη νῦν δευρο τοδ' ͱικετο πηματα πασχων,
προπρο κυλινδομενος· στεϝται δ' ͱοδυσεϝος ακοϝσαι,
ανχοϝο θεσπρωτων ανδρων εν πιϝονι δημῳ,
δσαϝοϝο· πολλα δ' αγει κειμηλι' ͱεϝονδε δομονδε.
τον δ' αϝτε προσεϝεσπε περιφρων πηνελοπεια·
ερχεο, δευρο καλεσσον, ͱιν' αντιον αϝτος ενισπῃ.
ͱοϝτοι δ' ηε θυρῆσι καθημενοι ͱεπσιαεσθων,
η αϝτοο κατα δῶματ'· επει σφισι θυϝμος ͱεϋφρων.
αϝτων μεν γαρ κτηματ' ακηρατα κειτ' ενι ϝοικῳ,
σῖτος και μεθυ ͱηδυ· τα μεν ϝοικεϝες εδοντιν·
ͱοι δ' εις ͱημετερον πωλεομενοι, ͱηματα παντα,
βοϝς ͱιερεϝοντες, και οϝιας, και πιϝονας αιγας,
ͱελλαπιναδσοντιν, πιϝνοντιν τ' αιθοπα ϝοινον
μαπσιδιως· τα δε πολλα κατανεται· ου γαρ επ' ανηρ,
ͱοιος ͱοδυσσεϝς εσκε, ϝαρην απο ϝοικοϝ αμῦϝναι.
ει δ' ͱοδυσεϝς ελθοι, και ͱικοιτ' ες πατριδα γαιαν,

αιπσα κε συν ͱτῷ παιδι βιας αποτιϝσεται ανδρων.
ͱως φατο· τηλεμαχος δε μεγ' επταρεν· αμφι δε δῶμα P
σμερδαλεον καναχησ'· εγελασσε δε πηνελοπεια·
αιπσα δ' αρ' ͱευμαιον ϝεπεα πτεροεντα προσῆυϝδα·
ερχεο μοι, τον χσεινον εναντιον ͱτῷδε καλεσσον.
ουχ οραεις, ͱο μοι ͱυιος επεπταρε παντσι ϝεπεσσιν;
τῷ κε και ουκ ατελης θανατος μνῆστηρσι γενοιτο.
αλλο δε τοι ϝερεω, συ δ' ενι φρεσι βαλλεο σῇσιν,
αι κ' αϝτον γνῶω νημερτεα παντ' ενεποντα,
ϝεσσω μιν χλαιναν τε, χιτῶνα τε, ϝεσματα καλα.
ͱως φατ'· εβη δε συφορβος, επει τον μυϝθον ακοϝσεν·
ανχοϝο δ' ͱισταμενος ϝεπεα πτεροεντα προσῆυϝδα·
χσεινε πατερ, καλεει σε περιφρων πηνελοπεια,
μητηρ τηλεμαχοϝο· μεταλλῆσαι τι ͱε θυϝμος
αμφι ποσιι κελεται, και κηδεα περ πεπαθυιῇ.
ει δε κε σε γνοιη νημερτεα παντ' ενεποντα,
ϝεσσει σε χλαιναν τε, χιτῶνα τε, των συ μαλιστα
χρεϝιδσεις· σῖτον δε και αιτιδσων κατα δημον
γαστερα βοσκησεις· δῶσει δε τοι, ͱος κ' εθελητιν.
τον δ' αϝτε προσεϝεσπε πολυτλᾶνς διϝος ͱοδυσσεϝς·
ͱευμαι', αιπσα κ' εγω νημερτεα παντ' ενεποιμι
κοϝρῃ ϝικαριοϝο, περιφρονι πηνελοπειῃ·
ϝοιδα γαρ ͱευ περι κεινοϝ', ͱομην δ' ανεδεχμεθ' οϊδσυν·
αλλα μνῆστηρων χαλεπων ͱυποδεδδι' ͱομιλϝον,
των ͱυβρις τε, βιη τε, σιδηρεον ουρανον ͱικει.
και γαρ νῦν, ͱοτε μ' ͱοϝτος ανηρ κατα δῶμα κιοντα
ουτι κακον ϱεκσαντα βαλων οδυνῇσιν εδῶκεν,
ουτε τι τηλεμαχος τογ' επῆρκεσεν, ουτε τις αλλος.
τῷ νῦν πηνελοπειαν ενι μεγαροισιν ανωχθι
μῆναι, επειγομενην περ, ες ῆελιον καταδῦντα·
και τοτε μ' ειρεσθω ποσιος περι νοστιμον ͱημαρ.
ͱως φατ'· εβη δε συφορβος, επει τον μυϝθον ακοϝσεν.
τον δ' ͱυπερ ουδοϝο βαντα προσῆυϝδαε πηνελοπεια·
ου συγ' αγεις, ͱεϋμαιε; τι τοϝτ' ενοησεν αλῆτης;
η τινα ποο δδειδσανς εκσαισιον; ηε και αλλως
αιδεεται κατα δῶμα; κακος δ' αιδοιος αλῆτης.
την δ' απαμειβομενος προσεφης, ͱεϋμαιε συβῶτα·
μυϝθεεται κατα μοιραν, ͱαπερ κ' οιϝοιτο και αλλος,
ͱυβριν αλυσκαδσων ανδρων ͱυπερῆνορεοντων.
αλλα σε μῆναι ανωγεν ες ῆελιον καταδῦντα.
και δε σοι ͱτῷδ' αϝτῇ πολυ καλλιον, ω βασιλεια,
οιην προς χσεινον φασθαι ϝεπος, ηδ' επακοϝσαι.
τον δ' αϝτε προσεϝεσπε περιφρων πηνελοπεια·
ουκ αφρων ͱο χσεινος οϊϝεται, ͱοσπερ αν ειη·
ου γαρ πῷ τινες ͱτῷδε καταθνῆτων ανθρωπων
ανερες ͱυβριδσοντες ατασθαλα μηχαναονται.

ͱη μεν αρ' ͱως αγορεϝεν· ͱο δ' ῷχετο διϝος ͱυφορβος P
μνῆστηρων ες ͱομιλϝον, επει διεπεφραδε παντα.
αιπσα δε τηλεμαχον ϝεπεα πτεροεντα προσῆυϝδα,
ανχι σχων κεφαλην, ͱινα μη πευθοιαθ' οι αλλοι·
ω φιλ', εγω μεν απειμι, συας και κεινα φυλακσων,
σον και εμον βιϝοτον· σοι δ' ενθαδε παντα μελοντων.
αϝτον μεν σε πρῶτα σαῶ, και φραδσεο θυϝμῷ,
μη τι παθῇς· πολλοι δε κακα φρονεοντιν αχαιϝων·
τοϝς δσεϝς εκσολεσειε, πριν ͱημῖν πημα γενεσθαι.
τον δ' αϝ τηλεμαχος πεπνῦμενος αντιον ῆυϝδα·
εσσεται ͱοϝτως, αττα· συ δ' ερχεο δεϝελιῆσανς·
ῆοαθεν δ' ιμεναι και αγεεν ͱιερεϝια καλα·
αϝταρ εμοι ταδε παντα και αθανατοισι μελησει.
ͱως φαθ'· ο δ' αϝτις αρ' ͱεδσεθ' εϋχσεστοϝ επι διφροο·
πλησαμενος δ' αρα θυϝμον εδητυος, ηδε ποτητος,
βη ρ' ιμεναι μεθ' υας· λιπε δ' ͱερκεα τε, μεγαρον τε
πλεεον δαιτυμονων· τοι δ' ορχηστυι και αϝοιδῇ
τερποντ'· ηδη γαρ και επηλυθε δεϝελον ͱημαρ.
ηλθε δ' επι πτῶχος πανδημιος, ͱος κατα ϝαστυ Σ
πτῶχεϝεσκ' ιθακης, μετα δ' επρεπε γαστερι μαργῇ,
αδσηχες φαγεμεν και πιϝεμεν· ουδε ͱοι ῆν ϝις,
ουδε βιη· ϝειδος δε μαλα μεγας ῆν ͱοραεσθαι.
ϝαρναιος δ' ονομ' εσκε· το γαρ θετο ͱοι ποτε μητηρ
εκ γενετης· ϝιρον δε νεϝοι κικλῆσκον ͱαπαντες,
ͱοονεκ' απαγγελλεσκε κιων, ͱοτε κεν τις ανωγοι·
ͱος ρ' ελθων ͱοδυσεϝ' εδιῶκετο ͱοϝο δομοϝο,
και μιν νεικειων ϝεπεα πτεροεντα προσῆυϝδα·
ϝεικε, γερον, προθυροο, μη δη ταχα και ποδος ͱελκεαι·
ουκ αϝιεις, ͱοτι δη μοι επιλλιδσοντιν ͱαπαντες,
ͱελκεμεναι δε κελονται; εγω δ' αισχυϝνομαι ενπης.
αλλ' ανα, μη ταχα νοϝιν ερις και χερσι γενηται.
τον δ' αρ' ͱυποδρα ϝιδων προσεφη πολυμητις ͱοδυσσεϝς·
δαιμονι', ουτε τι σε ρεδσω κακον, ουτ' αγορεϝω,
ουτε τινα φθονεω δομεναι, και πολλ' ανͱελοντα.
ουδος δ' αμφοτεροϝς ͱοδε χεϝσεται· ουδε τι σε χρη
αλλοτριων φθονεεεν· δοκεεις δε μοι εεναι αλῆτης,
ͱωσπερ εγων· ολβον δε θεοι μελλοντιν οπαδσεεν.
χερσι δε μη τι λιϝην προκαλιδσεο, μη με χολῶσῃς,
μη σε, γερων περ εων, στηθος και χειλεα φυϝρσω
ͱαιματος· ͱησυχιη δ' αν εμοι και μαλλον ετ' ειη
αϝριον· ου μεν γαρ τι σ' ͱυποστρεφσεσθαι οϊϝω
δεϝτερον ες μεγαρον λαϝερτιαδαϝ' ͱοδυσεϝος.
τον δε χολῶσαμενος προσεφῶνεε ϝιρος αλῆτης·
ω ποποι! ͱως ͱο μολοβρος επιτροχαδην αγορεϝει,
γραϝι καμινοϊ ϝεισϝος! ͱον αν κακα μητιϝσαιμην,
κοπτων αμφοτερῇσι, χαμαι δ' εκ παντας οδοντας

γναθμων εκσελασαιμι, συος hως λεϝιβοτειρης. Σ
δσωσαι νῦν, hινα παντες επιγνῶωντι και hοιδε
μαρναμενοϝς· πως δ' αν συ νεϝωτερῳ ανδρι μαχοιο;
hως hοι μεν προπαροιθε θυραϝων hυπσηλαϝων
ουδοϝ' επι χσεστοο πανθυϝμαδον ακριαοντο.
τοιїν δε γσυνεhῆχ' ιερον μενος αντινοοϝο,
hηδυ δ' αρ' εκγελασανς μετεφῶνεε μνῆστηρεσιν·
ω φιλοι, ου μεν πῷ τι παρος τοιοϝτον ετυχθη·
hοιην τερπωλην θεος ῆγαγεν ες τοδε δῶμα·
hο χσεινος και ϝιρος εριδσετον αλληλοιїν
χερσι μαχησασθαι· αλλα γσυνελασσομεν ὦκα.
hως εφαθ'· οι δ' αρα παντες ανῆhικσαν γελαοντες,
αμφι δ' αρα πτῶχοϝς κακοϝεσμονας ῆγερεθοντο.
τοισιν δ' αντινοος μετεφη, hεϋπειθεος hυιος·
κεκλυτε μεο, μνῆστηρες αγῆνορες, hοφρα τι ϝεσπω·
γαστερες hαιδ' αιγων κεατ' εν πυρι· τασδ' επι δορπῳ
κατθεμεθα, κνισσης τε και hαιματος ενπλησαντες·
hοποτερος δε κε νικῆσῃ, κρεισσων δε γενηται,
ταϝων hην κ' εθεληtιν αναστανς αϝτος hελεσθω·
αιϝει δ' αϝθ' ημῖν μεταδαισεται, ουδε τιν' αλλον
πτῶχον εσω μισγεσθαι εϝᾶσομεν αιτησοντα.
hως εφατ' αντινοος· τοισιν δ' επεϝανδανε μυϝθος.
τοις δε δολοφρονεων μετεφη πολυμητις hοδυσσεϝς·
ω φιλοι, ου πως εστι νεϝωτερῳ ανδρι μαχεσθαι
ανδρα γεροντα, δυῇ ϝεϝαρημενον· αλλα με γαστηρ
οτρυϝνει κακοϝεργος, hινα πληγῇσι δαμειω.
αλλ' αγε νῦν μοι παντες ομοσσατε καρτερον hορκον,
μη τις ϝιρῳ ῆρα φερων εμε χειρι παχυιῇ
πληγσῃ ατασθαλλων, τοϝτῳ δε με ϝῖφι δαμασσῃ.
hως εφαθ'· οι δ' αρα παντες επῶμνυον, hως εκελεϝεν.
τοις δ' αϝτις μετεϝεσφ' ιερη ϝις τηλεμαχοϝο·
χσειν', ει σ' οτρυϝνει κραδιη και θυϝμος αγῆνωρ
τοϝτον αλεκσασθαι, των δ' αλλων μη τιν' αχαιϝων
δεδδιθ'· επει πλεονεσι μαχησεται, hος κε σε θεινῃ.
hως εφαθ'· οι δ' αρα παντες επῇνεον· αϝταρ hοδυσσεϝς
δσωσατο μεν ϝρακεσιν περι μεδσε', εφαινε δε μηροϝς
καλοϝς τε, μεγαλοϝς τ', εφανεν δε hοι ευρυες ωμοι,
στηθεα τε, στιβαροι τε βραχιονες· αϝταρ αθηνη
ανχι παρhισταμενη μελε' ῆλδανε ποιμενι λαϝων.
μνῆστηρες δ' αρα παντες hυπερφιαλως αγασαντο·
hῶδε δε τις ϝεσπεσκε ϝιδων ες πλησιον αλλον·
η ταχα ϝιρος αϝιρος επισπαστον κακον hεχσει·
hοιην εκ ϝρακεων hο γερων επιγονϝιδα φαινει.
hως αρ' εφαν· ϝιρῳ δε κακως ῶρινετο θυϝμος·
αλλα και hως δρῆστηρες αγον δσωσαντες ανανκῇ,
δεδδιοτα· σαρκες δε περιτρομεοντο μελεσσιν.

αντινοος δ' ενενῖπε, ϝεπος τ' εφατ', εκ τ' ονομαδσεν· Σ
νῦν μεν μητ' ειης, βοϝγαϝιε, μητε γενοιο,
ει δη τοϝτον γε τρομεεις και δεδδιας αινως,
ανδρα γεροντα, δυῇ ϝεϝαρημενον, ͱη μιν ͱικανει.
αλλ' εκ τοι ϝερεω, το δε και τετελεσμενον εσται,
αι κεν σ' ͱοϝτος νικῇσῃ, κρεισσων τε γενηται,
πεμπσω σ' ηπειρονδε, βαλων εν ναϝι μελαινῇ,
εις εχετον βασιλεϝα, βροτων δηλημονα παντων,
ͱος κ' απο ϝρῖνα ταμητι και οϝατα νηλεϊ χαλκῷ,
μεδσεα τ' εκσϝερυσανς δῷῃ κυσιν ωμα δασασθαι.
ͱως φατο· τῷ δ' ετι μαλλον ͱυπο τρομος ελαβε γυια·
ες μεσσον δ' αγαγον· τω δ' αμφω χειρας ανεσχον.
δη τοτε μερμηρικσε πολυτλᾶνς διϝος ͱοδυσσεϝς,
ῃ' ελασει', ͱως μιν πσυϝχη λιποι αϝθι πεσοντα,
ηε μιν ͱῆκ' ελασειε, τανυσσειεν τ' επι γαιῃ.
ͱῶδε δε ͱοι φρονεοντι δοασσατο κερδιον εεναι,
ͱῆκ' ελασαι, ͱινα μη μιν επιφρασσαιατ' αχαιϝοι.
δη τοτ' ανασχομενω, ͱο μεν ηλασε δεχσιον ωμον
ϝιρος, ͱο δ' αϝχεν' ελασσεν ͱυπ' οϝατος, οστεα δ' εισῷ
εθλασεν· αϝτικα δ' ηλθεν ανα στομα φοινιον ͱαιμα·
κατ δ' επεσ' εν κονιϝῇσι μακων, γσυν δ' ηλασ' οδοντας,
λακτιδσων ποσι γαιαν· αταρ μνῆστηρες αγαϝοι
χειρας ανασχομενοι γελῷ εκθανον· αϝταρ ͱοδυσσεϝς
ͱελκε δι' εκ προθυροϝο, λαβων ποδος· ͱοφρ' ͱικετ' αϝλην,
αιθουσης τε θυρας· και μιν ποτι ͱερκιον αϝλης
ͱεσσεν ανακλῖνανς· σκηπτρον δε ͱοι ενβαλε χειρι,
και μιν φωνησανς ϝεπεα πτεροεντα προσηῦϝδα·
ενταϝθοι νῦν ͱησο, κυνας τε συας τ' απερυκων,
μηδε συγε χσεινων και πτωχων κοιρανος εεναι,
λυγρος εων· μη που τι κακον και μειδσον επαϝρεαι.
ῆ ρα, και αμφ' ωμοισιν αϝεικε' εβαλλετο πηρην,
πυκνα ϝρωγαλεην· εν δε στροφος ῆεν αϝορτηρ.
απς δ' ͱογ' επ' ουδον ιων κατ' αρ' ͱεδσετο· τοι δ' ισαν εισῷ
ͱηδυ γελαϝοντες, και ͱε δεχαναοντο ϝεπεσσιν·
δσεϝς τοι δοιη, χσεινε, και αθανατοι θεοι αλλοι,
ͱο τι μαλιστ' εθελεις, και σοι φιλον επλετο θυϝμῷ,
ͱος τοϝτον τον αaλτον αλῆτεϝεεν απεπαϝσας. 113
ͱως αρ' εφαν· χαιρεν δε κλεηδονι θειος ͱοδυσσεϝς. 116
αντινοος δ' αρα ͱοι μεγαλην παρα γαστερ' εθῆκεν
ενπλεεην κνισσης τε και ͱαιματος· αμφινομος δε
αρτοϝς εκ κανεοϝο δυω παρεθῆκεν αϝηρας,
και δεπαϊ χρυσεῷ δειδισκετ', εφωνησεν τε·
χαιρε, πατερ, ω χσεινε· γενοιτο τοι ες περ οπισσῷ
ολβος, αταρ μεν νῦν γε κακοισ' ͱεχεαι πολυεσιν.
τον δ' απαμειβομενος προσεφη πολυμητις ͱοδυσσεϝς·
αμφινομ', η μαλα μοι δοκεεις πεπνῦμενος εεναι·

τοιοFο γαρ και πατρος· επει κλεος εσθλον ακοFον,
νισον δουλιχιεFα ͱεῦν τ' εμεν, ͱαφνειον τε·
τοονεκα τοι Fερεω· συ δε συνθεο, και μεF ακοFσον·
ουδεν ακιδνοτερον γαια τρεφει ανθρωποFο·
ου μεν γαρ ποτε φητι κακον πεισεσθαι οπισσῷ,
ͱοφρ' αρετην παρεχωντι θεοι, και γουFατ' ορωρῇ· Σ
αλλ' ͱοτε δη και λυγρα θεοι μακαρες τελεσωντιν,
και τα φερει αͱεκαδσομενος τετλῆοτι θυFμῷ.
τοιος γαρ νοος εστιν επιχθονιων ανθρωπων,
ͱοιον εφ' ημαρ αγητι πατηρ ανδρων τε θεων τε.
και γαρ εγω ποτ' εμελλον εν ανδρεσιν ολβιος εεναι,
πολλα δ' ατασθαλ' ερεκσα, βιῇ και καρτεϊ Fεικων,
πατρι τ' εμῷ πιθυνος, και εμοισι κασιγνῆτοισιν.
τῷ μη τις ποτε πανπαν ανηρ αθεμιστιος ειη,
αλλ' ͱογε σιγῇ δῶρα θεων ͱεχοι, ͱο τι διδοιεν·
ͱοι' ͱοραω μνῆστηρας ατασθαλα μηχαναοντας,
κτηματα κειροντας, και ατιFμαδσοντας ͱακοιτιν
ανδρος, ͱον ουκ ετι φημι φιλων και πατριδος αιης
δηρον απεσσεσθαι· μαλα δε σχεδον· αλλα σε δαιμων
Fοικαδ' ͱυπεκσαγαγοι, μηδ' αντιασειας εκεινῷ,
ͱοποτε νοστησειε φιλην ες πατριδα γαιαν·
ου γαρ αͱαιμωτις γε διακρινεεσθαι οϊFω
μνῆστηρας και εκεινον, επει κε μελαθρον επελθῇ.
ͱως φατο· και σπενδσανς επιFεν μελιͱηδεα Fοινον·
απς δ' εν χερσιν εθῆκε δεπας κοσμητορι λαFων.
αFταρ ͱο βη δια δῶμα, φιλον τετιFῆμενος ητορ,
νευσταδσων κεφαλῇ· δη γαρ κακ' εFοσσετο θυFμος.
αλλ' ουδ' ͱως φυγε κηρ'· επεδῆσε δε και τον αθηνη,
τηλεμαχοF ͱυπο χερσι και ενχεϊ Fῖφι δαμῆναι.
απς δ' αFτις κατ' αρ' ͱεδσετ' επι θρονοF ενθεν ανεστη.
τῇ δ' αρ' επι φρεσ' εθῆκε θεα γλαFκῶπις αθηνη
κοFρῇ FικαριοFο, περιφρονι πηνελοπειῃ̃,
μνῆστηρεσι φανῆναι, ͱοπως πετασειε μαλιστα
θυFμον μνῆστηρων, ιδε τιFμῆεντσα γενοιτο
μαλλον προς ποσιος τε και ͱυιιος, η παρος ῆεν.
αχρεFον δ' εγελασσε, Fεπος τ' εφατ', εκ τ' ονομαδσεν·
ευρυνομη, θυFμος μοι εελδεται, ουτι παρος γε,
μνῆστηρεσι φανῆναι, απεχθομενοισι περ ενπης·
παιδι δε κεν Fεσποιμι Fεπος, το κε κερδιον ειη,
μη παντα μνῆστηρσιν ͱυπερφιαλοισιν ͱομιλFεεν,
ͱοιθ' εῦ μεν βαδσοντι, κακως δ' οπιθεν φρονεοντιν.
την δ' αFτ' ευρυνομη ταμιη προς μυFθον εFεσπεν·
ναι δη ταFτα γε παντα, τεκος, κατα μοιραν εFεσπες.
αλλ' ιθι, και σῷ παιδι Fεπος φαο, μηδ' επικεFθε,
χρῶτ' απονιπτσαμενη, και επιχριFσαντσα παρειας·
μηδ' ͱοFτῷ δακρυFσι πεφυFρμενη αμφι προσῶπα

ερχε᾽· επει κακιον πενθημεναι ακριτον αιFει. Σ
ηδη μεν γαρ τοι παις τηλικος, ͱον συ μαλιστα
ῆραε᾽ αθανατοισι γενειῆσαντα Fιδεσθαι.
 την δ᾽ αFτε προσεFεσπε περιφρων πηνελοπεια·
ευρυνομη, μη ταFτα παραυFδαε, κηδομενη περ,
χρῶτ᾽ απονιπτεσθαι, και επιχριFεσθαι αλοιφῆ·
αγλαFιην γαρ εμοιγε θεοι, τοι ολυνπον ͱεχοντιν,
ῶλεσαν, εκς ͱοF᾽ εκεινος εβη κοιλῆσ᾽ ενι ναFσιν.
αλλα μοι αFτονοην τε και ͱιπποδαμειαν ανωχθι
ελθεμεν, ͱοφρα κε μοι παρστῆετον εν μεγαροισιν·
οιη δ᾽ ουκ εισειμι μετ᾽ ανερας· αιδεομαι γαρ.
 ͱως αρ᾽ εφη· γραFις δε δι᾽ εκ μεγαροF᾽ εβεβηκεεν,
ανγελεοντσα γυναικσι, και οτρυνεοντσα νεεσθαι.
 ενθ᾽ αFτ᾽ αλλ᾽ ενοησε θεα γλαFκῶπις αθηνη·
κοFρῆ FικαριοFο κατα γλυκυν ͱυπνον εχεFεν.
ͱευδε δ᾽ ανακλινθεντσ᾽· ελυθεν δε ͱοι ͱαπτσεα παντα
αFτοF᾽ ενι κλιντηρι· τεFος δ᾽ αρα διFα θεαFων
ανβροτα δῶρ᾽ εδιδῶ, ͱινα θαFησαιατ᾽ αχαιFοι,
και μιν μακροτερην και πασσον᾽ εθῆκε Fιδεσθαι·
λεFκοτερην δ᾽ αρα μιν θῆκε πριστοF᾽ ελεφαντος.
 ͱη μεν αρ᾽ ͱως ερκσαντσ᾽ απεβησατο διFα θεαFων.
ηλθον δ᾽ αμφιπολοι λεFκωλενοι εκ μεγαροFο,
φθονγῷ επερχομεναι· την δε γλυκυς ͱυπνος ανͱῆκεν,
και ρ᾽ απομοργσατο χερσι παρειας, φῶνησεν τε·
 η με μαλ᾽ αινοπαθεα μαλακον περι κῶμ᾽ εκαλυπτσεν·
αιθε μοι ͱως μαλακον θανατον ποροι αρτεμις ͱαγνη
αFτικα νῦν, ͱινα μηκετ᾽ οδυFρομενη κατα θυFμον
αιFῶνα φθινυθω, ποσιος ποθεοντσα φιλοFο
παντοιην αρετην· επει εκσͱοχος ῆεν αχαιFων.
 ͱως φαμενη κατεβαιν᾽ ͱυπεροFια σιFαλοεντα,
ουκ οιη· ͱαμα τῆγε και αμφιπολοι δυ᾽ ͱεποντο.
ͱη δ᾽ ͱοτε δη μνῆστηρας αφικετο διFα γυναικων,
στη ρα παρα σταθμον τεγεος πυκα ποιητοFο,
αντα παρειαFων σχομενη λιπαρα κρῆδεμνα·
αμφιπολος δ᾽ αρα ͱοι κεδνη ͱεκατερθε παρεστη.
των δ᾽ αFτοο λυτο γονFατ᾽, ερῷ δ᾽ αρα θυFμον εθελχθεν·
ͱη δ᾽ αF τηλεμαχον προσεφῶνεεν ͱον φιλον ͱυιον·
 τηλεμαχ᾽, ουκετι τοι φρενες ενπεδοι, ουδε νοημα·
παις ετ᾽ εων, και μαλλον ενι φρεσι κερδε᾽ ενωμᾶς·
νῦν δ᾽, ͱοτε δη μεγας εσσι, και ͱηβης μετρον ͱικανεις,
και κεν τις φαιη γονον εσμεναι ολβιοF᾽ ανδρος,
ες μεγαθος και καλλος ͱορῶμενος, αλλοτριος φῶς,
ουκετι τοι φρενες εντιν εναισιμοι, ουδε νοημα.
ͱοιον δη τοδε Fεργον ενι μεγαροισιν ετυχθη.
πως νῦν; ει τις χσεινος εν ͱημετεροισι δομοισιν
ͱημενος ͱῶδε παθοι Fρῦστακτυος εκς αλεγεινης,

σοι κ' αισχος λωβη τε μετ' ανθρωποισι πελοιτο. Σ
την δ' αϝ τηλεμαχος πεπνῦμενος αντιον ῆυϝδα·
μητερ εμη, το μεν ου σε νεμεσαομαι κεχολῶσθαι·
αϝταρ εγω θυϝμῷ νοεω και ϝοιδα ͱεκαστα.
ου μεν τοι χσεινοο και ϝιροϝο μωλος ετυχθη
μνῆστηρων ͱιͱοτητι· βιῇ δ' ͱογε φερτερος ῆεν.
αι γαρ, δσεϝ τε πατερ, και αθηναιη, και απολλον,
ͱοϝτῷ νῦν μνῆστηρες εν ͱημετεροισι δομοισιν
νευοιεν κεφαλας δεδμῆμενοι, ͱοι μεν εν αϝλῇ,
ͱοι δ' εντοσθε δομοο, λελυϝοιτο δε γυια ͱεκαστοο,
ͱως νῦν ϝιρος εκεινος επ' αϝλειῇσι θυρῇσιν
ͱησται νευσταδσων κεφαλῇ, μεθυοντι ϝεϝοικως,
ουδ' ορθος δυναται στηναι ποσιν, ουδε νεεσθαι
ϝοικαδ', ͱοπῇ ͱοι νοστος· επει φιλα γυια λελῦνται.
ͱως ͱοι μεν τοιαϝτα προς αλληλοϝς αγορεϝον.
ευρυμαχος δε ϝεπεσσι προσῆυϝδαε πηνελοπειαν·
κοϝρη ϝικαριοϝο, περιφρον πηνελοπεια,
ει παντες σε ϝιδοιεν αν' ͱιͱασον αργος αχαιϝοι,
πλειονες αν μνῆστηρες εν ͱυμετεροισι δομοισιν
ῆοαθεν δαινυοιατ'· επει περιεσσι γυναικων,
ϝειδος τε, μεγαθος τ', ηδε φρενας ενδον ϝεϊσϝας.
τον δ' ῆμειβετ' επειτα περιφρων πηνελοπεια·
ευρυμαχ', ητοι εμην αρετην, ϝειδος τε, δεμας τε,
ὢλεσαν αθανατοι, ͱοτε ϝιλϝιον εισανεβαινον
αργειϝοι, μετα τοισι δ' εμος ποσις ῆεν ͱοδυσσεϝς.
ει κεινος γ' ελθων τον εμον βιϝον αμφιπολεϝοι,
μειδσον κε κλεος ειη εμον και καλλιον ͱοϝτῷ.
νῦν δ' αχομαι· τοσα γαρ μοι επεσσεϝσεν κακα δαιμων.
η μεν δη ͱοτε τ' ηιε λιπων κατα πατριδα γαιαν,
δεχσιτερην επι καρπῷ ͱελων εμε χειρα προσῆυϝδα·
ω γυναι, ου γαρ οἴϝω ͱεϋκνημῖδας αχαιϝοϝς
εκ τροϝιης ͱεϋ παντας απημονας απονεεσθαι·
και γαρ τροϝας φαντι μαχητας εσμεναι ανδρας,
ημεν ακοντιστας, ηδε ϝρῦτηρας οϊστων,
ͱιππων τ' ὢκυποδων επιβητορας, ͱοι κε ταχιστα
εκρῖναν μεγα νεικος ͱομοιϊοϝο πτολεμοϝο.
τῷ ουκ ϝοιδ', ει κεν μ' ανͱεσει θεος, η κεν ͱαλῶω
αϝτοϝ ενι τροϝιῃ· σοι δ' ενθαδε παντα μελοντων·
μεμνῆσθαι πατερος και μητερος εν μεγαροισιν,
ͱως νῦν, η' ετι μαλλον, εμεϝ απονοσφιν εοντος.
αϝταρ επῆν δη παιδα γενειῆσαντα ϝιδηαι,
γῆμασθ', ͱῷ κ' εθελῇσθα, τεϝον κατα δῶμα λιποντσα.
κεινος θ' ως αγορεϝε, τα δη νῦν παντα τελεεται.
νυκς δ' εσται, ͱοτε δη στυγερος γαμος αντιβολησει
ολομενης εμεθεν, της τε δσεϝς ολβον απῆϝρα.
αλλα τοδ' αινον αχος κραδιην και θυϝμον ͱικανει·

μνηστηρων ουχ ηδε δικη το παροιθ' ετετυχτο·
ͱοιτ' αγαθην τε γυναικα και ͱαφνειοϝο θυγατρα
μνηστεϝεεν εθελωντι, και αλληλοισ' ερισωντιν·
αϝτοι τοιγ' απαγοντι βοϝας· και ϝιφια μηλα,
κοϝρης δαιτα φιλοισι, και αγλαϝα δῶρα διδοντιν·
αλλ' ουκ αλλοτριον βιϝοτον νηποινον εδοντιν.
  ͱως φατ'· εγηθησεν δε πολυτλᾶνς διϝος ͱοδυσσεϝς,
ͱοονεκα των μεν δῶρα παρͱελκετ', εθελγε δε θυϝμον
μειλιχιοισι ϝεπεσσι· νοος δε ͱοι αλλα μενοινα.
  την δ' αϝτ' αντινοος προσεφη, ͱεϋπειθεος ͱυιος·
κοϝρη ϝικαριοϝο, περιφρον πηνελοπεια,
δῶρα μεν, ͱος κ' εθεληтιν αχαιϝων ενθαδ' ενενκαι,
δεχσασθ'· ου γαρ καλον αῆνασθαι δοσιν εστιν·
ͱημεες δ' ουτ' επι ϝεργα παρος γ' ιμεν, ουτε πῇ αλλῇ,
πριν γε σε τῷ γῆμασθαι αχαιϝων, ͱοστις αριστος.
  ͱως εφατ' αντινοος· τοισιν δ' επεϝανδανε μυϝθος·
δῶρα δ' αρ' ͱοισεμεναι προͱεσαν κηρῦκα ͱεκαστος.
αντινοῷ μεν ενενκε μεγαν περικαλλεα πεπλον
ποικιλον· εν δ' αρ' εσαν περοναι δυο και δεκα παντσαι
χρυσειαι, κλεϝιεσιν ͱεϋγναμπτοισ' αραρυιαι.
ορμον δ' ευρυμαχῷ πολυδαιδαλον αϝτικ' ενενκεν,
χρυσεον, ηλεκτροισιν εερμενον, ῆελιον ͱως.
ερματα δ' ευρυδαμαντι δυω θεραποντες ενενκαν,
τριγλῆνα, μοροεντα· χαρις δ' απελαμπετο πολλη.
εκ δ' αρα πειθσανδροϝο, πολυκτοριδαϝο ϝανακτος,
ισθμιον ηνενκεν θεραπων, περικαλλες αγαλμα.
αλλο δ' αρ' αλλος δῶρον αχαιϝων καλον εδῶκεν.
  ͱη μεν επειτ' ανεβαιν' ͱυπεροϝια διϝα γυναικων·
τῇ δ' αρ' ͱαμ' αμφιπολοι εφερον περικαλλεα δῶρα.
ͱοι δ' εις ορχηστυν τε και ͱιμεροεντσαν αϝοιδην
τρεπσαμενοι τερποντο· μενον δ' επι ϝεσπερον ελθεεν.
τοισι δε τερπομενοισι μελανς επι ϝεσπερος ηλθεν·
αϝτικα λαμπτηρας τρεας ͱεστασαν εν μεγαροισιν,
ͱοφρα φαϝεινοιεν· περι δε χσυλα κανκαν' εθῆκαν,
αυϝα παλαι, περικηλα, νεϝον κεκεασμενα χαλκῷ·
και δαϝιδας μετεμισγον· αμοιβηδις δ' ανεφαινον
δμῷαι ͱοδυσσεϝος ταλασιφρονος· αϝταρ ͱο τῆσιν
αϝτος διϝογενης μετεφη πολυμητις ͱοδυσσεϝς·
  δμῷαι ͱοδυσσεϝος, δην οιχομενοϝο ϝανακτος,
ερχεσθε προς δῶμαθ', ιν' αιδοιη βασιλεια·
τῇ δε παρ' ηλακατα στροφαλιδσετε· τερπετε δ' αϝτην
ͱημεναι εν μεγαρῷ, η' ειρια πεικετε χερσιν·
αϝταρ εγω τοϝτοισι φαϝος παντεσι παρͱεχσω.
ῆνπερ γαρ κ' εθελωντιν ͱεϋθρονον ῆοα μιμνεεν,
ουτι με νικῆσοντι· πολυτλῆμων δε μαλ' ῆμι.
  ͱως εφαθ'· αι δ' εγελασσαν, ες αλληλας δ' εϝιδοντο.

τον δ' αισχρως ενενῖπε μελανθω καλλιπαρῆος,
την δολιος μεν ετικτ', εκομισσε δε πηνελοπεια, Σ
παιδα δε ͱως ατιταλλ', εδιδῶ δ' αρ' αθυϝρματα θυϝμῷ·
αλλ' ουδ' ͱως σχεθε πενθος ενι φρεσι πηνελοπειης·
αλλ' ͱηγ' ευρυμαχῷ μισγεσκετο, και φιλεεσκεν·
ͱη ρ' ͱοδυσεϝ' ενενῖπεν ονειδειοισι ϝεπεσσιν·
χσεινε ταλαν, συγε τις φρενας εκπεπαταγμενος εσσι,
ουδ' εθελεις ͱευδεεν, χαλκῆϊον ες δομον ελθων,
ηε ποϝ' ες λεσχην· αλλ' ενθαδε πολλ' αγορεϝεις
θαρσαλεως πολλοισι μετ' ανδρεσιν, ουδε τι θυϝμῷ
ταρβεις· η ρα σε ϝοινος ͱεχει φρενας, η νυ τοι αιϝει
τοιοϝτος νοος εστιν· ͱο και μεταμωνια βαδσεις.
η' αλυϝεις, ͱοτι ϝιρον ενικῆσας τον αλῆτην;
μη τις τοι ταχα ϝιροϝ αμεινων αλλος αναστῇ,
ͱοστις σ' αμφι καρῆ κεκοπως χερσι στιβαρῇσιν
δωματος εκπεμπσητι, φορυκσανς ͱαιματι πολλῷ.
την δ' αρ' ͱυποδρα ϝιδων προσεφη πολυμητις ͱοδυσσεϝς·
η ταχα τηλεμαχῷ ϝερεω, κυον, ͱοι' αγορεϝεις,
κεισ' ελθων, ͱινα σ' αϝθι δια μελεϊστι ταμητιν.
ͱως ϝεσπων, ϝεπεεσσι διεπτοιησε γυναικας.
βαν δ' ιμεναι δια δωμ'· ελυθεν δ' ͱυπο γυια ͱεκαστης
ταρβοσυνῃ· φαν γαρ μιν αληθεα μυϝθησασθαι.
αϝταρ ͱο παρ λαμπτηρσι φαϝεινων αιθομενοισιν
ͱεστηκεεν ες παντας ͱορωμενος· αλλα δε ͱοι κεαρ
ͱορμαινε φρεσ' ͱεϝῇσιν, ͱα ρ' ουκ ατελεστ' εγενοντο.
μνηστηρας δ' ου πανπαν αγηνορας ηϝα' αθηνη
λωβης ͱισχεσθαι θυϝμαλγεος, ͱοφρ' ετι μαλλον
δυϝῃ αχος κραδιην λαϝερτιαδαϝ' ͱοδυσεϝος.
τοισιν δ' ευρυμαχος, πολυβοο παϊς, ηρχ' αγορεϝεεν,
κερτομεων ͱοδυσεϝα· γελον δ' ͱεταροισιν ετευχεν·
κεκλυτε μεο, μνηστηρες αγακλειτης βασιλειης,
οφρα ϝεπω, τα με θυϝμος ενι στηθεσσι κελεϝει·
ουκ αθεει ͱοδ' ανηρ ͱοδυσεϝιον ες δομον ͱικει·
ενπης μοι δοκεει δαϝιδων σελας εσμεναι αϝτοο
και κεφαλης· επει ου ͱοι ενι τριχες ουδ' ηβαιαι.
ἦ ρ', ͱαμα τε προσεϝεσπεν ͱοδυσσεϝα πτολιπορθον·
χσειν', η' αρ κ' εθελοις θητεϝεμεν, ει σ' ανͱελοιμην,
αγροϝ επ' εσχατιης,—μισθος δε τοι αρκιος εσται,—
ͱαιμασιας τε λεγων, και δενδρεα μακρα φυτεϝων;
ενθα δ' εγω σῖτον μεν επιϝετανον παρͱεχοιμι,
ϝεσματα τ' αμφιϝεσαιμι, ποσιν θ' υποδηματα δοιην.
αλλ' επει ων δη ϝεργα κακ' εμαθες, ουκ εθελησεις
ϝεργον εποιχεσθαι· αλλα πτωσσεεν κατα δημον
βουλεαι, ͱοφρ' αν ͱεχῃς βοσκεεν σην γαστερ' ααλτον.
τον δ' απαμειβομενος προσεφη πολυμητις ͱοδυσσεϝς·
ευρυμαχ', ει γαρ νοϝιν ερις ϝεργοϝο γενοιτο

ͱωρῇ ϝεαρινῇ, ͱοτε θ' ηματα μακρα πελονται,
εν ποιῇ, δρεπανον μεν εγων ͱεϋκαμπες ͱεχοιμι,
και δε συ τοιον ͱεχοις, ͱινα πειρῇσαιμεθα ϝεργοο
νηστιες αχρι μαλα κνεφαος, ποιη δε παρειη·
ει δ' αϝ και βοϝες ειεν ελαϝνεμεν, ͱοιπερ αριστοι,
αιθῶνες, μεγαλοι, αμφω κεκορῆοτε ποιης,
ͱηλικες, ϝεισϝοφοροι, των τε σθενος ουκ αλαπαδνον,
τετραγυον δ' ειη, ϝεικοι δ' ͱυπο βῶλος αροτρῷ,
τῷ κε ϝιδοις, ει αϝολκα διηνεκεα προταμοιμην.
ει δ' αϝ και πολεμον ποθεν ͱορμῆσειε κρονιϝων
σημερον, αϝταρ εμοι σακος ειη, και δυο δορϝε,
και κυνεη πανχαλκος επι κροταφοισ' αραρυια·
τῷ κε ϝιδοις πρῶτοισιν ενι προμαχοισι μιγεντα,
ουδ' αν μοι την γαστερ' ονειδιδσων αγορεϝοις.
αλλα μαλ' ͱυβριδσεις, και τοι νοος εστιν απηνης·
και ποϝο τις δοκεεις μεγας εσμεναι, ηδε κραταιος,
ͱοονεκα παρ παϝροισι και ουκ αγαθοισιν ͱομιλϝεις.
ει δ' ͱοδυσεϝς ελθοι, και ͱικοιτ' ες πατριδα γαιαν,
αιψα κε τοι τα θυρετρα, και ευρυα περ μαλ' εοντα,
φευγοντι στεινοιντο δι' εκ προθυροϝο θυραδσε.
ͱως εφατ'· ευρυμαχος δ' εχολῶσατο κεαροθι μαλλον,
και μιν ͱυποδρα ϝιδων ϝεπεα πτεροεντα προσηῦϝδα·
ϝαϝ δδειλ', η ταχα τοι τελεω κακον, ͱοι' αγορεϝεις.
ͱως αρα φῶνησανς σφελας ͱελλετο· αϝταρ ͱοδυσσεϝς
αμφινομοο προς γουϝα καθεδσετο δουλιχιεϝος,
ευρυμαχον δδειδσανς· ͱο δε ϝοινοχοϝον βαλε χειρα
δεχσιτερην· προχοϝος δε χαμαι βομβησε πεσοντσα·
αϝταρ ͱογ' οιμωγσανς πεσεν ͱυπτιος εν κονιϝῇσιν.
μνῆστηρες δ' ͱομαδησαν ανα μεγαρα σκιοεντα·
ͱῶδε δε τις ϝεσπεσκε ϝιδων ες πλησιον αλλον·
αιθ' ῶφελλ' ͱο χσεινος αλῶμενος αλλοθ' ολεσθαι,
πριν γ' ελθεεν· τῷ κ' ουτι τοσον κελαδον μετεϝῆκεν.
νῦν δε περι πτῶχῷ εριδαινομεν· ουδε τι δαιτος
εσθλης εσσεται ͱηδος, επει τα χερειονα νικᾷ.
τοισι δε και μετεϝεσφ' ιερη ϝις τηλεμαχοϝο·
δαιμονιοι, μαινεσθε, και ουκετι κεϝθετε θυϝμῷ
βρῶτυν ουδε ποτητα· θεων νυ τις υμμ' οροθυϝνει.
αλλ' ͱεϋ δαισαμενοι κατακειετε ϝοικαδ' ιοντες.
ͱως εφαθ'· οι δ' αρα παντες οδακς εν χειλεσι φῦντες
τηλεμαχον θαϝμαδσον, ͱο θαρσαλεως αγορεϝεν.
τοισιν δ' αμφινομος αγορεϝσατο και μετεϝεσπεν,
νισοϝο φαιδιμος ͱυιος, αρητιαδαϝο ϝανακτος·
ω φιλοι, ουκ αν δη τις επι ϝρῆθεντι δικαιῷ
αντιβιοισι ϝεπεσσι καθαπτομενος χαλεπαινοι·
μητε τι τον χσεινον στυφελιδσετε, μητε τιν' αλλον
δμῶων, ͱοι κατα δῶμαθ' οδυσσεϝος θειοϝο.

αλλ᾽ αγε, ϝοινοχοϝος μεν επαρχσασθω δεπαεσιν, Σ
ͱοφρα σπενδσαντες κατακειομεν ϝοικαδ᾽ ιοντες·
τον χσεινον δ᾽ εϝαωμεν ενι μεγαροισ᾽ ͱοδυσεϝος
τηλεμαχῷ μελεμεν· τοο γαρ φιλον ͱικετο δῶμα.
ͱως φατο· τοισι δε παντσι ϝεϝανδοτα μυϝθον εϝεσπεν.
τοισιν δε χρῆτηρ᾽ εκερασσατο μουλιος ͱηρως,
κηρυκς δουλιχιεϝς· θεραπων δ᾽ ῆν αμφινομοϝο·
νωμῆσεν δ᾽ αρα παντσιν επισταδον· ͱοι δε θεοισιν
σπενδσαντες μακαρεσ᾽ επιϝον μελιͱηδεα ϝοινον.
αϝταρ επει σπενδσαν τ᾽, επιϝον θ᾽, οσον ηθελε θυϝμος,
βαν ρ᾽ ιμεναι κειοντες ͱεϝα προς δῶμαθ᾽ εκαστος.
αϝταρ ϝογ᾽ εν μεγαρῷ ͱυπελειπετο διϝος ͱοδυσσεϝς, Τ
μνηστηρεσι φονον γσυν αθηνῇ μερμηριδσων·
αιπσα δε τηλεμαχον ϝεπεα πτεροεντα προσηῦϝδα·
τηλεμαχε, χρη τευχε᾽ αρεϝια κατθεμεν εισῷ
παντα μαλ᾽· αϝταρ μνῆστηρας μαλακοισι ϝεπεσσιν
παρφασθαι, ͱοτε κεν σε μεταλλῶντιν ποθεοντες·
εκ καπνοο κατεθῆκ᾽, επει ουκετι τοισ᾽ εϝεϝοικεεν,
ͱοια ποτε τροϝιηνδε κιων κατελειπεν ͱοδυσσεϝς,
αλλα κατῆκισται, ͱοσον πυρος ͱικετ᾽ αϝυϝτμη.
προς δ᾽ ετι και τοδε μειδσον ενι φρεσιν ενβαλε δαιμων,
μη πως ϝοινωθεντες, εριν στησαντες εν ͱυμῖν,
αλληλοϝς τρῶσητε, καταισχῦϝνητε τε δαιτα,
και μνηστυν· αϝτος γαρ εφελκεται ανδρα σιδηρος.
ͱως φατο· τηλεμαχος δε φιλῷ επεπειθετο πατρι·
εκ δε καλεσσαμενος προσεφη τροφον ευρυκλειαν·
μαι᾽, αγε δη μοι ερυκσον ενι μεγαροισι γυναικας,
ͱοφρα κεν ες θαλαμον καταθειομαι εντεα πατρος
καλα, τα μοι κατα ϝοικον ακηδεα καπνος αμερδει.
τον δ᾽ αϝτε προσεϝεσπε φιλη τροφος ευρυκλεια·
αι γαρ δη ποτε, τεκνον, επιφροσυνας ανͱελοιο,
ϝοικοϝο κηδεσθαι, και κτηματα παντα φυλασσεεν.
αλλ᾽ αγε, τις τοι επειτα μετοιχομενη φαϝος ͱοισει ;
δμῶας δ᾽ ουκ εϝαεις προβλῶσκεμεν, ͱαι κεν εφαινον.
την δ᾽ αϝ τηλεμαχος πεπνῦμενος αντιον ηῦϝδα·
χσεινος ͱοδ᾽· ου γαρ αϝεργον ανͱεχσομαι, ͱος κεν εμης γε
χοινικος ͱαπτηται, και τηλοθεν ηληλουθως.
ͱως αρ᾽ εφῶνησεν· τῇ δ᾽ απτερος επλετο μυϝθος.
κλεϝισσεν δε θυρας μεγαρων ͱεῦ ναιεταοντων.
τω δ᾽ αρ᾽ αναͱικσανθ᾽ οδυσεϝς και φαιδιμος ͱυιος
εσφορεον κορυθας τε, και ασπιδας ομφαλοεντσας,
ενχεα θ᾽ οκσυοεντα· παροιθε δε παλλας αθηνη,
χρυσεον λυχνον ͱεχοντσα, φαϝος περικαλλες εποιεεν.
δη τοτε τηλεμαχος προσεφῶνε᾽ ͱεϝον πατερ᾽ αιπσα·
ω πατερ, η μεγα θαϝμα τοδ᾽ οφθαλμοισιν ͱορῶμαι·
ενπης μοι τοιχοι μεγαρων, καλαι τε μεσοδμαι,

ειλατιναι τε δοκοι, και κιονες ͱυπσοσ' ͱεχοντες, T
φαινοντ' οφθαλμοισ', ͱως ει πυρος αιθομενοϝο.
η μαλα τις θεος ενδον, ͱοι ουρανον ευρυν ͱεχοντιν.
τον δ' απαμειβομενος προσεφη πολυμητις ͱοδυσσεϝς·
σιγαε, και κατα σον νοον ͱισχανε, μηδ' ερεεινε·
ͱαϝτη τοι δικη εστι θεων, ͱοι ολυνπον ͱεχοντιν,
αλλα συ μεν καταλεχσαι· εγω δ' ͱυπολειπσομαι αϝτοο,
ͱοφρα κ' ετι δμῳας και μητερα σην ερεθιδσω·
ͱη δε μ' οδυϝρομενη ειρησεται αμφις ͱεκαστα.
ͱως φατο· τηλεμαχος δε δι' εκ μεγαροϝ' εβεβηκεεν
κειων ες θαλαμον, δαϝιδων ͱυπο λαμπομεναϝων,
ενθα παρος κοιμᾶθ', οτε μιν γλυκυς ͱυπνος ͱικανοι·
ενθ' αρα και τοτ' ελεχτο, και ἦοα διϝαν εμιμνεν.
αϝταρ ͱογ' εν μεγαρῳ ͱυπελειπετο διϝος ͱοδυσσεϝς,
μνῆστηρεσι φονον γσυν αθηνῃ μερμηριδσων.
ͱη δ' ιεν εκ θαλαμοϝο περιφρων πηνελοπεια,
αρτεμιδι ϝικελη, ηε χρυσεῃ αφροδιτῃ·
τῇ παρα μεν κλισιην πυρι κατθεσαν, ενθ' αρ' εφιδσεν,
δινωτην ελεφαντι και αργυρῳ· ͱην ποτε τεχτων
ποιησ' ικμαλιος, και ͱυπο θρῆνυν ποσιν ͱῆκεν
προσφυϝε' εκς αϝτης, ͱοθ' επι μεγ' εβαλλετο κῶας.
ενθα καθεδσετ' επειτα περιφρων πηνελοπεια.
ηλθον δε δμῳαι λεϝκωλενοι εκ μεγαροϝο·
ͱαι δ' απο μεν σῖτον πολυν ͱαιρεον, ηδε τραπεδσας,
και δεπα', ενθεν αρ' ανδρες ͱυπερμενεοντες επιϝνον.
πυρ δ' απο λαμπτηρων χαμαδις βαλον· αλλα δ' επ' αϝτων
ναϝησαν χσυλα πολλα, φαϝος εμεν, ηδε θερεσθαι.
ͱη δ' ͱοδυσεϝ' ενενῖπε μελανθω δεϝτερον αϝτις·
χσειν', ετι και νῦν ενθαδ' ανιϝησεις δια νυκτα
δινεϝων κατα ϝοικον; οπιπτεϝσεις δε γυναικας;
αλλ' εκσελθε θυραδσε, ταλαν, και δαιτος ονησο·
η ταχα και δαϝλῳ βεβλῆμενος εισθα θυραδσε.
την δ' αρ' ͱυποδρα ϝιδων προσεφη πολυμητις ͱοδυσσεϝς·
δαιμονιη, τι μοι ͱῳδ' εφεχεις κεκοτῆοτι θυϝμῳ;
ηε ͱοτ' ου λιπαω; κακα δε χροϊ ϝεσματα ϝεσμαι;
πτῶχεϝω δ' ανα δημον; ανανκαιη γαρ επειγει.
τοιοϝτοι πτῶχοι και αλῆμονες ανδρες εαντιν.
και γαρ εγω ποτε ϝοικον εν ανθρωποισιν εναιον
ολβιος ͱαφνειον, και πολλακι δοσκον αλῆτῃ.
ῆσαν δε δμῶες μαλα μυϝριοι, αλλα τε πολλα,
ͱοισιν θ' ευ δσαϝοντι και ͱαφνειοι καλεονται·
αλλα δσεϝς αλαπακσε κρονιϝων, ηθελε γαρ ποο.
τῳ νῦν μη ποτε και συ, γυναι, απο παντσαν ολεσσῃς
αγλαϝιην, τῇ νῦν γε μετα δμῳῇσι κεκασσαι,
μη πως τοι δεσποινα κοτεσσαμενη χαλεπῆνῃ,
η ͱοδυσεϝς ελθητ'· ετι γαρ και ͱελπιδος αισα.

ει δ' ͱο μεν ͱως απολῶλε, και ουκετι νοστιμος εστιν,
αλλ' ηδη παις τοιος απολλῶνος γε ͱεκητι T
τηλεμαχος· τον δ' ουτις ενι μεγαροισι γυναικων
ληθει ατασθαλλοντσ'· επει ουκετι τηλικος εστιν.
ͱως φατο· τοο δ' ῆκοϝσε περιφρων πηνελοπεια·
αμφιπολον δ' ενεπῖπε, ϝεπος τ' εφατ', εκ τ' ονομαδσεν·
παντως, θαρσαλεη, κυον αδδεες, ουτι με ληθεις
ϝεργοντσα μεγα ϝεργον, ͱο σῇ κεφαλῇ αναμακσεις.
παντα γαρ ͱευ ϝοιδεεσθ', επει εκς εμεϝ εκλυϝες αϝτης,
ͱως τον χσεινον εμελλον ενι μεγαροισιν εμοισιν
αμφι ποσιι ερεεσθαι· επει πυκινως ακαχημαι.
ῆ ρα, και ευρυνομην ταμιην προς μυϝθον εϝεσπεν·
ευρυνομη, φερε δη διφρον και κῶας επ' αϝτοο,
ͱοφρα καθεδσομενος ϝεσπῇ ϝεπος, ηδ' επακοϝσῇ
ͱο χσεινος εμεθεν· εθελω δε μιν εκσερεεσθαι.
ͱως εφαθ'· η δε μαλ' οτραλεως κατεθῆκε φεροντσα
διφρον ͱεϋχσεστον, και επ' αϝτῷ κῶας εβαλλεν·
ενθα καθεδσετ' επειτα πολυτλᾶς διϝος ͱοδυσσεϝς.
τοισι δε μυϝθων ῆρχε περιφρων πηνελοπεια·
χσεινε, το μεν σε πρῶτον εγων ειρησομαι αϝτη,
τις; ποθεν εσσ' ανδρων; ποθι τοι πολις, ηδε τοκεϝες;
την δ' απαμειβομενος προσεφη πολυμητις ͱοδυσσεϝς·
ω γυναι, ουκ αν τις σε βροτων επ' απειρονα γαιαν
νεικεοι· η γαρ σεο κλεος ουρανον ευρυν ͱικανει,
ͱωστε τεο η βασιλεϝος αμυϝμονος, ͱοστε θεοϝδης,
ανδρεσιν εν πολλοισι και ῖφθῖμοισι ϝανασσων,
ͱευδικιας ανͱεχητι· φερητι δε γαια μελαινα
πυϝροϝς, και κρῖθας, βριθητι δε δενδρεα καρπῷ·
τικτῃ δ' ενπεδα μηλα, θαλασσα δε παρͱεχῃ ͱιχθυας,
εκς ͱεϋͱηγεσιης· αρετωντι δε λαϝοι ͱυπ' αϝτοο.
τῷ εμε νῦν τα μεν αλλα μεταλλαε σῷ ενι ϝοικῷ,
μη δ' εμον εκσερεεινε γενος και πατριδα γαιαν,
μη μοι μαλλον θυϝμον ενιπλησῇς οδυναϝων
μνῆσαμενῷ· μαλα δ' ῆμι πολυστονος· ουδε τι με χρη
ϝοικῷ εν αλλοτριῷ γοαοντα τε μυϝρομενον τε
ͱησθαι· επει κακιον πενθημεναι ακριτον αιϝει·
μη τις μοι δμῶεων νεμεσῆσεται, ηε συγ' αϝτη.
τον δ' ῆμειβετ' επειτα περιφρων πηνελοπεια·
χσειν', ητοι μεν εμην αρετην, ϝειδος τε, δεμας τε,
ῶλεσαν αθανατοι, ͱοτε ϝιλϝιον εισανεβαινον
αργειϝοι, μετα τοισι δ' εμος ποσις ῆεν ͱοδυσσεϝς.
ει κεινος γ' ελθων τον εμον βιϝον αμφιπολεϝοι,
μειδσον κε κλεος ειη εμον και καλλιον ͱοϝτῷ·
νῦν δ' αχομαι· τοσα γαρ μοι επεσσεϝσεν κακα δαιμων·
ͱοσοι γαρ νησοισιν επικρατεουσιν αριστοι,
δουλιχιῷ τε, σαμῇ τε, και ͱυλϝῆεντι δακυνθῷ,

ͱοι τ' αϝτην ιθακην ͱευδεϝελον αμφινεμονται,
ͱοι μ' αͱεκαδσομενην μνῶνται, τρυϝχοντι δε ϝοικον.
τῷ ουτε χσεινων ενπαδσομαι, ουθ' ικεταϝων.
αλλ' ͱοδυσεϝα ποθεοντσα φιλον κατατηκομαι ητορ.
ͱοι δε γαμον σπευδοντιν· εγω δε δολοϝς τολυπεϝω·
φαϝρος μεν μοι πρῶτον ενεπνεϝσε φρεσι δαιμων
στησαμενῃ μεγαν ͱιστον ενι μεγαροισιν ͱυφαινεεν,
λεπτον και περιμετρον· ͱαφαρ δ' αϝτοις μετεϝεσπον·
κοϝροι, εμοι μνῆστηρες, επει θανε διϝος ͱοδυσσεϝς,
μιμνετ' επειγομενοι τον εμον γαμον, εις ͱο κε φαϝρος
εκτελεσω, μη μοι μεταμωνια νηματ' οληται,
λαϝερτῃ ͱηροϝι ταφῆϊον, εις ͱοτε κεν μιν
μοιρ' ολοϝη καθελητι τανηλεγεος θανατοϝο·
μη τις μοι κατα δημον αχαιϝιαδων νεμεσῆσῃ,
αι κεν ατερ σπειροο κῆται, πολλα κτεατισσανς.
ͱως εφαμην· τοισιν δ' επεπειθετο θυϝμος αγῆνωρ.
ενθα και ͱηματιη μεν ͱυφαινεσκον μεγαν ͱιστον,
νυκτας δ' ανλυϝεσκον, επῆν δαϝιδας παραθειμην.
ͱως τριϝετες μεν εληθον εγω και επειθον αχαιϝοϝς·
αλλ' ͱοτε τετρατον ηλθε ϝετος, και επηλυθον ͱωραι,
μηνων φθινοντων, περι δ' ͱηματα πολλ' ετελεσθη,
και τοτε δη με, δια δμῶας, κυνας ουκ αλεγοντσας,
ͱελλον επελθοντες, και ͱομοκλῆσαντο ϝεπεσσιν.
ͱως το μεν εκσετελεσσα και ουκ εθελοντσ' ͱυπ' ανανκης·
νῦν δ' ουτ' εκφυγεεεν δυναμαι γαμον, ουτε τιν' αλλην
μητιν εφευρισκω· μαλα δ' οτρυϝνοντι τοκεϝες
γῆμασθ'· ασχαλαει δε παϊς βιϝοτον κατεδοντων,
γιγνῶσκων· ηδη γαρ ανηρ ͱοιος τε μαλιστα
ϝοικοϝο κηδεσθαι, τῷ τε δσεϝς ολβον οπαδσει.
αλλα και ͱως μοι ϝεσπε τεϝον γενος, ͱοποθεν εσσι·
ου γαρ απο δρυος εσσι παλαιφατοϝ, ουδ' απο πετρης.
την δ' απαμειβομενος προσεφη πολυμητις ͱοδυσσεϝς·
ω γυναι αιδοιη λαϝερτιαδαϝ ͱοδυσεϝος,
ουκ ετ' αποληγσεις τον εμον γονον εκσερεοντσα;
αλλ' εκ τοι ϝερεω· η μεν μ' αχεεσι γε δῶσεις
πλειοσιν, η' ͱεχομαι· ͱη γαρ δικη, ͱοποτε πατρης
ͱης απεητιν ανηρ τοσον χρονον, ͱοσον εγω νῦν,
πολλα βροτων επι ϝαστυϝ αλῶμενος, αλγεα πασχων·
αλλα και ͱως ϝερεω, ͱο μ' ανειρεαι ηδε μεταλλᾳς.
κρητη τις γαι' εστι, μεσῷ ενι ϝοινοπι ποντῷ,
καλη και πιϝειρα, περιρϝυτος· εν δ' ανθρωποι
πολλοι, απειρεσιοι, και ͱεννηκοντα πολιστες.
αλλη δ' αλλων γλωσσα μεμιγμενη· εν μεν αχαιϝοι,
εν δ' ͱετεοκρητες μεγαλητορες, εν δε κυδῶνες.
τοισι δ' ενι κνωσος μεγαλη πολις· ενθα τε μινως
ͱεννϝωρος βασιλεϝε διος μεγαλοϝ ͱοαριστης,

πατρος εμοϝο πατηρ, μεγαθυϝμοϝο δευκαλιϝῶνος.
δευκαλιϝων δε μ' ετικτε, και ιδομενεϝα ϝανακτα· T
αλλ' ͱο μεν εν ναϝεσι κορωνισι ϝιλϝιον εισῳ
ῳχεθ' αμ' ατρεϝιδῆσιν· εμοι δ' ονομα κλυτον αιθων,
ͱοπλοτερος γενεῆ· ͱο δ' αρα προτερος και αρειων.
ενθα ͱοδυσσεϝ' εγω ϝιδομην, και χσεινι' εδῶκα·
και γαρ τον κρητηνδε κατῆγαγε ϝις ανεμοϝο,
ͱιͱεμενον τροϝιηνδε, παραπλανγσαντσα μαλειεων·
στησε δ' εν αμνισῳ, ͱοθι τε σπεϝος ειλειθυιης,
εν λιμεσιν χαλεποισι· μολις δ' ͱυπαλυκσεν αϝελλας.
αϝτικα δ' ιδομενεϝα μεταλλαε, ϝαστυδ' ανελθων·
χσεινον γαρ ͱοι εφᾶσκε φιλον τ' εμεν, αιδοιον τε.
τῳ δ' ηδη δεκατη η' ͱενδεκατη πελεν ῆως
οιχομενῳ γσυν ναϝσι κορωνισι ϝιλϝιον εισῳ.
τον μεν εγω προς δῶματ' αγων ͱεϋ εχσεινισσα,
ενδυκεως φιλεων, πολλων κατα ϝοικον εοντων·
και ͱοι, τοις τ' αλλοισ' ͱεταροισ', ͱοι ͱαμ' αϝτῳ ͱεποντο,
δημοθεν αλφιτ' εδῶκα, και αιθοπα ϝοινον αγῆρανς,
και βοϝας ͱιερεϝσασθαι· ͱινα πλησαιατο θυϝμον.
ενθα δυωδεκα μεν μενον ͱηματα διϝοι αχαιϝοι·
ϝελϝεε γαρ βορεης ανεμος μεγας, ουδ' επι γαιῃ
ηϝαεν ͱιστασθαι· χαλεπος δε τις ορορε δαιμων·
τῇ τρις και δεκατῃ δ' ανεμος πεσε· τοι δ' αναγοντο.
ϝεισκε, πσευδεα πολλα λεγων ͱετυμοισιν ͱομοια·
της δ' αρ' ακοϝοντσης ρεϝε δακρυϝ', ετηκετο δε χρως·
ͱως δε χιων κατατηκετ' εν ακροπολοισιν ορεσσιν,
ͱην τ' ευρος κατετηκσεν, επῆν δσεφυρος καταχεϝῃ·
τηκομενης δ' αρα της ποταμοι πληθοντι ρεϝοντες·
ͱως της τηκετο καλα παρῆϊα δακρυχεϝοντσης,
κλαϝοντσης ͱεϝον ανδρα παρͱημενον· αϝταρ ͱοδυσσεϝς
θυϝμῳ μεν γοαοντσαν ͱεϝην ελεαιρε γυναικα,
οφθαλμοι δ' ͱως ει κερα' ͱεστασαν, ηε σιδηρος,
ατρεμας εν βλεφαροισι· δολῳ δ' ͱογε δακρυϝ' εκεϝθεν.
ͱη δ' επει ῶν ταρφθη πολυδακρυϝτοϝο γοοϝο,
εκσαϝτις μιν ϝεπεσσιν αμειβομενη προσεϝεσπεν·
νῦν μεν δη σεο, χσειν', εγω οϊϝω πειρῆσεσθαι,
ει ͱετεον δη κειθι συν αντιθεοισ' ͱεταροισιν
χσεινισας εν μεγαροισιν εμον ποσιν, ͱως αγορεϝεις·
ϝεσπε μοι, ͱοποι' ͱασα περι χροϊ ϝεσματ' εϝεστο,
αϝτος θ' οιος εῆν, και ͱεταιροϝς, ͱοι ͱοι ͱεποντο.
την δ' απαμειβομενος προσεφη πολυμητις ͱοδυσσεϝς·
ω γυναι, αργαλεον τοσον χρονον αμφις εοντα
ϝεσπεμεν· ηδη γαρ ͱοι ϝεικοστον ϝετος εστιν,
εκς ͱοϝο κειθεν εβη, και εμης απεληλυθε πατρης·
αλλα και ͱως ϝερεω, ͱως μοι ϝινδαλλεται ητορ·
χλαιναν πορφυρεην ϝολϝην ͱεχε διϝος ͱοδυσσεϝς,

διπλην· αϝταρ ͱοι περονη χρυσοϝ' ετετυχτο T
αϝλοισιν διδυμοισι· παροιθε δε δαιδαλον ἦεν·
εν προτεροισι ποδεσι κυων ͱεχε ποικιλον ͱελλον,
ασπαιροντα λαϝων· το δε θαϝμαδσεσκον ͱαπαντες,
ͱως ͱοι χρυσε' εοντες, ͱο μεν λαϝε νεβρον απανχων,
αϝταρ ͱογ', εκφυγεεεν μεμαϝως, ἤσπαιρε ποδεσιν.
τον δε χιτῶν' ενοησα περι χροΐ σιϝαλοεντα,
ͱοιον τε κρομυοϝο λοπον κατα ϝισχαλεοϝο,
τως μεν εἦν μαλακος, λαμπρος δ' ἦν, ἥελιος ͱως·
η μεν πολλαι γ' αϝτον εθαϝησαντο γυναικες.
αλλο δε τοι ϝερεω, συ δ' ενι φρεσι βαλλεο σῇσιν·
ουκ ϝοιδ', ει ταδ' εϝεστο περι χροΐ ϝοικοθ' ͱοδυσσεϝς,
η τις ͱεταιρων δῶκε θοϝης επι ναϝος ιοντι,
η τις ποο και χσεινος· επει πολλοισιν ͱοδυσσεϝς
εσκε φιλος· παϝροι γαρ αχαιϝων ἦσαν ͱομοιοι.
και ͱοι εγω χαλκειον αͱορ, και διπλακ' εδῶκα
καλην, πορφυρεην, και τερμιοεντα χιτῶνα·
αιδοιως δ' απεπεμπον ͱεΰσελμοϝ' επι ναϝος.
και μεν ͱοι κηρυκς ολιγον προγενεστερος αϝτοο
ͱεσπετο· και τον τοι μυϝθησομαι, ͱοιος εἦν περ·
γυρϝος εν ωμοισιν, μελανοχρως, ϝολϝοκαρῆνος·
ευρυβατης δ' ονομ' εσκε· τιϝεν δε μιν εκσͱοχον αλλων
ͱων ͱεταρων ͱοδυσεϝς, ͱοτι ͱοι φρεσιν αρτια ϝοιδεεν.
ͱως φατο· τῇ δ' ετι μαλλον ͱυφ' ιμερον ὦρσε γοοϝο,
και τοτε μιν μυϝθοισιν αμειβομενη προσεϝεσπεν·
νῦν μεν δη μοι, χσεινε, παρος περ εων ελεεινος,
εν μεγαροισιν εμοισι φιλος τ' εσε', αιδοιος τε·
αϝτη γαρ ταδε ϝεσματ' εγω πορον, ͱοι' αγορεϝεις,
πτυχσαντσ' εκ θαλαμοο· περονην τ' επεθῆκα φαϝεινην,
κεινῳ αγαλμ' εμεναι· τον δ' ουχ υποδεχσομαι αϝτις
ϝοικαδε νοστησαντα, φιλην ες πατριδα γαιαν.
τῷ ρα κακῇ αισῇ κοιλης επι ναϝος ͱοδυσσεϝς
ᾤχετ' εποπτσομενος κακοϝιλϝιον ουκ ονομαστην.
την δ' απαμειβομενος προσεφη πολυμητις ͱοδυσσεϝς·
ὠ γυναι αιδοιη λαϝερτιαδαϝ' ͱοδυσεϝος,
μηκετι νῦν χροα καλον ενͱαιρεο, μηδε τι θυϝμον
τηκε, ποσιν γοαοντσα· νεμεσαομαι γε μεν ουδεν·
και γαρ τις τ' αλλοιον οδυϝρεται ανδρ' ολεσαντσα
κορϝιδιον, τῷ τεκνα τεκῃ φιλοτητι μιγεντσα,
η' ͱοδυσεϝ', ͱον φαντι θεοισ' εναλινκιον εεναι.
αλλα γοοο μεν παϝσαι, εμεϝο δε συνθεο μυϝθον·
νημερτεως γαρ τοι μυϝθησομαι, ουδ' επικεϝθσω,
ͱως ηδη ͱοδυσεϝος εγω περι νοστοϝ' ακοϝσα,
ανχοϝο θεσπρωτων ανδρων εν πιϝονι δημῳ,
δσαϝοϝ'· αϝταρ αγει κειμηλια πολλα και εσθλα,
αιτιδσων ανα δημον· αταρ περιῆρας ͱεταιροϝς

ὤλεσε, και ναϝα γλαφυρην, ενι ϝοινοπι ποντῳ, T
θρινακιης απο νησοϝ' ιων· οδυσαντο γαρ αϝτῳ
δσεϝς τε και ἥελιος· τοϝο γὰρ βοϝας εκταν ϝεταιροι.
ϝοι μεν παντες ολοντο πολυκλυστῳ ενι ποντῳ·
τον δ' αρ' επι τροπιος ναϝος εκβαλε κυϝμ' επι χερσοο
φαιηκων ες γαιαν, ϝοι ανχιθεοι γεγααντιν·
ϝοι δη μιν περι κεαρι, θεον ϝως, τιϝμῆσαντο,
και ϝοι πολλ' εδοσαν, πεμπεεν τε μιν ηθελον αϝτοι
ϝοικαδ' απημαντον· και κεν παλαι ενθαδ' ϝοδυσσεϝς
ἦην· αλλ' αρα ϝοι τογε κερδιον ϝειδσατο θυϝμῳ,
χρηματ' αγυρταδσεεν πολλην επι γαιαν ιοντι·
ϝως περι κερδεα πολλα καταθνῆτων ανθρωπων
ϝοιδ' ϝοδυσεϝς· ουδ' αν τις ερισσειε βροτος αλλος.
ϝως μοι θεσπρωτων βασιλεϝς μυϝθησατο φειδων·
ὤμνυε δε προς εμ' αϝτον, επισπενδων ενι ϝοικῳ,
ναϝα καταϝεϝερυσθαι, επαρτεας τ' εσμεν' ϝεταιροϝς,
ϝοι δη μιν πεμψσοντι φιλην ες πατριδα γαιαν.
αλλ' εμε πριν απεπεμψσ'· ετυχησε γαρ ερχομενη ναϝς
ανδρων θεσπρωτων ες δουλιχιον πολυπυϝρον.
και μοι κτηματ' εδειξσεν, ϝοσα ξσυναγῆραθ' οδυσσεϝς·
και νυ κεν ες δεκατην γενεην ϝετερον γ' ετι βοσκοι,
τοσα ϝοι εν μεγαροις κειμηλι' εκειτο ϝανακτος.
τον δ' ες δωδωνην φατο βημεναι, ϝοφρα θεοϝο
εκ δρυος ϝυψσικομοϝο διος βουλην επακοϝσῃ,
ϝοπως νοστησειε φιλην ες πατριδα γαιαν,
ηδη δην απεων, ἠ' ανφαδον, ηε κρυφηδον.
ϝως ϝο μεν ϝοϝτως εστι σαος, και ελευθσεται ηδη
ανχι μαλ'· ουδ' ετι τηλε φιλων και πατριδος αιης
δηρον απεσσεεται· ενπης δε τοι ϝορκια δῶσω·
ϝιδστω νῦν δσεϝς πρῶτα, θεων ϝυπατος και αριστος,
ϝεστιϝη θ' οδυσεϝος αμυϝμονος, ϝην αφικανω,
η μεν τοι ταδε παντα τελεϝεται, ϝως αγορεϝω·
τοο δ' αϝτοο λυκαβαντος ελευθσεται ενθαδ' ϝοδυσσεϝς,
τοο μεν φθινοντος μηνος, τοϝο δ' ϝισταμενοϝο.
τον δ' αϝτε προσεϝεσπε περιφρων πηνελοπεια·
αι γαρ τοϝτο, ξσεινε, ϝεπος τετελεσμενον ειη·
τῳ κε ταχα γνοιης φιλοτητα τε, πολλα τε δῶρα,
εκς εμεϝ'· ϝως αν τις σε συναντομενος μακαριδσοι. 311
αλλα μιν, αμφιπολοι, απονιπτσατε, κατθετε δ' ευνην, 317
δεμνια, και χλαινας, και ϝρῆγεα σιϝαλοεντα. 318
την δ' απαμειβομενος προσεφη πολυμητις ϝοδυσσεϝς· 335
ω γυναι αιδοιη λαϝερτιαδαϝ' ϝοδυσεϝος,
ητοι εμοι χλαιναι και ϝρῆγεα σιϝαλοεντα
ηχθεθ', οτε πρῶτον κρητης ορεα νιφοεντα
νοσφισαμην επι ναϝος ιων δολιχῆρετμοϝο.
κειω δ', ϝως το παρος περ αϝυπνοϝς νυκτας ϝιαϝον·

πολλας γαρ δη νυκτας αϝεικελιῳ ενι κοιτῃ T
ἧϝεσα, και τ' ανεμῆνα ͱεΰθρονον ῆοα διϝαν. 342
τον δ' αϝτε προσεϝεσπε περιφρων πηνελοπεια· 588
ει κ' εθελοις μοι, χσεινε, παρͱημενος εν μεγαροισιν
τερπεμεν, ου κ' εμοι ͱυπνος επι βλεφαροισι χυθειη·
αλλ' ου γαρ πως εστιν αͱυπνοϝς εσμεναι αιϝεν
ανθρωποϝς· επι γαρ τοι ͱεκαστῳ μοιραν εθῆκαν
αθανατοι θνῆτοισιν επι δσαϝδῶρον αροϝραν.
αλλ' ητοι μεν εγων, ͱυπεροϝιον εισαναβαντσα,
λεχσομαι εις ευνην, ͱη μοι στονοεντσα τετυχται,
αιϝει δακρυσ' εμοισι πεφυϝρμενη, εκς ͱοϝ ͱοδυσσεϝς
ῷχετ' εποπτσομενος κακοϝιλϝιον ουκ ονομαστην.
ενθα κε λεχσαιμην· συ δε λεχσεο τῳδ' ενι ϝοικῳ,
η χαμαδις στορεσανς, η τοι κατα δεμνια θεντων.
ͱως ϝεσποντσ' ανεβαιν' ͱυπεροϝια σιϝαλοεντα,
ουκ οιη· ͱαμα τῃ γε και αμφιπολοι κιον αλλαι.
ες δ' ͱυπεροϝι' αναβαντσα συν αμφιπολοισι γυναικσιν
κλαϝεν επειθ' οδυσεϝα, φιλον ποσιν· ͱοφρα ͱοι ͱυπνον
ͱηδυν επι βλεφαροισ' εβαλε γλαϝκῶπις αθηνη.
αϝταρ ͱογ' εν προδομῳ ευναδσετο διϝος ͱοδυσσεϝς· Υ
κατ μεν αδεπσητον βοϝεην στορεσ', αϝταρ ͱυπερθεν
κῶεα πολλ' οϝιων, τοϝς ͱιερεϝεσκον αχαιϝοι·
ευρυνομη δ' αρ' επι χλαιναν βαλε κοιμῆθεντι.
ενθ' ͱοδυσεϝς, μνῆστηρσι κακα φρονεων ενι θυϝμῳ,
κειτ' εγρηγοραων· ται δ' εκ μεγαροϝο γυναικες
ηΐσαν, ͱαι μνῆστηρσιν εμισγεσκοντο παρος περ,
αλληλῃσι γελον τε και ͱευφροσυνην παρͱεχοντσαι.
τοο δ' ῶρινετο θυϝμος ενι στηθεσσι φιλοισιν·
πολλα δε μερμηριδσε κατα φρενα και κατα θυϝμον,
ηε μεταͱικσανς θανατον τευχσειεν ͱεκαστῃ,
η' εϝαοι μνῆστηρσιν ͱυπερφιαλοισι μιγηναι
ͱυστατα και πυματα· κραδιη δε ͱοι ενδον ͱυλακτεεν.
ͱως δε κυων αμαλῇσι περι σκυλακεσι βεβῶντσα,
ανδρ' αγνῶησαντσ' ͱυλαει, μεμονεν τε μαχεσθαι·
ͱως ρα τοϝ' ενδον ͱυλακτε' αγαϝομενοο κακα ϝεργα·
στηθος δε πληγσανς κραδιην ηνιπαπε μυϝθῳ·
τετλαθι δη, κραδιη· και κυντερον αλλο ποτ' ετλῆς,
ͱηματι τῳ, ͱοτε τοι μενος ασχετος ησθιε κυκλωπς
ῗφθῖμοϝς ͱεταροϝς· συ δ' ετολμᾶς, ͱοφρα σε μητις
εκσαγαγ' εκς αντροϝο, οΐϝομενον θανεεσθαι.
ͱως εφατ', εν στηθεσσι καθαπτομενος φιλον ητορ· 22
ͱως δ' ͱοτε γαστερ' ανηρ, πολυος πυρος αιθομενοϝο, 
ενπλεεην κνισσης τε και ͱαιματος ενθα και ενθα
αιϝολϝῃ, μαλα δ' ῶκα λιλαϝεται οπτῆθηναι·
ͱως αρ' ͱογ' ενθα και ενθα ϝελισσετο, μερμηριδσων,
ͱοπως δη μνῆστηρσιν ααιδεσι χειρας εφησει,

μουνος εων πολυσιν· σχεδοθεν δε ͱοι ηλθεν αθηνη,
ουρανοθεν καταβαντσα· δεμας δ' εϝεϊκτο γυναικι· Υ
στη δ' αρ' ͱυπερ κεφαλης, και μιν προς μυϝθον εϝεσπεν·
τιπτ' αϝτ' εγρησσεις, παντων περι κακμορε φωτων;
ϝοικος μεν τοι ͱοδ' εστι, γυνη δε τοι ͱηδ' ενι ϝοικῳ,
και παϊς, ͱοιον ποο τις εελδεται εσμεναι ͱυια.
την δ' απαμειβομενος προσεφη πολυμητις ͱοδυσσεϝς·
ναι δη ταϝτα γε παντα, θεα, κατα μοιραν εϝεσπες·
αλλα τι μοι τοδε θυϝμος ενι φρεσι μερμηριδσει,
ͱοπως δε μνηστηϱσιν αναιδεσι χειρας εφησω
μουνος εων· ͱοι δ' αιϝεν ͱαϝολϝεες ενδον εαντιν.
προς δ' ετι και τοδε μειδσον ενι φρεσι μερμηριδσω,
ειπερ γαρ κτηναιμι, διος τε σεθεν τε ͱεκητι,
πῃ κεν ͱυπεκ προφυγοιμι; το σε φραδσεσθαι ανωγα.
τον δ' αϝτε προσεϝεσπε θεα γλαϝκωπις αθηνη·
σχετλιε! και μεν τις τε χερειονι πειθεθ' εταιρῳ,
ͱοσπερ θνητος τ' εστι, και ου τοσα μηδεα ϝοιδεν·
αϝταρ εγω θεος ημι, διανπερες ͱη σε φυλασσω
εν παντεσι πονοις· ϝεϱεω δε τοι εκσαναφανδον·
ειπερ πεντηκοντα λοχοι μεροπων ανθρωπων
νοϝι περισταιεν, κτηναι μεμαϝωτες αρεϝι,
και κεν των ελασαιο βοϝας και ϝιφια μηλα.
αλλ' ͱελετω σε και ͱυπνος· ανιϝη και το φυλασσεεν
παννυχον εγρησσοντα· κακων δ' ͱυπο δυϝσεαι ηδη.
ͱως φατο· και ρα ͱοι ͱυπνον επι βλεφαροισιν εχεϝεν·
αϝτη δ' απς ες ολυνπον αφικετο διϝα θεαϝων,
ευτε τον ͱυπνος εμαϱπτε, λυϝων μεληδηματα θυϝμοο,
λυϝσιμελης· ͱαλοχος δ' αρ' επεγρετο κεδνα ϝιδυια·
κλαϝε δ' αρ' εν λεκτροισι καθεδσομενη μαλακοισιν.
αϝταρ επει κλαϝοντσ' εκορεσσαθ' εϝον κατα θυϝμον,
αϱτεμιδι πρωτιστον επευχσατο διϝα γυναικων·
αρτεμι, ποτνια θεα, θυγατερ διος, αιθε μοι ηδη
ͱιϝον ενι στηθεσσι βαλοντσ' εκ θυϝμον ͱελοιο
αϝτικα νυν· η επειτα μ' ανͱαρπακσαντσα θυϝελλα
οιχοιτο προφεροντσα κατ' ηεροεντα κελευθα,
εν δε βαλοι προχοϝῃσ' απσοροϝοϝ ωκεανοϝο·
μηδε τι χειρονος ανδρος ͱεϋφραινοιμι νοημα!
αλλα το μεν και ανͱεχτον ͱεχει κακον, ͱοποτε κεν τις
ͱηματα μεν κλαϝῃ πυκινως ακαχημενος ητορ,
νυκτας δ' ͱυπνος ͱεχητιν· ͱο γαρ τ' επεληθσεν ͱαπαντας
εσθλων ηδε κακων, επει αρ βλεφαρ' αμφικαλυπτσῃ·
αϝταρ εμοι και ονειρατ' επεσσεϝεν κακα δαιμων.
ͱως εφατ'· αϝτικα δε χρυσοθρονος ηλυθεν ηως.
της δ' αρα κλαϝοντσης ϝοπα συνθετο διϝος ͱοδυσσεϝς·
μερμηϱιδσε δ' επειτ', εδοκησε δε ͱοι κατα θυϝμον
ηδη γιγνωσκοντσα παρͱεσταμεναι κεφαληφιν.

χλαιναν μεν γσυνͱελων και κῶεα, τοισιν ενͱευδεν,
ες μεγαρον κατεθῆκεν επι θρονοϝ᾽· εκ δε βοϝειην Υ
θῆκε θυραδσε φερων· διϊ δ᾽ ευχετο, χειρας ανασχων·
δσεϝ πατερ, ει μ᾽ εθελοντες επι τραφερην τε και ͱυγρην
ἦγετ᾽ εμην ες γαιαν, επει μ᾽ εκακῶσατε λιϝην,
φημην τις μοι φασθω εγειρομενων ανθρωπων
ενδοθεν· εκτοσθεν δε διος τερας αλλο φανητω.
ͱως εφατ᾽ ευχομενος· τοϝο δ᾽ εκλυϝε μητιετα δσεϝς·
αϝτικα δ᾽ εβροντῆσεν απ᾽ αιγλῆεντος ολυνποο.
φημην δ᾽ εκς ϝοικοϝο γυνη προεͱῆκεν αλετρις
πλησιον, ενθ᾽ αρα ͱοι μυλαι ἦατο ποιμενι λαϝων.
τῇσι δε δωδεκα παντσαι επερϝοντο γυναικες,
αλφιτα τευχοντσαι και αλῆατα, μυϝελον ανδρων.
ͱαι μεν αρ᾽ αλλαι ͱευδον, επει κατα πυϝρον αλεσσαν·
ͱη δε μι᾽ ου πῳ παϝετ᾽, αφαϝροτατη δ᾽ ετετυχτο·
ͱη ρα μυλην στησαντσα, ϝεπος φατο, σημα ϝανακτι·
δσεϝ πατερ, ͱοστε θεοισι και ανθρωποισι ϝανασσεις,
η μεγαλ᾽ εβροντῆσας απ᾽ ουρανοϝ᾽ αστεροεντος,
ουδε ποθι νεφος εστι· τερας νυ τεῳ τοδε φαινεις·
κρῆνον νῦν και εμοι δδειλῇ ϝεπος, ͱο τι κε ϝεσπω·
μνῆστηρες πυματον τε και ͱυστατον ͱηματι τῷδε
εν μεγαροισ᾽ ͱοδυσεϝος ͱελοιατο δαιτ᾽ ερατεινην·
ͱοι δη μοι καματῷ θυϝμαλγεϊ γονϝατ᾽ ελυϝσαν,
αλφιτα τευχοντσῇ· νῦν ͱυστατα δειπνησειαν.
ͱως αρ᾽ εφη· χαιρεν δε κλεηδονι διϝος ͱοδυσσεϝς,
δσῆνος τε βροντῇ· φατο γαρ τιϝσασθαι αλῖτεας.
ͱαι δ᾽ αλλαι δμῶαι κατα δῶματα καλ᾽ ͱοδυσεϝος
αγρομεναι ανεκαϝον επ᾽ εσχαρῇ ακαματον πυρ.
τηλεμαχος δ᾽ ευνηθεν ανͱιστατο ϝεισϝοθεος φῶς,
ϝεσματα ϝεσσαμενος· περι δε χσιφος ͱοκσυ θετ᾽ ωμῳ·
ποδσι δ᾽ ͱυπο λιπαροισιν εδησατο καλα πεδιλϝα,
ͱελλετο δ᾽ αλκιμον ενχος, ακαχμενον ͱοκσυϊ χαλκῷ·
στη δ᾽ αρ᾽ επ᾽ ουδον ιων, προς δ᾽ ευρυκλειαν εϝεσπεν·
μαια φιλη, τον χσεινον ετιϝμῆσασθ᾽ ενι ϝοικῷ
ευνῇ και σῖτῷ; η᾽ αϝτως κειται ακηδης;
τοιαϝτη γαρ εμοι μητηρ, πινυτη περ εοντσα,
ενπληγδην ͱετερον γε τιϝει μεροπων ανθρωπων
χειρονα, τον δε τ᾽ αρειον᾽ ατιϝμῆσαντσ᾽ αποπεμπει.
τον δ᾽ αϝτε προσεϝεσπε περιφρων ευρυκλεια·
ουκ αν μιν νῦν, τεκνον, ααιτιον αιτιαοιο.
ϝοινον μεν γαρ πιϝνε καθημενος, ͱοφρ᾽ εθελ᾽ αϝτος·
σῖτοϝο δ᾽ ουκετ᾽ εφη πεινημεναι· ειρετο γαρ μιν.
αλλ᾽ ͱοτε δη κοιτοϝο και ͱυπνοϝο μιμνησκοιτο,
ͱη μεν δεμνι᾽ ανωγεν ͱυποστορεσαι δμῶῇσιν·
αϝταρ ͱογ᾽, ͱως τις πανπαν οϊδσυϝρος και αποτμος,
ουκ εθελ᾽ εν λεκτροισι και εν ϝρῆγεσσι καθευδεεν,

αλλ' εν αδεπσητῳ βοϝεῃ και κωεσιν οϝιων Υ
εδραθεν εν προδομῳ· χλαιναν δ' επεϝεσσαμεν ͱημεες.
ͱως φατο· τηλεμαχος δε δι' εκ μεγαροϝ' εβεβηκεεν,
ενχος ͱεχων· ͱαμα τῳ γε κυνες ποδας αργοι ͱεποντο.
βη δ' ιμεν εις αγορην μεθ' εϋκνημιδας αχαιϝοϝς.
ͱη δ' αϝτε δμωῃσιν εκεκλετο διϝα γυναικων·
αγρεεθ', αι μεν δωμα κορησατε ποιπνυϝσαντσαι,
ϝρασσατε τ' εν δε θρονοισ' ͱεϋποιητοισι ταπητας
βαλλετε πορφυρεοϝς· ͱαι δε σπονγοισι τραπεδσας
παντσας αμφιμασασθε, καθηρατε δε κρητηρας,
και δεπα' αμφικυπελλα τετυχμενα· ται δε μεθ' υϝδωρ
ερχεσθε κρηνηνδε, και ͱοισετε θασσον ιοντσαι·
ου γαρ δην μνηστηρες απεσσονται μεγαροϝο,
αλλα μαλ' ηρι νεονται, επει και παντσιν ͱεορτη.
ͱως εφαθ'· αι δ' αρα της μαλα μεν κλυϝον, ηδ' επιθοντο.
ͱαι μεν ϝεικοσ' εβησαν επι κρηνην μελανͱυδρον·
ͱαι δ' αϝτοο κατα δωματ' επισταμενως πονεοντο.
ες δ' ηλθον δρηστηρες αγηνορες· ͱοι μεν επειτα
ͱευ και επισταμενως κεασαν χσυλα· ͱαι δε γυναικες
ηλθον απο κρηνης· επι δε σφισιν ηλθε συβωτης,
τρεας σιϝαλοϝς καταγων, ͱοι εσαν μετα παντσιν αριστοι.
και τοϝς μεν ρ' ηϝασε καθ' ερκεα καλα νεμεσθαι,
αϝτος δ' αϝθ' οδυσεϝα προσηυϝδαε μειλιχιοισιν·
χσειν', η' αρ τι σε μαλλον αχαιϝοι εισͱοραοντιν,
ηε σ' ατιϝμαδσοντι κατα μεγαρ', ͱως το παρος περ;
τον δ' απαμειβομενος προσεφη πολυμητις ͱοδυσσεϝς·
αι γαρ δη, ͱεϋμαιε, θεοι τιϝσαιατο λωβην,
ͱην ͱοιδ' ͱυβριδσοντες αϝεικεα μηχαναονται
ϝοικῳ εν αλλοτριῳ, ουδ' αιδοος μοιραν ͱεχοντιν.
ͱως ͱοι μεν τοιαϝτα προς αλληλοϝς αγορεϝον.
ανχιμολον δε σφ' ηλθε μελανθιος, αιπολος αιγων,
αιγας αγων, ͱαι παντσι μετεπρεπον αιπολιοισιν,
δειπνον μνηστηρεσι· δυω δ' ͱαμ' ͱεποντο νομεϝες.
και τας μεν κατεδησεν ͱυπ' αιθουντσῃ εριδουπῳ·
αϝτος δ' αϝθ' οδυσεϝα προσηυϝδαε κερτομιοισιν·
χσειν', ετι και νυν ενθαδ' ανιϝησεις κατα δωμα,
ανερας αιτιδσων; αταρ ουκ εκσεισθα θυραδσε;
παντως ουκετι νοϝι διακρινεεσθαι οϊϝω,
πριν χειρων γεϝσασθαι· επει συ περ ου κατα κοσμον
αιτιδσεις· εντιν δε και αλλοθι δαιτες αχαιϝων.
ͱως φατο· τον δ' ουτι προσεφη πολυμητις ͱοδυσσεϝς,
αλλ' ακεων κινησε καρη, κακα βυσσοδομεϝων.
τοισι δ' επι τριτος ηλθε φιλοιτιος, ορχαμος ανδρων,
βοϝν στειραν μνηστηρσιν αγων και πιϝονας αιγας·
πορθμεϝες δ' αρα τοϝσγε διηγαγον, ͱοιτε και αλλοϝς
ανθρωποϝς πεμποντ', οστις σφεϝας εισαφικηται.

και τα μεν ͱευ κατεδησεν ͱυπ' αιθουσῃ εριδουπῳ·
αϝτος δ' αϝτ' ερεεινε συβῶτην, αγχι παραστανς·
τις δη ͱοδε χσεινος νεϝον ηληλουθε, συβῶτα,
ͱημετερον προς δῶμα; τεων δ' εκς ευχεται εεναι
ανδρων; ποο δε νυ ͱοι γενεη και πατρις αροϝρα;
ῆ, και δεχσιτερῇ δειδισκετο χειρι παραστανς·
και μιν φῶνησανς ϝεπεα πτεροεντα προσηῦϝδα·
χαιρε, πατερ, ω χσεινε, γενοιτο τοι ες περ οπισσῳ
ολβος· αταρ μεν νῦν γε κακοισ' ͱεχεαι πολυεσιν.
δσεϝ πατερ, ουτις σεϝο θεων ολοϝωτερος αλλος·
ουκ ελεαιρεις ανδρας, επῆν δη γῆνεαι αϝτος,
μισγεμεναι κακοτητι και αλγεσι λευγαλεοισιν.
ιδιον, ͱως ενοησα, δεδακρῦνται δε μοι οσσε
μνῆσαμενῳ ͱοδυσεϝος· επει και εκεινον οἴϝω
τοιαδε λαιφε' ͱεχοντα κατ' ανθρωποϝς αλαλῆσθαι,
ει ποϝ ετι δσαϝει, και ͱορᾷ φαϝος ῆελιοϝο.
ει δ' ηδη τεθνῆκε, και ειν αϝιδαϝο δομοισιν,
ω μοι επειθ' οδυσεϝος αμυϝμονος, ͱος μ' επι βοϝσιν
ͱεσσ' ετι τυτθον εοντα, κεφαλληνων ενι δημῳ.
νῦν δ' ͱαι μεν γιγνονται αθεσφατοι, ουδε κεν αλλως
ανδρι γ' ͱυποσταχυϝοιτο βοϝων γενος ευρυμετῶπων·
τας δ' αλλοι με κελονται αγινεμεναι σφισιν αϝτοις
εδμεναι· ουδε τι παιδος ενι μεγαροισ' αλεγοντιν,
ουδ' οπιδα τρομεοντι θεων· μεμαϝαντι γαρ ηδη
κτηματα δασσασθαι δην οιχομενοϝο ϝανακτος.
αϝταρ εμοι τοδε θυϝμος ενι στηθεσσι φιλοισιν
πολλ' επιδινεϝται· μαλα μεν κακον, ͱυιος εοντος,
αλλων δημον ͱικεσθαι, ιοντ' αϝτῆσι βοϝεσιν,
ανδρας ες αλλοδαποϝς· το δε ρῖγιον, αϝθι μενοντα
βοϝσιν επ' αλλοτριῆσι καθημενον αλγεα πασχεεν.
και κεν δη παλαι αλλον ͱυπερμενεων βασιλεϝων
εκσͱικομην φευγων· επει ουκετ' ανͱεκτα πελονται·
αλλ' ετι τον δυστηνον οἴϝομαι, ει ποθεν ελθων
ανδρων μνῆστηρων σκεδασιν κατα δῶματα θειη.
τον δ' απαμειβομενος προσεφη πολυμητις ͱοδυσσεϝς·
βοϝκολ', επει ουτε κακῳ ουτ' αφρονι φῶτι ϝεϝοικας,
γιγνωσκω δε και αϝτος, ͱο τοι πινυτη φρενας ͱικει,
τοονεκα τοι ϝερεω, και επι μεγαν ͱορκον ομοομαι·
ϝιδστω νῦν δσεϝς πρῶτα θεων, χσενιη τε τραπεδσα,
ͱεστιϝη θ' οδυσεϝος αμυϝμονος, ͱην αφικανω,
η σεϝο ϝοικοι εοντος ελευσεται ενθαδ' ͱοδυσσεϝς·
σοισιν δ' οφθαλμοισιν εποπτσεαι, αι κ' εθελῆσθα,
κτεινομενοϝς μνῆστηρας, ͱοι ενθαδε κοιρανεοντιν.
τον δ' αϝτε προσεϝεσπε βοϝων επιβοϝκολος ανηρ·
αι γαρ τοϝτο, χσεινε, ϝεπος τελεσειε κρονιϝων·
γνοιης χ', οιη εμη δυναμις και χειρες ͱεπονται.

ͱως δ' αϝτως ͱεϋμαιος επευχσατο παντσι θεοισιν, Υ
νοστησαι ͱοδυσεϝα πολυφρονα ͱονδε δομονδε.
ͱως ͱοι μεν τοιαϝτα προς αλληλοϝς αγορεϝον.
μνῆστηρες δ' αρα τηλεμαχῳ θανατον τε μορον τε
ἦρτυϝον· αϝταρ ͱο τοισιν αριστερος ηλυθεν ορνιχς,
αιετος ͱυπσιπετης, ͱεχε δε τρηρῶνα πελειαν.
τοισιν δ' αμφινομος αγορεϝσατο, και μετεϝεσπεν·
ω φιλοι, ουχ ημῖν γσυνθεϝσεται ͱηδε γε βουλη,
τηλεμαχοϝο φονος· αλλα μνῆσωμεθα δαιτος.
ͱως εφατ' αμφινομος· τοισιν δ' επεϝανδανε μυϝθος.
ελθοντες δ' ες δῶμαθ' οδυσσεϝος θειοϝο,
χλαινας μεν κατεθεντο κατα κλισμοϝς τε θρονοϝς τε·
ͱοι δ' ͱιερεϝον οϝιας μεγαλοϝς και πιϝονας αιγας,
ͱιερεϝον δε σ̓υας σιϝαλοϝς και βοϝν αγελαιην·
σπλανχνα δ' αρ' οπτῆσαντες ενωμαον· εν δε τε ϝοινον
κρῆτηρσιν κεραϝοντο· κυπελλα δ' ενῆμε συβῶτης.
σῖτον δε σφ' επενῆμε φιλοιτιος, ορχαμος ανδρων,
καλοισ' εν κανεοισιν· εϝοινοχοϝεε δε μελανθεϝς.
ͱοι δ' επ' ονειαθ' ετοιμα προκειμενα χειρας ιαλλον.
τηλεμαχος δ' ͱοδυσεϝα καθιδρυε, κερδεα νωμῶν,
εντος ͱεϋσταθεος μεγαροο, παρα λαϝινον ουδον,
διφρον αϝεικελιον παραθενς, ολιγην τε τραπεδσαν·
παρ δ' ετιθεε σπλανχνων μοιρας, και ϝοινον εχεϝεν
εν δεπαϊ χρυσεῳ, και μιν προς μυϝθον εϝεσπεν·
ενταϝθοι νῦν ͱησο μετ' ανδρεσι ϝοινοποταδσων·
κερτομιας δε τοι αϝτος εγω και χειρας αφεχσω
παντων μνῆστηρων· επει ουτοι δημιος εστιν
ϝοικος ͱοδ', αλλ' ͱοδυσεϝος· εμοι δ' εκτησατ' εκεινος.
ͱυμεες δε, μνῆστηρες, επισχετε θυϝμον ενῖπης
και χειρας· ͱινα μη τις ερις και νεικος ορηται.
ͱως εφαθ'· οι δ' αρα παντες οδαχς εν χειλεσι φῦντες
τηλεμαχον θαϝμαδσον, ͱο θαρσαλεως αγορεϝεν.
τοισιν δ' αντινοος μετεφη, ͱεϋπειθεος ͱυιος·
και χαλεπον περ εοντα δεχωμεθα μυϝθον, αχαιϝοι,
τηλεμαχοο· μαλα δ' ͱημιν απειλῆσανς αγορεϝει.
ου γαρ δσεϝς ηϝᾶσε κρονιϝων· τῷ κε μιν ηδη
παϝσαμεν εν μεγαροισι, λιγυν περ εοντ' αγορεϝτην.
ͱως εφατ' αντινοος· ͱο δ' αρ' ουκ ενπαδσετο μυϝθων.
μνῆστηρας δ' ου πανπαν αγῆνορας ηϝα' αθηνη
λωβης ͱισχεσθαι θυϝμαλγεος· ͱοφρ' ετι μαλλον
δυϝῆ αχος κραδιην λαϝερτιαδην ͱοδυσεϝα.
ἦν δε τις εν μνῆστηρσιν ανηρ, αθεμιστια ϝειδως,
κτησͱιππος δ' ονομ' εσκε, σαμῇ δ' ενι ϝοικι' εναιεν·
ͱος δη τοι κτεατεσι πεποιθως πατρος ͱεϝοϝο
μνᾶσκεθ' οδυσσεϝος δην οιχομενοϝο δαμαρτα·
ͱος ρα τοτε μνῆστηρσιν ͱυπερφιαλοισι μετῆυϝδα·

κεκλυτε μεο, μνῆστηρες αγῆνορες, ͱοφρα τι ϝεσπω·
μοιραν μεν δη χσεινος ͱεχει παλαι, ͱως ͱε ϝεϝοικεν,
ϝεισϝην· ου γαρ καλον ατεμβεμεν, ουδε δικαιον,
χσεινοϝς τηλεμαχοϝ, ͱος κεν ταδε δῶμαθ' ικηται.
αλλ' αγε ͱοι και εγω δῶ χσεινιον· ͱοφρα και αϝτος
ηε λοϝετροχοϝῳ δῶῃ γερας, η τεῳ αλλῳ.
ͱως ϝεσπων, εριπτσε βοος ποδα χειρι παχυιῃ,
κειμενον, εκ κανεοϝο λαβων· ͱο δ' αλεϝσαθ' οδυσσεϝς,
ͱῆκα παρακλῖνανς κεφαλην· μειδῆσε δε θυϝμῳ,
σαρδανιον δ' αρα τοιον· ͱο δ' ͱευδμῆτον βαλε τοιχον.
κτησͱιππον δ' αρα τηλεμαχος ηνιπαπε μυϝθῳ·
κτησͱιππ', η μαλα τοι τοδε κερδιον επλετο θυϝμῳ·
ουκ εβαλες τον χσεινον· αλεϝσατο γαρ βελος αϝτος·
η γαρ κεν σε μεσον βαλον ενχεϊ ͱοκσυοεντι,
και κε τοι αντι γαμοϝο πατηρ ταφον αμφεπονεετο.
αλλ' ενπης ταδε μεν και τετλαμεν εισͱοραοντες,
μηλων σφαδσομενων, ϝοινοϝο τε πιϝνομενοϝο,
και σῖτοο· χαλεπον γαρ ερυκακεεεν ͱενα πολλοϝς.
αλλ' αγε, μηκετι μοι κακα ρεδσετε δυσμενεοντες·
ει δ' ηδη μ' αϝτον κτῆναι μενεαινετε χαλκῳ,
και κε το βουλοιμην, και κεν πολυ κερδιον ειη
τεθναμεν, ηε ταδ' αιϝεν αϝεικεα ϝεργ' ͱοραεσθαι,
χσεινοϝς τε στυφελιδσομενοϝς, δμῶας τε γυναικας
ϝρῦσταδσοντας αϝεικελιως κατα δῶματα καλα.
ͱως εφαθ'· οι δ' αρα παντες ακην εγενοντο σιωπῇ.
οπσε δε δη μετεϝεσπε δαμαστοριδης αγελαϝος·
ω φιλοι, ουκ αν δη τις επι ϝρῆθεντι δικαιῳ
αντιβιοισι ϝεπεσσι καθαπτομενος χαλεπαινοι·
μητ' ετι τον χσεινον στυφελιδσετε, μητε τιν' αλλον
δμῶων, ͱοι κατα δῶμαθ' οδυσσεϝος θειοϝο.
τηλεμαχῳ δε κε μυϝθον εγω και μητερι φαιην
ηπιον, ει σφοϝιν κραδιῃ ϝαδοι αμφοτεροισιν·
ͱοφρα μεν ͱυμῖν θυϝμος ενι στηθεσσ' εϝεϝολπεεν
νοστησαι ͱοδυσεϝα πολυφρον' ͱεϝονδε δομονδε,
τοφρ' ουτις νεμεσις μενεμεν τ' ῆν, ͱισχεμεναι τε
μνῆστηρας κατα δῶματ'· επει τοδε κερδιον ῆεν,
ει νοστησ' ͱοδυσεϝς, και ͱυποτροπος ͱικετο δῶμα·
νῦν δ' ηδη τοδε δηλον, ͱοτ' ουκετι νοστιμος εστιν.
αλλ' αγε, σῇ ταδε μητρι παρͱεδσομενος καταλεγσον,
γῆμασθ', ͱοστις αριστος ανηρ και πλειστα πορητιν·
ͱοφρα συ μεν χαιρων πατροϝια παντα νεμηαι,
εσθων και πιϝνων· ͱη δ' αλλοϝο δῶμαθ' ικηται.
τον δ' αϝ τηλεμαχος πεπνῦμενος αντιον ῆυϝδα·
ου, μα δσῆν', αγελαϝε, και αλγεα πατρος εμοϝο,
ͱος ποϝο τηλ' ιθακης η πεφθιται, η' αλαλῆται,
ουτι διατριβω μητρος γαμον· αλλα κελεϝω

γῆμασθ', ͱῷ κ' εθελῇ, ποτι δ' ασπετα δῶρα διδωτιν. Υ
αιδεομαι δ' αͱεκοντσαν απο μεγαροϜο διεσθαι
μυϜθῳ αναγκαιῳ· μη τοϜτο θεος τελεσειεν!
ͱως φατο τηλεμαχος· μνῆστηρσι δε παλλας αθηνη
ασβεστον γελον ὦρσε, παρεπλαγξεν δε νοημα.
ͱοι δ' ηδη γναθμοισι γελοϜαον αλλοτριοισιν·
ͱαιμοφορυκτα δε δη κρεα' ησθιον· οσσε δ' αρα σφεων
δακρυϜοφιν πιμπλᾶντο· γοον δ' ὠΐϜετο θυϜμος.
τοισι δε και μετεϜεσπε θεοκλυμενος θεοϜειδης·
Ϝαͱ δδειλοι, τι κακον τοδε πασχετε; νυκτι μεν ͱυμεων
ϜελϜυαται κεφαλαι τε, προσῶπα τ', ενερθε τε γουϜα.
οιμωγη δε δεδῆε, δεδακρῦνται δε παρειαι·
ͱαιματι δε Ϝραδαται τοιχοι, καλαι τε μεσοδμαι·
Ϝειδωλων δε πλεον προθυρον, πλεεη δε και αϜλη,
ͱιϜεμενων ερεβοσδε ͱυπο δσοφον· ῆελιος δε
ουρανοϜ' εκσαπολῶλε, κακη δ' επιδεδρομεν αχλυς.
ͱως εφαθ'· οι δ' αρα παντες επ' αϜτῷ ͱηδυ γελασσαν.
τοισιν δ' ευρυμαχος, πολυβοο παϊς, ῆρχ' αγορεϜεεν·
αφραινει χσεινος νεϜον αλλοθεν ηληλουθως.
αλλα μιν αιψα, νεϜοι, δομοϜ' εκπεμψασθε θυραδσε
εις αγορην ερχεσθαι· επει ταδε νυκτι Ϝεϊσκει.
τον δ' αϜτε προσεϜεσπε θεοκλυμενος θεοϜειδης·
ευρυμαχ', ουτι σ' ανῶγα εμοι πομπεϜας οπαδσεεν·
εντι μοι οφθαλμοι τε και οϜατα και ποδες αμφω,
και νοος εν στηθεσσι τετυχμενος ουδεν αϜεικης·
τοισ' εκσειμι θυραδσε, επει νοεω κακον υμμιν.
ͱως Ϝεσπων, εκσηλθε δομων ͱεῢ ναιεταοντων·
ͱικετο δ' ες πειραιον, ͱος ͱε προφρων ͱυπεδεχτο.
μνῆστηρες δ' αρα παντες ες αλληλοϜς ͱοραοντες
τηλεμαχον ερεθιδσον, επι χσεινοις γελοϜῶντες·
ͱῷδε δε τις Ϝεσπεσκε νεϜων ͱυπερῆνορεοντων·
τηλεμαχ', ουτις σεϜο κακοχσεινωτερος αλλος·
ͱοιον μεν τινα τοϜτον ͱεχεις επιμαστον αλῆτην,
σῖτοϜο και Ϝοινοο κεχρημενον, ουδε τι Ϝεργων.
αλλος δ' αϜτε τις ͱοϜτος ανεστη μαντεϜεσθαι.
αλλ' ει δη τι πιθοιο, το κεν πολυ κερδιον ειη·
τοϜς χσεινοϜς εν ναϜι πολυκλεϜῖδι βαλοντες
ες σικελοϜς πεμψωμεν, ͱοθεν κε τοι αγσιον αλφοι.
ͱως εφασαν μνῆστηρες· ͱο δ' ουκ ενπαδσετο μυϜθων·
αλλ' ακεων πατερα προσεδερκετο, δεχμενος αιϜει,
ͱοποτε δη μνῆστηρσιν ααιδεσι χειρας εφησει.
τῇ δ' αρ' επι φρεσ' εθῆκε θεα γλαϜκῶπις αθηνη Φ
κοϜρῃ ϜικαριοϜο περιφρονι πηνελοπειῃ
τοκσον μνῆστηρεσι θεμεν, πολιον τε σιδηρον,
εν μεγαροισ' ͱοδυσεϜος, αϜεθλια, και φονοϜ' αρχην.
κλιμακα δ' ͱυψηλην προσεβησατ' ͱεϜοϜο δομοϜο·

ͱελλετο δε κλεϝῖδ' ͱεΰκαμπεα χειρι παχυιῇ φ
καλην, χαλκειην· κωπη δ' ελεφαντος επῆεν.
βη δ' ιμεναι θαλαμονδε, συν αμφιπολοισι γυναικσιν,
εσχατον· ενθα δε ͱοι κειμηλι' εκειτο ϝανακτος,
χαλκος τε, χρυσος τε, πολυκμῆτος τε σιδηρος.
ενθα δε τοκσον εκειτο παλιντονον, ηδε φαρετρη
ͱιϝοδοκος, πολλοι δ' ενεσαν στονοεντες οϊστοι·
δῶρα, τα ͱοι χσεινος λακεδαιμονι δῶκε τυχησανς,
ϝῖφιτος ευρυτιδης, επιϝεικελος αθανατοισιν
τω δ' ενι μεσσηνῇ γσυνβλῆτην αλληλοιϊν,
ϝοικῳ εν ορσιλοχοϝο δαϝιφρονος· ητοι ͱοδυσσεϝς
ηλθε μετα χρεϝος, το ρα ͱοι πανς δημος οφελλεν·
μηλα γαρ εκς ιθακης μεσσηνιοι ανδρες αϝῆραν
ναϝσι πολυκλεϝιεσι τριηκοσι', ηδε νομεϝας.
των ͱενεκ' εκσͱεσιην πολλην ͱοδον ηλθεν ͱοδυσσεϝς,
παιδνος εων· προ γαρ ͱῆκε πατηρ, αλλοι τε γεροντες.
ϝῖφιτος αϝθ' ιπποϝς διδσημενος, ͱαι ͱοι ολοντο,
δῶδεκα, θηλυιαι, ͱυπο δ' ͱημιονοι ταλαϝεργοι·
ͱαι δη ͱοι και επειτα φονος και μοιρ' εγενοντο·
επειδη διος ͱυιον αφικετο, καρτεροθυϝμον
φῶθ', ηρακλεεα, μεγαλων επιϝιδστορα ϝεργων,
ͱος μιν χσεινον εοντα κατεκταν' ͱεϝῷ ενι ϝοικῳ·
σχετλιος! ουδε θεων ϝοπιν ῃδεσατ', ουδε τραπεδσαν.
ͱιπποϝς δ' αϝτος ͱεχε κρατερωνυχας εν μεγαροισιν.
τας ερεων ͱοδυσεϝι συνῆντετ'· εδῶκε δε τοκσον,
το πριν μεν ρ' εφορεε μεγας ευρυτος, αϝταρ ͱο παιδι
κατλιπ' αποθνῆσκων εν δῶμασιν ͱυπσηλοισιν.
τῷ δ' ͱοδυσεϝς χσιφος ͱοχσυ, και αλκιμον ενχος, εδῶκεν,
αρχην χσεινοσυνης προσκηδεος· ουδε τραπεδσῇ
γνῶτην αλληλων· πριν γαρ διος ͱυιος επεφνεν
ϝῖφιτον ευρυτιδην, επιϝεικελον αθανατοισιν,
ͱος ͱοι τοκσον εδῶκε· το δ' ου ποτε διϝος ͱοδυσσεϝς,
ερχομενος πολεμονδε μελαιναϝων επι ναϝων,
ͱαιρεετ'· αλλ' αϝτοο μνῆμα χσεινοϝο φιλοϝο
κεσκετ' ενι μεγαροισ'· εφορεε δε μιν ͱης επι γαιης.
ͱη δ' ͱοτε δη θαλαμον τον αφικετο διϝα γυναικων,
ουδον τε δρυϊνον προσεβησατο, τον ποτε τεχτων
χσεσσεν επισταμενως, και επι σταθμην ιθυϝνεν,
εν δε σταθμοϝς αρσε, θυρας δ' επεθῆκε φαϝεινας·
αϝτικ' αρ' ͱηγε ͱιμαντα θοϝως απελυϝσε κορωνης,
εν δε κλεϝῖδ' ͱῆκε, θυρεων δ' ανεκοπτεν ͱοχεϝας,
αντα τιτυσκομενη· τα δ' ανεβραχεν, ηΰτε ταυρος
βοσκομενος λειμῶνι· τοσ' εβραχε καλα θυρετρα
πληγεντα κλεϝῖδ', επετασθησαν δε ͱοι ῶκα.
ͱη δ' αρ' εφ' υπσηλης σανιδος βη, ενθα δε χηλοι
ͱεστασαν· εν δ' αρα τῇσι θυϝωδεα ϝεσματ' εκειτο.

ενθεν ορεγσαμενη απο πασσαλοϝ' αινυτο τοκσον Φ
αϝτῷ γωρυϝτῷ, ͱος ͱοι περικειτο φαϝεινος.
ͱεδσομενη δε κατ' αϝθι, φιλοισ' επι γουϝασι θεντσα,
κλαϝε μαλα λιγυως· εκ δ' ͱαιρεε τοκσον ϝανακτος.
ͱη δ' επει ῶν ταρφθη πολυδακρυϝτοϝο γοοϝο,
βη ρ' ιμεναι μεγαρονδε μετα μνῆστηρας αγαϝοϝς,
τοκσον ͱεχοντσ' εν χειρι παλιντονον, ηδε φαρετρην
ͱιͱοδοκον, πολλοι δ' ενεσαν στονοεντες οΐστοι.
τῇ δ' αρ' ͱαμ' αμφιπολοι φερον ογκιον· ενθα σιδηρος
κειτο πολυς, και χαλκος, αϝεθλια τοϝο ϝανακτος.
ͱη δ' ͱοτε δη μνῆστηρας αφικετο διϝα γυναικων,
στη ρα παρα σταθμον τεγεος πυκα ποιητοϝο,
αντα παρειαϝων σχομενη λιπαρα κρῆδεμνα.
αμφιπολος δ' αρα ͱοι κεδνη ͱεκατερθε παρεστη·
αϝτικα δε μνῆστηρσι μετῆυϝδαε, και φατο μυϝθον·
κεκλυτε μεο, μνῆστηρες αγῆνορες, ͱοι τοδε δῶμα
εχραϝετ' εσθιεμεν και πιϝνεμεν εσμενες αιϝει,
ανδρος αποιχομενοϝο πολυν χρονον· ουδε τιν' αλλην
μυϝθοϝο ποιησασθαι επισχεσιην εδυνασθε,
αλλ' εμε ͱιͱεμενοι γῆμαι, θεσθαι τε γυναικα.
αλλ' αγετε, μνῆστηρες, επει τοδε φαινετ' αϝεθλον·
θησω γαρ μεγα τοκσον ͱοδυσσεϝος θειοϝο·
ͱος δε κε ρεϝιτατ' εντανυσῇ βιον εν παλαμῇσιν,
και διοΐστεϝσῇ πελεκυων δυο και δεκα παντων,
τῷ κεν ͱαμ' ͱεσποιμην, νοσφισσαμενη τοδε δῶμα
κοϝριδιον, μαλα καλον, ενιπλεεον βιϝοτοϝο·
τοο ποτε μεμνῆσεσθαι οΐϝομαι, εν περ ονειρῷ.
ͱως φατο· και ρ' ͱεΰμαιον ανωγεν, διϝον ͱυφορβον,
τοκσον μνῆστηρεσι θεμεν, πολιον τε σιδηρον.
δακρυϝσανς δ' ͱεΰμαιος εδεχσατο, και κατεθῆκεν·
κλαϝε δε βουκολος αλλοθ', επει ϝιδε τοκσον ϝανακτος.
αντινοος δ' ενενῖπε, ϝεπος τ' εφατ', εκ τ' ονομαδσεν·
νηπιοι αγροιωται, εφημερια φρονεοντες!
ϝαͱ δδειλοι! τι νυ δακρυ κατειβετον, ηδε γυναικι
θυϝμον ενι στηθεσσιν ορινετον; ͱῇ τε και αλλως
κειται εν αλγεσι θυϝμος, επει φιλον ῶλεσ' ͱακοιτην.
αλλ' ακεων δαινυσθε καθημενοι, ηε θυραδσε
κλαϝετον εκσελθοντε, κατ' αϝτοθι τοκσα λιποντε,
μνῆστηρεσιν αϝεθλον ααϝατον· ου γαρ οΐϝω
ρεϝιδιως τοδε τοκσον ͱεΰχσυϝον εντανυεσθαι.
ου γαρ τις μετα τοιος ανηρ εν τοισδεσι παντσιν,
ͱοιος ͱοδυσσεϝς εσκεν· εγω δε μιν αϝτος οπῶπα,
και γαρ μνῆμων ῆμι, παΐς δ' ετι νηπιος ῆα.
ͱως φατο· τῷ δ' αρα θυϝμος ενι στηθεσσ' ελεͱολπεεν
νευρην τ' εντανυσεεν, διοΐστεϝσεεν τε σιδηροο.
ητοι οΐστοο γε πρῶτος γεϝσεσθαι εμελλεν

εκ χειρων ͱοδυσεϝος αμυϝμονος, ͱον τοτ᾽ ατιϝμα Φ
ͱημενος εν μεγαρῷ, επι δ᾽ ὦρνυε παντας ͱεταιροϝς.
τοισι δε και μετεϝεσφ᾽ ιερη ϝις τηλεμαχοϝο·
ω ποποι! η μαλα με δσεϝς αφρον᾽ εθῆκε κρονιϝων·
μητηρ μεν τοι φητι φιλη, πινυτη περ εουτσα,
αλλῳ ͱαμ᾽ ͱεπσεσθαι, νοσφισσαμενη τοδε δῶμα·
αϝταρ εγω γελαϝω, και τερπομαι αφρονι θυϝμῷ.
αλλ᾽ αγετε, μνῆστηρες, επει τοδε φαινετ᾽ αϝεθλον,
ͱοιη νῦν ουκ εστι γυνη κατ᾽ αχαιϝιδα γαιαν,
ουτε πυλοϝ᾽ ͱιερης, ουτ᾽ αργεος, ουτε μυκηνης,
ουτ᾽ αϝτης ιθακης, ουτ᾽ ηπειροϝο μελαινης·
και δ᾽ αϝτοι τοδε ϝιδστε· τι με χρη μητερος αινοο;
αλλ᾽ αγε μη μυϝνῇσι παρͱελκετε, μηδ᾽ ετι τοκσοο
δηρον αποτροπαεσθε τανυστυος, ͱοφρα ϝιδωμεν.
και δε κεν αϝτος εγω τοϝο τοκσοϝο πειρῆσαιμην·
ει δε κεν εντανυσω, διοïστεϝσω τε σιδηροο,
ου κε μοι αχνυμενῷ ταδε δῶματα ποτνια μητηρ
λειποι ͱαμ᾽ αλλῳ ιοντσ᾽, ͱοτ᾽ εγω κατοπισθε λιποιμην,
ͱοιος τ᾽ ηδη πατρος αϝεθλια καλ᾽ ανͱελεσθαι.
ῆ, και απ᾽ ωμοιïν χλαιναν θετο φοινικοεντσαν,
ορθος αναͱικσανς· απο δε χσιφος ͱοκσυ θετ᾽ ωμων.
πρῶτον μεν πελεκυας στησεν, δια ταφρον ορυκσανς
παντσι μιαν μακρην, και επι σταθμην ιθυϝνεν·
αμφι δε γαιαν εναγσε· ταφος δ᾽ ͱελε παντας ϝιδοντας,
ͱως ͱεϋκοσμως στησε· παρος δ᾽ ου πῳ ποτ᾽ οπωπεεν.
στη δ᾽ αρ᾽ επ᾽ ουδον ιων, και τοκσοϝο πειρῆτιδσεν·
τρις μεν μιν πελεμικσε, ϝερυσσεσθαι μενεαινων,
τρις δε μεθῆκε βιης, επιͱελπομενος τογε θυϝμῷ,
νευρην τ᾽ εντανυσεεν, διοïστεϝσεεν τε σιδηροο.
και νυ κε δη ρ᾽ ετανυσσε βιῇ το τεταρτον ανͱελκων,
αλλ᾽ ͱοδυσεϝς ανενευε, και εσχεθεν ͱιͱεμενον περ.
τοις δ᾽ αϝτις μετεϝεσφ᾽ ιερη ϝις τηλεμαχοϝο·
ω ποποι! η και επειτα κακος τ᾽ εσομαι και ακικυς,
ηε νεϝωτερος ῆμι, και ου πῳ χερσι πεποιθα.
αλλ᾽ αγεθ᾽, οιπερ εμεϝο βιῇ προφερεστεροι εστε,
τοκσοϝο πειρῆσασθε, και εκτελεωμεν αϝεθλον.
ͱως ϝεσπων, τοκσον μεν απο ͱεϝ᾽ εθῆκε χαμαδσε,
κλῖνανς κολλητῇσιν ͱεϋχσεστῇς σανιδεσιν·
αϝτοϝο δ᾽ ῶκυ βελος καλῇ προσεκλῖνε κορωνῇ·
αψ δ᾽ αϝτις κατ᾽ αρ᾽ ͱεδσετ᾽ επι θρονοϝ᾽, ενθεν ανεστη.
τοισιν δ᾽ αντινοος μετεφη, ͱεϋπειθεος ͱυιος·
ορνυσθ᾽ ͱεχσειης επιδεχσια παντες ͱεταιροι,
αρχσαμενοι τοϝο χῶροϝ᾽, ͱοθεν τ᾽ επι ϝοινοχοϝεϝει.
ͱως εφατ᾽ αντινοος· τοισιν δ᾽ επεϝανδανε μυϝθος.
λεϝωδης δε πρῶτος ανͱιστατο, ϝοινοπος ͱυιος,
ͱος σφι θυϝοσκοος εσκε, παρα κρῆτηρα δε καλον

ͱιδσε μυχοιτατος αιFει· ατασθαλιαι δε ͱοι οιῳ Φ
εχθραι εσαν, παντσιν δ' ενεμεσα μνῆστηρεσιν·
ͱος ρα τοτε πρῶτος τοκσον λαβε και βελος ὦκυ·
στη δ' αρ' επ' ουδον ιων, και τοκσοFο πειρῆτιδσεν·
ουδε μιν ενтανυσεν· πριν γαρ καμε χειρας ανͱελκων,
ατριβτοFς, ͱαπαλας· μετα δε μνῆστηρσιν εFεσπεν·
ω φιλοι, ου μεν εγω τανυω· λαβετω δε και αλλος·
πολλοFς γαρ τοδε τοκσον αριστεFας κεχαδησει
θυFμοFο και πσυFχης· επειη πολυ φερτερον εστιν
τεθναμεν, η δσαFοντας αμαρτεμεν, ͱοF ͱενεκ' αιFει
ενθαδ' ͱομιλFεομεν, ποτιδεχμενοι ͱηματα παντα.
ͱως αρ' εφῶνησεν, και απο ͱεFο τοκσον εθῆκεν,
κλῖνανς κολλητῆσιν ͱεΰχσεστῆς σανιδεσιν,
αFτοFο δ' ὦκυ βελος καλῆ προσεκλῖνε κορωνῆ·
απς δ' αFτις κατ' αρ' ͱεδσετ' επι θρονοF, ενθεν ανεστη.
αντινοος δ' ενενῖπε, Fεπος τ' εφατ', εκ τ' ονομαδσεν·
λεFωδες, ποιον σε Fεπος φυγεν ͱερκος οδοντων,
δδεινον τ' αργαλεον τε; νεμεσαομαι δε τ' ακοFων,
ει δη τοFτο γε τοκσον αριστεFας κεχαδησει
θυFμοFο και πσυFχης· επει ου δυνασαι συ τανυσσαι·
ου γαρ τοι σεγε τοιον εγῆνατο ποτνια μητηρ,
ͱοιον τε Fρῦτηρα βιοο τ' εμεναι, και οϊστων·
αλλ' αλλοι τανυσοντι ταχα μνῆστηρες αγαFοι.
ͱως φατο· και ρ' εκελεFσε μελανθιον, αιπολον αιγων·
αγρεε δη, πυρ κῆον ενι μεγαροισι, μελανθεF,
παρ δε τιθεε διφρον τε μεγαν, και κῶας επ' αFτοο,
εκ δε στεατος ενενκε μεγαν τροχον ενδον εοντος,
ͱοφρα νεFοι θαλποντες, επιχριFοντες αλοιφῆ,
τοκσοFο πειρῶμεσθα, και εκτελεωμεν αFεθλον.
ͱως φαθ'· ο δ' αιπσ' ανεκαFε μελανθιος ακαματον πυρ·
παρ δε φερων διφρον θῆκεν, και κῶας επ' αFτοο,
εκ δε στεατος ενενκε μεγαν τροχον ενδον εοντος·
τῷ ρα νεFοι θαλποντες επειρῶντ'· ουδ' εδυναντο
ενтανυσαι, πολλον δε βιης επιδεFεες ῆσαν.
αντινοος δ' ετ' επεσχε, και ευρυμαχος θεοFειδης,
αρχοι μνῆστηρων· αρετῆ δ' εσαν εκσͱοχ' αριστοι.
τω δ' εκς FοικοF εβησαν ͱομαρτησαντες ͱαμ' αμφω
βοFκολος ηδε συφορβος ͱοδυσσεFος θειοFο·
εκ δ' αFτος μετα τοFς δομοF ηλυθε διFος ͱοδυσσεFς.
αλλ' ͱοτε δη ρ' εκτος θυρεων εσαν, ηδε και αFλης,
φθενγσαμενος σφι Fεπεσσι προσηῦFδαε μειλιχιοισιν·
βοFκολε, και συ, συφορβε, Fεπος τι κε μυFθησαιμην,
η' αFτος κεFθω; φασθαι δε με θυFμος ανωγει·
ποιοι κ' ειτε ͱοδυσσεF' αμυFνεμεν, ει ποθεν ελθοι
ͱῷδε μαλ' εκσαπινης, και τις θεος αFτον ενενκῆ;
η κεν μνῆστηρεσιν αμυFνοιτ', η' ͱοδυσεFι;

ϝεσπαθ', οπως ͱυμεας κραδιη θυϝμος τε κελεϝει.
τον δ' αϝτε προσεϝεσπε βοϝων επιβοϝκολος ανηρ·
δσεϝ πατερ, αι γαρ τοϝτο τελεϝτῆσειας εελδωρ,
ͱως ελθοι μεν κεινος ανηρ, αγαγοι δε ͱε δαιμων·
γνοιης χ', οιη εμη δυναμις, και χειρες εσονται.
ͱως δ' αϝτως ͱεϋμαιος επευχετο παντσι θεοισιν,
νοστησαι ͱοδυσεϝα πολυφρον' ͱεͱονδε δομονδε.
αϝταρ επειδη τωνγε νοον νημερτε' ανεγνῷ,
εκσαϝτις σφι ϝεπεσσιν αμειβομενος προσεϝεσπεν·
ενδον μεν δη ͱοδ' αϝτος εγω, κακα πολλα μογησανς,
ηλυθα ϝεικοστῷ ϝετεϊ ες πατριδα γαιαν.
γιγνῶσκω δ', ͱως σφοϝιν εελδομενοισιν ͱικανω.
ει δ' αγε δη και σημα περιφραδες αλλο τι δεικσω,
ͱοφρ' ͱευ γνῶητον, πιθτωθητον τ' ενι θυϝμῷ,
ϝολϝην, την ποτε με συς ηλασε λεϝκῷ οδοντι,
παρνησονδ' ελθοντα, συν ͱυιεσιν αϝτολυκοϝο.
ͱως ϝεσπων, ϝρακεα μεγαλης αποͱεργαθε ϝολϝης.
τω δ' επει εισϝιδετην, ͱεϋ τ' εφρασσαντο ͱεκαστα,
κλαϝον αρ', αμφ' ͱοδυσεϝα δαϝιφρονα χειρε βαλοντε,
και κυνεον αγαπαδσομενοι κεφαλην τε και ωμοϝς.
ͱως δ' αϝτως ͱοδυσεϝς κεφαλας και χειρας εκυσσεν.
και νυ κ' οδυϝρομενοισιν εδῦ φαϝος ἦελιοϝο,
ει μη ͱοδυσσεϝς αϝτος ερυκακ', εφῶνησεν τε·
παϝεσθον κλαϝθμοϝο, γοοϝο τε· μη τις ϝιδηται
εκσελθων μεγαροϝ', αϝταρ ϝεσπητι και εισῷ.
αλλα προμνῆστῖνοι εσελθετε, μηδ' ͱαμα παντες·
πρῶτος εγω, μετα δ' υμμες· αταρ τοδε σημα τετυχθω·
αλλοι μεν γαρ παντες, ͱοσοι μνῆστηρες αγαϝοι,
ου μοι εϝᾶσοντιν δομεναι βιον ηδε φαρετρην·
αλλα συ, διϝ' ͱεϋμαιε, φερων ανα δῶματα τοκσον,
εν χειρεσιν εμοι θεμεναι· ϝεσπεεν τε γυναικσιν
κλεϝισσαι μεγαροϝο θυρας πυκινως αραρυιας.
ἦν δε τις η στοναχης ηε κτυποϝ' ενδον ακοϝσῇ
ανδρων ͱημετεροισιν εν ͱερκεσι, μη τι θυραδσε
προβλῶσκεεν, αλλ' αϝτοϝ' ακην εμεναι παρα ϝεργῷ.
σοι δε, φιλοιτιε διϝε, θυρας επιτελλομαι αϝλης
κλεϝισσαι κλεϝῖδι, θοϝως δ' επι δεσμον ιῆλαι.
ͱως ϝεσπων, εισηλθε δομοϝς ͱεϋ ναιεταοντας·
ͱεδσετ' επειτ' επι διφρον ιων, ενθεν περ ανεστη·
ες δ' αρα και τω δμω' εϊτην θειοϝ' ͱοδυσεϝος.
ευρυμαχος δ' ηδη τοκσον μετα χερσιν ενωμα,
θαλπων ενθα και ενθα σελᾳ̃ πυρος· αλλα μιν ουδ' ͱως
εντανυσαι δυνατο· μεγα δ' εστενε κυδαλιμον κεαρ·
οχθησανς δ' αρ' εϝεσπε προς ͱον μεγαλητορα θυϝμον·
ω ποποι! η μοι αχος περι τ' αϝτοϝο και περι παντων·
ουτι γαμοο τοσοϝτον οδυϝρομαι, αχνυμενος περ·

εντι και αλλαι πολλαι αχαιϝιδες, ημεν εν αϝτῇ
αμφιͱαλῳ ιθακῃ, ηδ' αλλῃσιν πολιεσιν·
αλλ' ει δη τοσονδε βιης επιδεϝεες εσμεν
αντιθεοϜ ͱοδυσεϝος, ͱοτ' ου δυναμεσθα τανυσσαι
τοκσον, ελενχειη δε και εσσομενοισι πυθεσθαι.
τον δ' αϝτ' αντινοος προσεφη, ͱευπειθεος ͱυιος·
ευρυμαχ', ουχ οϝτως εσται· νοεεις δε και αϝτος.
νῦν μεν γαρ κατα δημον ͱεορτη τοϝο θεοϝο
ͱαγνη· τις δε κε τοκσα τιταινοιτ'; αλλα ͱεκηλοι
κατθετ'· αταρ πελεκυας γε και ει κ' εϝαωμεν ͱαπαντας
ͱεσταμεν· ου μεν γαρ τιν' ανͱαιρησεσθαι οιϝω,
ελθοντ' ες μεγαρον λαϝερτιαδαϜ ͱοδυσεϝος.
αλλ' αγε, ϝοινοχοϝος μεν επαρχσασθω δεπαεσιν,
ͱοφρα σπενδσαντες καταθειομεν ανκυλα τοκσα.
ἧοαθεν δε κελεσθε μελανθιον, αιπολον αιγων,
αιγας αγεεν, ͱαι παντσι μεγ' εκσͱοχοι αιπολιοισιν,
ͱοφρ' επι μηρια θεντες απολλῶνι κλυτοτοκσῳ
τοκσοϝο πειρωμεσθα, και εκτελεωμεν αϝεθλον.
ͱως εφατ' αντινοος· τοισιν δ' επεϝανδανε μυϝθος.
τοισι δε κηρῦκες μεν ͱυδωρ επι χειρας εχεϝσαν,
κοϝροι δε κρητηρας επεστεφσαντο ποτοϝο·
νωμησαν δ' αρα παντσιν επαρχσαμενοι δεπαεσιν.
ͱοι δ' επει ων σπενδσαν τ', επιϝον θ', οσον ηθελε θυϝμος,
τοισδε δολοφρονεων μετεφη πολυμητις ͱοδυσσεϝς·
κεκλυτε μεο, μνηστηρες αγακλειτης βασιλειης,
ͱοφρα ϝεπω τα με θυϝμος ενι στηθεσσι κελεϝει.
ευρυμαχον δε μαλιστα και αντινοον θεοϝειδεα
λισσομ', επει και τοϝτο ϝεπος κατα μοιραν εϝεσπεν·
νῦν μεν παϝσαι τοκσον, επιτρεπσαι δε θεοισιν·
ἧοαθεν δε θεος δωσει κρατος ͱῳ κ' εθεληтιν.
αλλ' αγε μοι δοτε τοκσον ͱεϋχσυϝον, ͱοφρα μεθ' υμῖν
χειρων και σθενεος πειρησομαι, ει μοι ετ' εστιν
ϝις, ͱοιη παρος εσκεν ενι γναμπτοισι μελεσσιν.
ͱως εφαθ'· οι δ' αρα παντες ͱυπερφιαλως νεμεσησαν,
δδειδσαντες, μη τοκσον ͱεϋχσυϝον εντανυσειεν.
αντινοος δ' ενενῖπε, ϝεπος τ' εφατ', εκ τ' ονομαδσεν·
ϝαͱ δδειλε χσεινων, ενι τοι φρενες ουδ' ηβαιαι·
ουκ αγαπᾳς, ͱοθ' εκηλος ͱυπερφιαλοισι μεθ' ημῖν
δαινυσαι; ουδε τι δαιτος αμερδεαι, αϝταρ ακοϝεις
μυϝθων ͱημετερων και ϝρησιος; ουδε τις αλλος
ͱημετερων μυϝθων χσεινος και πτωχος ακοϝει.
ϝοινος σε τρωει μελιͱηδης, ͱοστε και αλλοϝς
βλαπτει, ͱος αν μιν χανδον ͱελῃ, μηδ' αισιμα πιϝνῃ.
τον δ' αϝτε προσεϝεσπε περιφρων πηνελοπεια·
αντινο', ου μεν καλον ατεμβεμεν, ουδε δικαιον,
χσεινοϝς τηλεμαχοϜ, ͱος κεν ταδε δωμαθ' ικηται.

ͱελπεαι, αι χ' ο χσεινος ͱοδυσσεϝος μεγα τοκσον Φ
εντανυσῃ, χερσιν τε βιηφι τε ͱηφι πιθησανς,
ϝοικαδε μ' αγσεσθαι, και ͱεϝην θησεσθαι ͱακοιτιν;
ουδ' αϝτος ποϝο τοϝτο γ' ενι στηθεσσιν ͱεϝολπεν·
μηδε τις ͱυμεϝων τοϝογ' ͱεινεκα θυϝμον αχεϝων
ενθαδε δαινυσθω· επει ουδε μεν ουδε ϝεϝοικεν.
την δ' αϝτ' ευρυμαχος, πολυβοο παῖς, αντιον ηῦϝδα·
κοϝρη ϝικαριοϝο, περιφρον πηνελοπεια,
ουτι σε τονδ' αγσεσθαι οἴϝομεθ'· ουδε ϝεϝοικεν·
αλλ' αισχυϝνομενοι φατιν ανδρων, ηδε γυναικων,
μη ποτε τις ϝεσπητι κακωτερος αλλος αχαιϝων·
η πολυ χειρονες ανδρες αμυϝμονος ανδρος ͱακοιτιν
μνῶνται· ͱοτ' ουδε τι τοχσον ͱεῢχσυϝον εντανυοντιν·
αλλ' αλλος τις, πτῶχος ανηρ αλαλῆμενος ελθων,
ρεϝιδιως ετανυσσε βιον, δια δ' ͱῆκε σιδηροο.
ͱως ϝερεονθ'· ημῖν δε κ' ελεγχεα ταϝτα γενοιτο.
τον δ' αϝτε προσεϝεσπε περιφρων πηνελοπεια·
ευρυμαχ', ου πως εστιν ͱεϋκλεεας κατα δημον
εσμεναι, ͱοι δη ϝοικον ατιϝμαδσοντες εδοντιν
ανδρος αριστεϝος· τι δ' ελενχεα ταϝτα τιθεσθε;
ͱοϝτος δε χσεινος, μαλα μεν μεγας, ηδ' ͱεϋπηγης.
αλλ' αγε ͱοι δοτε τοκσον ͱεϋχσυϝον, ͱοφρα ϝιδωμεν·
ͱῶδε γαρ εκσϝερεω, το δε και τετελεσμενον εσται·
ει κε μιν εντανυσῃ, δῶῃ δε ͱοι ευχος απολλων,
ϝεσσω μιν χλαιναν τε, χιτῶνα τε, ϝεσματα καλα·
δῶσω δ' ͱοκσυν ακοντα, κυνων αλκτηρα και ανδρων,
και χσιφος αμφηκες· δῶσω δ' ͱυπο ποδσι πεδιλϝα·
πεμπσω δ', ͱοπῃ μιν κραδιη θυϝμος τε κελεϝοι.
την δ' αϝ τηλεμαχος πεπνῦμενος αντιον ηῦϝδα·
μητερ εμη, τοκσον μεν αχαιϝων ουτις εμεϝο
κρεισσων, ͱῷ κ' εθελω δομεναι τε, και αρνησασθαι·
ουδ' ͱοσοι κραναην ιθακην κατακοιρανεοντιν,
ουδ' ͱοσοι ναιοντι προς ηλιδος ͱιπποβοτοϝο.
των ουτις μ' αϝεκοντα βιῆσεται, αι κ' εθελοιμι
και καθαπακς χσεινῷ δομεναι ταδε τοκσα φερεσθαι.
ͱη μεν θαμβησαντσα παλιν ϝοικονδ' εβεβηκεεν·
παιδος γαρ μυϝθον πεπνῦμενον ενθετο θυϝμῷ.
ες δ' ͱυπεροϝι' αναβαντσα συν αμφιπολοισι γυναικσιν
κλαϝεν επειθ' οδυσσεϝα, φιλον ποσιν, ͱοφρα ͱοι ͱυπνον
ͱηδυν επι βλεφαροισ' εβαλε γλαϝκῶπις αθηνη.
αϝταρ ͱο τοκσα λαβων φερε καμπυλα διϝος ͱυφορβος·
μνῆστηρες δ' αρα παντες ͱομοκλεον εν μεγαροισιν·
ͱῶδε δε τις ϝεσπεσκε νεϝων ͱυπερῆνορεοντων·
πῇ δη καμπυλα τοκσα φερεις, αμεγαρτε συβῶτα;
πλανκτε! ταχ' αν σ' εφ' υεσι κυνες ταχυες κατεδεοντι,
οιον απ' ανθρωπων, ͱοϝς ετρεφες· ει κεν απολλων

hημῖν hιλῆκητι, και αθανατοι θεοι αλλοι.
hως φασαν· αFταρ hο θῆκε φερων αFτῷ ενι χῶρῳ, Φ
δδειδσανς, hοονεκα πολλοι hομοκλεον εν μεγαροισιν.
τηλεμαχος δ' hετερωθεν απειλῆσανς εγεγωνεν·
αττα, προσῷ φερε τοκσα· ταχ' ουχ' εὖ παντσι πιθησεις·
μη σε, και hοπλοτερος περ εων, αγρονδε διωμαι
βαλλων χερμαδιοισι· βιηφι δε φερτερος ἦμι.
αι γαρ παντων τοσον, hοσοι κατα δῶματ' εαντιν,
μνηστηρων χερσιν τε βιηφι τε φερτερος ειην·
τῷ κε ταχα στυγερως τιν' εγω πεμπσαιμι νεεσθαι
hημετεροF εκς FοικοF· επει κακα μηχαναονται.
hως εφαθ'· οι δ' αρα παντες επ' αFτῷ hηδυ γελασσαν
μνηστηρες· και δη μεθιhεν χαλεποFο χολοFο
τηλεμαχῷ· τα δε τοκσα φερων ανα δῶμα συβώτης
εν χειρεσ' hοδυσεFι δαFιφρον' εθῆκε παραστανς.
εκ δε καλεσσαμενος προσεφη τροφον ευρυκλειαν·
τηλεμαχος κελεται σε, περιφρων ευρυκλεια,
κλεFισσαι μεγαροFο θυρας πυκινως αραρυιας.
ἦν δε τις η στοναχης ηε κτυποF ενδον ακοFσῃ
ανδρων hημετεροισιν εν hερκεσι, μη τι θυραδσε
προβλῶσκεεν, αλλ' αFτοF ακην εμεναι παρα Fεργῷ.
hως αρ' εφώνησεν· τῇ δ' απτερος επλετο μυFθος.
κλεFισσεν δε θυρας μεγαρων hεῦ ναιεταοντων.
σιγῇ δ' εκς FοικοFο φιλοιτιος hαλτο θυραδσε,
κλεFισσεν δ' αρ' επειτα θυρας hεῦhερκεος αFλης.
κειτο δ' hυπ' αιθουσῃ hοπλον ναFος αμφιFελισσης
βυβλινον, hῷ ρ' επεδησε θυρας, ες δ' ηϊεν αFτος.
hεδσετ' επειτ' επι διφρον ιων, ενθεν περ ανεστη,
εισhοραων hοδυσεFα· hο δ' ηδη τοκσον ενωμα,
παντῇ αναστρεφαων, πειρώμενος ενθα και ενθα,
μη κερα' ἶπες εδοιεν, αποιχομενοFο Fανακτος.
hῶδε δε τις Fεσπεσκε, Fιδων ες πλησιον αλλον·
η τις θαFητηρ και επικλοπος επλετο τοκσων·
η ρα νυ ποο τοιαFτα και αFτῷ Fοικοθι κειται,
η hογ' εφορμαεται ποιησεμεν· hως ενι χερσιν
νωμαει ενθα και ενθα κακων ενπαιος αλητης.
αλλος δ' αF Fεσπεσκε νεFων hυπερηνορεοντων·
αι γαρ δη τοσοFτον ονησιος αντιασειεν,
hως hοFτος ποτε τοFτο δυνησεται εντανυσασθαι.
hως αρ' εφαν μνηστηρες· αταρ πολυμητις hοδυσσεFς
αFτικ' επει μεγα τοκσον εβαστασε, και Fιδε παντῇ,
hως hοτ' ανηρ φορμινγος επισταμενος και αFοιδης
ρεFιδιως ετανυσσε νεFῷ επι κολλοπι χορδην,
hαπτσανς αμφοτερωθεν hεϋστρεφες εντερον οFιος,
hως αρ' ατερ σπουδης τανυσεν μεγα τοκσον hοδυσσεFς·
δεχσιτερῇ δ' αρα χειρι λαβων πειρήσατο νευρης·

ͱη δ' ͱυπο καλον αϝειδσε, χελιδονι ϝεικελῃ αυϝδην. φ
μνῆστηρσιν δ' αρ' αχος γενετο μεγα, παντσι δ' αρα χρῶς
ετραπετο· δσεϝς δε μεγαλ' εκτυπε, σηματα φαινων·
γηθησεν τ' αρ' επειτα πολυτλᾶνς διϝος ͱοδυσσεϝς,
ͱοτι ρα ͱοι τερας ͱῆκε κρονοο παϊς ανκυλομητεο.
ͱελλετο δ' ὦκυν οϊστον, ͱος ͱοι παρεκειτο τραπεδσῃ
γυμνος· τοι δ' αλλοι κοιλης εντοσθε φαρετρης
κειατο, των ταχ' εμελλον αχαιϝοι πειρῆσεσθαι·
τον ρ' επι πηχει ͱελων ͱελκεν νευρην γλυφιδας τε,
αϝτοθεν εκ διφροϝο καθημενος, ͱῆκε δ' οϊστον
αντα τιτυσκομενος· πελεκυων δ' ουκ ἦμβροτε παντων
πρῶτης στειλειης, δια δ' αντπερες ηλθε θυραδσε
ͱιϝος χαλκοβαρης· ͱο δε τηλεμαχον προσεϝεσπεν·
τηλεμαχ', ου σ' ͱο χσεινος ενι μεγαροισιν ελενχει
ͱημενος· ουδε τι τοο σκοποϝ ἦμβροτον, ουδε τι τοκσον
δην εκαμον τανυων· ετι μοι μενος ενπεδον εστιν. 426
ῆ, και επ' οφρυσ' ενευσεν· ͱο δ' αμφεθετο χσιφος ͱοκσυ· 431
αϝταρ ͱο γυμνωθη ϝρακεων πολυμητις ͱοδυσσεϝς· X
ͱαλτο δ' επι μεγαν ουδον, ͱεχων βιον, ηδε φαρετρην
ͱιϝων ενπλεεην· ταχυας δ' εκχεϝσατ' οϊστοϝς
αϝτοϝο προσθε ποδων· μετα δε μνῆστηρσιν εϝεσπεν·
ͱοϝτος μεν δη αϝεθλος ααϝατος εκτετελεσται·
νῦν αϝτε σκοπον αλλον, ͱον ου πῳ τις βαλεν ανηρ,
ϝειδσομαι αι κε τυχοιμι, πορῃ δε μοι ευχος απολλων.
ῆ, και επ' αντινοῳ ιθυϝνετο πικρον οϊστον.
ητοι ͱο καλον αλεισον ανͱαιρησεσθαι εμελλεν,
χρυσεον, αμφοϝατον· και δη μετα χερσιν ενωμα,
ͱοφρα πιϝοι ϝοινοϝο· φονος δε ͱοι ουκ ενι θυϝμῳ
μελετο· τις κ' οιϝοιτο μετ' ανδρεσι δαιτυμονεσιν,
μουνον ενι πλεονεσι, και ει μαλα καρτερος ειη,
ͱοι τευχσεεν θανατον τε κακον, και κηρα μελαιναν;
τον δ' ͱοδυσεϝς κατα λαιμον επισχομενος βαλεν ͱιϝῷ·
αντικρυς δ' ͱαπαλοϝο δι' αϝχενος ηλυθ' ακωκη.
εκλινθη δ' ͱετερωσε, δεπας δε ͱοι εκπεσε χειρος
βλῆμενοϝ· αϝτικα δ' αϝλος ανα ϝρῖνας παχυς ηλθεν
ͱαιματος ανδρομεοϝο· θοϝως δ' απο ͱεϝο τραπεδσαν
ὦθσε ποδι πληγσανς, απο δ' ῆδατ' εχεϝεν εραδσε.
σῖτος τε, κρεα τ' οπτ', εφορυϝνετο· τοι δ' ͱομαδησαν
μνῆστηρες κατα δῶμα, ͱοπως ϝιδον ανδρα πεσοντα·
εκ δε θρονων ανοροϝσαν, ορινθεντες κατα δῶμα,
παντοσε παπταινοντες ͱεϋδμῆτοϝς ποτι τοιχοϝς·
ουδε πῃ ασπις εῆν, ουδ' αλκιμον ενχος, ͱελεσθαι.
τοϝς δ' αρ' ͱυποδρα ϝιδων προσεφη πολυμητις ͱοδυσσεϝς· 34
ω κυνες, ου μ' ετ' εφᾶσκεθ' υποτροπον ϝοικαδ' ͱικεσθαι
δημοϝ απο τροϝων, ͱοτι μοι κατεκειρετε ϝοικον,
δμῶῇσιν δε γυναικσι παρευναδσεσθε βιαιως,

αϝτοϝο τε δσαϝοντος ͱυπεμναϝεσθε γυναικα,
ουτε θεοϝς δδειδσαντες, ͱοι ουρανον ευρυν ͱεχοντιν,
ουτε τιν' ανθρωπων νεμεσιν κατοπισθεν εσεσθαι.
νῦν ͱυμῖν και παντσιν ολεθροϝο πειρατ' εφαπται.
ͱως φατο· τοϝς δ' αρα παντας ͱυπο χλωρον δδεος ͱελλεν·
ευρυμαχος δε μιν οιος αμειβομενος προσεϝεσπεν·
ει μεν δη ͱοδυσεϝς ιθακησιος ηληλουθας,
ταϝτα μεν αισιμ' εϝεσπες, ͱοσα ρεδσεσκον αχαιϝοι,
πολλα μεν εν μεγαροισιν ατασθαλα, πολλα δ' επ' αγροο.
αλλ' ͱο μεν ηδη κειται, ͱος αιτιος επλετο παντων,
ου τι γαμοο τοσον κεχρημενος, ουτε χατιδσων,
αλλ' αλλα φρονεων, τα ͱοι ουκ ετελεσσε κρονιϝων·
ͱοφρ' ιθακης κατα δημον ͱεϋκτιμενης βασιλεϝοι
αϝτος, αταρ σον παιδα κατακτῆνειε λοχῆσανς.
νῦν δ' ͱο μεν εν μοιρῇ πεφαται· συ δε φειδεο λαϝων
σων· αταρ αμμες οπισθεν αρεσσαμενοι κατα δημον,
ͱοσα τοι εκπεποται και εδηδοται εν μεγαροισιν,
τιϝμην αμφις αγοντες ϝεϊκοσαβοϝιον ͱεκαστος,
χαλκον τε χρυσον τ' αποδῶσομεν, εις ͱο κε σον κεαρ
ιανθῇ· πριν δ' ουτι νεμεσῆτον κεχολῶσθαι.
τον δ' αρ' ͱυποδρα ϝιδων προσεφη πολυμητις ͱοδυσσεϝς·
ευρυμαχ', ουδ' ει μοι πατροϝια παντ' αποδοιτε,
ͱοσα τε ͱοι νῦν εστι, και ει ποθεν αλλ' επιθειτε,
ουδε κεν ͱως ετι χειρας εμας ληγσαιμι φονοϝο,
πριν παντσαν μνῆστηρας ͱυπερβασιην αποτιϝσαι.
νῦν ͱυμῖν παρακειται, εναντιον ηε μαχεσθαι,
η φευγεεν, ͱος κεν θανατον και κηρας αλυκσῃ·
αλλα τιν' ου φευγσεσθαι οϊϝομαι αιπυν ολεθρον.
ͱως φατο· των δ' αϝτοο λυτο γουϝατα και φιλον ητορ.
τοισιν δ' ευρυμαχος προσεφῶνεε δεϝτερον αϝτις·
ω φιλοι, ου γαρ σχησει ανηρ ͱοδε χειρας ααπτοϝς·
αλλ' επει ελαβε τοκσον ͱεΰχσυϝον, ηδε φαρετρην,
ουδοϝ' απο χσεστοο τοκσασσεται, εις ͱο κε παντας
αμμε κατακτῆνῃ· αλλα μνῆσωμεθα χαρμης·
φασγανα τε σπασσασθε, και αντισχεσθε τραπεδσας
ͱιͱων ῶκυμορων· επι δ' αϝτῷ παντες ͱεχωμεν
ͱαθροϝοι· ει κε μιν ουδοϝ' αποθσομεν, ηδε θυραϝων,
ελθωμεν δ' ανα ϝαστυ, βοη δ' ῶκιστα γενοιτο·
τῷ κε ταχ' ͱοϝτος ανηρ νῦν ͱυστατα τοκσασσαιτο.
ͱως αρα φῶνησανς εϝερυσσατο φασγανον ͱοκσυ,
χαλκεον, αμφοτερωθεν ακαχμενον· ͱαλτο δ' επ' αϝτῷ
σμερδαλεα ϝιϝαχων· ͱο δ' ͱαμαρτῇ διϝος ͱοδυσσεϝς
ͱιͱον αποπροͱιͱενς βαλλε στηθος παρα μαδσον,
εν δε ͱοι ͱηπατ' επηγσε θοϝον βελος· εκ δ' αρα χειρος
φασγανον ͱῆκε χαμαδσε, περιϝρῆδης δε τραπεδσῃ
κατπεσε δινεϝθενς· απο δ' ῆδατ' εχεϝεν εραδσε,

